A reipublicæ muneribus perditos homines summoveto, neque ullum iis magistratum committas, ne et ipse similis eis esse, atque improbis eorum factis gaudere videaris. Nam quæcunque mala illi perpetraverint, ea tibi crimini dabunt, teque perversæ voluntatis eorum participem esse judicabunt : quin etiam de illorum sceleribus rationem Deo es redditurus : perditorum enim hominum promotio certa condemnatio est eorum, qui ipsos provexerunt, et scelerata eorum facinora illis attribuuntur, qui eosdem promoverunt. Vide ergo ut bonos viros ad honores evehas, ut bona de factis eorum fama gloriam tuam augeat, cum subjecti præclara illorum gesta tibi ascripturi sint : est enim a populo consentiente profecta laus magnis opibus longe præstantior.

34 *Περὶ ἐλέους.*

Ἕρα χρημάτων, μὴ χάριν ἡδονῆς, ἀλλὰ χρείας ἕνεκα τῆς ἀναγκαίας, ἢ ἵνα τοῖς δυστυχοῦσι βοηθῇς, ἢ ἵνα τοῖς ὑπὲρ ἀλλήλων θνήσκειν αἱρουμένοις χορηγῇς. Ἡ γὰρ ἄλλως φιλοχρηματία οὐ μόνον ὠφέλειαν οὐ ποιεῖ, ἀλλὰ καὶ βλάβην μᾶλλον προξενεῖ. Πλοῦτος μὲν γὰρ μὴ δι' ἀρετὴν ὑπάρχων, κακίας μᾶλλον, ἀλλ' οὐκ ἀρετῆς ὑπηρέτης ἐστίν. Ὁ δὲ χάριν ἀρετῆς προσὼν τοῖς κεκτημένοις μεγάλα δύναται ὠφελεῖν, καὶ τὰς ψυχὰς αὐτῶν καὶ τὰ σώματα· τὸ μὲν τοῖς δεομένοις δαψιλευόμενος, τὸ δὲ τοῖς ἀγαθοῖς τῶν φίλων ἐπιχορηγούμενος. Εὐποιία γὰρ ἀμφότερα, κἂν διαφόροις ἐπιγράφηται τοῖς ὀνόμασι.

D

De misericordia.

Necessitatis, non voluptatis causa divitias amato, nempe ut aut egentium inopiam subleves, aut iis qui pro se invicem mori parati erunt, sumptus suppedites ; alioqui enim pecuniæ cupiditas non solum nihil affert emolumenti, sed detrimentum potius affert. Opes enim, quæ virtutis ergo non coacervantur, vitiorum potius quam virtutis sunt ministræ ; quæ autem ad virtutis officia comparantur, possessorum animis et corporibus juvandis magnas afferunt utilitates, cum aut egenis copiose erogantur, aut fortibus et fidelibus amicis impenduntur : utrumque enim beneficentiæ officium est, etiamsi alio atque alio nomine inscribatur.

35 *Περὶ ἀγάπης φίλων.*

Οὐδὲν ἀγάπης, ὡς ἔοικε, κραταιότερον. Φίλου γὰρ ἀληθοῦς οὐκ ἔστιν ἀντάλλαγμα τῶν ὄντων οὐδέν· φύλαττε οὖν τὴν φιλίαν ἐν παντὶ καιρῷ καὶ τόπῳ πρὸς τοὺς γνησίους σου φίλους, ἵνα καὶ αὐτοὶ ἀνύπ-

De amicorum charitate.

Nihil potentius amicitiæ vinculo esse videtur : nihil enim est in rebus humanis quod cum amico fideli permutari possit : omni igitur et tempore et loco cum fidelibus amicis necessitudinem serva,

Digitized by Google

ut illi sine ulla titubatione aut suspicione mutuum erga te animum gerant : et ne nunquam ingrati animi fueris; pars enim pietatis est bene merentibus gratiam referre : qui vero ingratus est ipse sibi infensus est : gratia enim cum refertur, quodammodo multiplicatur ; cum vero non refertur, etiam quæ parta fuerat, deperit. Dum ergo te gratum exhibueris, multos habueris tui demerendi cupidos ac studiosos : si autem ingratus fueris, nullum omnino amicum habebis, quicum jucunde vivere possis, etiamsi omnes simulatam in te amicitiam ac benevolentiam præ se ferant.

De sermone et silentio.

In detegendis hominum ingeniis solers et consideratus esto : et bona quidem voluntate præditos tibi adjunge, improba vero aversare. Quidquid autem enuntiaturus unquam sis, apud te prius diligenter considera, ne lingua cogitationem antevertente, quod præpostere loquaris tibi exprobretur. In cœtu enim hominum antequam aliquid dicas, in tua potestate est cogitare, si forte post primam sententiam alia tibi melior succurrerit. Iis autem quæ semel dixeris pugnantia subjicere non poteris, si sermones tuos ab omni reprehensione immunes esse volueris. Dicere autem oportebit aut ea quæ perfecte scies, aut quæ temporis ratio postulabit; de reliquis autem omnibus satius erit silere quam loqui.

De eleemosyna.

Largire copiose egentibus misericordiæ stipem, ut ipse ab universorum rege misericordiam consequaris : proprie enim pietas est egenorum sustentatio. Eam ergo diem periisse existimato, qua nemini benefeceris, pro beneficiis quæ ipse a Deo acceperis. Exerce igitur eleemosynam, ut eam vicissim a Deo recipias. Præbe aures tuas supplicum precibus, et hilari vultu eorum pudori consule : miserere lacrymarum viduæ, ac gemitus orphanorum ne repellas : quæ enim fecerimus, eadem et patiemur, et sicut audimus, ita et audiemur, et sicut videmus, ita et videbimur. Qualem ergo tibi se Deum præbere optares, talem et subditis tuis te impertias : qua enim mensura mensus fueris, eadem tibi reponetur.

Momentanea et caduca esse omnia quæ hic sunt.

Scito, fili mi, nihil in hac vita firmum, nihil stabile, nihil perpetuum esse : nam subinde res aliter atque aliter variantur, et rotæ in morem quæ circumvolvitur, ea quæ sursum sunt deorsum feruntur, et quæ deorsum jacent sursum evehuntur : quapropter neque secundis rebus extollere, neque adversis dejicere, sed in utraque fortuna constans esto atque immutabilis, tantum honestis rebus studens, cætera vero Deo committe : nam cum secunda uteris fortuna, adversæ metus te ab superbia revocare debet, et cum adversa jactaberis, melioris spes pariter te ab animi dejectione deducere : hoc enim pusilli est animi ac regia virtute indignum : quia quod futurum est videri ne-

A οπτόν σου καὶ βεβαίαν τὴν ἀγάπην διατηρῶσι· καὶ μὴ γίνου τῇ γνώμῃ ἀχάριστος· μέρος γὰρ εὐσεβείας τὸ ἀνταποδιδόναι τοῖς εὐποιοῦσι τὰς χάριτας. Ὁ γὰρ ἀχάριστος ἑαυτῷ ὑπάρχει πολέμιος. Χάρις μὲν γὰρ ἀνταποδιδομένη πλεονάζεται· μὴ ἀνταποδιδομένη δὲ, καὶ τὴν καταβληθεῖσαν προσαπόλλυσιν. Εὐχάριστος τοίνυν γενόμενος, πολλοὺς ἕξεις τοὺς περὶ σὲ σπουδάσοντας, καὶ πολλάς σοι καταβαλοῦντας τὰς χάριτας· ἀχάριστος δὲ ὑπάρχων, οὐδένα κτήσῃ φίλον οὐδαμῶς, μεθ' οὗ συμβιώσεις ἡδέως, κἂν πάντες ἄνθρωποι τὴν πρὸς σὲ φιλίαν ὑποκριθῶσι.

36 *Περὶ λόγου καὶ σιωπῆς.*

Νουνεχὴς ἴσο, καὶ φρόνιμος ἐν τῷ τὸ ἑκάστου ἦθος ἀναμανθάνειν, καὶ τῶν μὲν σπουδαίων τὰς γνώμας B ἀποδέχεσθαι, τῶν δὲ φαύλων ἀποστρέφεσθαι. Ἀλλὰ καὶ ὅπερ ἂν μέλλεις ἐρεῖν, προεπισκόπει τῇ γνώμῃ, ἵνα μὴ καὶ ἡ γλῶσσα προτρέχουσα τοῦ λογισμοῦ, ἀτάκτως λέγειν ἐνειδισθῇ. Σκοπήσας μὲν γὰρ ἐν συλλόγῳ κύριος εἶ πρὸ τοῦ τι εἰπεῖν, ὧν μέλλεις εἰπεῖν, εἴ που καὶ μετὰ τὴν προτέραν γνώμην ἡ δευτέρα κρείττων ἀναφανῇ. Λαλήσας δὲ ἅπαξ, οὐ δυνήσῃ τοῦ λαληθέντος ἐναντία προσεπειπεῖν, εἴγε μώμου χωρὶς τὰς ὁμιλίας ποιεῖσθαι ποθεῖς. Λέγειν δὲ ἀναγκαῖον, ἢ περὶ ὧν ἀκριβῶς γινώσκεις, ἢ περὶ ὧν ὁ καιρὸς ἀπαιτεῖ· ἐν δὲ τοῖς ἄλλοις ἅπασι κρείττων τοῦ λέγειν ἡ σιωπή.

37 *Περὶ ἐλεημοσύνης.*

Τὸν ἔλεον ἐπιδαψιλεύου τοῖς δεομένοις, ἵνα ἔλεον C ἐπισπάσῃ παρὰ τοῦ τῶν ὅλων βασιλέως· εὐσέβεια γὰρ κυρίως ἡ τῶν δεομένων ἐστὶ μετάδοσις. Καὶ μηδὲν ἡγοῦ τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ μηδένα εὐεργετήσεις, ὑπὲρ ὧν παρὰ Θεοῦ καὶ αὐτὸς εὐηργετήθης. Κτῆσαι οὖν τὴν ἐλεημοσύνην, ἵνα τὸ ὅμοιον παρὰ Θεοῦ ἀντιδέξῃ· κλίνον τὸ οὖς σου τοῖς ἱκετεύουσι· δυσωπήθητι ὄμματι ἱλαρῷ τοὺς δυσωποῦντας· οἰκτειρον δάκρυα χήρας, καὶ στεναγμοὺς ὀρφανῶν μὴ ἀπώσῃ· ἃ γὰρ ἂν ποιήσωμεν, ταῦτα καὶ πάθωμεν, καὶ ὡς ἀκούομεν ἀκουσθησόμεθα, καὶ ὡς ὁρῶμεν ὁραθησόμεθα. Οἷον οὖν εὖχῃ τὸν Θεὸν γενέσθαι σοι, τοιοῦτος περὶ τοὺς οἰκέτας γενοῦ καὶ αὐτός· ἐν ᾧ γὰρ μέτρῳ μετρήσεις, ἀντιμετρηθήσεταί σοι.

38 *Ὅτι πρόσκαιρα τὰ τῇδε πάντα.* D

Ἴσθι, τέκνον ἐμὸν, ὡς οὐδὲν ὁ βίος οὗτος ἔχει τὸ στάσιμον, οὐδὲν τὸ βέβαιον ἢ ἀμετάβλητον. Ἄλλοτε γὰρ ἄλλως ἀμείβει τὰ πράγματα, καὶ τροχοῦ δίκην κυλιομένου, τὰ μὲν ἄνω φέρεται κάτω, τὰ δὲ κάτω φέρεται ἄνω. Διὸ μήτε εὐτυχίαις ἐπαίρου, μήτε ἐν ταῖς δυστυχίαις καταφέρου· ἀλλ' ἴσο κατ' ἄμφω σταθηρὸς καὶ ἀμετάπτωτος, μόνῳ τῷ καλῷ σπουδάζων, τὰ δ' ἄλλα προσανατιθεὶς τῷ Θεῷ. Ὅταν γὰρ εὐτυχῇς, τῇ ἐλπίδι τῆς δυστυχίας ἐπαίρεσθαι οὐκ ὀφείλεις· μηδ' ὁπόταν δυστυχῇς, τῇ ἐλπίδι τῆς εὐτυχίας καταφέρεσθαι παρενεχθῇς· μικροψυχίας γὰρ τὸ τοιοῦτο καὶ ἀνάξιον βασιλικῆς ἀρετῆς, διότι τὸ μέλλον ἄδρατον. Μήτε οὖν στυγνάζων ποτὲ, μήτε γελοιάζων αὐθαδῶς φωραθῇς· οὕτω γὰρ φρόνιμός τε δόξεις εἶ-

Digitized by Google

ναι, καὶ τὰ ἐξ ἑκατέρου πάθη διαφύγοις· καὶ οἱ τὰ σὰ λογοπραγοῦντες οὐδεμίαν ἕξουσι λαβὴν τοῦ μέμφεσθαι τὰ προσπίπτοντα.

39 *Περὶ ἐπιμελείας.*

Ταύτην σεαυτῷ τὴν ἀνάγκην ἐπίθες, τὸ πάντα μὲν ἐθέλειν ἐφορᾶν, μηδὲν δὲ καταδέχεσθαι παρορᾶν. Αὐτὸ δέ φημι, ἐπεὶ βασιλεὺς ὑπάρχων, οὐδένα ἔχεις ἐπὶ γῆς ὑπὲρ σέ, ὃς ἀναγκάσαι σε δύναται. Ἀλλ' εἰ καὶ πάντων βασιλεύεις τῶν ἐπὶ γῆς, ἀλλ' ἔχεις καὶ αὐτὸς τὸν ἐν οὐρανοῖς βασιλέα. Εἶγε οὖν ἐκείνῳ πάντων μέλει ὡς Θεῷ, οὕτω χρὴ καὶ σὲ μηδὲν παρορᾶν, ὡς ὑπὸ Θεῷ βασιλεῖ. Ὥσπερ γὰρ τὰ παρὰ σοῦ ἐπιμελῶς ὁρώμενά τε καὶ διοικούμενα μεγάλης ἀπολαύει τῆς ὠφελείας, οὕτω καὶ τὰ παρορώμενα πρὸς μεγάλην κατολισθαίνει ἀπώλειαν. Εἰ γὰρ καὶ ἐπὶ πάντων οὐ μικρὸν τὸ παρὰ μικρόν, ἀλλ' οὖν ἐπὶ βασιλεῖ τὸ σοφὸν τοῦτο μᾶλλον ἁρμόσειε.

40 *Περὶ φυλακῆς.*

Ὡς ἀγαθὴ λίαν σώματι βασιλικῷ φυλακή, ἡ παρὰ τῶν ὑπηκόων εὔνοια σὺν Θεῷ, καὶ τὸ πάντας εὐποιεῖσθαι παρ' αὐτοῦ, καὶ μηδέν' ὑφορᾶσθαι τυραννικόν τι παθεῖν. Ἀλλ' ὥσπερ δεῖ τὴν βασιλείαν σου φυλάττειν παρὰ τῶν ἐχθρῶν ἀνεπίβουλον, οὕτω χρὴ τηρεῖν καὶ τοῖς πάθεσιν ἀνεπίβατον· ἀμφότερα γὰρ ὁ λόγος ἐπιβουλὴν ὁρίζεται, καὶ ἐν ἑκατέροις μέγας ὁ κίνδυνος. Ἀλλ' ἡ μὲν τοῦ σώματος ἐπιβουλὴ παρὰ τῶν ἐχθρῶν, πρόσκαιρον ἔχει τὸν θάνατον· ἡ δὲ κατὰ τῆς ψυχῆς ἐπιβουλὴ παρὰ τῶν παθῶν, τιμωρίαν προξενεῖ, καὶ μετὰ τὸν θάνατον, τὴν ἀθάνατον.

41 *Περὶ τῆς ἐπουρανίου βασιλείας.*

Πολλοὶ βασιλεῖς τὰ βασίλεια ταῦτα παρῴκησαν· ἀλλ' ὀλίγοι τὴν ἐπουράνιον βασιλείαν κατῴκησαν. Σπούδαζε οὖν, τέκνον ἠγαπημένον, μὴ μόνον ταύτην τὴν βασιλείαν κατορθῶσαι διὰ τῆς τῶν τρόπων καλοκἀγαθίας, ἀλλὰ καὶ τὴν ἐπουράνιον κληρονομῆσαι διὰ τῆς τῶν ἀρετῶν ἀγαθοεργίας. Σήμερον γὰρ εἰσι τὰ βασίλεια σά, καὶ αὔριον ἔσονται οὐ σά, μετὰ δὲ τὴν αὔριον ἑτέρου· καὶ τὴν μετ' ἐκείνην, τοῦ μετ' ἐκεῖνον, ὥστε οὐκ εἰσὶν οὐδέποτε οὐδενός. Εἰ γὰρ καὶ πολλοὺς ἀμείβουσι τοὺς δεσπότας, οὐδένα ἄρα τὸν γνήσιον ἔχουσι δεσπότην. Ἐπεὶ οὖν μεταβῆναι χρὴ τῆς ἐντεῦθεν ἐξουσίας, σπεύσωμεν ἀμείψασθαι δι' ἀρετῆς τὴν ἐκεῖθεν βασιλείαν, ἥτις μόνη τὸ ἀθάνατον κέκτηται καὶ ἀδιάδοχον· τὰ δὲ ἄλλα πάντα ῥεῖ καὶ παρέρχεται.

42 *Περὶ μνήμης Θεοῦ.*

Ἐὰν νόμον σεαυτοῦ τὴν συνείδησιν ἔχῃς, καὶ ἅπερ αὐτὸς παθεῖν οὐκ ἐθέλεις, οὐδὲ ἑτέρους παθεῖν ἐπιτρέψῃς, οὐδέποτε μέμψιν ἁμαρτίας ὑποστήσῃ· εἰ δὲ καὶ τὸν Θεὸν ἐν πάσῃ σου πράξει ἐπόπτην καὶ ἐξεταστὴν, ὥσπερ ἔστιν, ἀναλογίσῃ, οὔτε φανερῶς ποτε, οὔτε κρυπτῶς ἁμαρτήσεις. Κἂν γὰρ ἑτέρους λανθά-

A quit. Neque igitur tristis neque etiam procacius ridens palam deprehendaris; ita enim et prudens existimaberis, et affinia utrinque vitia devitabis, neque curiose maledicis ansam ullam præbebis obloquendi de iis, quæ tibi accident.

De diligentia.

Obstringe te huic necessitati, ut omnia tibi oculis inspicienda esse ducas, et nihil inexploratum prætermittas: quippe imperator cum sis, in terris quidem neminem superiorem habes, qui te cogere valeat; ac licet omnium in terra sis dominus, regem tamen habes superiorem in cœlo, cui sicut omnia ut Deo curæ sunt, ita tibi quoque ut regi curæ esse debent: nihil ergo tibi negligendum est, utpote qui rex Deo subjectus es. Quemadmodum enim ea quæ a te diligenter inspecta administrantur, haud parum proficiunt, itaque neglectim prætereuntur, in magnam perniciem labuntur; et si omnibus in rebus non parvum est quod parum abest, præcipue tamen regibus sapiens hoc dictum convenit.

De custodia.

Nulla regii corporis melior est custodia, quam subditorum benevolentia, Deo juvante; cum ita sunt omnes ab eo beneficiis cumulati, ut nemo ab eo tyrannici quidquam sibi metuat. Sed quemadmodum imperium tuum ab inimicorum insidiis sartum tectum servare oportet, ita et a perturbationum incursionibus inoffensum: utrumque enim insidiarum nomine continetur, et ab utroque ingens imminet periculum. Sed corpori quidem paratæ ab hostibus insidiæ temporariæ mortis discrimen afferunt: adversus autem animam a cupiditatibus comparatæ, etiam post mortem, immortalem secum pœnam trahunt.

De cœlesti regno.

Regiam istam permulti reges incoluerunt; sed pauci cœleste regnum adepti sunt. Tu vero charissime fili, enitere non solum terrenum istud regnum per morum probitatem recte administrare: sed cœlestis etiam hæreditatem per virtutis exercitationem adipisci. Hodie enim tua sunt ista palatia, crastina die tua fortasse non erunt, ac perendie alterius fient, ac post perendinum diem alius adhuc post alium, ita ut nullius unquam sint propria. Nam etsi multos vicissim permutant dominos, tamen proprie nullum verum ac germanum habent. Quoniam ergo dominatione ista cedendum est, studeamus eam per virtutem cum cœlesti regno commutare, quod solum nec morti, nec vicissitudini obnoxium est, cum cætera omnia defluant ac prætereant.

De memoria Dei.

Conscientiam tuam si pro lege habueris, et quæ pati ipse nolis, nunquam alios pati permiseris, nullius unquam peccati labe fœdaberis; et si Deum omnium quæ facis inspectorem cognitoremque, sicut est, esse tibi persuaseris, nunquam neque palam neque clam peccabis. Nam etsi alios latere

Digitized by Google

videberis quæ secreto facies; at conscientiam certe tuam, et Deum ipsum qui usque in abditos animi recessus intuetur, revereberis. Homines enim quæ corporis sunt vident; at quæ in penetralibus animi latent, solus Dei oculus, quem nihil latet, conspicatur. Sicut enim cum sol lucet sub dio nihil occultum esse potest, ita Deo inspiciente omnia nihil illum latere potest.

De corruptione munerum.

Venales muneribus dignitates cave ne habeas, sed potius gratis eas largire. Qui enim magistratum pretio emit, multo magis eidem subjectos emit, ut muneribus quæ dedit fretus ipse audacius munera capiat. Proba igitur atque explora diligenter, atque ita demum ad honores provehe eos, qui donum hoc sine muneribus ambibunt, si vis omnem a republica concussionis labem exsulare. Nam qui dat ut magistratum capiat, quæstum sibi a magistratu captat; dat enim ut jus capiendi habeat, et violatione jurium jurium violationem negotietur. Qui enim sine pretio magistratum obtinuerit, is nunquam concussionis vitio laborabit: at qui pretio magistratum mercatus fuerit, is nunquam ad faciendum aliquid sine mercede assuescere poterit: te autem concussionis et sordium habebit magistrum, quem vindicem habere debuerat: neque ipse solum captabit munera, sed etiam alios sibi subjectos ad idem faciendum compellet.

De injustitia.

Haudquaquam tam graviter peccat qui facit injuriam, quam qui sciens fieri sinit. Cum ergo aliquis passus injuriam ad te accesserit, ne querimoniam et afflictionem illius contemnas, ne occasionem præbeas iis qui facere injuriam parati erunt. Qui enim læsus injuria est, in te uno spem suam ponit, teque ipsum injuriæ suæ vindicem futurum opponens, persequitur eum a quo est injuria violatus. Omnino ergo oportet supplicem, qui apud te conqueritur; jus suum obtinere, cum æquum sit injuriam propulsari. Si vero ipse in injuria connivebis, atque eum qui læsus erit, despicies, eum autem qui læserit, cum solus ulcisci valeas, nullam justitiæ rationem habeas, quid reliquum spei erit misero illi quo fugiat? a quo amplius vindictam exspectabit, nisi a Deo, qui a te rationem injuriæ neglectæ reposcet? Jus igitur reddito ei, qui injuriam passus est, atque illius auctorem vindicato, ne conniventia tua videaris cum facientibus injuriam conspirare, atque alieni sceleris te ipsum reum agere.

De mortalitate et immortalitate.

Mortalis quidem es corpore, anima vero immortalis: in iis ergo quæ carnis sunt propria mortale sapias; quæ vero animi, immortale. Amplectere mundum istum corruptibilem corpore mortali; animo vero beatitudinem æternam quasi immortalis. Etsi enim in regni solium evectus es, post al quantum temporis tamen ab eo descendes: et si totum terrarum orbem armis subigere contenderis, post mortem tamen nihil amplius quam

A νειν δόξῃς, ἅπερ ἐν κρυφῇ πράξεις, ἀλλ' οὖν γε τὴν σεαυτοῦ συνείδησιν καὶ Θεὸν, τὸν καὶ αὐτῶν τῶν τῆς ψυχῆς ταμείων ἔφορον, ἐπαισχυνθήσῃ. Τὰ μὲν γὰρ τοῦ σώματος ἐφορῶσιν ἄνθρωποι, τὰ δὲ ἐν τῷ βάθει τῆς ψυχῆς ὁ μόνος ἀλάθητος ὀφθαλμὸς τοῦ Θεοῦ ὁρᾷ. Ὥσπερ ἡλίου λάμποντος ἐν αἰθρίᾳ κεκρυμμένον οὐδὲν, οὕτω τοῦ Θεοῦ ἐποπτεύοντος τὰς πράξεις, λαθεῖν δυνατὸν οὐδέν.

Περὶ δωροληψίας. 43

Προῖκα χαρίζου τὰ ἀξιώματα, καὶ μὴ δώροις ἀπεμπόλει τὰς ἀξίας. Ὁ γὰρ τιμῆς τὴν ἀρχὴν ὠνούμενος, πολλῷ πλέον τοὺς ἀρχομένους ὠνήσατο, ἵνα τῇ δωροδοκίᾳ θαῤῥῶν, πρὸς δωροκοπίαν ἀδεῶς ὁρᾷ. Ἀναζήτει οὖν ἐπιμελῶς, καὶ ἐρώτα, κἀκείνους ἐπὶ τὰς ἀρχὰς ἀναβίβαζε, εἴ γε βούλει τὴν δωροληψίαν
B ἐξορίσαι τῆς πολιτείας, ὅσοι δωρεὰν ἀλλ' οὐ δώροις ταῦτα ἐπιζητοῦσιν. Ὁ γὰρ διδούς τι διὰ τὴν ἀρχὴν, κέρδος τι ζητεῖ λαβεῖν παρὰ τῆς ἀρχῆς, ὅσει τὴν λῆψιν ὠνούμενος, καὶ παρανομίᾳ τὴν παρανομίαν πραγματευόμενος. Ὃς γὰρ ἂν ἄμισθον τὴν ἀρχὴν λάβοι, δωροληψίας οὐ περιπεσεῖται ἐγκλήματι. Ὁ δὲ μετὰ μισθοῦ λαβὼν τὴν ἀρχὴν, οὗτος οὐδὲν χωρὶς δώρων πρᾶξαί ποτε μεταμάθοι· καὶ σὲ τῆς δωροληψίας διδάσκαλον ἔχων, τὸν ταύτην κρίνειν ὀφείλοντα, οὐ μόνον αὐτὸς δωροληπτήσει, ἀλλὰ καὶ ἑτέρους τοὺς ὑπ' αὐτὸν τὰ αὐτὰ πράττειν συναναγκάσει.

Περὶ ἀδικίας. 44

C Οὐχ οὕτως ἁμαρτάνει ὁ ἀδικῶν, ὡς ὁ τὴν ἀδικίαν παραχωρῶν. Ὅταν οὖν σοι προσέλθῃ ἀδικηθείς, μὴ ὑπερίδῃς αὐτοῦ τὴν συντριβὴν, ἵνα μὴ χώραν δῷς τοῖς βουλομένοις ἀδικεῖν. Ὁ γὰρ ἠδικημένος ἐπὶ σοὶ μόνῳ τὰς ἐλπίδας σαλεύει, καὶ σὲ τῆς ἀδικίας ἐκδικητὴν προβαλλόμενος, τὸν ἠδικηκότα ἀμύνεται. Πάντως δὲ χρεὼν παρὰ σοῦ τὸν προσελθόντα δικαιωθῆναι, ἐπεὶ δίκαιον τὴν ἀδικίαν ἀνασταλῆναι. Εἰ δὲ αὐτὸς τὴν ἀδικίαν παραχωρήσας τῷ ἀδικοῦντι, τὸν ἠδικημένον ὑπερίδῃς, καὶ δυνάμενος μόνος τὸν ἠδικηκότα ἀμύνεσθαι, τῆς δίκης μηδένα ποιήσῃς λόγον,
D τοῦ ὁ δείλαιος ἐκεῖνος ἔτι καταφυγεῖν ἐλπίσει; παρὰ τίνος ἀπολήψεται τὴν ἐκδίκησιν, εἰ μὴ παρὰ Θεοῦ, ὃς καὶ σὲ τῆς ἀμελείας ἀπαιτήσει τὰς δίκας; Δικαίωσον οὖν τὸν ἠδικημένον, καὶ ἀμύνου τὸν ἠδικηκότα, ἵνα μὴ δι' ὧν παροράᾳς, δόξῃς καὶ αὐτὸς τοῖς ἀδικοῦσι συναδικεῖν, καὶ ἀλλοτρίων ἁμαρτημάτων σεαυτὸν ὑπεύθυνον καταστήσεις.

Περὶ θνητότητος καὶ ἀθανασίας. 45

Θνητὸς ὑπάρχεις τῷ σώματι, ἀθάνατος δὲ τῇ ψυχῇ διαμένεις· φρόνει οὖν θνητὰ τῇ σαρκὶ, τῇ δὲ ψυχῇ ἀθάνατα. Περίβαλε κόσμον τῷ σώματι, ὡς θνητὸν τῷ θνητῷ· περιβαλοῦ καὶ ὅλβον ἀθάνατον τῇ ψυχῇ, ὡς ἀθανάτῳ. Κἂν γὰρ ἐπὶ θρόνου ὑψωθῇς, ἀλλ' οὖν μετὰ χρόνον καταβήσῃ· καὶ εἰ τῆς γῆς ἅπασης κατακρατῆσαι φιλονεικήσῃς, ἀλλ' οὐ πλέον τριπήχεως γῆς μετὰ θάνατον κληρονομήσεις. Ἐπιμελοῦ οὖν τῆς θνητῆς βασιλείας ὡς θνητός· περιποιοῦ δὲ καὶ κτῶ τὴν

Digitized by Google

ἀθάνατον βασιλείαν διὰ τῆς τῶν ἀρετῶν κτήσεως, ὡς ἀθάνατος· διὰ τοῦτο γὰρ τῆς θνητῆς ἠξιώθης ἐξουσίας, ἵνα δι' αὐτῆς ἐμπορεύσῃ τὴν ἀθάνατον βασιλείαν.

A tres humi cubitos occupabis. Proinde terrenum hoc regnum ut mortalis, administra; enitere tamen ut immortale regnum per virtutem adipiscaris, ac teneas, quasi immortalis; propterea enim terrena potentia donatus es, ut per eam cœlestem atque æternam dominationem acquiras.

46 *Περὶ ἀρχόντων.*

Ἣν ἔχεις γνώμην περὶ σεαυτοῦ, ταύτην ἔχειν θέλε καὶ περὶ τῶν ὑπὸ σὲ, καὶ περὶ παντὸς ποιοῦ, ἀγαπητῶς αὐτοὺς ἔχειν περὶ τὴν σὴν ἀρχήν. Ἐκεῖνοι γὰρ μάλιστα ἡδέως βασιλεύουσιν, οἵτινες τὸ ὑπήκοον ἄριστα θεραπεύουσι, καὶ τοὺς μὲν ἀξίους τιμῶντες ἀγαθοποιήσουσιν, τοὺς δ' ἀναξίους οὐκ ἀδικήσουσι. Μάλιστα δ' ἂν εὐδοκιμήσεις, εἰ τὴν ἑκάστῳ χώραν ἀποδώσῃς· καὶ τοῖς μὲν ἀξίοις ἄρχειν τὰς ἀρχὰς καταστήσεις, τοῖς δὲ ἀρχομένοις πάλιν μήθ' ὑβρίζειν τοὺς ἄρχοντας, μήθ' ὑβρίζεσθαι παρασκευάσεις. Γίνωσκε οὖν ἀναμανθάνων ἕκαστον, καὶ οὕτω προσηκόντως τά τε περὶ τῶν ἀρχόντων, καὶ τῶν ἀρχομένων, πραγματεύου, ἵνα μὴ ἄρχωσιν ἔλαφοι λεόντων, ἀλλὰ λέοντες ἐλάφων.

De magistratibus.

Fac eamdem habeas de subjectis tuis, quam de te ipso habes sententiam, et da operam quoad ejus fieri poterit, ut tuam illi amént dominationem. Illi enim soli jucunde regnant, qui subjectos suos diligentissime curant, ita ut eos qui digni sunt, honoribus et beneficiis cumulent, indignos vero minime lædant. Ita autem potissimum bene audies, si suum cuique locum et gradum servaveris; et iis B quidem qui cæteris præesse digni erunt, præfecturas commiseris : eos autem qui parere debent, ita temperaveris, ut neque præfectos suos offendere, neque ipsi vicissim ab iis violari possint. Da igitur operam, ut unumquemque exploratum et perspectum habeas, atque ita ut par est, de iis qui præesse, et qui obedire debebunt sapienter statuas, ne cervi imperent leonibus, sed potius leones cervis.

47 *Περὶ εἰρήνης.*

Μακάριον σεαυτὸν καὶ κόπου χωρὶς ἀποδείξεις, εἰ τὰ μαχόμενα σπεύδεις εἰρηνοποιεῖν, καὶ πᾶσαν ἔχθραν καὶ πᾶσαν ἔριν τῆς πολιτείας ἐξορίζεις, καὶ πᾶσαν γαλήνην, καὶ πᾶσαν ἀγάπην τὸ ὑπήκοον ἀσπάζεσθαι διδάξεις, καὶ τοὺς μὲν τὰς ἔχθρας γεννῶντας, ἀποβλήτους εἶναι, τοὺς δὲ τὴν εἰρήνην φιλοῦντας, οἰκειοῦσθαι. Υἱὸς γὰρ ἐμοῦ τοῦ γηΐνου βασιλέως C ὑπάρχων κατὰ σάρκα, καὶ τοῖς παρ' ἐμοῦ σοι λεγομένοις πειθόμενος λόγοις, υἱὸς κληθήσῃ καὶ τοῦ ἐπουρανίου Βασιλέως, τὴν θείαν σεαυτῷ συγγένειαν ἐπιγραφόμενος κατὰ πνεῦμα, τοῦ πράου καὶ εἰρηνικοῦ Χριστοῦ μαθητὴς ὑπάρχων· *Μακάριοι*, γάρ, φησὶν, *οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.*

De pace.

Beatum te porro ac sine magno labore reddideris, si lites omnes componere, omnesque inimicitias ac simultates e republica eliminare studueris, et subjectos paci studere, ac mutua se charitate complecti docueris : si nimirum eos qui lites serunt exulare jusseris, pacis autem amantes tibi adjunxeris. Filius enim meus, hoc est terreni regis, natura cum sis, monitis meis ac præceptis si parueris, cœlestis quoque Regis filius vocaberis, divinam tibi consanguinitatem per gratiam adipiscens, ac te pro pacifici ac mitissimi Christi discipulo gerens : *Beati*, enim, inquit, *pacifici, quoniam filii Dei vocabuntur*[1].

48 *Περὶ ἐπαίνου.*

Ἐπαίνει τῶν συνόντων, μὴ τοὺς ἅπαντα τὰ πραττόμενά σοι ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἐσφαλμένοις μᾶλλον ἐπιτιμῶντας· τούτους γὰρ ἐγὼ εὐνουστέρους καὶ σωφρονεστέρους οἶδα τῶν ἄλλων. Καὶ γὰρ τοῦ ψεύδους ἡ ἀλήθεια προτιμητέα. Ἀλλὰ καὶ τοῖς εὖ φρονοῦσι παῤῥησίαν χαρίζου, ἵνα περὶ ὧν ἀγνοεῖς, ἔχῃς μεθ' ὧν ἄριστα συμβουλεύσῃ. Καὶ οὕτω διατεθεὶς, σκοπήσεις, ὡς οὐ χρὴ τοῖς διὰ τέχνης κολακεύουσιν, ἀλλὰ τοῖς μετ' εὐνοίας θεραπεύουσι προσέχειν δεῖ· τῆς γὰρ ἑτέρου ὠφελείας καὶ βλάβης εὖ μάλιστα πειραθεὶς, τὸ μὲν ἀποφεύξῃ, τοῦ δὲ ἐπιτεύξῃ.

De laude.

Lauda ex familiaribus non eos qui facta tua omnia probabunt, sed potius eos qui peccata interdum tua reprehendent; eos enim ego et amantiores et sapientiores esse judico : semper enim veritas mendacio præferenda est. At bene animatis erga te loquendi libertatem concedes, ut habeas quibuscum de rebus quas ignoras, optimum consilium capere possis : et ad hunc modum si te comparaveris, cognosces, non iis qui artificiose adulantur, sed illis qui sincera benevolentia tibi deserviunt, adhærendum esse : horum enim utilitate, et illorum pernicie explorata, ab istis quidem cavebis, illos vero tibi adjunges. D

49 *Περὶ προσοχῆς.*

Νεότητα κόσμησον, μὴ τοῖς γυμνικοῖς ἀγῶσιν, ἀλλὰ τοῖς ἐναρέτοις, μηδὲ περιίδῃς σου τὴν φύσιν ἅμα πᾶσαν διαλυθῆναι· κἂν γὰρ σώματος ὑπάρχεις θνητοῦ, ἀλλὰ καὶ ψυχῆς ἔλαχες ἀθανάτου. Πειρῶ οὖν

De sui cura.

Juventutem tuam exorna non corporis exercitatione, sed virtutis; neque naturam tuam sinas simul totam interire, etsi enim mortale corpus sortitus es, at animum mortalitatis expertem habes. Con-

[1] Matth. v, 9.

Digitized by Google

nitere ut per boni nominis memoriam immortalitatem consequaris. Gloriosam autem tui nominis memoriam relinques, si eos, qui talem reliquerint, imitaberis; ut mediteris quidem et honesta dicere, et similia facere consuescas, et quæ te sentire dictis indicaveris, eadem opere implere curaveris.

De commiseratione.

Ut corporis omnis umbra semper est comes, ita semper hominem peccatum consequitur: natura enim humana valde ad labendum est proclivis, et ad cadendum prona. Esto igitur errantibus lenis, et justitiæ admisce humanitatem. Si enim ipse ab errantibus exigis rationem, tuorum ipse peccatorum censorem habes Deum: proinde quotidie tibi ipse denuntia; ut aliis peccata remiseris, ita a Deo remissum iri tibi spera. Cum ergo præjudicium tibi ipse facias, remitte debentibus debita, ut et tibi remittantur tua: quæ enim conservis tuis feceris, eadem a communi Domino recipies, et quo judicio alios judicaveris, eodem et ipse judicaberis.

De æquitate.

Præbe faciles aures precanti, eique placide responde. Etsi propter terreni regni celsitudinem aditu facilis non es, at propter regni cœlestis spem accessus ad te pateat omnibus. Consolare mœrentes si non muneribus, at saltem verbis: nam vel unum verbum quam multa munera pluris esse novi, et dictum unicum ad consolandum efficacius esse quam res alias sexcentas. Non enim tantum valet pecuniæ copia ad levandum animi dolorem, quantum blanda et lenis oratio principis: hac igitur ratione subditorum tibi populorum benevolentiam sine ullo sumptu tibi conciliabis, qui ex eo te patrem potius quam dominum prædicabunt.

De referenda gratia.

Quot a Deo accepisti beneficia, tot scito debere te gratias ei referre, qui debita non tanquam debita excipiat, sed quasi pro gratia duplo plures gratias reddat. Igitur largitori bonorum bonam gratiam redde, et quam ab eo accepisti dominationem, eam beneficiis in tuos conferendis impende. Sed eos tamen ad benefaciendum ditiores te esse putato, qui te sunt minores quod ad imperii potentiam attinet. Non enim eam accepisti ut retineres, sed suscepisti ut administrares, et ab eo, qui eam tibi tradidit, probæ administrationis mercedem ac pro terreno regnum cœleste reciperes.

De pulchritudine corporis.

Corporis forma hominem reddit idoneum, qui in aula regi terreno assistat; sed animi pulchritudo illum cœlesti regi charum gratumque reddit: et illa quidem ut momentaneis honoribus perfruamur facit: hæc vero æternam nobis Dei ac Domini amicitiam familiaritatemque conciliat. Tu vero nullum habes te superiorem cui corporis pul-

διὰ τῆς ἀγαθῆς μνήμης κτήσασθαι τὸ ἀθάνατον· μνήμην δὲ καταλίπῃς ἀγαθήν, ἐὰν καὶ αὐτὸς τοὺς ἀγαθὴν καταλιπόντας μνήμην ζηλοῖς· ἵνα καλὰ μὲν ἐκμελετήσῃς λέγειν, τὰ ὅμοια δὲ συνεθισθῇς πράττειν, καὶ ἃ φρονεῖν ἐπιτηδεύσεις διὰ τῶν λόγων, ταῦτα ποιεῖν ἐπιμελήσει διὰ τῶν ἔργων.

50 *Περὶ συμπαθείας.*

Ὥσπερ οὐκ ἔνι σῶμα ᾧ οὐ παρέπεται σκιά, οὕτως οὐδὲ ἄνθρωπος ᾧ οὐ παρέπεται ἁμαρτία. Ἡ γὰρ φύσις ἡμῶν εὐόλισθόν τι χρῆμα καὶ πρὸς τὸ πταίειν εὐκατάφορον. Ἔσο οὖν τοῖς ἁμαρτάνουσιν εὐμενής, καὶ τῷ δικαίῳ κίρνα τὸ φιλάνθρωπον. Κἂν γὰρ ἑτέρους πταίοντας λογοθετεῖς, ἀλλὰ καὶ αὐτὸς τῶν σεαυτοῦ σφαλμάτων λογοθέτην ἔχεις τὸν Θεόν. Καὶ καθ' ἑκάστην ἑαυτῷ παρεγγύα τὴν ἡμέραν, ὡς ἀφήσεις καὶ αὐτὸς ἀφεθῆναί σοι παρ' ἑαυτοῦ ἔλπιζε. Ἔπει οὖν σεαυτῷ τὴν κρίσιν ἐπιψηφίζῃ, ἄφες τοῖς ὀφειλέταις τὰ ὀφειλήματα, καὶ ἀφεθήσεταί σοι τὰ ἁμαρτήματα. Ἃ γὰρ ἂν τοῖς συνδούλοις ποιήσεις, ταῦτα παρὰ τοῦ κοινοῦ Δεσπότου ἀνταποδέξῃ, ὅτι ἐν ᾧ κρίματι κρίνεις, ἐν τούτῳ καὶ κριθήσῃ.

51 *Περὶ ἐπιεικείας.*

Ὑπόκλινον τὸ οὖς σου τῷ δεομένῳ, καὶ ἀποκρίθητι αὐτῷ τὰ εἰρηνικά. Κἂν γὰρ ἀπρόσιτος ὑπάρχῃς διὰ τὴν κάτω δυναστείαν, ἀλλ' εὐπρόσιτος γενοῦ διὰ τὴν ἄνω ἐξουσίαν. Παραμύθησαι τοὺς δυνωμένους, εἰ καὶ μὴ δώροις, ἀλλ' οὖν τοῖς λόγοις· πολλῶν γὰρ δωρεῶν οἶδα καὶ λόγον ἕνα ὑπεράξιον, καὶ μυρίων ἄλλων πραγμάτων ῥῆμα ἓν εἰς παραψυχὴν ἰσχυρώτερον. Οὐ τοσοῦτον γὰρ χρημάτων δύναται περιουσία, ὡς βασιλέως ῥῆμα ἐπιεικὲς, παραμυθήσεσθαι ψυχὴν ἀλγοῦσαν. Οὕτως ἀγαπητὸς γενῆσῃ τοῖς ὑπὸ χεῖρα μάλιστα, καὶ δαπάνης χωρὶς τὴν ἁπάντων εὔνοιαν κερδήσεις, καὶ πατέρα σε μᾶλλον ἢ δεσπότην ἀνακηρύξουσι.

52 *Περὶ ἀντιχάριτος.*

Ἴσθι ὡς ἐφ' ὅσον ἠξιώθης παρὰ Θεοῦ τῶν ἀγαθῶν, ἐπὶ τοσοῦτον ὀφείλεις αὐτῷ ἀντιδιδόναι τὰς χάριτας, τῷ μὴ ὡς χρέος δεχομένῳ τὰς ὀφειλὰς, ἀλλ' ἀντιδιδόντι, ὥσπερ ἀντὶ χαρίτων διπλασίονας χάριτας. Ἀμείψαι οὖν τῷ εὐεργέτῃ τῶν ἀγαθῶν χάριν ἀγαθὴν, καὶ ἣν ἔλαβες παρ' αὐτοῦ ἐξουσίαν χρῆσαι ταύτῃ ταῖς εἰς τοὺς πλησίον εὐεργεσίαις. Πλουσιωτέρους δέ σου μᾶλλον νόμιζε κατὰ τὴν εὐποιίαν, ὅσοι μικρότεροί σου τυγχάνουσι διὰ τὴν ἐξουσίαν. Οὐ γὰρ ἔλαβες, ἵνα κατέχῃς, ἀλλ' ἐδέξω, ἵνα οἰκονομήσῃς, καὶ τῆς καλῆς διοικήσεως παρὰ τοῦ δεδωκότος τοὺς μισθοὺς ἀπολήψῃ, καὶ ἀντὶ τῆς ἐπικήρου βασιλείας, τὴν ἀθάνατον.

53 *Περὶ κάλλους σώματος.*

Ὡραιότης σώματος ἄξιον τὸν κεκτημένον ἐποίησε παρίστασθαι τῷ ἐπιγείῳ βασιλεῖ· ὡραιότης δὲ ψυχῆς ἀγαπητὸν ἐργάζεται τὸν ἄνθρωπον τῷ ἐπουρανίῳ Βασιλεῖ. Ἀλλ' ἡ μὲν πρόσκαιρον ἔχει τὴν τῶν ἀξιωμάτων ἀπόλαυσιν· ἡ δὲ αἰωνίαν εὑρίσκει τὴν πρὸς τὸν Θεὸν καὶ Δεσπότην οἰκείωσιν. Ἀλλ' αὐτὸς μὲν οὐκ ἔχεις ἕτερον ὑπὲρ σὲ, ᾧ τῷ τοῦ σώματος κάλλει

Digitized by Google

ἀρέσεις, ἀλλ' ἔχεις Θεὸν, ὃς οὐ κάλλος σώματος ἐκζητεῖ, ἀλλὰ ψυχῆς εὐγένειαν. Τούτῳ οὖν ἀρέσκειν σπεῦδε διὰ παντὸς, τὴν αὐτοῦ εἰκόνα σεαυτῷ καθαρὰν καὶ ἀμόλυντον φυλάττων, διὰ τῆς σωφροσύνης καὶ ἀγαθότητος.

A christitudine placeas, sed Deum habes Dominum, qui corporis formam non requirit, sed animi nobilitatem. Huic igitur in omnibus placere studeas, illius imaginem puram incorruptamque per temperantiam ac morum puritatem in te ipso conservans.

54 *Περὶ ἰατρείας.*

Κενὸς ἐκεῖνός ἐστιν ὁ τοῦ ἰατροῦ πόνος, ἐὰν τὸ παρ' αὐτοῦ φάρμακον τὸ σῶμα μὴ ἰατρεύσῃ· καὶ μάταιος ἐκεῖνος ὁ τοῦ φιλοσόφου λόγος, ἂν μὴ δύνηται τὰ πάθη τῆς ψυχῆς θεραπεῦσαι. Ὥσπερ γὰρ ἰατροὺς περὶ σωμάτων φιλοσοφεῖν, οὕτω καὶ φιλοσόφους ψυχὰς ἰατρεύειν ἀναγκαῖόν ἐστιν. Ἐκείνους γοῦν ἡγοῦ ἰατροὺς ἀληθεῖς, ὅσοι ἀπὸ σωμάτων τὰς νόσους τῇ τέχνῃ διώκουσι· κἀκείνους ὁρίζου φιλοσόφους ἀψευδεῖς, ὅσοι ἀπὸ τῶν ψυχῶν τὰ πάθη τοῖς λόγοις ἐξορίζουσιν· εἴ γε πειθηνίους ἔχουσιν τοὺς ἀσθενοῦντας δι' ὅλου.

De medicina.

Medici labor inanis est, si quæ ab eo exhibetur medicina corpus non curat: ita vana est philosophi oratio, quæ non potest animi perturbationibus mederi. Sicut enim medicis proprium est de corporibus philosophari, ita et philosophos necesse est animi morbis medicinam facere. Eos igitur veros medicos existima, qui arte sua morbos e corporibus expellunt, et philosophos non fictos quicumque persuasione sua cupiditates ex hominum animis evellunt, si modo obsequentes sibi omnino habeant infirmos,

55 *Περὶ συκοφαντῶν.*

Ἀκοὴν ματαίαν μὴ παραδέχου, μηδὲ τοὺς συκοφαντοῦντας ἐναγκαλίζου, μηδὲ φαύλοις ἀνθρώποις εἰκῇ πίστευε. Οἱ μὲν γὰρ πολλάκις τοὺς ἀγαθοὺς ἄνδρας διὰ κακίας ὑπόληψιν ἀπώλεσαν, οἱ δὲ τοὺς οἰκείους τῆς κακίας θυμοὺς ἐμοῦντες, ἀθώου αἵματος ὑπεύθυνόν σε καταστήσουσιν, οἱ δὲ ὑποπτόν σε ποιήσουσιν, ὡς χαίροντα τοῖς κακοῖς. Μεθ' ὧν γὰρ ἀναστρέφειν ποθεῖς, καὶ οἷς πιστεύειν φιλονεικεῖς, καὶ σὺ τοὺς αὐτῶν τρόπους εὐλόγως κεκτῆσθαι δόξεις.

De calumniatoribus.

Noli aures futilibus præbere sermonibus, aut calumniatores fovere, aut improbis hominibus temere credere. Illi enim sæpenumero viros bonos propter improbitatis suspicionem afflixerunt, hi vero propriæ improbitatis iras evomentes innocentis sanguinis reum te constituent, aut suspectum reddent quasi improborum consuetudine gaudeas. Quibuscum enim amas consuescere, et quibus fidem habere soles, non immerito eorum mores induisse judicaberis.

56 *Περὶ μελέτης γραφῶν.*

Ἱστορίας ἀρχαίας ἐξέρχεσθαι μὴ κατόκνει· ἐν αὐταῖς γὰρ εὑρήσεις ἀκόπως ἅπερ ἕτεροι συνῆξαν ἐγκόπως. Καὶ μάθοις ἐκεῖθεν τάς τε τῶν σπουδαίων ἀρετὰς, καὶ τὰς τῶν φαύλων κακίας, τάς τε τοῦ βίου πολυτρόπους μεταβολὰς, καὶ τῶν ἐν αὐτῷ πραγμάτων τὰς ἐναλλαγὰς, καὶ τοῦ κόσμου τὸ ἄστατον, καὶ τὸ τῆς ἀρχῆς εὐμετάπτωτον, καὶ ἁπλῶς εἰπεῖν, τῶν μὲν φαύλων τὰς ἀμοιβὰς, τῶν δὲ σπουδαίων πράξεων τὰς ἀντιδόσεις, ὧν τὰς μὲν φύγῃς, ἵνα τῆς ἐκεῖθεν δίκης πεῖραν μὴ λάβῃς, τὰς δὲ κατορθώσεις, ἵνα τῶν ἐντεῦθεν ἐπάθλων καταξιωθῇς.

De studio legendi historias.

Historias veterum evolvere ne te pigeat: ibi enim sine labore reperies quæ alii magno cum labore congesserunt. Atque inde bonorum virtutes, et improborum vitia cognosces, et varias humanæ vitæ mutationes, et rerum quæ in ipsa fiunt vicissitudines, cum rerum humanarum instabilitatem, tum imperii ad cadendum proclivitatem, atque ut uno verbo dicam, maleficiorum quidem pœnas, virtutum vero præmia leges; quorum illa quidem devitabis, ne ultionis, quæ illa persequitur, severitatem patiaris; istas vero amplecteris ut debita illis præmia consequi merearis.

57 *Περὶ εὐεργεσίας.*

Σοφόν τί σε νουθετήσω, καὶ ἄηθες ἴσως τοῖς συμβουλεύουσι, πλὴν καὶ πατρὸς καὶ στοργῆς οὐκ ἀνάξιον. Μᾶλλον ἀποδέχου, τέκνον, τοὺς παρὰ σοῦ δωρεὰς ἐξαιτοῦντας, ἢ τοὺς δῶρά σοι φιλοτιμότερον προσκομίζοντας. Τοὺς μὲν γὰρ χρεώστας καταστήσεις εὐχομένους σοι τὰ ἀγαθὰ παρὰ τοῦ Θεοῦ· κἀντεῦθεν καὶ αὐτὸν τὸν Θεὸν ὀφειλέτην ποιήσεις, τὰς ἀμοιβάς σοι χρεωστικῶς ἀπογέμοντα· τῶν δὲ χρεώστης ὑπάρξεις, καὶ ὡς εὐεργέτας αἰδοῦς ἀνελευθέρου καταξιώσεις. Θέλοις οὖν εὐεργετεῖν μὲν ἅπαντας ἀνθρώπους, εὐεργετεῖσθαι δὲ παρ' οὐδένὸς τῶν ἀνθρώπων, ἀλλ' ἢ παρὰ μόνου Θεοῦ· τοῦτο γὰρ ὄντως ἁρμόδιον ἐλευθέρῳ καὶ ἀληθεῖ τυγχάνει βασιλεῖ. Καὶ τοῖς μὲν αἰτοῦσι δίδου, καὶ στέργε τούτους· τοὺς δὲ διδόντας ἧττον ἀποδέχου. Τούτοις μὲν γὰρ ὅλος ὁ σκοπὸς τὴν χάριν ἀντιλαβεῖν· ἐκείνοις δὲ ἅπασα σπουδὴ τὴν

De beneficentia.

Regulam tibi sapientem, licet ab usu consulentium fortassis alienam, fili, suggeram paterno tamen amore non indignam. Eos approba, fili, potius, qui a te munera postulabunt, quam qui ambitiose sua tibi dona obtrudent. Illos enim obæratos tibi constitues, qui tibi a Deo bona precabuntur, et ipsum etiam Deum debitorem facies, qui benefactorum remunerationem persolvet, quasi obligatus: istis autem debitor ipse obligaberis, et quasi benefactores reverentia quadam illiberali prosequeris. Velis ergo potius omnes homines obligare tibi beneficiis, ipse autem nemini obligari nisi uni et soli Deo. Hoc enim profecto magis congruum est generoso et magnifico imperatori. Largire igitur petentibus, atque istos complectere: eos autem qui tibi offerent magis reproba. Iis

Digitized by Google

enim hoc propositum est, ut a te munera auferant, illis autem omne studium erit, ut gratiam tibi referant, humanitus quidem si solvendo erunt; sin secus, multiplicem a Deo tibi precibus impetrantes.

χάριν ἀνταποδοῦναι, εἰ μὲν ἔχουσιν, ἀνθρωπίνην, εἰ δὲ μὴ ἔχουσι, πολλαπλασίαν παρὰ τοῦ Θεοῦ.

De nobilitate.

Summam injuriam corporis nobilitati facit is qui animi nobilitatem negligit. Tu ergo regiæ corporis nobilitati quam habes fac ut animi nobilitatem, quæ summa est, adjungas; illa enim a natura et sine præmio habetur, hæc vero a voluntate, et mercedem conjunctam habet. Honora ergo et lauda, non eos, qui corpore sunt nobiles, sed potius eos qui sunt animo variis virtutibus ornato. Neque enim debet homo sola corporis nobilitate, sicut cætera animalia, esse contentus. Nam equi nobilitas est ut sit ferox atque interritus; canis ut latrator acer in persequendis feris, et de cæteris animantibus similiter: hominis vero, ut animum habeat omni virtutum genere exornatum. Corporis ornatus est forma, et robur, et bona valetudo: animi autem generositas in verbis moribusque, ac virtutum omnium perfectione consistit.

52 Περὶ εὐγενείας.

Ὑβρίζει τὴν τοῦ σώματος εὐγένειαν ἰσχάτως, ὁ τὴν τῆς ψυχῆς εὐγένειαν μὴ κεκτημένος. Καὶ αὐτὸς οὖν σὺν τῇ τοῦ σώματος βασιλικῇ εὐγενείᾳ, κτῆσαι καὶ τὴν τῆς ψυχῆς ἀκροτάτην εὐγένειαν· ἐκείνη μὲν γάρ ἐστι φυσικὴ καὶ ἄμισθος, αὕτη δὲ προαιρετικὴ καὶ ἔμμισθος. Καὶ τίμα μὲν καὶ ἀποδέχου μὴ τοὺς εὐγενεῖς τῷ σώματι, ἀλλὰ τοὺς κεχαρισμένους τῷ πνεύματι. Οὐ γὰρ ὁμοίως τοῖς ἄλλοις ζώοις καὶ ὁ ἄνθρωπος ὀφείλει γυμνὴν ἔχειν τὴν τοῦ σώματος εὐγένειαν. Ἵππου μὲν γὰρ εὐγένεια τὸ σοβαρόν τε καὶ εὐσταθές· κυνὸς δὲ τὸ ὑλακτικόν τε καὶ κυνηγετικόν, καὶ τῶν ἄλλων ζώων ὁμοίως· ἀνθρώπου δὲ, τὸ τὴν ψυχὴν ἔχειν παντοίαις κεκοσμημένην ἀρεταῖς. Τῶν μὲν γὰρ σωμάτων ὁ κόσμος, κάλλος καὶ ῥώμη καὶ εὐεξία· τῶν δὲ ψυχῶν, λόγος καὶ τρόπος ἀγαθὸς, καὶ τῶν ἀρετῶν ἡ τελείωσις.

De patientia.

Nunquam in re ulla, mi fili, adversus Deum irascaris: id enim sæpenumero animi exilitas efficere solet: sed æquo animo casus omnes perferto, et sine cunctatione ulla obtemperato omnibus quæ tibi Deus obtingere voluerit; si gaudere, gaude; si mœrere, mœre; si secunda uti fortuna, utere: si adversa, patere. Omnibus cede, omnibus acquiesce: a peccato duntaxat abstine: hoc enim unum est quod nunquam te admittere oportet: quoniam ex Deo non est, imo ex inconsiderantia fere nasci solet. Neque ergo secundis rebus extollere, neque adversis deprimere. Si enim in omni rerum acerbitate fortiter ferenda animi æquitatem ostenderis, patientiæ mercedem a Deo feres: si vero mœrore te conficiens Dei consilio ac voluntati de te repugnare volueris, invitus tamen patieris, quæ Dei providentia de te statuerit, et patientiæ præmium simul amittes.

59 Περὶ ὑπομονῆς.

Μηδέποτε πρὸς Θεὸν ἀγανακτήσῃς, τέκνον, ἐν οὐδενί· τοῦτο γὰρ πολλάκις οἶδεν ἡ μικροψυχία γεννᾷν· ἀλλ' εὐχαρίστως ἅπαντα δέχου τὰ περιπίπτοντα, καὶ πᾶσιν ἕπου ἀνενδοιάστως, οἷς ἂν θέλῃ ὁ Θεὸς γενέσθαι περὶ σέ· ἂν χαίρειν, χαῖρε· ἂν λυπεῖσθαι λυποῦ· ἂν εὐημερεῖν, εὐημέρει· ἂν πάλιν δυστυχεῖν, δυστύχει. Πᾶσιν εἶκε, πᾶσιν ἀρέσκου· μόνης δὲ τῆς ἁμαρτίας μακρύνου· ταύτην γάρ σε μόνην καταδέχεσθαι οὐ χρή· οὐδὲ γὰρ ἐκ Θεοῦ, ἀλλ' ἐξ ἀπροσεξίας ἐπιγίνεσθαι εἴωθε. Μήτε οὖν εὐτυχῶν ἐπαρθῇς, μήτε γοῦν δυστυχῶν ὑπεραλγήσῃς. Εἰ μὲν γὰρ μακροθύμως φέρων ἐπὶ πᾶσιν εὐχαριστήσεις τοῖς ἀνιαροῖς, καὶ τὸν τῆς ὑπομονῆς πάντως ἀπολήψῃ μισθόν· εἰ δὲ σεαυτὸν τρύχων, ἐναντιώσῃ τῇ περὶ σὲ τοῦ Θεοῦ οἰκονομίᾳ, καὶ ἄκων πάθοις, τῇ προνοίᾳ φερόμενος, καὶ οὐδὲν μὲν προσωφελήσεις σαυτὸν, μᾶλλον δὲ καὶ τὸν τῆς ὑπομονῆς προσαπολέσεις μισθόν.

De eruditione.

Cogitare non solum de suis, sed etiam de subditorum rebus sollicitudo est regie dignissima: neque enim satis est bonum te præstare iis qui tuæ ditioni subjecti sunt, sed et liberos relinquere oportet, qui quasi vivæ virtutis imagines sint cæteris. Quemadmodum qui liberos probe instituit, de universo regno bene meretur, ita qui eos male moratos, ac nullis litteris excultos relinquit, totam rempublicam graviter lædit. Obedi ergo, fili, paternis admonitionibus, ut et tibi ipse prosis, et regnum recte modereris, et mihi institutionis tuæ gratiam, bonam videlicet nominis memoriam persolvas.

60 Περὶ παιδείας.

Βασιλικώτατόν ἐστιν ἔργον μὴ μόνον τὰ ἑαυτοῦ τὸν βασιλέα σκοπεῖν, ἀλλὰ καὶ τὰ τῶν ὑπηκόων ἐπισκοπεῖν. Οὐ γὰρ ἀρκεῖ τὸ ἑαυτὸν ἀγαθὸν παρέχειν τοῖς ὑπὸ χεῖρα, ἀλλὰ καὶ τῆς ἰδίας ἀρετῆς τοὺς παῖδας καταλιμπάνειν εἰκόνας. Ὥσπερ γὰρ ἀγαθοὺς παῖδας ἐκτρέφων, ἅπασαν τὴν βασιλείαν εὐεργετεῖ, οὕτως ὁ πονηροὺς καὶ ἀπαιδεύτους ἐῶν, ἅπασαν τὴν πολιτείαν ἀδικεῖ. Πείθου οὖν, τέκνον, τοῖς πατρικοῖς μου λόγοις, ἵνα καὶ σεαυτὸν ὠφελήσῃς, καὶ τὴν βασιλείαν εὐοδώσῃς, καὶ ἐμοὶ χάριν τῆς παιδείας τὴν ἀγαθὴν μνήμην χαρίσῃ.

De linguæ noxa.

Omnia audi, et ab omnibus disce: at quædam ex iis rejicies, quædam vero admittes, nempe ea quæ tibi usui atque honori esse queunt, ac tuis subditis

61 Περὶ γλωσσαλγίας.

Ἄκουε πάντα, καὶ παρὰ πάντων μάνθανε· ἀλλὰ τὰ μὲν ἀποδέχου, τὰ δὲ ἀποστρέφου, καὶ ἀποδέχου μὲν ὅσα σοι ὄφελος καὶ τιμὴν περιποιεῖται, καὶ τοῖς

Digitized by Google

ὑπηκόοις οὐδὲν λυμαίνεται· ἀποστρέφου δὲ, ὅσα καὶ τοὺς ὑπηκόους βλάψει, καὶ σὲ μηδὲν ὠφελήσει. Γλῶσσα γὰρ δολία, ἐὰν ἔχῃ τὸν συνεργάτην δυνάμενον, πολλῶν κακῶν αἰτία ἑαυτῇ τε καὶ τοῖς ἑπομένοις, γενήσεται· στόμα δὲ εὔφημον σὺν ἀληθείᾳ διαλεγόμενον, πολλὰ τούς τε ἀκροωμένους, καὶ τὸν κεκτημένον ὀνίνησι. Θέλε οὖν μὴ τοῖς κακοῖς χαίρειν, ἀλλὰ τοὺς ἀγαθοὺς ἀποδέχεσθαι· καὶ εἰρηνεύειν μὲν τὸ ὑπήκοον, ἀλλὰ μὴ κατ' ἀλλήλων ὀτρύνεσθαι· οὗ γὰρ μάχαι καὶ ἔριδες, ἐκεῖθεν μακρύνεται ὁ Θεός· οὗ δὲ εἰρήνη καὶ ἀγάπη, καὶ ὁμόνοια, καὶ τοῖς εἰρηνεύουσιν, εὔϊλατον καὶ ἐγγὺς τὸ Θεῖον παριστᾷ, καὶ τοῖς εἰρηνοποιοῖς τὴν υἱοθεσίαν τοῦ Θεοῦ προξενεῖ.

62 *Περὶ ἀγαθοῦ τρόπου.*

Στέφανον βασιλείας τὴν ἀγαθὴν ὁρίζου συνείδησιν, δι' ἧς κοσμήσεις σεαυτὸν μᾶλλον ἢ τοῖς μυρίοις ἄλλοις ἐγκαλλωπίσμασιν. Ὁ γὰρ πλοῦτος ἄπιστόν τι χρῆμα καὶ εὐόλισθον· ἡ δὲ δόξα, παρέρχεται· τὸ δὲ κράτος ἀπέρχεται· καὶ αἱ ἡδοναὶ διαῤῥέουσι· μόνος δὲ ὁ ἀγαθὸς τρόπος εἰς αἰῶνας συμπαρεκτείνεται, καὶ ἀθάνατόν σε ποιήσει τῇ μνήμῃ, ἀλεξιφάρμακον ὥσπερ τὴν σὴν ἀρετὴν τοῖς μετὰ σὲ χαριζόμενος, καὶ πάντας καὶ ἐπαινέτας, καὶ μιμητὰς τῆς σῆς πολιτείας ποιούμενος.

63 *Περὶ τοῦ κρατεῖν τῶν ἡδονῶν.*

Ἴσθι, τέκνον ἐμὸν, ὡς τότε σε κατὰ τὴν ἀλήθειαν βασιλέα ὁρίσονται, ὅταν μὴ μόνον τῶν ὑπηκόων κρατῇς, ἀλλὰ καὶ τῶν ἡδονῶν ἁπασῶν ἐπικρατῇς. Ἔστω γάρ σοι στέφανος, τῆς βασιλείας σύμβολον· ἀλλ' ἔστω καὶ δικαιοσύνη τῷ πράγματι σύνδρομος· πορφύρα δέ σε κοσμήσει, ἐὰν ἡ σωφροσύνη ταύτῃ συνεπανθήσει· καὶ τῶν ποδῶν σε τὸ ἐρυθρὸν τιμήσει ὑπόδημα, ἐὰν αὐτοῖς τὴν φλόγα τοῦ τύφου καταπατήσῃς. Ἐκεῖνα μὲν γὰρ πρόσκαιρόν σοι τὴν βασιλείαν χαρακτηρίζει· ταῦτα δὲ καὶ τῆς αἰωνίου κολάσεως ῥύσεται, καὶ τὴν ἀθάνατόν σοι προξενεῖ βασιλείαν.

64 *Περὶ λόγου τελείου.*

Λόγου τοῦ τελειοτάτου πάντων ἐν ἀνθρώποις λίαν ἐπιμελοῦ· δι' αὐτοῦ γὰρ ἡ ἐπίγειος βασιλεία ἐξεικονίζει τὴν ἐπουράνιον τάξιν, καὶ ἁρμονίαν· λόγος γὰρ ἡγεμονεύει τῶν ἀνθρωπίνων πραγμάτων, οὗ περιαιρεθέντος συμπεριαιρεῖται τὰ ἡμέτερα. Κτῆσαι οὖν τοῦ λόγου τὸ χρῆμα, μὴ ἐνδεὴς, ἀλλὰ τέλειον. Οὐδὲ γὰρ κυβερνήτῃ πιστευτέον τοῦ σκάφους τὴν σωτηρίαν, εἰ μὴ καλῶς κυβερνᾶν ἐξεπίσταται· οὔτε δὲ βασιλεῖ βασιλικώτατα κρατεῖν, εἰ μὴ τοῦ λόγου τὴν ἄσκησιν τοῦ πρακτικωτάτου διεξέρχεται. Λέοντι μὲν γὰρ τὸ ἀρχικὸν ἐν θηρίοις, ὡς ὁ λόγος, ἡ δύναμις· ἀετῷ δὲ ἐν πετεινοῖς, τὸ ὑψιπετὲς καὶ δραστήριον· ἀνθρώπῳ δὲ κατὰ γῆν ὁ λόγος τὴν ἐξουσίαν χαρίζεται.

65 *Περὶ τοῦ μὴ ἐπαίρεσθαι.*

Ἐπὶ νίκαις ὑπεναντίων μηδέποτε ἐπαρθῇς, μηδὲ ἐπὶ πολεμίων συμφοραῖς γαυρίαμα κτήσῃ, μηδὲ ἐπιχαρῇς ἐπὶ πτώσει ἐχθρῶν σου, μηδὲ ἐγγελάσῃς δυστυχίαν ἑτέρου, μηδὲ ἐπικροτήσῃς ἐπ' ἀπωλείᾳ ἀνθρώπου· κοινὴ γὰρ ἡ φύσις, καὶ τὸ μέλλον ἀόρα-

A minime obesse possunt : rejice autem ea quæ et subjectos lædunt, et tibi nihil prosunt. Lingua enim fraudulenta, si potentem adjutorem nacta fuerit, et sibi et sectatoribus suis multum afferet detrimenti. Os autem sincerum, quod nil nisi verum proloquitur, et dominum suum, et eos qui illum audiunt juvat plurimum. Malis ergo ne gaudeas, sed bonos assume : pacem inter populos fove, neque eos inter se committas. Ubi enim lites sunt et pugnæ, procul abest Deus : ubi vero pax, et charitas, et concordia, pacificis se præsentem et propitium exhibet et adoptionis in filios Dei copiam eis facit.

De bonis moribus.

Lectissimam esse regni tui coronam statuito
B bonam conscientiam, qua te magis meliusque exornabis quam sexcentis aliis ornamentis. Divitiæ enim infida quædam res est, et quæ facile dilabitur. Gloria evanescit, robur marcescit ; voluptates diffluunt : sola innocentia bonique mores in multas ætates protenduntur, ac tuum nomen immortalitati commendabunt, virtutemque tuam quasi adversus mala omnia pharmacum posteris imitandam relinques, eosque et laudatores et imitatores tuæ administrationis habebis.

De voluptatibus superandis.

Scito, mi fili, verum te regem homines judicaturos cum non solum subditos in manu habebis, sed a voluptatibus etiam omnibus temperabis. Sit ergo tibi corona pro signo imperii, sed coronæ semper
C adjuncta sit comes justitia. Purpura quidem tibi ornamento erit, si temperantia illam comitetur. Calcei rubri decenter pedes tuos ornabunt, si in ipsis superbiæ fastum proculcabis. Illa enim perituri imperii tibi nota erunt ac signum : ista vero ab æterno supplicio te vindicabunt, et immortali regno donabunt.

De perfecta dicendi facultate.

Eloquentiam rerum omnium humanarum perfectissimam diligenter exerce : per eam enim terreni regni principatus refert quodammodo cœlestium rerum ordinem et convenientiam : oratio rebus omnibus humanis præest, quam si tollas, simul et omnia nostra tollas. Da ergo operam ut tibi di-
D cendi facultatem pares, non eam quidem mancam aut diminutam, sed perfectam. Neque enim gubernatori navigii salus committitur, nisi bene gubernare didicerit : neque regi imperio regio uti, nisi facultatem dicendi ad res gerendas accommodatissimam diligenter exercuerit. Leoni siquidem regnum in bestias dat robur animi et corporis : aquilæ in aves volatus sublimis et velox : homini autem super terram imperium dat oratio.

Non esse gloriandum.

Propter relatam de hostibus victoriam gaudio ne efferaris, nec adversariorum calamitatibus insultes, neque ob ruinam inimicorum læteris, nec alterius miseriam rideas, nec ob ullius hominis interitum manibus plaudas : natura enim commu-

Digitized by Google

nis est omnibus, et futurum provideri nequit. Reminiscere eorum quæ ante te fuerunt, et quæ postea evenient intelliges, magnæ enim ac multæ sunt vitæ hujus vicissitudines, ac præteritorum recordatio præsentibus documento esse debet. Ne te efferas, aiunt, ne tanto profundius dejiciaris; ne partas tibi victorias ascribe, ne unquam fortunam experiaris adversam : sed aliorum calamitatibus illacrymare, atque hominum miseriis condolesce, homo ipse cum sis : festorum celebritates propter partas victorias soli Deo gratus acceptas refer, ut et in secundis rebus te submittens, et in adversis erigens, nunquam te hominem esse obliviscaris.

De studio litterarum.

Ad mores tuos omni ex parte excolendos veterum sapientum sententias continenter evolve : multa enim in illis præcepta utilissima reperies, præsertim in operibus Salomonis atque Isocratis. Adde etiam si vis Jesu filii Siraeh documenta atque consilia, e quibus multum civilis et regiæ prudentiæ haurire poteris. Cætera etiam divinitus inspiratæ Scripturæ oracula perlecta tibi esse oportet, ut cum sapientia consummatus fueris, me regem, patrem ac præceptorem tuum, lætitia perfundas ac cæteros etiam ipse exhortari ac docere possis : et homo cum sis finem tibi præscriptum esse, melius intelligas; ac nullum hominem esse peccati, nullum mortis expertem; nullum qui non judicandus sit de omnibus quæ in vita gesserit, nullum qui de mortis suæ termino aliquid certi sciat.

A τον· ὅρα οὖν τοὺς πρὸ σοῦ, καὶ τότε μαθήσῃ τὰ μετὰ σέ. Πολλὰ γὰρ οἶδεν ὁ βίος πράγματα ἀμείβειν, καὶ τῶν παρελθόντων τὰ πάθη τοῖς νῦν παροῦσιν ὑπάρχει διδασκαλία. Μὴ οὖν μέγα ἐπαρθῇς, φησὶν, ἵνα μὴ μεῖζον πέσῃς, ἀλλ' οὐδὲ τῶν κατορθουμένων σοι τροπαίων μηδὲν ὅλως ἴδιον λογίσῃ, καὶ οὐδέποτε τῶν ἀπευκταίων πειραθήσῃ. Ἀλλ' ἐπιδάκρυε μὲν ταῖς ἀλλοτρίαις συμφοραῖς, συμπάθει δὲ πάσχουσιν ἀνθρώποις, ἄνθρωπος ὢν καὶ αὐτός· τὰς δὲ ἐπὶ ταῖς νίκαις πανηγύρεις, ἀνατίθει μόνῳ τῷ Θεῷ εὐχαρίστως, ἵνα καὶ ἐν ταῖς εὐτυχίαις δυστυχῶν, καὶ ἐν ταῖς δυστυχίαις εὐτυχῶν, τὸ ἄνθρωπος εἶναι μὴ ἀπολέσῃς.

Περὶ ἀναγνώσεως γραφῶν.

B Ἵνα δέ σου τὸ ἦθος διὰ πάντων κοσμήσῃς, μὴ χατόκνει τὰς τῶν παλαιῶν διεξέρχεσθαι γνώμας· πολλὰ γὰρ ἐν αὐταῖς εὑρήσεις τὰ χρήσιμα· καὶ πλέον πάντων τά τε Σολομώντεια, τά τε Ἰσοκράτεια. Εἰ βούλει καὶ τὰ τοῦ Ἰησοῦ τοῦ Σιρὰχ διαμελέτα βουλεύματα καὶ διδάγματα, ὡς ἐκεῖθεν καὶ πολιτικὰς καὶ βασιλικὰς ἀρετὰς δυνάμενος ἀνελέξασθαι. Τὰ γὰρ ἄλλα πάντα τῆς θεοπνεύστου Γραφῆς σωτήρια λόγια συναναπνέεσθαί σοι πάντως ἐπάναγκες. Ἐπὰν δὲ τέλειος γένῃ τὴν φρόνησιν, κἀμὲ τὸν βασιλέα, καὶ πατέρα, καὶ παιδευτὴν εὐφρανεῖς, καὶ αὐτὸς τότε νουθετεῖν ἑτέρους ἀξιωθήσῃ· καὶ τὸ οἰκεῖον τέλος ἄνθρωπος ὤν, μᾶλλον ἐπιγνώσῃ, ὅτι οὐδεὶς ἀνθρώπων ἀναμάρτητος, οὐδεὶς ἀνθρώπων ἀθάνατος, οὐδεὶς ἀνθρώπων τὴν τῶν βεβιωμένων διαφεύξεται κρίσιν, οὐδεὶς ἀνθρώπων οἶδε τοῦ βίου τὸ ἄδηλον τέλος.

C

MONITUM.

(Ang. Mai. *Script. veter. nov. coll.* t. II, pag. 679.)

Cum in Vaticanis codicibus politica scripta vestigarem, Basilii quoque imperatoris editas ad filium admonitiones lectitabam, ab iisque, in uno saltem codice, caput XXIII, quod est de pecuniæ contemptu, abesse videbam. Verum idem codex prædictum defectum cum fenore resarciebat : namque in admonitionum illarum pervulgatarum calce, alia subtexebatur ejusdem Basilii ad eumdem filium admonitio, quæ in editionibus, quantum vidi, desideratur.

Digitized by Google

III

ΒΑΣΙΛΕΙΟΥ ΒΑΣΙΛΕΩΣ

ΕΤΕΡΑ ΠΑΡΑΙΝΕΣΙΣ

ΕΙΣ ΤΟΝ ΑΥΤΟΥ ΥΙΟΝ ΛΕΟΝΤΑ ΒΑΣΙΛΕΑ.

—

BASILII IMPERATORIS

ALTERA EXHORTATIO

AD FILIUM SUUM LEONEM IMPERATOREM.

—

Ἡ θεία καὶ παναγία Τριὰς ἡ παντοδύναμος καὶ ζωοποιὸς ἀγαθότης, ἡ ἐν τρισὶν ὑποστάσεσιν ὁμοουσίως δοξαζομένη, τὸ ὑπερβάλλον ἐπιδεῖξαι βουλομένη τῆς οἰκείας ἀγαθότητος, καὶ ἐν πᾶσι μὲν τοῖς οὖσι, κατεξαίρετον δὲ τοῦ ἀνθρώπου πρόνοιαν ποιουμένη, κατ' εἰκόνα ἰδίαν τὸ νοερὸν τούτου δημιουργήσασα, δόξῃ τε καὶ τιμῇ στεφανώσασα, σοφίαν αὐτῷ ἐδωρήσατο, δι' ἧς κατὰ τὸ δυνατὸν Θεὸν γνωρίσαι δυνάμενος, δοξάζοι διὰ παντὸς τὸν τῶν ἁπάντων κτίστην· ἡ σοφία τοίνυν ἐκ τῆς αὐτῆς μεγαλειότητος τοῖς ἀνθρώποις δοθεῖσα, προδήλως καὶ καλὴ καὶ τερπνὴ ὡς Θεοῦ δῶρον καθέστηκε. Καὶ σὺ οὖν, τέκνον ἐμὸν θεοφύλακτον, σοφίᾳ ἐκτρεφόμενος γενοῦ φιλόσοφος (2) ἐκ τοῦ τὸν Θεὸν φοβεῖσθαι· ἀρχὴ γὰρ σοφίας φόβος Κυρίου· σύνεσις δὲ ἀγαθὴ, πᾶσι τοῖς ποιοῦσιν αὐτήν. Ἀγάπα τοίνυν τὸν Κύριον ἐξ ὅλης ψυχῆς καὶ καρδίας σου καὶ αὐτῷ λάτρευε, καὶ αὐτὸν μόνον δόξαζε Δημιουργὸν οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης, πάντων τε ὁρατῶν καὶ ἀοράτων, ὃς καὶ γενήσεταί σοι βοηθὸς ἐν πάσαις ταῖς ἡμέραις τῆς προσκαίρου τῆσδε ζωῆς σου, καὶ ἐν αἰῶνι τῷ μέλλοντι· σχόλασον τῇ θεοδιδάκτῳ σοφίᾳ (3)· ἀρίστη γὰρ ἥδε ὑπάρχουσα, δυσὶ τρόποις ἐν τῷ ἀνθρώπῳ θεωρεῖταί τε καὶ γνωρίζεται, τουτέστιν ἐν λόγοις καὶ ἐν ἀρεταῖς. Αὐτὰ τὰ βάθη τῶν πραγμάτων ἐναργῶς ἀποδεικνύουσα, καὶ ἐν σεμνῇ διαγωγῇ καὶ ἔργοις ἀγνοῖς καὶ θεαρέστοις· δι' ὧν δύναταί τις πάντα πράττειν ἁρμοδίως, ὥστε καὶ Θεὸν θεραπεύειν, καὶ ἀνθρώποις μέγας καὶ ἔνδοξος ἀναδείκνυσθαι. Τίμα ἱερεῖς καὶ πρεσβύτας, καθάπερ γονεῖς, ὅπως καὶ αὐτὸς κελεύσει Θεοῦ τιμηθῇς ἐκ παίδων τῶν οἰκείων καὶ ἀλλοτρίων. Πτωχοῖς καὶ ἐνδεέσι καὶ ἐν ἀνάγκαις ὑπάρχουσι μεταδίδου προθύμως· γινώσκων ὅτι δι' αὐτῶν

A Divina et sanctissima Trinitas, quæ est omnipotens vivificansque bonitas, tribus consubstantialibus in personis honoranda, dum summam suam benignitatem gestit demonstrare, atque omnium rerum, sed hominis præcipue, curam præ se ferre; hujus quidem animam ad imaginem sui creavit, et gloria atque honore exornavit, sapientiamque indidit; cujus ope Deum, quatenus fieri potest, agnosceret, naturæque universæ conditorem nunquam non honoraret. Itaque sapientia ex eodem supernæ liberalitatis fonte dimanans, sine dubio et decora est et jucunda, videlicet quia donum Dei est. Tu quoque igitur, fili mi (cui Deus utinam semper faveat!), sapientiæ lacte nutritus, philosophum te timendo Deum profitere: initium quippe sapientiæ

B timor Domini; recte autem sapiunt quicunque illam exercent. Ergo Dominum toto ex animo et corde ama, illique cultum exhibe: atque ut unicum cœli, terræ marisque visibilium invisibiliumque Conditorem honora, qui vicissim tibi tum in omni hac temporali vita, tum in futuro sæculo fautor erit. Sacræ præsertim doctrinæ studium impende; hanc enim et præ cæteris et dupliciter homini esse utilem compertum est, quia scilicet eum litteris simul et virtutibus instruit. Nam rerum illi naturam intimam perspicue revelat, eumdemque honesta vita, puris Deoque gratis operibus, florentem efficit: ex quo consequitur, ut cuncta recte ab homine fiant, Deo cultus exhibeatur,

C ipseque magnus inter cives suos et præclarus evadat. Honora sacerdotes et senes, parentum instar, ut tu vicissim honorem a Deo liberisque tuis et alienis consequaris. Inopibus, calamitosis, et ne-

NOTÆ.

(2) Scilicet Philosophi seu Sapientis agnomen reapse Leo virtute sua doctrinaque consecutus est.

(3) Revera Leonis Sapientis scripta multis in argumentis sacris versantur.

Digitized by Google

cessitate pressis alacriter largire; reputans scilicet te pecuniam apud Deum in fenore ponere, a quo majorem sortem reportabis. Beneficium ne in crastinum differas : *Nescis*, enim, inquit divinum Scriptum, *quid crastina dies latura sit*. Esto animo atque opera liberali. Quidquid enim in terra seritur, ibidem succrescit : sola eleemosyna est quæ humi sata, in cœlis centuplicem fructum parit. Erga bonos esto mitis, adversus pravos severus; blandus hominibus, voluptatibus austerus. Cum sanctis viris versare; improbos fuge et detestare : *Corrumpunt enim*, ut ait Scriptura, *bonos mores colloquia prava*. Iniquo homini ne blandiaris; imo vero eum commoneto : nam si resipuerit, bene est; sin propositi tenax fuerit, acerbius eum corrige. Sic enim et gratam Deo rem facies, et hominem illum capistro veluti astringes, atque ad Deum cognoscendum compelles. Etsi enim paulisper dolebit, teque oderit, deinde tamen æternus tibi amicus erit. Veritatem ama et sectator. Deus quippe veritas est. Mentiendi nescius sis; parens enim mendacii diabolus. In sacris concionibus silentium servato, dum Dei sermones audis : quin adeo Deum meate tua per otium revolve. Cum a quotidianis curis vacabis, ne sis iners; etenim inertia morbosum animum corpusque facit. Divinis libris operam da; pacem dilige; scandala devita. Uxoris tuæ societate gaudeas; alienæ ne oculum quidem intendas. Fastui denique vanæque gloriæ ne sis obnoxius. Patris tui monita diligenter custodi. Nemo enim sic absque invidia docet, ut pater filium. Et fieri quidem potest ut magister discipulo invideat, a quo forte superetur : parens autem magna gloria augetur, si eum filius suus superet, imo vero maximus inter homines evadat. Admonitionibus patris tui fac auscultes, neque indecoram vitam instituas. Omnino mos tuus et sermo et cogitatio honestate exornentur.

A δανείζων Θεῷ, παρ' αὐτοῦ ἀπολήψῃ τὰ μείζονα· ἀγαθοποιῆσαι βουλόμενος, μὴ ὑπέρθου εἰς αὔριον· *Οὐ γὰρ οἶδας*, φησὶ, *τί τέξεται ἡ ἐπιοῦσα* (4). Ἐλεημοσύνην ἀγάπα καὶ ταύτην ἐργάζου· πᾶν γὰρ τὸ ἐπὶ γῆς σπειρόμενον, ἐπὶ γῆς καὶ φύεται· ἐλεημοσύνη δὲ μόνη ἐπὶ γῆς μὲν σπείρεται, ἐν οὐρανοῖς δὲ ἑκατονταπλασίους καρποὺς ἀποδίδωσι. Γενοῦ ἑκάστῳ ἥπιος καλῶς ἀγομένῳ, τῷ ἀδικοῦντι δὲ σοβαρός· γλυκὺς τοῖς ἀνθρώποις, τῖς ἡδοναῖς δ' αὐστηρός. Μετὰ ὁσίων ἀνδρῶν ἀναστρέφου· στρεβλοὺς δ' ἀπαναίνου καὶ ἀποστρέφου· *Φθείρουσι* γὰρ, φησὶν, *ἤθη χρηστὰ ὁμιλίαι κακαί* (5). Ἀδίκῳ μὴ παραχώρει, ἀλλὰ τοῦτον νουθέτει· κἂν μὲν ἐπιστρέψῃ, εὖ ἂν ἔχοι· ἂν δ' ἐπιμένῃ, αὐστηροτέρως τοῦτον ἐπίστρεφε. Οὕτω γὰρ πράττων, καὶ Θεῷ μὲν εὐάρεστος ἔσῃ, κἀκεῖνον ἐν κημῷ ἄγξεις, καὶ γνωρίζειν διδάξεις Θεόν. Ἂν γὰρ καὶ πρὸς μικρὸν ὀδυνηθῇ καὶ μισήσῃ σε, ἀλλ' οὖν ἔσεται μετὰ ταῦτα ἀγαπῶν σε εἰς τὸν αἰῶνα· ἀλήθειαν ἀγάπα καὶ κτῆσαι ταύτην· ἀλήθεια γὰρ ὁ Θεός· ψεῦδος δὲ μὴ γνωρίσῃς· ψεύδους γὰρ πατὴρ ὁ διάβολος. Ἐν ἐκκλησίαις ἡσυχίαν ἄγε, τῶν τοῦ Θεοῦ λόγων ἀκούων, καὶ πρὸς αὐτὸν ἐν ἀνέσει τὸν νοῦν σου ποιούμενος· ὅταν ἐκ τῶν συνεχουσῶν ἠρεμήσῃς φροντίδων, μὴ ἀργὸς μένε· ἀργία γὰρ νόσον ψυχῆς τίκτει καὶ σώματος. Ταῖς θείαις βίβλοις ἐνασχολοῦ· εἰρήνην ἀγάπα· σκάνδαλα ἀποστρέφου. Γυναικὶ μέλος ἴδιᾳ γενοῦ, ἀλλοτρίᾳ δὲ μηδ' ὀφθαλμῷ προσεγγίσῃς. Τύφον καὶ κενοδοξίαν μὴ κτήσῃ· τοῦ πατρός σου τοὺς λόγους ἀσφαλῶς φύλαττε· οὐδεὶς γὰρ ἀφθόνως διδάσκει, ὡς ὁ πατὴρ, τέκνον· διδάσκαλος γὰρ, ὡς εἰκὸς, φθονεῖ μαθητῇ γενομένῳ ὑπὲρ αὐτόν· πατὴρ δὲ μεγάλην ἔχει δόξαν, ὁπόταν ἴδῃ τὸ ἑαυτοῦ τέκνον οὐ μόνον ὑπὲρ αὐτὸν, ἀλλὰ καὶ ὑπὲρ ἕκαστον τῶν ἀνθρώπων πάντων γενόμενον. Νουθεσίαν πατρός σου ἄκουε, καὶ ἀσέμνοις τρόποις μὴ ἐξακολούθει. Παντὶ δὲ τρόπῳ κατακοσμεῖσθω σου καὶ ἦθος καὶ λόγος καὶ νόημα.

B

C

NOTÆ.

(4) Prov. xxvii, 1.

(5) I Corinth. xv, 33.

Digitized by Google

IV

ΣΤΙΧΟΙ ΗΡΩΙΚΟΙ ΚΑΙ ΕΛΕΓΕΙΑΚΟΙ

ΕΙΣ ΛΕΟΝΤΑ ΦΙΛΟΣΟΦΟΝ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΜΑΘΗΤΟΥ ΑΥΤΟΥ

—

VERSUS HEROICI ET ELEGIACI

IN LEONEM PHILOSOPHUM

CONSTANTINI EJUS DISCIPULI.

(Ex P. Matrangæ *Anecd. Græcis*, Romæ, 1850, t. II, p. 555.)

—

A.

Μυρία μὲν δεδάηκας, ὅσα προγενέστεροι ἄνδρες
Φάντο ποθ' ὑψαγόραι τῆς θύραθεν σοφίης·
Ἀλλ' ὁ σὸς ὤλετο θυμὸς, ἐπεὶ πίες ἁλμυρὸν ὕδωρ,
Σχέτλιε, δυσσεβίης κύματα νηξάμενος.
Ὅς ῥα παναιγλήεσσαν ἀγακλέα δόξαν ἐάσας
Χριστιανῶν μετά γε φαίδιμα λουτρὰ, τάλαν,
Καὶ μετὰ φρικαλέην γε θυηπολίην, μεγάλην τε,
Καὶ βίβλων ἱερῶν θαύματ' ἐρισθενέα,
Ἑλλήνων ὀλέθρου μεγακήτεα βυθὸν ὁρούσας,
Θηρσὶν ἕλωρ ἐγένου θυμοβόροισι, Λέον.
Τίς σε βαρυστενάχων τοῦ πτώματος οὐκ ἐλεαίρει,
Ἤ σε τίς οὐ δακρύει τοῖον ἐπιστάμενος;

Οὐκ ἐπὶ πέτραν ἔρεισας ἑοὺς πόδας ἀδρανέοντας,
Ἦ ἔνι πᾶς βεβαὼς ἔμπεδός ἐστι λίαν,
Ἀλλ' ἐσεβάσθης, μωρὲ, θεῶν ἀπερείσιον ὄχλον,
Ἔξαρνος γεγαὼς φωτοβόλου Τριάδος·
Τοὔνεκά σε Χριστός γ' ἀπὸ μὲν σθένος ἄσχετον ἔρσε,
Τιτάνῳ ἠδ' ὄξει σὸν στόμα πλησάμενος,
Οἷς ἐθέλεσκε τρόποις· ἔδει γάρ ἑ ταῦτα ὑποῖσαι,
Οἷα Θεοῦ μεγάλου πόλλ' ἐπικερτομέων.

B'.

Κλῦτε, γοναὶ μερόπων, Χριστοῦ περιώνυμον ἔθνος,
Οἳ πέλετ' ἀγνῶτες κείνου ἀποστασίης·
Ζεὺς μὲν ἦην θεὸς αὐτῷ, ἔχων ὁμοδέμνιον Ἥρην,
Ζεὺς ἀμέτρως ἐράων παρθενικῶν λεχέων·

Ζεὺς ἠδ' ἄλλος ὅμιλος ἀπείριτος οὐρανιώνων,
Οἷά τε ὠκείνου φησὶ Μελητιάδης.
Ἀλλ' ἴτε, δεῦτε, ἅπαντες ἀολλέες (1) ἐσθλοὶ ἑταῖροι,
Τοῖα προσείπωμεν αὐτὸν ὁμοφρονέως·
Ἔρρε, κακὴ κεφαλὴ, δνοφερὸν δόμον Ἄϊδος εἴσω,
Ἔρρ' αὐτῇ σοφίῃ κάμμορε κ' ἀσεβίῃ,
Ἀμφὶ Πυριφλεγέθοντ', ὀλοὸν τ' ἀνὰ Τάρταρον εὐρὺν,
Ἧχι Χρυσίππους Σωκράτεάς τε ἴδοις,

A

I.

Multa quidem docuisti, quanta prisci viri dixerunt unquam extera sapientia inflati.
Sed tuus periit animus, cum amaram undam bibisti, infelix, impietatis fluctibus innatans.
Qui præclaram et eximiam laudem mittens Christianorum puris e balneis, infortunate,
Et ex venerando sacrificio magnoque, et sacrorum librorum inclytis prodigiis,
Græcorum vastam mortis abyssum cum noveras, feris præda factus es præcordia vorantibus, o Leo.
Quis de te multum dolens tuum casum non deflereret, aut quis te non deploraret talia contemplatus?
Non in petra fixisti tuos mortales pedes, in qua
B sola omnis qui graditur firmus est maxime;
Sed adorasti, insane, Deorum innumeram turbam, negator factus splendidæ Triadis.
Quamobrem te Christus robore immoderato nudavit, calce acerba os tuum implens,
Quo voluit modo; oportebat enim te talia sufferre, quæ in Deum magnum multa cavillatus eras.

II.

Audite, generationes hominum, Christi eximia plebs, qui vivitis ignari ejus apostasiæ;
Jupiter quidem fuit illi deus, habens conjugem Junonem, Jupiter qui immodice adamat virginales thoros;
Jupiter et alia turba innumera cœlicolum, sicut de illa loquitur Homerus.
C Sed ite, agite, omnes numerosi et probi sodales, talibus hunc alloquamur unanimi voce:
Abi, malum caput, tenebrosam in inferi domum, abi istius sapientiæ et impietatis particeps,
Circa Phlegethontem exosum, ad Tartarum latum, ubi Chrysippos Socratesque videas,

NOTÆ.

(1) A. videtur ἀωλέες.

Digitized by Google

Proclos et Platones, Aristoteles, Epicuros, Euclidesque amicos et Ptolemæastronomos,

Πρόκλους τ' ἠδὲ Πλάτωνας, Ἀριστοτέλεις, Ἐπικούρους,
Εὐκλείδας τε φίλους καὶ Πτολεμαστρονόμους,

Inter hos quoque sapientem, vereque aliorum reginam, Homeri musam, Hesiodos et Aratos.

Πὰρ δέ γε τοῖσι σοφὰν (2), ἐτεὸν βασιλεύτατον ἁλλων,
Μοῦσαν Ὁμηρείην, Ἡσιόδους τ' Ἀράτους τ'.

III.

Non mirum si te ignis æternus circumdederit una cum illustri isto cœtu;

Quibus tantum addictus oracula proferebas, et illorum arcanis fraudibus versabaris.

Hæc vero Constantinus, qui tuo Calliopes lacte bene nutritus est cecinit perite;

Ego, qui tuæ mentis mysteria scrutatus, tarde vix pravitatem latentem didici (3).

Γ'.

Οὐ νέμεσις σέο πῦρ αἰώνιον ἀμφιπολεύειν
Ἄμμιγα θαυμασίῃ τῇδε χοροστασίῃ,
Οὓς ἀπεθείαζες μέγ' ὑπερβολάδην ἀγαπάζων,
Καὶ φρονέων τ' αὐτῶν κρυπταδίαις ἀπάταις·
Ταῦτα δὲ Κωνσταγτῖνος, ὁ σῆς γάλα Καλλιοπίης
Καλὸν ἀμελξάμενος, ἦσεν ἐπισταμένως,
Ὅς ῥα τεῆς κραδίης μυστήρια λεπτολογήσας,
Ὀψὲ μόγις κακίην κευθομένην ἐδάην.

NOTÆ.

(2) C. videtur σοφᾶν.
(3) Vide Leonis Apologiam, in qua Constantini calumnias a se dimovet. (Infra col. 659.) EDIT.

Digitized by Google

LEONIS PHILOSOPHI

OPERUM PARS PRIMA.

—

OPERA THEOLOGICA.

—

HOMILIÆ ET PANEGYRICI.

—

ΛΟΓΟΣ Α'.

Εἰς τὴν ἐκ στειρωτικῶν λαγόνων ἀνθήσασαν σωτήριον ἀνθρώποις γονὴν, τὴν ἀειπάρθενον τοῦ Θεοῦ Μητέρα.

ORATIO I.

In humano generi salutarem prolem semper virginem, ac Dei Genitricem, ex sterilibus lumbis floris instar nasceniem (1).

(Combef., *Auctar.* col. 1606.)

Αὕτη ἡ ἡμέρα Κυρίου· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. Χρὴ γὰρ τοῦ βασιλείου ᾄσματος τῇ Βασιλίδι τὸν ἔπαινον προεισμιάσασθαι· οὐ διὰ τοῦτο μόνον ὅτι Βασιλὶς ἡ εὐφημουμένη, ἀλλ' ὅτι καὶ τῆς ἐκείνου προῆλθεν ὀσφύος· δι' ἕτερον δὲ, ὅτι καὶ τῆς προγονικῆς κατηφείας νῦν ἡμῖν τῆς παντελοῦς ἀπαλλαγῆς, ἐνέχυρον δίδοται, τῶν εὐδίνων κόλπων Ἰωακεὶμ καὶ Ἄννης, ὥσπερ ἐκ τινων προαχθὲν θησαυρῶν· κόλπων ἐκείνων, οἳ πρὶν μὲν τῆς ἀγονίας παρ' ὁμοφύλοις ἔφερον τὰ ὀνείδη· νῦν δ' εἰς τὴν οἰκουμένην τῆς εὐγονίας τὴν δόξαν ἐπλήθυναν· ἐξ ὧν τῆς ἐλευθερίας τὸν τόμον ὁ βασιλεὺς διατίθησιν· δι' οὗ τῆς πολυχρονίου δουλείας τὴν ἀπολύτρωσιν ἀποκηρύξει.

Nῦν προοίμια τῷ κόσμῳ ἐγνωρίσθη χαρᾶς· ἐφάνη γὰρ δι' ἧς ἀναιρεθήσεται ἡ ἀρά. Ἤδη τῶν πόνων καὶ τῶν μόχθων οἷς ἐκτρυχόμενοι τῇ ἀκάνθῃ διεταλαιπωροῦμεν, προεμηνύθη ἀνάπαυσις· παρεγένετο γὰρ ἐξ ἧς ὁ πάνσοφος γεωργὸς παρέσται ἡμῖν. Νῦν τοῦ μεγάλου μυστηρίου ἐγγίζει ἡ φανέρωσις, καὶ τῆς Θεοῦ πρὸς ἀνθρώπους συγκαταβάσεως ἀρχὴν ἡ οἰκονομία λαμβάνει. Τοῦ γὰρ ἀμήτορος πρὸ αἰώνων, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν ἀπάτορος Υἱοῦ ἡ ἀνανδρος ἐτέχθη μήτηρ· καὶ τοῦ τρέφοντος πᾶσαν πνοὴν, ἡ τροφὸς τιθηνεῖται· καὶ ὁ νυμφῶν τοῦ ἀγαπητοῦ καὶ Μονογενοῦς ἑτοιμάζεται. Ἄρτι διὰ σπλάγχνα ἐλέους ὁ φιλάνθρωπος τῆς οἰκείας χειρὸς τὸ πλάσμα μηκέτι φέρων ὁρᾷν τυραννούμενον, τὴν μήτραν ἣν ὑπερφυῶς οἰκήσει, ἐκ στείρας προάγει μήτρας. Ἔδει γὰρ θαῦμα θαύματος προτελεῖσθαι· τοῦ μείζονος

A *Hæc dies Domini; exsultemus et lætemur in ea* [1]. Operæ enim pretium est, ut a regali cantico, Reginæ laudem inchoemus : non eo duntaxat nomine quod Regina sit ea, quæ laudatur, verum etiam quod ex ejus lumbis prodierit : ad hæc vero, quod et probri illius a majoribus invecti, plenæ nunc liberationis pignus nobis detur, ex Joachim ac Annæ placidis sinibus, velut e thesauris quibusdam, productum : sinibus, inquam, prius quidem infecunditatis probra apud gentiles suos referentibus, quique nunc in orbem universum fecunditatis adauxerunt gloriam; ex quibus rex manumissionis tomum condit, ex quo liberationis a diuturna servitute sanctionem divulgaturus est.

B Nunc mundo innotuerunt gaudii exordia, quippe cum illa apparuerit, per quam maledictio est auferenda. Laborum jam ac molestiarum, quibus spina macerati miseri agebamus, præsignata est requies; siquidem illa advenit, ex qua sapientissimus ille agricola nobis adulturus est. Nunc prope est ut manifestetur magnum sacramentum, Deique in homines inclinationis dispensatio initium habet. Filii enim ante sæcula absque matre, diebusque novissimis sine patre geniti, viri nescia parens nata est; ejusque, qui omnem spiritum alit, nutrix lactatur; ac dilecti et Unigeniti paratur thalamus. Nunc clemens Deus propter suæ misericordiæ viscera, non ultra ferens figmentum videre tyrannica vi oppressum, vulvam, quam supra naturam sit inhabitaturus, ex sterili vulva producit. Oportebat

[1] Psal. xvii, 24.

NOTÆ.

(1) Nunc primum edo e codice eminentissimi cardinalis Mazarini, ex quo etiam sequens exscripta fuit, dignæ ambæ Leonis illa in Mariam pietate.

Digitized by Google

enim ut miraculum miraculo prius perageretur; majore ac naturæ totam vim superante, quod minus est; quodque licet non naturæ vim totam, at spei tamen rationem superet. Oportebat ut quæ novum sub sole partum editura esset, ipsa quoque non communi ederetur partu, ac qui totus ex carnis ac sanguinis voluntate foret; sed qui potioris aliquid virtutis haberet, quam consuetudine comparatum est.

A καὶ ὑπερφυοῦς, τὸ ἔλαττον· καὶ εἰ μὴ ὑπερφυὲς, ἀλλ' οὖν ὑπὲρ ἐλπίδα. Ἔδει τὴν μέλλουσαν τὴν καινὴν ὑπὸ τὸν ἥλιον λύειν ὠδῖνα, καὶ αὐτὴν μὴ κοινῶν ὠδίνων, μηδὲ τὸ σύμπαν σαρκὸς καὶ αἵματος εἶναι θελήματος· ἀλλ' ἔχειν τι κρεῖττονος ἢ κατὰ συνήθειαν ἐνεργείας.

Tarda itaque proles procedit, sine semine mater ex non genitalibus lumbis, quo parentes sterilitatis undique probris velut indagine cincti, ab iis angustiis, a carnali errore animum comprimentes, ad prolificum Patrem subveherent, ac inde fructus donum deducerent. Idcirco pungebantur sterilitatis aculeis, ut mente tota Deo accederent. Sic enim tristia comparata sunt, ut nedum Joachim ac Annam justosque similes ad divinam propinquitatem adigant, verum etiam eos qui resilire quærunt, ubi et illos comprehenderint, Deo propius adducant: ut e contra, dulcia ac diffundentia animum, nedum jam dissitos, sed et eos qui propiores erant ab eodem longius abigunt.

Προέρχεται τοίνυν ἡ ἄσπορος μήτηρ ἐξ ἀκάρπων λαγόνων ὀψίγονος, ἵνα ταῖς ὠείδεσι τῆς ἀτεκνίας οἱ γεννήτορες περιστοιχιζόμενοι, τῇ ἐκεῖθεν στενοχωρίᾳ τῆς σαρκίνης περιπλανήσεως τὸν νοῦν συστέλλαντες, πρὸς τὸν καρποδότην ἀναβιβάσωσιν· ἐκεῖθέν τε τοῦ καρποῦ τὸ δῶρον καταγάγωσιν. Διὰ τοῦτο ταῖς ἀκίσι τῆς ἀπαιδίας ἐνύττοντο, ἵνα ὅλῃ γνώμῃ Θεῷ πλησιάσωσιν· ὅτι πέφυκε τὰ λυπηρὰ οὐ μόνον τοὺς περὶ Ἰωακεὶμ καὶ Ἄνναν πρὸς θείαν φέρειν ἐγγύτητα, ἀλλὰ καὶ τοὺς ἀποπηδᾶν ἐθέλοντας, καὶ τούτους ἐπειδὰν περιλάβῃ, καὶ τούτους πλησίον ἄγειν Θεοῦ· ὥσπερ τὰ ἡδέα καὶ διαχέοντα ὡς ἐπιπλεῖστον οὐ μόνον διεστῶτας, ἀλλὰ καὶ ἤδη ἐγγὺς ὄντας, πόῤῥω ἐλαύνειν αὐτοῦ.

B

Enimvero Joachim et Anna sterilitatis opprobrio a conservis in terra degentibus appetiti, in cœlum ad Dominum ac naturæ Fictorem mente ascendunt; fore illum sperantes ægrorum medicum lumborum, qui solus, utpote creator, accurate sciret, cur ii tandiu infecunditatis morbo laborassent. Sive enim vulva expers esset virtutis prolificæ, ac velut emortua, inditurum eum sperabant vitalem virtutem, qui anima donasset animal e limo fictum: sive aliud quidpiam obsisteret partui, visum iri ipsum adjutorem, qui secundum, ac vicinum, simileque animal in eum condidisset finem, ut in adjutorium foret, ac velut ager quidam, generationis humanæ spicam produceret [1]. Videbat enim (2) quod erat futurum, cui etiam ea quæ non sunt, tanquam ea quæ sunt, præsentia sunt.

Ἀλλὰ γὰρ Ἰωακεὶμ καὶ Ἄννα τῆς ἀτεκνίας ὀνείδει ὑπὸ τῶν κάτω ὁμοδούλων βαλλόμενοι, ἄνω πρὸς τὸν Δεσπότην καὶ Πλάστην τῆς φύσεως ἀναθαίνουσιν· ἐκεῖνον ἰατρὸν τῶν νοσούντων κόλπων γενέσθαι ἐλπίσαντες, ὃς μόνος, οἷα δημιουργὸς, τὸ αἴτιον τῆς ἐπὶ τοσούτου καιροῦ ἀκαρπίας αὐτῶν σὺν ἀκριβείᾳ ἠπίστατο. Εἴτε γὰρ ἄμοιρος ἐνεργείας τεκνώσεως, καὶ οἷον ἄψυχος ἡ μήτρα, αὐτὸν ἤλπιζον ἐνθήσειν ζωτικὴν δύναμιν, τὸν ἐκ πηλοῦ ψυχώσαντα ζῶον· εἴτε τι ἄλλο τὰς ὠδῖνας ἐπέχει, ἐκεῖνον ὀφθῆναι βοηθὸν, τὸν ἐπὶ τοῦτο τὸ δεύτερον καὶ παρακλήσιον ζῶον ὑποστησάμενον, ἐφ' ᾧ εἶναι μὲν βοηθὸν, φύειν δ' ὥσπερ τινὰ χώραν καὶ τῆς ἀνθρωπίνης τὸν στάχυν γενέσεως. Ἑώρα γὰρ τὸ ἐσόμενον, ᾧ καὶ τὰ μὴ ὄντα ὡς ὄντα παρέστηκεν.

C

Cæterum cœlestis ille Pater, sacratissimæ puellæ sacros parentes in hunc modum quibus illi appetebantur opprobriis, ad se trahebat, longo temporis spatio ante excultos lumbos prolificos, jejuniis ac orationibus animum excolentes. Mihi porro dubium est, deceatne vulvam felici adeo honestatam prole sterilitatis nomine accusare, illosque dicere ineptos procreandæ proli, qui omnino adepturi essent ut partus omnes superarent. Quin illud dico, fuisse Annam aptam quæ pareret. Quomodo enim ex qua salus florere habebat, infecundis accensenda foret? Enimvero, bene quidem ac præclare ad fructus editionem comparata erat, at necdum advenerat hora, quam sapientissimus ille temporum definitor, ante omnia sæcula opportunam germinandæ proli constituerat. Cæterum habeat quisque ut libuerit; in-

Ἀλλὰ τοὺς μὲν τῆς ἱερωτάτης παιδὸς ἱεροὺς γονέας, οὕτως ἐφ' οἷς τὴν στεῖρωσιν ὠνειδίζοντο, πρὸς ἑαυτὸν ὁ οὐράνιος μεθεῖλκε Πατὴρ, ἐπὶ πλεῖστον χρόνον πρὸ τῆς γεωργίας τῶν τεκνοποιῶν κόλπων νηστείαις καὶ δεήσεσι τὴν ψυχὴν γεωργοῦντας. Ἐμοὶ δ' ἄπορον παρίσταται στειρώσεως οὕτως εὐτέκνου αἰτιᾶσθαι μήτραν, καὶ φάσκειν ἐκείνους οὐκ ἔχειν ἐπιτηδείως πρὸς γονὰς, οἳ πάντων ἔμελλον κρατεῖν τὸ γεννῶν. Ἀλλ' ἐκεῖνό φημι, ὅτιπερ ἐπιτήδειος ἦν Ἄννα πρὸς τόκον. Πῶς γὰρ ἦς ἔμελλεν ἡ σωτηρία ἀνθεῖν, ἀκάρποις συνηριθμεῖτο; Ἀλλ' εἶχε μὲν εὖ καὶ καλῶς εἰς καρποφορίαν, οὔπω δ' ἁρμόττουσα παρίστατο, ἣν ὁ πάνσοφος ὁροθέτης πρὸ πάντων αἰώνων εἰς τὸ τὴν βλάστην ἐνέγκαι διέταξεν. Πλὴν ὡς βούλεταί τις ἐχέτω· τέως δ' ἀμείνοσιν ἐλπίσιν ἀνέχοντες, ἴστωσιν ἐκείνην τὴν οὐρανομήκη κλίμακα, νηστείας;

[1] Gen. II, 18.

NOTÆ.

(2) *Videbat enim.* Tangit communem Græcorum opinionem inductarum nuptiarum occasione peccati, ut alioqui humanum genus non foret propagandum crasso illo ac velut brutali modo, quo modo propagatur.

Digitized by Google

καὶ προσευχῇ καὶ συντριμμοῦ καρδίας πεποιημένην, καὶ πρὸς τὸν Πατέρα τῶν οἰκτιρμῶν ἀνίασιν· καὶ τούτῳ μετὰ κραυγῆς ἰσχυρᾶς, καὶ πρὶν βοῆσαι εἰδότι, τῶν τε ὀνειδισμῶν τὰς βολὰς, καὶ τὸ ἄλγος καὶ τὴν ὀδύνην αὐτῶν ἐμφανίζουσι· καὶ λύειν μὲν τὴν ἐξ ἀνθρώπων χαλεπὴν νέμεσιν, λύειν δὲ καὶ τὴν, εἰ μηδεὶς ἄλλος ἐπέπληττεν, ἐπιφυομένην οἰκοθεν στενοχωρίαν ἠτοῦντο.

A terim illi meliori spei animum adhibentes, scalam illam in cœlum usque protensam erigunt, jejunio et oratione, ac contrito constantem corde, eaque ad misericordiarum Patrem ascendunt : atque ei clamore valido, qui ante etiam clamorem noscet, opprobria quibus appeterentur, ipsorumque animi angustiam atque dolorem, declarant : ac tum quidem hominum gravem illam indignationem, tum vero ipsum, tametsi nemo alius increparet, ab ipsismet nascentem angorem ac mœstitiam solvere flagitant.

Ἀκούει δ' ὁ τῶν θαυμασίων Θεὸς τῆς τῶν θεραπόντων δεήσεως, καὶ νεύει, καὶ δίδωσιν, ἀντὶ τῆς προσενέξεως τῶν ὀδυρμῶν καὶ ἐν εὐχῇ προσεδρίας, δῶρον ἐλπίδος κρεῖττον· δῶρον, οἷον οὐδεὶς ἐξ αἰῶνος ὤφθη λαβών. Δίδωσι γὰρ καρπὸν, ὃς οὐ μόνον τὴν φέρουσαν, ἀλλὰ καὶ τὴν ἀρχαίαν τοῦ γένους ἀπαλλάττει προμήτορα τῶν ὀνειδισμῶν. Καὶ φέρει χερσὶν ἡ Ἄννα παιδίον, ὃ τὸν δωρησάμενον τὸν ταύτης τόκον τῆς γεννησαμένης, οἷα δὴ τόκον οἰκεῖον ἐν χερσὶ βαστάσει. Παιδίον, ὃ *τὸν ἐπὶ πάντων Θεὸν* παιδοποιήσει. Φέρει βλαστὸν ἡ ἄκαρπος δόξασα τέως μήτρα τῆς Ἄννης, ἧς τοῦ ἄνθους ἡ εὐωδία μυρίσει τὰ πέρατα. Προέρχεται πυλῶν κεκλεισμένων ἀτεκνίᾳ, ἡ ἐσφραγισμένη πύλη τῇ παρθενίᾳ, καὶ μόνῳ τῷ βασιλεῖ πρὸς δίοδον τηρουμένη· ἧς προελθὼν ἀῤῥήτως καὶ ὑπερφυῶς, πρὸς ἑαυτὸν ἐπιστρέψει τοὺς κακῶς ἀπονεύσαντας.

Exaudit vero mirabilium Deus orationem servorum suorum, annuitque ac tribuit, pro oblatis gemitibus, ac ea, quam in oratione exhibuissent assiduitate, munus spem omnem vincens : munus quale nemo a sæculo visus est accepisse. Dat namque fructum, qui nedum ipsam quæ profert, verum etiam veterem illam generis primam parentem, ab opprobrio liberet : portatque manibus puellam Anna, quæ ipsum, qui parentibus donavit ut eam parerent, in manibus ipsa, utpote propriam prolem, portatura esset. Puellam, inquam, ipsum, *qui est super omnia, Deum*[a] genituram. Germen profert hactenus sterilis existimata Annæ vulva, cujus floris suave fragrans odor orbis terræ fines perflaturus est. Procedit clausis sterilitate portis obsignata illa virginitate porta, solique regi servata, ut per eam transeat[b]; ex qua ineffabili planeque mirabili ratione procedens, eos qui male aberraverant ac declinaverant, ad se convertet.

Πάλαι μὲν, Ἰωακεὶμ, ἐσκυθρώπαζες· οὐ μόνον οἰκοθεν τοῦτο ὑπομένων, οἷς τε τὴν Ἄνναν ἐώρας, γονῆς ἀποροῦσαν, καὶ διὰ τοῦτο στυγνὸν ὄμμα καὶ κατηφὲς φέρουσαν· οἷς τε οὐδ' αὐτὸς εἶχες ἐν χερσὶ φέρειν τῶν πόνων γεώργιον. Τί δ' ἂν οὕτω γλυκὺ θέαμα τοῖς κοινωνήσασι γάμων, ὡς ἡ ἐκ σπλάγχνων φυὴ γένοιτ; Ἀλλὰ καὶ ταῖς ἔξωθεν ἐπιπλήξεσι πλέον τῆς κατηφείας ἡ ὀμίχλη συνεῖχεν· δι' ὧν τὸ ἄσπερμον καὶ ἄτεκνον οἱ συμφυλέται ὠνείδιζον· ἀλλ' ὁρᾷς ἄρτι φαιδρῶς, φαιδρὰν τῶν σῶν σπερμάτων τὴν γεωργίαν, δι' ἧς ἡ κατήφειά πάντων ἠλάσθαι τῶν ὀφθαλμῶν. Ὁρᾷς ἄρτι τὴν Ἄνναν σεμνὴν, σεμνῶς ἐπὶ τῷ καρπῷ τῆς κοιλίας καλλωπιζομένην. Ἠσχύνου πάλαι ἀνάστομα τῶν ὁμογενῶν θρυλλουμένης τῆς ἀτεκνίας· ἀλλὰ νῦν ἁπάσης γλώσσαις τερπνὸν ὑπάρχεις ἄκουσμα καὶ διήγημα, περιλαλουμένης τῆς ἀτεκνίας. Καὶ πάλαι μὲν, ὡς εἰκὸς, καὶ αὐτὴν ὑπεστέλλου τὴν ἐξ οἰκίας πρόοδον, καὶ μόνον ὀφθῆναι διευλαβούμενος· νῦν δὲ σύμπας ὁ τῶν ἁγίων χορὸς, καὶ τῶν ἀγγέλων οἱ δῆμοι, ὡς πατρὶ Μητρὸς Θεοῦ συνευφρανόμενοί σοι περιχορεύουσιν. Ἐγένου τέκνου πατὴρ, ἡ τὸ χρέος ἀποδώσει τῷ προπάτορι, ὅπερ ἐκ πλευρᾶς εἰς διάπλασιν ἔχρησε τῇ προμήτορι. Πληρώσει τοῦτο ἄνευ σπορᾶς τῶν αὐτῆς αἱμάτων σάρκα δανείζουσα τῷ νέῳ Ἀδὰμ, καὶ τοῦ παλαιοῦ πλαστουργῷ. Ἐβράδυνας κληθῆναι πατήρ· ἀλλ' ἔχεις ἐν πατράσι τὰ πρεσβεῖα· ἀλλ' ἔτεκες μητέρα τοῦ πάντων Πατρός. Τίκτει καὶ Ἀβραὰμ

Olim quidem mœsto, Joachim, vultu eras : non id tantum a te ipso perpetiens, ac tum quia Annam prole destitutam, ideoque tetricoso ac depresso tristitia vultu videres; tum quia nec ipse posses laborum fructus in manibus ferre. Quid namque connubiali societate junctis ad spectaculum dulcius, quam ut enatum ex se videant germen? verum etiam ab extraneis increpantibus gravior mœstitiæ animi caligo occupabat, quod gentiles tui tanquam sterilem ac orbum prole probris appeterent : nunc enimvero lætis gaudiis, lætum tui seminis aspectas fructum, quo tristitia mœrorque ab omnium depulsus est oculis. Vides modo venerabilem Annam, sui fructu uteri præclare honestatam. Pudebat olim sterilitatis gentilium tuorum communi ore jactatæ; at nunc omnium ore dulcis exsistis auditio ac narratio, ipsa sterilitate ubique celebrata. Ac olim quidem, ut veri quis specie existimet, etiam domo procedere verebaris, metuens vel etiam videri; nunc autem universus sanctorum chorus, ac angelorum populi, tanquam Dei Matris parenti congratulantes, lætis circumcingunt choreis. Factus es filiæ pater, quæ primo parenti debitum redditura est; quod nimirum primæ commodavit parenti, ut illa ex ejus latere formaretur. Porro rem præstabit nullo semine ex suis sanguinibus novo Adæ fenerans carnem, ac quo antiquus ille conditus est. Tarde pater appellatus es; at primas honoris partes

[a] Rom. IX, 5. [b] Ezech. XLIV, 1.

Digitized by Google

habes inter patres : at universorum Patris genuisti matrem. Abraham quoque provecta jam ætate [5], contra spem hæredem gignit promissionum, ex quo velut stellæ, ac sicut arena maris augetur populus, magnaque parte terræ imperium protrahit; verum, quid hoc ad tuum partum? Eam enim peperisti, ex qua non solum populi immortalitatis partu augentur, aut terram possidendam accipiunt; sed qua cœli adeunt hæreditatem, effecti filii Altissimi.

Agedum vero, tu mihi Annam voca, priorumque, lamenta canticorum, quæ illa Deo solitaria canebat, velut lyram quamdam harmonia concinnam in fausti ominis laudationem convertentes, personanti mihi vestrum inclytum partum, auxilio adeste. Vestrum namque est, ut et condigni sermonis copiam faciatis, e quibus editum est sanctissimum germen. Agedum uteri fructum ostende, quæ abjeceris ignominiam veterem, quibus nunc in gloria gestis. Uteri infecunda tellus in fertilem agrum transiit. Tristitia tibi in gaudium cessit, quali a sæculo nullus exsultavit. Ex his probris indissolubilis gloriæ corona plexa fuit. Tardum fuit genitale germen, at naturæ totius germen gloria obscuravit. Defuit arvo flos, at universum orbem messe implevit. Lugebas orbitatis ergo lacessita opprobriis; at quæ unquam sic proba amplaque prole delectata fuit? Puellam nutris, cujus opera universus mundus lætitiæ divitias habebit. Matres universas supergressa es.

Parit quoque alia quædam Anna [6], cum et ipsa orationis munus filium accepisset; verum servum, verum ministrum, quanquam is prophetica unctione excelluit; tu vero cœli ac terræ Reginam paris: eam, inquam, quam canticis celebrat omnis natura particeps rationis: sola paris Dei Matrem; sola Dei avia exsistis. O beatum partum! O lumbos, quorum habitaculum elegit Deus, cum in nobis habitare voluisset! O conceptionem, partumque, ac infantem, quibus exitiosus peccati partus elanguit, salutisque multa proles innotuit. O infantem, per quam natura, quæ malitiæ ac vitiositatis turpitudine consenuerat, novum induta decorem præclare exornatur! O infantem, per quam vitæ pauperis pannos exuentes, primam illam stolam induimus divinæ dignitatis, per quam Deus nobis reconciliatus, in incomparabilem paterni amoris necessitudinem dissolvit inimicitias, quas ei facti hostes, constitueramus. Te namque Deus ac Pater Unigenito Sponsam elegit, proque futurarum arrhabone nuptiarum, ut cognato humano generi reconcilietur, concedit; neque solum inimicitias perimit, aut debiti tribuit remissionem: vel etiam, quod adversum nos ipsi scripsimus chirographum, disrumpit; verum etiam Unigeniti cohæredes facit; eumque ipsum bello nobis suppetias mittit, ut pro nobis pariter labores desudet, ac hostem ulciscatur.

Enimvero, pœnam nunc lue, o malitiæ sapiens artifex, dolo plenarum earum molitionum, quibus su-

[5] Gen. xviii, 11 seqq. [6] I Reg. i, 20.

A ὀψὲ τῆς ἡλικίας παρ' ἐλπίδα τὸν κληρονόμον τῶν ἐπαγγελιῶν· ἐξ οὗ ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς ἡ ἄμμος τῆς θαλάσσης πληθύνεται λαὸς, καὶ γῆς πολλοστοῦ κυριεύει μέρους· ἀλλὰ τί τοῦτο πρὸς τόκον τὸν σόν; Ἔτεκες γὰρ, ἐξ ἧς οὐ μόνον λαοὶ ὠδῖσιν ἀφθαρσίας πληθύνονται, οὐδὲ γῆς ἁπάσης κατάσχεσιν, ἀλλ' οὐρανοῦ κληρονομίαν λαμβάνουσιν, υἱοὶ Ὑψίστου γινόμενοι.

Ἄγε δή μοι κάλει τὴν Ἄνναν, καὶ τῶν πάλαι θρήνων τὰ ᾄσματα, ἃ κατὰ μόνας ἐᾴδεν Θεῷ, ὥσπερ τινὰ λύραν εὐάρμοστον ἀνακινοῦσαν εἰς εὐφημίαν μεταβαλόντες, περιηχοῦντί μοι τὴν ἀοίδιμον ὑμῶν λοχείαν, συνεφάπτεσθε. Ὑμέτερον γάρ ἐστιν εὐπορεῖν παρασκευάσαι καὶ λόγον ἄξιον, ὧν ἐμαιεύθη B τὸ πανάγιον γέννημα. Φέρε τῆς κοιλίας τὸν καρπὸν ἐπιδείκνυε, οἷς νῦν ἐπ' εὐδοξίᾳ κομᾷς, τὴν παλαιὰν ἀδοξίαν ἀποθεμένη. Μετέβαλεν εἰς εὐφορίαν τῆς νηδύος ἡ ἄφορος χώρα. Ἐστράφη σοι εἰς χαρὰν ἡ λύπη, οἵαν οὐδεὶς ἐξ αἰῶνος ἠγαλλιάσατο. Ἐπλάκη τῶν ὀνειδισμῶν ἐκείνων ἀδιάλυτος εὐφημία. Ὑψίγονος ἡ γονὴ, ἀλλ' ὑπερῆρεν πάσας φύσεως τὰς γονάς. Ὑστέρησεν εἰς ἄνθησιν ἡ ἄρουρα, ἀλλ' ἐπλήρωσε τῆς ἅλω τὴν οἰκουμένην. Ὠδύρους ἅπαις ὀνειδιζομένη· καὶ τίς οὕτω ἦσθη εὔπαις γεγενημένη; Τρέφεις παιδίον, δι' ἧς ὁ κόσμος πλουτήσει τὴν εὐφροσύνην. Παρῆλθες πάσας μητέρας.

Τίκτει καὶ ἄλλη τις Ἄννα, δῶρον εὐχῆς λαβοῦσα C τὸν τόκον καὶ αὕτη, ἀλλὰ δοῦλον, ἀλλὰ λειτουργόν· εἰ καὶ προφητικῷ διέπρεπεν χρίσματι· σὺ δὲ τίκτεις τὴν οὐρανοῦ καὶ γῆς Βασιλίδα· τὴν παρὰ πάσης λογικῆς φύσεως ὑμνουμένην· μόνη τίκτεις Θεοῦ Μητέρα· μόνη χρηματίζεις προμήτωρ Θεοῦ. Ὦ μακαρίων ὠδίνων! Ὦ λαγόνων, ὧν κατοικητήριον ἐν ἡμῖν σκηνῶσαι βουληθεὶς ὁ Θεὸς ἐξελέξατο! Ὦ σύλληψις καὶ τόκος καὶ βρέφος, δι' ὧν ὁ τῆς ἁμαρτίας ὀλέθριος ὠδὶς ἀπήμβλω, καὶ τῆς σωτηρίας ἡ πολυγονία ἐγνωρίσθη! Ὦ βρέφος, δι' ἧς ἡ καταγηράσασα τῷ σίσχει τῆς κακίας φύσις, καινὸν ἀλλαξαμένη κάλλος ἐξωραΐσατο. Ὦ βρέφος δι' ἧς τῆς πενιχρᾶς ζωῆς τὰ ῥάκκη ἀποδυσάμενοι, τὴν πρώτην στολὴν ἐκείνην τοῦ θείου ἀξιώματος ἐνεδυσάμεθα· δι' ἧς ἡμῖν κατD ηλλάγη Θεὸς, εἰς ἀνείκαστον διαλυθείσης στοργὴν, τῆς ἣν ἡμεῖς ἐκπολεμωθέντες αὐτῷ ἔχθραν συνεστησάμεθα. Ἐξελέξατο γάρ σε εἰς Νύμφην τῷ Μονογενεῖ ὁ Θεὸς καὶ Πατὴρ, καὶ δίδωσιν ἀντὶ μνήστρων τὴν πρὸς τὸ συγγενὲς καταλλαγήν· καὶ οὐκ ἀναιρεῖ μόνον τὴν ἔχθραν, οὐδὲ τὴν ἄφεσιν δίδωσι τοῦ ὀφλήματος, οὐδ' ἣν καθ' αὑτῶν ἐχειρογραφήσαμεν διασχίζει γραφήν· ἀλλὰ καὶ συγκληρονόμους τοῦ ἀγαπητοῦ ποιεῖται· καὶ τοῦτον εἰς τὸν καθ' ἡμῶν ἀποστέλλει πόλεμον, συνδιενεγκεῖν ἀνθ' ἡμῶν τοὺς πόνους, καὶ τὸν δυσμενῆ τιμωρήσασθαι.

Ἀλλὰ καθίστασο νῦν, σοφιστὰ τῆς κακίας, εἰς ποινὴν τῶν δολερῶν ἐκείνων σκευμάτων, οἷς τῇ ψιθύρῳ

Digitized by Google

γλώσσῃ τοὺς ἐμοὺς ἐξειργάσω προπάτορας· μᾶλλον A surrone lingua meos progenitores male habuisti: δὲ, δι' ὧν καθ' ὅλης τῆς φύσεως ἐτεχνάσω τὸν ὄλεθρον. Οὐ γὰρ ἔτι ἀλύπως ἔχων ἀπίοις, οὐδὲ ἐπὶ τῇ χλεύῃ σεμνυνόμενος. Ἤδη γάρ, ἤδη σοι ἐπὶ τὴν κακομήχανον κεφαλὴν, τὸ καθ' ἡμῶν ἐνσκήπτει κακοῦργον. Ἐγεννήθη τῇ Εὔᾳ παιδίον, δι' οὗ ἐκείνης ἀνακαλεῖται μὲν ἡ ἧττα, καὶ τὸ σκυθρωπὸν εἰς φαιδρότητα μεταχωρεῖ· σὲ δ' ἀπαράκλητος ἧττα περιστοιχιεῖ, καὶ βαθεῖα στυγνότης. Ἐγεωργήθη παράδεισος, ἐξ ἧς ἀναβλαστήσει φυτὸν ἀθάνατον, τὰς κῆρας τοῦ φυτοῦ διαλύον, οὗ τὴν γεῦσιν προεξένησας· καὶ τὸν ἐξ ἀπάτης παραδοθέντα θανάτῳ, πρὸς ἀθανασίαν ἀνακτώμενον. Κλοπῇ καὶ ψεύδει τὴν μητέρα κακοῖς περιέβαλες· ἐκδέχου μικρὸν ὅσον οὔπω τῆς σῆς κακομηχανίας τὰ ἐπίχειρα, ἃ σοι παραγενήσεται τοῦ τέκνου πρὸς τὸν πανάμωμον τόκον ἥκοντος. Ἄρτι θεούμενον δίψῃ τῷ ὄντι, ὃν πάλαι πλάνῳ θεώσεως ὑποσχέσει, θείας συνουσίας κατέστησας ὑπερόριον· καὶ τὸν ἐξ ἀρχῆς ἐντακέντα σοι φθόνον, τοῦ καθ' οὗ τοῦτον ὠδίνας, τῆς σῆς ἐπιβαίνοντος κεφαλῆς, ἕξεις ἐπιπλέον σε διεσθίοντα.

Deitatem mulierculæ suggessisti [7], atque a vita a tristitiis libera abstrahens, vitam importasti tristitiis plenam; nedum qua innumera alia mala humanam circumstant vitam, verum etiam quod illud ipsum quod in lætitiæ argumentum cedere oportebat, exeunte homine in lucis auras a tenebricosis viscerum sinibus, tristitiæ effeceris causam. Gravi namque illi adversum nos sententiæ partus in tristitiis adjunctus erat [8]. Nunc enimvero partu editur ac suscipitur proles, tristitiarum sententiam vincens, gaudiique pignora orbis terrarum finibus præbens. Fefellisti generis parentem, ac per feminam supplantasti, tuique consilii exitiosum sermonem in suam ipsorum perniciem suscipere persuasisti: at nobis nata est puella ex eodem quidem atque Eva figmento; quæ tamen Evæ emendatio fit ac causa ut ipse supplanteris, qua vivificum Dei Sermonem ineffabili ac majori cogitatu ratione susceptura est.

Ὑπέθου θέωσιν τῷ γυναίῳ, καὶ τῆς ἀλύπου ζωῆς ἀνασπάσας, λύπης ἀνάμεστον ζωὴν προξενεῖς· οὐ μόνον οἷς ἄλλαι μυρίαι κῆρες τὸν βίον περιστοιχίζουσιν· ἀλλὰ καὶ ἐξ ὧν ἐχρῆν ὑπόθεσιν εὐφροσύνης εἶναι ἀνθρώπου πρὸς φῶς ἐξιόντος τῶν σκοτεινῶν τῶν ἐγκάτων χωρίων, καὶ τοῦτο δὴ λύπης αἴτιον τεκτηνάμενος. Ἐν γὰρ λύπαις τίκτειν τῇ βαρείᾳ καθ' C ἡμῶν ἀποφάσει προσέκειτο. Ἀλλὰ νῦν τόκος ἐμαιεύθη τῆς λυπηρᾶς κρατῶν ἀποφάσεως, καὶ τὴν χαρμονὴν τοῖς πέρασι μνώμενος. Διέσφηλας τὸν γενάρχην σκελίσας γυναίῳ, καὶ τὸν φθοροποιὸν τῆς σῆς συμβουλῆς λόγον ἐπὶ κακῷ τῷ σφῶν ἔπεισας δέξασθαι· ἐτέχθη παιδίον ἡμῖν τῆς αὐτῆς μὲν τῇ Εὔᾳ πλάσεως, τοῦ σφάλματος δ' αὐτῆς ἡ ἀνόρθωσις, καὶ τῆς σῆς ἡ ἀφορμὴ πτερνίσεως, οἷς τὸν ζωοποιὸν τοῦ Θεοῦ Λόγον ἀῤῥήτως καὶ ὑπὲρ νοῦν ὑποδέξεται.

Ἄκουε, γηραιὲ προπάτορ, καὶ πρὸς ἀμείνονας ἐλπίδας μετάθου· οὐ γὰρ ἔτι ἀβοήθητος ἐν θλίψει καὶ στενοχωρίᾳ διαγενήσῃ· ἐπέστη γὰρ δι' ἧς ὁ κραταιὸς ἐν ἰσχύει βοηθὸν ἐξαπλώσει χεῖρα, καὶ τῆς ταλαιπωρίας ἐξαγάγοι. Οὐκέτι ἡ διὰ βρώσεως ἐπινεμομένη φθορὰ τὸ κατ' εἰκόνα τοῦ πλάστου πλάσμα λωβήσεται· ὁ γὰρ Δημιουργὸς οἰκείοις σπλάγχνοις ἑαυτὸν παρακαλέσας, τὸ ἅγιον αὐτοῦ ὑπεστήσατο σκήνωμα· καὶ μετὰ τῶν κατοικούντων ἐν φθορᾷ γνώμην τίθεται συναναστραφῆναι, ἵνα διαμείψῃ πρὸς ἀφθαρσίαν. Ἀλαλάξωμεν τῷ Θεῷ, ὅτι τῆς πολυχρονίου τυραννίδος ἡ βαρύτης ἀρχὴν λαμβάνει τοῦ ἐλαφρύνεσθαι· μᾶλλον δ' ὁ ἀποστάτης εἰς φυγὴν τὴν δίωξιν ἐναλλάξας, ἀναχωρεῖ τύραννος, ὀφθέντος τοῦ βασιλικοῦ σκήπτρου. Οὐκέτι χώραν ἐφόδου καθ' ἡμῶν

Audi, senex progenitor, inque spem meliorem transferaris: nec enim jam auxilio destitutus in afflictione ac angustia ages: quippe venit per quam fortis ille in virtute auxiliatricem explicans manum, a miseria educat ac liberet. Non ultra per escam depascens corruptio, quod ad fictoris imaginem figmentum conditum est, lædet. Conditor enim suis ipse visceribus provocatus, consilium init, decernitque cum corruptione versari, quo in incorruptionem commutet. Jubilemus Deo, quod diuturnæ tyrannidis grave onus leve fieri incipiat. Imo apostata tyrannus, pro eo ut persequatur, fugam iniens recedit, ubi regale conspexit sceptrum. Non amplius adversum nos invadendi locum inveniet; erigitur enim nobis cornu potentiæ de domo David [9]; cornu, in-

[7] Gen. III 5. [8] ibid. 16. [9] Luc. I, 69.

Digitized by Google

quam, in quo eorum cornu, qui hactenus in malitia dominati sunt, conterendum est.

Enimvero, mihi David opportunus venis : cane vero puellæ ex tuis lumbis genitæ : cane dulcisona tuæ sapientiæ cantica, *sanctificationis arcam* [10] suaviter modulans; gloriosam illam *in fimbris aureis* [11]; *montem in quo beneplacitum est inhabitare in eo* [12], portanti manu universos fines terræ. Age autem, nunc quoque salta coram divina arca, saltus utique ab omni liberos reprehensione. Brevi quidem post, ingredientem in Sancta, pompa deduces, jucundam illam juvencularum congregans choream; hactenus autem, tuo ipsius saltu, honora visam illam. Nemo enim est, qui hoc nomine reprehendere præsumat: nemo instar filiæ Saulis sinistra voluntate immittet linguam [13]: quin universos res delectabit, tum quod mysticam Dei arcam honorari videant, tum quod tibi, ob ejus tecum necessitudinem, pari exsultatione congaudeant. En tibi et finis eorum advenit, quæ jurejurando promissa sunt: qui namque de fructu ventris in sæculum super regni solium sessurus est, e virginali jam solio assurgit [14].

At tu, Virgo ac Mater, quæ hæc plurimum distantia, unita in te ostendisti [15]; tu, inquam, contra quidem spem nata, quæque altiori supra rationem partu prolem edideris, ne Filium ac Deum placare desieris, pro hæreditate quam ei Pater dedit; cui etiam nos pastores præfecit, ut ab omnibus rapacium bestiarum insidiis illæsos custodiat, tum quotquot obscurum, tum quotquot apertum, ac quod oculis ipsis videatur, periculum afferunt: nutriatque ac educet, nunc quidem in pietatis vivificis mansionibus: ubi autem hinc migrare oportuerit, accumbere faciat in salutis atriis atque stabulis, ubi nullus timor, nulla est turbatio, nulla insidiarum sollicitudo: sed omnis remissio, tranquillitasque, atque exsultatio; eo quod ipsius simus populus, solique ei gloriam ac adorationem tribuamus, nunc et in sæcula sæculorum. Amen.

ORATIO II.

In sanctam prolem Dei Matrem semper virginem ex sterilibus lumbis in Sancta adductam atque oblatam.

(COMBEFIS. l. c. p. 1619.)

Quænam ista quæ exoritur velut lilium [16] inter medias humanæ confusionis in vitiositate spinas? Quæ novæ istæ ac insolitæ primitiæ? Non enim consuetæ, sed quæ præclaræ admodum, summæque novæ videantur, atque in novum maxime finem templo consecrentur. Quænam ista in Regis palatium cum gloria intrans? Quænam vera juvencularum chorea, quarum honeste admodum circumstrepente choro, tanquam decoro amictu sponsa, læta

εὑρήσει· ἐγείρεται γὰρ ἡμῖν ἐξ οἴκου Δαβὶδ κέρας δυνάμεως· κέρας ἐν ᾧ συντριβήσεται τῶν μέχρι νῦν ἐπὶ κακίᾳ δυναστευσάντων τὸ κέρας.

Ἀλλά μοι Δαβὶδ εἰς καιρὸν ἥκεις· καὶ ᾄδε τῇ ἐξ ὀσφύος ἀποκυηθείσῃ θυγατρί· ᾄδε τῆς σῆς σοφίας τὰ ἡδύφθογγα ᾄσματα, τὴν κιβωτὸν ἀναμέλπων τοῦ ἁγιάσματος· τὴν δεδοξασμένην τοῖς χρυσοῖς κροσσωτοῖς· τὸ ὄρος ὃ εὐδόκησε κατοικεῖν ἐν αὐτῷ, ὁ φέρων τῇ χειρὶ τὰ τῆς γῆς πέρατα. Ἄγε δὴ καὶ νῦν σκίρτησον ἔμπροσθεν τῆς θείας κιβωτοῦ, σκίρτημα μώμων ἐλεύθερον. Μικρὸν μὲν οὖν ὕστερον εἰς τὰ Ἅγια εἰσιούσης προπομπεύσεις, τὴν τερπνὴν ἐκείνην τῶν νεανίδων συνιστῶν χορείαν· πέως δὲ νῦν τῷ καθ' αὐτὸν ἅλματι, τίμησον ὀφθεῖσαν αὐτήν. Οὐ γάρ ἐστιν ὁ ἐπὶ τοῦτο θρασυνθείη μωμήσασθαι· οὐδεὶς κατὰ τὸ Σαοὺλ θυγάτριον γλῶσσαν ἐπαφήσει γνώμῃ οὐκ ὀρθῇ κινουμένην· ἀλλ' ἡσθήσονται· τοῦτο μὲν τὴν μυστικὴν τοῦ Θεοῦ κιβωτὸν τιμωμένην ὁρῶντες· τοῦτο δὲ καὶ σοὶ διὰ τὴν πρὸς αὐτὴν οἰκειότητα συναγαλλόμενοι. Ἴδε σοι καὶ τὸ πέρας τῶν ὁμωμοσμένων παρέστηκεν· ἐκ καρποῦ γὰρ τῆς κοιλίας ὁ μέλλων εἰς τὸν αἰῶνα καθίσειν ἐπὶ τὸν θρόνον τῆς βασιλείας, ἤδη τοῦ παρθενικοῦ θρόνου ἀνίσταται.

Ἀλλ', ὦ Παρθένε καὶ Μήτηρ, ἡ τὰ πολὺ διεστῶτα ταῦτα, ἡνωμένα ἐπὶ σοὶ δείξασα· ἡ παρ' ἐλπίδας μὲν τεχθεῖσα, ὑπὲρ λόγον δὲ τεκοῦσα, τὸν Υἱὸν καὶ Θεὸν ἱλεουμένη μὴ διαλίπῃς, ὑπὲρ ἧς ἔδωκεν ὁ Πατὴρ αὐτῷ κληρονομίας· ἧς καὶ ἡμῖν τὴν ποιμαντικὴν ἐπιστασίαν ἐπέτρεψεν· φυλάττεσθαι μὲν κρείττους ἐπιβουλῆς τῶν ἁρπάγων θηρίων, ὅσοι τε ἀφανῆ, καὶ ὅσοι ὁρώμενον φέρουσι κίνδυνον· ἄγειν δὲ καὶ ἐκτρέφειν νῦν μὲν ἐπὶ τὰς ζωηφόρους τῆς εὐσεβείας μονάς· ἐπειδὰν δ' ἐκεῖθεν μεταφοιτῆσαι δέοι, εἰς τὰς σωτηρίους ἐπαύλεις διαναπαῦσαι· οὗ φόβος οὐδείς, οὐδὲ τάραχος, οὐδ' ἐπιβουλῆς μέριμνα· πᾶσα δ' ἄνεσις καὶ ἀταραξία καὶ ἀγαλλίασις· ὅτι αὐτοῦ ἐσμεν λαός, καὶ αὐτῷ μόνῳ τὴν δόξαν καὶ τὴν προσκύνησιν φέρομεν· νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Β'.

Εἰς τὴν ἐκ στειρωτικῶν λαγόνων προσαγομένην εἰς τὰ Ἅγια ἁγίων γονὴν, τὴν ἀειπάρθενον τοῦ Θεοῦ Μητέρα.

Τίς αὕτη ἡ ἀνατέλλουσα ὡς κρίνον ἐν μέσῳ τῶν ἀκανθῶν τῆς ἀνθρωπίνης ἐν κακίᾳ συγχύσεως; Τίς αὕτη ἡ ξενίζουσα ἀπαρχή; Οὐ γὰρ συνήθης, ἀλλὰ καλλίστων ἐοικυῖα καὶ καινοτάτων, ἐπὶ καινοτάτοις τῷ ἱερῷ ἀφορίζεται. Τίς ἡ μετὰ δόξης πρὸς τὸ τοῦ Βασιλέως ἀνάκτορον εἰσελαύνουσα; Τίς δ' ἡ τῶν νεανίδων χορεία, αἷς μάλα σεμνῶς περιηχουμένη, οἷα νύμφη εὐπρεπῶς ἐστολισμένη πρὸς τὸν νυμφῶνα ἐν φαιδρότητι παραγίνεται; Τίς αὕτη ἧς ἐν ταπεινώσει

[10] Psal. CXXXI, 8. [11] Psal. XLIV, 14. [12] Psal. LXXVII, 17. [13] II Reg. VI, 16. [14] Psal. CXXXI, 11. [15] Psal. II, 8. [16] Cant II, 2.

Digitized by Google

τ᾽; ἡμετέρας ἐσχατιᾶς ὡσφράνθη τὸ ἱμάτιον τῆς εὐ- A in thalamum venit? Quænam ista, cujus in humi-
ωδίας τῶν ἀρετῶν τῆς στολῆς, ὁ ἀπείρῳ ὕψει ὑπερ- litate infimæ nostræ abjectionis, suave fragrantis
αναβεβηκώς; Τίς αὕτη ἡ ἀληθῶς τῶν τιμιωτάτων virtutum stolæ indumentum odoratus est, qui
ἀπαρχή; Ἄρτι γὰρ ἡ διὰ κατάραν ἀκανθοφόρος, immensa celsitate universis eminet? Quænam hæ
πρὸς τὸ εὔφορον μεταβαλοῦσα, καὶ καρπὸν ἐνεγ- vere pretiosissimarum rerum primitiæ? Jam enim
κοῦσα, οὐ κατὰ τὴν συνήθη πικρίαν, ἀλλὰ γλυκασμὸν quæ propter diras spinarum ferax erat, in frugum
εὐλογίας ἐμφαίνοντα, ὡς ἔντιμον ἀπαρχὴν εὐχαρι- feracem conversa, fructum editum, non qui pro
στοῦσα τῷ καρποδότῃ φέρει. Αὕτη ἀληθῶς ἡ νυμ- more acerbum aliquid, sed qui benedictionis dul-
φικὴν καταπλουτοῦσα εὐπρέπειαν καὶ πρὸς Νύμφην corem exhibeat, ut pretiosa primitiarum munera,
τοῦ Μονογενοῦς ἐξειλεγμένη. Διὰ τοῦτο καὶ πρὸς τὸν gratiarum actionis monumento, frugum datori
θεῖον νυμφῶνα μετὰ Θειότητος ἐνδημεῖ· ἡ δὲ καλὴ præsentat. Hæc vere Sponsa decore uberi prædita,
τῶν νεανίδων χορεία· τοῦτο μὲν, προπομπεύει τι- inque Unigeniti Sponsam electa. Idcirco etiam in
μῶσα· τοῦτο δὲ οἷα παρθένοι τῇ Παρθένῳ συν- divino thalamo cum Deitate moratur: præclara
ἡδονται. autem juvencularum chorea, qua pompa deducens
honorat; qua tanquam virgines, Virgini congaudent.

Τί δὲ ἡμεῖς; Ἆρ᾽ οὖν μόναις παρήσομεν ταῖς κα- B Quid nos vero? Solasne ergo præclaras juven-
λαῖς νεάνισι τῆς οὕτω θείας κατατρυφᾶν ἡδονῆς; culas divina adeo deliciari voluptate sinemus? ac
οὐδὲ ἔξον ἡμῖν συμμετασχεῖν τῆς χορείας, οὐδὲ ἀπο- cum liceat choreæ participes esse, ne curabimus
λαύειν τῆς εὐφροσύνης; Ἢ συνεπιληψόμεθα καὶ quidem lætitia perfrui? An conjunctis studiis lau-
συνδιαπλέξομεν τὴν εὐφημίαν, καὶ τῆς ἱερᾶς πορείας dationem pariter contexemus, ac sacri itineris
συμμετασχήσομεν, ἐκείνην τε οἷς λειτουργοῦμεν accedemus socii, tum illam quibus obsequimur,
τιμῶντες, καὶ ἡμῖν αὐτοῖς χαριούμενοι; Μάλιστα μὲν honorantes, tum ipsi nobis indulgentes? Sane
γὰρ ὅσιον τῇ Παρθένῳ τὰ εἰς τιμὴν συντελεῖν· εἰ δ᾽ quidem perquam justum sanctumque, ut quæ sunt
ἄρα τι καὶ ἡμῖν μετέσται δόξης οἷς ἐκείνη δοξάζεται, ad honorem, Virgini persolvamus: quin si quid
καὶ τοῦτο δὲ σκοποῦντας· συναπαρτίζειν τὴν χορείαν etiam nobis, quibus illa laudatur, gloriæ accedat,
καὶ τὸν ἔπαινον, εὔλογον. Πάντως δὲ οὐκ ἀκερδὴς id quoque spectantes pariter choream explere ac
ἡμῖν ἔσται ἡ ἐπιχείρησις· ἀλλ᾽ οἷς ταύτῃ δόξης εὐ- laudem, id vero rationi consentaneum est. Haud
πορήσει, καὶ πρὸς ἡμᾶς τὰ ἐκεῖθεν σεμνὰ διακομι- plane conatus cedet inutilis: imo, qua commode
σθήσεται. Οἷς αὕτη ὡς πολύτιμον δῶρον ἐκλέγεται, eam laudabit, ad nos inde præmia referet. Quibus
τῆς ἐπ᾽ αὐτῇ κερδανοῦμεν φιλοτιμίας. Ἀλλὰ ποῦ μοι C illa ut maximi pretii donum eligitur, ambitiosi in
ὧν τὸ πολύτιμον εὑρέθη δῶρον; Ποῦ δὲ, ὧν ἡ με- eam cultus nostri lucra consequemur. Enimvero
γάλη αὕτη εὐκληρία; Καλῶς γὰρ ἔχει πρώτους ἐκεί- ubinam quorum donum hoc pretiosissimum inven-
νοις παριτυχόντας, οὕτω τῇ θυγατρὶ συνευφραίνε- tum est? Ubinam vero quorum magna hæc excel-
σθαι. Ἅμα δὲ καὶ παρ᾽ αὐτῶν εἰκὸς ἐκμαθεῖν τῆς lentia? Præclare namque habuerit, ut primum eos
χαρμονῆς τὴν ὑπόθεσιν. allocuti, sic filiæ collætemur. Quin et ab eis operæ
pretium gaudii causam ediscamus.

Φέρε δὴ, οἱ τὴν καλὴν ὠδῖνα ταύτην λυσάμενοι, οἵ Agite ergo, quicunque tandem hujusce præclaræ
τινές ποτέ ἐστε, κοινωνοὺς ἡμᾶς τῆς εὐφροσύνης καὶ prolis parentes estis, ejus nos lætitiæ ac choreæ, quæ
τῆς ἐπὶ τῷ θυγατρίῳ χοροστασίας ἄγοιτε. Τί δέ; Τῶν in filia agitur, socios adhibere. Quid vero? Pro
ὠδίνων εὐχαριστήσοντες ἅπιτε· ταῦτα δὴ τὰ συνήθη, felici partu gratias habituri pergitis; quæ nimirum
καὶ τὴν θυγατέρα ταῖς ἱεραῖς τελεταῖς οἷα δὴ σφρα- mos habet præstituri, sacrisque initiationibus
γῖσιν ἐπισημαινούμενοι· ἧς τὴν βλάστην εὐχαῖς tanquam signaculis filiam obsignaturi; ut cujus
ἐγεωργήσατε, ταύτης τὴν αὔξησιν καὶ τελείωσιν germen precibus excoluistis, eam precibus augen-
ἐκείναις καταπιστεύοντες· ἢ δι᾽ ὧν αὐτοὶ τὸ εἶναι D dam ac consummandam credatis: aut quibus com-
πατέρες ἐκτήσασθε, τὸν δεδωκότα ὡς δυνατὸν ἀμυνό- parastis ut parentes essetis, iis pro virili beneficium
μενοι, τῷ ἐκείνου οἴκῳ τῶν παρ᾽ ὑμῖν τιμίων εἰς datori, pensantes, ejus domui pretiosa vestra, qui-
κτῆσιν[a] προσάγετε· ἢ μεγαλοψύχως τὸν εὐγενῆ τό- bus exsolvatur debitum, offertis: vel magnifico
κον ἀφιεροῦτε, ὅλον ὑμῶν τῷ καρποδότῃ χαριζόμενοι pectore ingenuam consecratis prolem, totum quod
τὸ γεώργιον. Τοῦτο δὲ ἄρα δίδωσι κατανοεῖν ἡ τῶν vestro agro succrevit frugum, frugum datori præ-
παθόντων προαίρεσις. Ἔοικε δὲ οὖν μεγάλα τινὰ ἡ bentes. Hoc enimvero intelligendum suggerit, eo-
προσίνεξις πραγματεύεσθαι· καὶ τὴν περιεσομένην rum voluntas qui sic affecti fuerunt. Porro visa est
ἐκ ταύτης φαιδρότητα τὰ νῦν μηνύει γινόμενα. magna quædam negotiari ac præstare oblatio;
Ἀλλὰ γὰρ Ἰωακεὶμ καὶ Ἄννα, ποῦ τὴν θαυμαστὴν futuramque ex illa lætitiam, quæ nunc geruntur,
εὐκληρίαν μέχρι τοῦ νῦν κατεκρύπτετε; Ποῦ τὴν significant. Verum vos Joachim et Anna, ubi hac-
θείαν ὠδῖνα ἐπισχόντες ἐλανθάνετε; Πῶς δ᾽ οὕτως tenus mirabilem felicitatem abscondistis? Ubi
σκυθρωπῶν ἐκ κόλπων ἡ ἀμύθητος φαιδρότης ἐξ- divinum continentes partum delituistis? Qua autem

VARIÆ LECTIONES.

[a] Leg. ἔκτισιν.

Digitized by Google

ratione ex tristi adeo sinu cogitatu major lætitia eluxit ? Quomodo sic et vester sterilis ager, frugumque divitias omnes, dando fructum superavit ? Enimvero quid hæc curiosius inquiro, cum pariter gaudere atque lætari oporteat ?

Enimvero cujus gratia filiam supplicatione deducitis (3), hoc tantum honorantes oblationem ? An non liquido, quia, licet a vobis offerri videatur, velut tamen communis pro universis oblata propitiatio, communi etiam supplicatione offertur ? Quamquam profertur de vestro penu, ad Numen tamen omnibus placandum tribuitur. O doni vim ! O donum, quo Deus donari volens, iramque exstinguere, quam in nos ipsi accenderamus, de vestro sinu, velut thalamo quodam auro prædivite, produxit ; donum, quod fictor accipiens, figmenti donabit instaurationem ; donum, per quod consolationem, qua se nos consolatum sua ipse misericordia provocavit, in opus efferet. Sane quidem Deus, quem condidisset hominem, dæmoniaca malignitate male affici videns, quanquam consequens erat ut in malitia contereretur : quid enim aliud lucri reportare debebat, qui spreto præcepto Dominico, dæmonis consilio adhæsisset ? haud tamen in malis videre sustinuit, quem creat hominem ut fruatur bonis : quin init consilium summe bonus ille, ipsum ulciscendi. Cæterum cum illud Domini tum sapientiæ, tum bonitatis esset, ut nedum gratis suo nos dignaretur auxilio, verum etiam ut quibus misericordiam præstaret, occasionem præberet, ut ne mera gratia auxilium collatum videretur ; sed posset humanum genus ipsum a se etiam aliquid conferre ; cumque nihilominus deesset positis in terra, quo celsitate omni majorem acciperent : hoc ipsum tribuit ipse, ut non solum accensa in nos ira solveretur, cujus merito rei tenebamur, qua nullo egentem donare videremur, verum etiam ipse sese impensioris amoris exsuperantia donaret : simile quid præstans, qui eximio quodam amore in humanum genus habet, siquidem sic loqui liceat, ea comparanti, quæ majora sunt comparatione ; atque ii, qui et ipsi excellentia amoris, ut amicis deesse contingat quibus laute excipiant, a se ipsi in postcessum opportuna dependunt (4) ; ut et ipsi

ἔλαμψεν ; Πῶς οὕτω καὶ ἄκαρπος ἡ ὑμετέρα χώρα, καὶ τῷ δοῦναι καρπὸν, πάντα πλοῦτον καρποῦ ὑπερῆλασεν ; Ἀλλὰ τί ταῦτα, δέον συγχαίρειν καὶ συμφαιδρύνεσθαι, πολυπραγμονῶ ;

Πλὴν τί λιτανεύετε τὸ θυγάτριον, τοῦτο μόνον τιμῶντες τὴν προσενεξιν ; Ἢ ὅλον ἐκεῖνο · ὅτιπερ εἰ καὶ παρ' ὑμῶν δοκεῖ προσηνέχθαι, ἀλλ' οὖν κοινὸν ὑπὲρ πάντων ἐξίλασμα προσφερόμενον, κοινῇ καὶ τῇ λιτανείᾳ προσφέρεται. Εἰ καὶ ταμείων ὑμετέρων προέρχεται, ἀλλ' οὖν ὑπὲρ τῆς πάντων εὐμενείας χαρίζεται. Ὦ δώρου ἰσχύος ! Ὦ δώρου, ᾧ δωροδοκηθῆναι Θεὸς βουληθεὶς, σβέσαι τε τὸν παροργισμὸν ὃν ἐξεκαύσαμεν καθ' ἡμῶν, οἷόν τινων πολυχρύσων θαλάμων τῶν ὑμετέρων κάλπιν προήγαγεν · δῶρον ὃ λαβὼν ὁ πλάστης, δωρήσεται τὴν ἀνάπλασιν · δῶρον δι' οὗ τὴν παράκλησιν ἣν ὑπὸ τῆς οἰκείας εὐσπλαγχνίας ἑαυτὸν παρεκάλεσεν, εἰς ἔργον ἐξοίσει. Πάλαι μὲν οὖν Θεὸς, ὃν ἐδημιούργησεν ἄνθρωπον ὁρῶν δαιμονίων σκαιότητι κακούμενον, εἰ καὶ ἀκόλουθον ἦν ἐν κακίᾳ κατατρίβεσθαι · τί γὰρ ἐχρῆν ἄλλο κερδάναι τὸν ἀλογίσαντα μὲν Δεσποτικῆς ἐντολῆς, δαιμονίων δὲ προσθέμενον συμβουλῇ ; ὅμως ὁρᾷν οὐκ ἔφερεν ἐν κακοῖς, ὃν ἐφ' ᾧ ἀγαθῶν ἀπολαύοι δημιουργεῖ · ἀλλὰ βουλὴν ἐκαμύνειν ποιεῖται ὁ ὑπεράγαθος. Ἐπεὶ δὲ καὶ τοῦτο τῆς Δεσποτικῆς ἦν καὶ σοφίας καὶ ἀγαθότητος, μὴ μόνον προῖκα τῆς παρ' αὐτοῦ βοηθείας ἐθέλειν ἀξιοῦν · ἀλλὰ καὶ τοῖς οἰκτειρομένοις ἀφορμὴν παρασχεῖν, τοῦ μὴ δοκεῖν ἐν χαρίτων εἶναι μοίρᾳ τὴν βοήθειαν, ἀλλ' ἔχειν τι καὶ παρ' αὐτῶν εἰς τοῦτο συντελεῖν · ἠπόρουν δὲ ἄρα οἰκοθεν, ᾧ τὸν ὑπεράνω παντὸς ὑψώματος δεξιώσονται, δίδωσι καὶ τοῦτο αὐτός · ἵνα μὴ μόνον ἡ πρὸς ἡμᾶς ὀργὴ ᾗ δικαίως ἦμεν ὑπεύθυνοι λύοιτο ἐν τῷ ἀπροσδεῆ δωροδοκεῖσθαι δοκεῖν, ἀλλὰ καὶ αὐτὴς ἑαυτὸν δι' ὑπερβολὴν φιλτρου δωροδοκοίη · ὁμοιόν τι ποιῶν ὁ διαφερόντως τοῦ ἀνθρωπίνου γένους ἐραστὴς, εἰ δεῖ τοῦτο εἰπεῖν εἰκάζοντας τὰ ἀνόμοια, τοῖς δι' ὑπερβολὴν ἔρωτος ὁπόταν ἀπορεῖν ᾗ τοῖς φιλουμένοις πρὸς δεξίωσιν, οἰκοθεν τὰ ἐπιτήδεια προσκαταβάλλουσιν [b] · ἵνα αὐτοί τε δεξιῶσθαι δοκῶσαν, καὶ τοῖς ἐρωμένοις ὡς παρ' αὐτῶν τι διδοῦσι σεμνύνεσθαι περιῇ. Τοιοῦτό τι ὁ φιλάνθρωπος πραγματεύεται, καὶ δίδωσι τὸ μὲν φαινόμενον Ἰωακεὶμ καὶ Ἄννῃ τὴν παῖδα, λαμβάνει δὲ ἡ τῶν ἀν-

VARIÆ LECTIONES.

[b] *Isc.* προκαταβαλ.

NOTÆ.

(3) *Supplicatione deducitis*... λιτανεύετε. In sequentibus accipit eam vocem pro deprecatione quæ ipsi Mariæ fieret, aptans proposito illud psal. XLIV : *Vultum tuum deprecabuntur omnes divites plebis.* Hic autem nihil aliud innuit quam virginum illam, deducentium Virginem accensis facibus, sacram pompam, qua una honestarunt Mariæ parentes filiæ oblationem. Sic enim Jacobi liber, cui Græci omnes laudatores Mariæ in istis nituntur : Καὶ εἶπεν Ἰωακείμ· Καλέσατε τὰς θυγατέρας τῶν Ἑβραίων τὰς ἀμιάντους, καὶ λαβέτωσαν ἀνὰ λαμπάδα, καὶ ἔστωσαν καιόμεναι, ἵνα μὴ στραφῇ ἡ παῖς εἰς τὰ ὀπίσω, καὶ αἰχμαλωτισθῇ ἡ καρδία αὐτῆς ἐκ ναοῦ Κυρίου. Καὶ ἐποίησαν οὕτως, ἕως ἂν ἀνέβη ἐν τῷ ναῷ Κυρίου. *Dixit autem Joachim : Convocate filias Hebræorum, quæ sint incontaminatæ, sumantque singulas accensas faces, ac maneant accensæ, ut ne puella retro convertatur, ejusque animus a Domini templo captivus abducatur : sicque fecerunt, donec ascendisset in templum Domini.* Sic ergo velut commune anathema oblata est, non ut parentum singulariter munus ; quod auctor urget ac colligit.

(4) *In postcessum dependunt.* Προσκαταβάλλουσι. Publicani ac communium vectigalium redemptores duo tempora habebant constituta, quibus solverent : unum statim factis redempturis, quod προκαταβολὴ dicebatur ; alterum, cum pensionis mercedumque reliqua pars jam in debitum pendebatur, quod dicebatur προσκαταβολή. Velit ergo Leo si-

Digitized by Google

θρώπων φύσις, ἵν' ἔχοιμεν Θεῷ βουληθέντι λαβεῖν ἐξ ἡμῶν, μὴ ἀπόρως πρὸς δωρεάν.

A laute excipi videantur, habeantque, quos amore prosequuntur, quo glorientur, tanquam aliquid ex propriis dederint. Ejusmodi aliquid molitur benignus ille ac clemens, videturque puellam dare Joachim ac Annæ ; at accipit genus ipsum humanum, ut non desit, quod Deo volenti a nobis accipere, demus munus.

Ἀλλ' ὦ τὴν πλουσίαν ταύτην δωρεὰν διαπορθμεύσαντες πρὸς ἡμᾶς, οἱ τῷ πρώτως καὶ λαβεῖν καὶ δοῦναι πάντων εὐπορώτεροι γεγενημένοι ! Ὦ ταμιείων ὀλβίων ἐξ ὧν προελήλυθεν ! Ὦ μακαρίων ὠδίνων ! Ὦ λοχείας ὀψιτόκου, πᾶσαν ἀποκρυψαμένης εὐπαιδίαν ! Ὦ παιδὸς, ἡ τὴν μητέρα τῆς πολυχρονίου ὀφειλῆς ἀπολύσει, καὶ τοῦ γονέως τὴν γύμνωσιν περιστελεῖ, ἐν τῷ δανείζειν τῆς σαρκὸς τὸν χιτῶνα τῷ πλαστουργῷ· ἧς ἐν τῷ λαμβάνειν πῆξιν τῷ νέῳ Ἀδὰμ ὁ παλαιὸς, τὸ ἐκ τῆς πλευρᾶς ἀπολάβοι χρέος ! Ὦ κόρης, ἧς ὁ ὑπεράνω τῶν οὐρανῶν ὀφθήσεται ἐραστής ! Ὦ δι' ἧς ὁμιλήσει Θεὸς φύσει τῇ χοϊκῇ ! Ὦ δι' ἧς ἡμῖν περιποιηθήσεται τὸ ἀξίωμα, ὅπερ οὐκ ἐν καιρῷ λαμβάνειν βουληθέντες, τῶν προσόντων ἐζημιώθημεν ! Ἀλλ' ἐπίωμεν τῷ παλαιῷ καὶ ἀψύχῳ ναῷ, τὸν νέον καὶ ἔμψυχον καθιερώσοντες τῷ ἱερῷ· κατοικίζοντες χωρίῳ τὸ χωρίον, ἐν ᾧ κατοικήσει πᾶν τὸ πλήρωμα τῆς θεότητος· τῷ ἁγίῳ σκηνώματι τὸ σκήνωμα τῆς δόξης συνάπτοντες· τὸν θρόνον τοῦ βασιλέως τοῖς ἀνακτόροις ἀποτιθέντες. Συναπίωμεν ταῖς παρθένοις, τὴν ἀειπάρθενον πρὸς τὴν παστάδα πεμπούσαις. Τῇ κοινῇ τοῦ γένους τιμῇ, κοινὴ συστήσωμεν τὴν τιμήν· τῇ κοινῇ τοῦ γένους ἀγαλλιάσει κοινὴ τὴν χορείαν κροτῶμεν· κοινὴ τῆς ἡμῶν σωτηρίας προσκιρτῶμεν τῆς κιβωτοῦ.

At, o vos, qui munus hoc locupletissimum ad nos devexistis, qui et ea gratia, quam primi accepistis dedistisque, universis locupletiores facti estis ! O beatum ærarium, ex quo illud prodiit ! O beatum partum ! O tardam fetus editionem, universam amplæ probæque sobolis gloriam obscurantem ! O puellam, quæ matrem veteri illo debito absolvet, parentisque obteget nuditatem ; qua fictori carnis tunicam commodatura est ; ex qua B dum novus Adam compactum accipiet corpus, antiquus ille costæ debitum recipiet. O puellam, cujus is, qui est supra cœlos, se amatorem ostendet ! O per quam Deus, cum natura pulvere constante, consuetudinem habiturus est ! O per quam nobis accessura est dignitas, quam cum importune captassemus, eorum quæ suppetebant, jacturam fecimus ! Eamus vero, veteri ac inanimi templo, templum novum ac animatum dedicaturi ; sacro loco, locum inducturi, in quo sit inhabitatura plenitudo tota divinitatis ; sacro tabernaculo gloriæ tabernaculum adjuncturi : Regis solium in palatium illaturi. Una sociabus virginibus, perpetuam in thalamum deducentibus Virginem, abeamus. Communi generis honori, communi studio honorem adhibeamus ; communi generis exsultationi, communi plausu choream celebremus ; communi lætitia nostræ salutis arcæ præsultemus.

Ἄγε δή μοι, Δαβὶδ, τῶν σῶν σκιρτημάτων χρῆσον. Σὺ γὰρ ἂν ἄριστος εἶης χοραστάτης· μάλιστα μὲν τῷ ἐξ αἵματος εἶναι τὴν τιμωμένην· πάλαι δ' οὖν κἂν τῷ τύπῳ τὰ σκιρτήματα μελετήσας, καὶ προφάσας τὸ ᾆσμα, ὃ εἰς τὰ παρόντα συνετίθετο. Νῦν γὰρ ἦν ὀξυωπεῖ διανοίας ὄμματι θυγατέρα προέβλεπες, ᾗ καὶ πατρικὴν ἐδίδους εἰσήγησιν, εἶκον πατρῴου λήθην λαβεῖν, ἐκ τῆς σῆς ὀσφύος ἐφανερώθη ἡμῖν. Νῦν δὴ τὸν χρυσωτὸν χιτῶνα στολισαμένη, εἰς ἐπιθυμίαν τοῦ κάλλους τὸν βασιλέα καὶ Χριστὸν εἵλκυσεν. Διὰ τοῦτο οἷα Βασιλίδι νεάνιδες, πρὸ προσώπου αὐτῆς θεραπευτικῶς λιτανεύσουσιν. Δεῦρο δὴ ὅποι ποτ' ἂν D ᾖς, πρὸς τὰ νῦν παραγενοῦ τελούμενα. Τῆς σῆς γὰρ εὐτάκτου χορείας ἡμῖν δεῖ, καὶ τοῦ σκιρτήματος· καὶ ἃ προλαβὼν ἐπῇδες, ταῦτα καὶ νῦν ᾄδων τὰ εἰκότα λειτούργησον. Ὁρᾷς γὰρ τὴν σὴν θυγατέρα λιτανευομένην ἐν πράγμασιν, ᾗ μόνος ἐν θεωρίᾳ ἐλιτάνευες. Ὁρᾷς τὴν ἐξ ὀσφύος σου κιβωτὸν τοῦ ἁγιάσματος, εἰς κοινὴν ἀνισταμένην τῶν πεπονηκότων ἀνάπαυσιν. Ὁρᾷς τὸ ἱερώτατον καθιερούμενον ἱλαστήριον. Λέγω μέν· μᾶλλον δὲ, λέγε αὐτός· παραχωροῦμεν, οὐχ

Age vero nunc mihi, David, tuis utere saltibus. Ipse namque optimus choreæ præses eris, quod maxime quam honore prosequimur, ex tuo sata sit genere : ac cum olim jam vel in figura meditatus sis saltationem, ac canticum præcinueris, quod argumentum præsens respiciebat. Nunc enim quam acuto mentis oculo filiam prævidebas[17], ac quam paterne docebas, ut paternam oblivisceretur domum, ex tuis orta lumbis declarata est. Nunc stola aurea decore amicta, in sui cupiditatem decoris Regem ac Christum pertraxit. Idcirco adolescentulæ tanquam Reginam, ante ejus vultum devoto obsequio deprecabuntur. Veni itaque quocunque tandem exsistas loco, atque sacris, quæ peraguntur, præsentem te exhibe. Tua namque egemus composita chorea et saltatione : ac quæ occupato cecinisti, ea nunc accinens, congruum ministerium imple. Vides enim tuam filiam, ut reipsa eam deprecentur, quam solus mystico intellectu ac contemplatione deprecatus es. Vides ex tuis ortam lumbis arcam sanctificationis, in communem eorum

[17] Psal. XLIV, 11.

NOTÆ.

amicos divites, pauperibus amicis refundere, ut qua illi insumpsissent, iis tractandis. Verum melius quadrat, τὸ προκαταβολὴ. Non enim nos in Deum priores aliquid contulimus, sed ipse contulit quæ ipsi nos postea offeramus ; nec amicus dives factas amici pauperis expensas exspectare debeat, sed occupare : eoque inclino ut sit προκαταβάλλουσι.

Digitized by Google

qui labore premuntur, exsurgentem requiem Vides sacratissimum dicari propitiatorium. Equidem dico; potius autem dicas ipse. Cedimus, non exsortes simus: sed tanquam patri puellæ.

A ὡς βασιλεῖ· τούτου γὰρ μέτεστι καὶ ἡμῖν· ἀλλ' ὡς πατρὶ τῆς παιδός.

tanquam regi; quippe cujus nec ipsi excellentiæ

Audi, filia, et inclina aurem tuam. Sola ab æterno electa es in sponsam Altissimi: sola ejus, qui universa implet, locus capax exsistis. *Audi, filia.* Paternam obliviscere domum et populum: fuisti namque in matrem ab eo assumpta, qui sedet super Cherubim. Vade in templum sanctum, quæ Dei templum exsistas. *Audi, filia, et obliviscere populum tuum;* innumerabilis enim multitudo eorum, qui in cœlo, ac qui sunt in terra, Dominam te obtinebunt. *Multæ filiæ fecerunt virtutem* [18]; multæ filiæ gloriam adeptæ sunt, multæ comparaverunt honestatem; *verum emines universis, verum supergressa es* gloria ac majestate, verum honestate cunctis præcellis. Hasce, David, filiæ tuæ pangens laudes, mecum pariter canticum ede: ac festa luce simul fruere: quin præcipuæ tuæ sunt partes. Nam olim quidem, cum Deo templum erigere desiderasses [19], non fuit concessum ut animi votum in finem perduceres: nunc autem cœlis potius tibi templum excitatum est, quod nec victimas, nec nidorem necessaria habeat. Jam enim eorum imminet finis, cœlesti Pontifice, quod ex te assumpsit, templum sanctificante. Verum hæc suo recurrent loco; nunc vero iis ministremus, quæ peraguntur, ac quæ deprecatio continua habet serie, connectamus.

Ἄκουσον, θύγατερ, καὶ κλῖνον τὸ οὖς σου· Μόνη ἐξ αἰῶνος εἰς νύμφην ἐξελέχθης Ὑψίστου· μόνη τοῦ πληροῦντος τὰ πάντα χρηματίζεις χωρίον. Ἄκουσον, θύγατερ· οἶκου πατρῴου καὶ λαοῦ ἐπιλάθου· εἰς οἶκον γὰρ τῷ ἐπὶ τῶν Χερουβὶμ προσελήφθης καθημένῳ. Ἀπιθι εἰς ναὸν ἅγιον, ναὸς Θεοῦ χρηματίζουσα. Ἄκουσον, θύγατερ, καὶ ἐπιλάθου τοῦ λαοῦ σου· πλήθους γὰρ ἀναριθμήτου τῶν ἐν οὐρανῷ καὶ γῇ, τὴν Δεσποτείαν ὀφθήσῃ λαχοῦσα. Πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν· πολλαὶ δόξαν ἐκληρώσαντο· πολλαὶ σεμνότητα περιεποιήσαντο, ἀλλ' ὑπέρκεισαι πασῶν, ἀλλ' ὑπεραίρεις δόξῃ καὶ μεγαλειότητι, ἀλλὰ πασῶν ὑπερήκεις σεμνότητι. Ταῦτά μοι, Δαβὶδ, τὴν σὴν ἐπαινῶν παῖδα, συνεργάζου τὸν ὕμνον, καὶ τῆς ἑορτῆς συναπόλαυε· μᾶλλον δὲ, σοὶ τοῦ πλείονος μέτεστι. Πάλαι μὲν γὰρ ἐπιθυμήσαντί σοι ναὸν ἐγεῖραι Θεῷ, οὐκ ἐγένετο πρὸς πέρας ἐξήκειν τὸ ἐπιθύμιον· νῦν δέ σοι τῶν οὐρανῶν ἀμείνων ἠγέρθη ναός· ναὸς οὐ θυμάτων, οὐδὲ κνίσης δεόμενος. Ἤδη γὰρ τούτων προκόπτει τὸ τέλος, τοῦ οὐρανίου Ἀρχιερέως τὸν ἐκ σοῦ ναὸν ἁγιάζοντος. Ἀλλὰ ταῦτα μὲν εἰς ἴδιον καιρὸν ἀπαντήσεται· νῦν δὲ τοῖς τελουμένοις λειτουργῶμεν, καὶ τὰ συνεχῆ τῇ λιτανείᾳ προσάπτωμεν.

B

Non *afferentur virgines* [20], quæ accinant: hoc enim olim contuitus psalmo edito præcinuisti: sed ecce virgines circum choreas in exsultatione agentes, velut reginæ præeunt in Regis abeunti templum. Ecce te ut immaculatam victimam, ad divinum adducunt thalamum. Ecce te divinæ plantationis radicem, ex qua germinaturus sit ramus, sub cujus umbra requiescent fines terræ, in gloriæ prato conserunt. Ecce te generis gaudium choreis undequaque cingentes, in locum inducunt exsultationis. Et quidem hactenus tui sunt exordia gaudii: brevi post, absolutius gaudium tuus tibi perferet pronubus, quando tibi gratia plenæ gaudium veniet annuntiaturus; quando læto faustoque nuntio tecum eum esse dicet, qui ubique adest: ille inquam, pronubus, qui abstruso illi ministrans mysterio, germen tibi absque semine nuntiabit; qui Filii sine patre, universorumque parentis, partum occupato præconio significabit: Filii, inquam, qui nunc velut aromatum suaveolentiam concilians, postea tuis ex lumbis prodiens, unguenti fragrantiam in orbem universum diffundet: qui nunc sacrum florem in sua recipiens domo, posthac ab intacto tuo utero efflorebit.

C

Οὐκ *ἀπενεχθήσονται παρθένοι προσφδοῦσαι*· τοῦτο γὰρ πάλαι προέψαλλες θεωρῶν· ἀλλ' ἰδού σε παρθένοι ἐν ἀγαλλιάσει περιχορεύουσαι οἷα βασιλίδος εἰς ναὸν Βασιλέως ἀπιούσης προάγουσιν. Ἰδού σε ὡς ἄσπιλον ἱερὸν, εἰς τὸν θεῖον προσφέρουσι θάλαμον. Ἰδού σε τὴν θεόφυτον ῥίζαν ἧς ἀναβλαστήσει κλάδος, οὗ ὑπὸ τὴν σκιὰν τὰ πέρατα ἀναπαύσεται, ἐν τῷ τῆς δόξης λειμῶνι καταφυτεύουσιν. Ἰδού σε τὴν χαρὰν τοῦ γένους περιχορεύουσαι, εἰς τὸν τῆς ἀγαλλιάσεως τόπον οἰκίζουσιν. Ταῦτα μὲν ἐπὶ τοῦ παρόντος τῆς σῆς προοίμια χαρᾶς· μικρὸν δὲ ὕστερον, τελεώτερά σοι τὰ χαρμόσυνα κομιεῖ, ὁ σὸς ἐξ οὐρανοῦ νυμφοστόλος· ἐπειδάν σοι τῇ κεχαριτωμένῃ τὴν χαρὰν ἥξει μηνύων· ἐπειδάν σοι μετὰ σοῦ εἶναι τὸν πανταχοῦ παρόντα εὐαγγελίσεται· νυμφοστόλος ἐκεῖνος, ὃς τῷ ἀποκρύφῳ διακονῶν μυστηρίῳ, τὴν ἄσπορόν σοι βλάστην ἀπαγγελεῖ· ὃς τοῦ ἀπάτορος Παιδὸς, καὶ γονέως τῶν ὅλων, τὸν τόκον προανακηρύξει· ὃς νῦν ὥσπερ ἀρωμάτων εὐοδμίαν οἰκειωσάμενος, μετέπειτα τῶν σῶν προϊὼν λαγόνων, εἰς τὴν οἰκουμένην τὴν μυρωδίαν διαχεεῖ· ὃς νῦν τὸ ἱερὸν ἄνθος εἰς τὸν ἑαυτοῦ ἀποδεχόμενος οἶκον, μετὰ ταῦτα τῆς σῆς ἀνεπάφου ἀνθήσει κοιλίας.

D

At, Virgo, nostræ gloriatio salutis, quæ et sacram sis sortita generationem, sacratiusque enutrita fueris ac instituta; in qua spei nostræ fixas anchoras habemus, tum ego, tum quem pascendum con-

Ἀλλὰ, Παρθένε, τῆς ἡμῶν σωτηρίας τὸ καύχημα· ἡ λαχοῦσα μὲν τὴν γένεσιν ἱερὰν· ἱερωτέρας δὲ ἀναθρέψεως καὶ ἀγωγῆς· ἐφ' ᾗ τῶν ἡμετέρων ἐλπίδων τὰς ἀγκύρας ἀνέχομεν, ἐγώ τε καὶ ὃ ποιμαίνειν

[18] Prov. xxix, 20, secc. LXX. [19] II Reg. vii, 2. [20] Psal. xiv, 16.

Digitized by Google

ἔδωκας πολίμνιον, δίδου μὲν ἡμᾶς τῆς ἁμαρτίας τοῦ κλύδωνος περιεῖναι· δοίης δὲ καὶ τῆς τῶν ἐχθρῶν τρικυμίας, ὅση τε ἀλλοφύλων, καὶ ὅση τῶν ὁμογενῶν ἐπανίσταται· καὶ τὴν σὴν προστασίαν οἷα πηδάλιον ἡμῖν ἐπιδοῦσα, ἅπαντας καὶ κυβερνωμένους, καὶ τὸν ᾧ τὴν κυβέρνησιν ἐνεχείρισας, εἰς τὸν ἀκύμονα λιμένα τοῦ Υἱοῦ σου καθόρμισον· ἔνθα πᾶσα φαιδρότης, καὶ χαρμοσύνη, καὶ ἄνεσις· ἔνθα πάντων ἑορταζόντων ὁ ἦχος, καὶ πάντων εὐφραινομένων κατοικία· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ σὺν τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A credidisti gregem, præsta nobis, ut peccati tumentes superemus fluctus; præsta vero, ut et hostium procellas eludamus, si quæ tum extraneis hostibus, tum domesticis excitantur; tuam protectionem gubernaculi instar prætendens, universos tum qui gubernantur, tum ipsum cui commisisti gubernandi partes, in tranquillum Filii tui portum subducas, ubi lætitia omnis, gaudiumque, ac remissio; ubi omnium epulantium sonus, omniumque lætantium habitatio: in Christo Jesu Domino nostro, cui cum Patre, unaque Spiritu sancto, gloria, potestas, honor, nunc et in sæcula sæculorum. Amen.

ΛΟΓΟΣ Γ'.

Εἰς τὸν Εὐαγγελισμὸν, ὅτε χαρὰν εὐαγγελίσθη Παρθένος, καὶ ἡ ἀρὰ κατελύθη.

ORATIO III.

In Annuntiationem, quando Virgo faustum gaudii nuntium accepit, ac maledictio dissoluta est (5).

(Combefis. l. c. p. 1632.)

Ὁ τῶν παρθενικῶν λαγόνων ἀνατείλας Ἥλιος Χριστὸς ὁ Θεὸς, καὶ σήμερον τὸ ἡμέτερον τῆς καρδίας διειλάμψας χωρίον, οἷά τινα ἄνθη τοὺς λόγους δίδωσι φέρειν ὑμῖν [a]. Καί μοι, καθάπερ παλάμας, τὰς καρδίας, ἂν ἄρα τι χρήσιμον ὁρᾶτε ἀπανθιζόμενοι διαπλώσατε· Θεῷ τὴν χάριν ἀντιφέροντες, παρ' οὗ τὰ κάλλιστα κοινῇ τρυγῶμεν· τοῦτο μὲν ἑλαμένοις τιμᾷν τὴν πανήγυριν· τοῦτο δ' ἀφοσιουμένοις τὸν πρὸς ὑμᾶς ἐγκάρδιον τῆς πνευματικῆς ἀγάπης ἔρωτα. Ἀλλὰ δεῦρό μοι, δημαγωγὲ τῶν ἄνω δήμων, τὰς οὐρανίους ἀφίδας καταλιπὼν, τῇ Παρθένῳ λειτούργησον. Ἔξεστί σοι γὰρ καὶ νῦν οὐκ εἰς Ναζαρὲτ ἐπιστάντι Ἰουδαϊκῷ χωρίῳ, ἀλλ' ὡς ἀληθῶς ἐν τῇ πόλει τοῦ Βασιλέως Κυρίου, τὸ θεῖον αὐτοῦ τῆς δόξης ἀνάκτορον καταστέφειν ταῖς εὐφημίαις. Πάρεστί σοι καὶ νῦν τῇ παστάδι τοῦ Μονογενοῦς προσφωνεῖν τὴν χαράν, ἣν, πάλαι αὐτῇ εὐαγγελιζόμενος [b], μᾶλλον δὲ, δι' ἐκείνης ἁπάσῃ τῇ οἰκουμένῃ, ἐβόησας. Νῦν μάλιστα διαπρύσιον τῇ *κεχαριτωμένῃ* τὸ *Χαῖρε*, εἰπὲ, δι' ἧς ὁ Θεὸς καὶ Πατὴρ, ἃ πρὸ τῶν αἰώνων βεβούλευται, τὴν τῶν ἀνθρώπων καταλλαγὴν, ἐπιδημίᾳ τοῦ ἀγαπητοῦ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι ἐξεπλήρωσε. Πάλαι γὰρ μὲν δι' ὑποψίας ὄντων τῇ Παρθένῳ τῶν εὐαγγελίων (παράδοξα γὰρ παρὰ πάντα λόγον ἰᾶται τῆς φύσεως·) εἰκός σε μεθ' ὑποστολῆς τὸ *Χαῖρε* βοᾷν· νῦν δὲ, τὴν παρρησίαν οὐδὲν ὑποτέμνεται. Οὐκοῦν οὐ προσταράξεις, οὐδὲ θαμβήσεις τῇ λαλιᾷ τὴν Παρθένον, ἐπὶ τῶν πραγμάτων τὰ σὰ εὐαγγέλια καθορῶσαν. Πρόσελθε καὶ φθέγξαι, οὐχὶ τὰ παλαιὰ ἐκεῖνα· *Συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱόν*· ἐξέδη γάρ· ἀλλὰ τί; Συνέλαβες ἐν γαστρὶ τὸν ἐπειλημμένον ἁπάντων· ἐχώρησας, ὃν κῦτος οὐρανῶν οὐ χωρεῖ· ἐβάστασας, οὗ πάντα βαστάζεται τῷ νεύματι. Ἔτεκες ἐπ' ἰσχάτων τῶν ἡμερῶν, ὃν πρὸ αἰώνων ἐγέννησεν ὁ Πατήρ.

B Qui ex virgineis Sol visceribus oriens, Christus Deus, hodieque nostri cordis regionem illustravit, quasi flores quosdam, orationem proferre tribuit; velimque ut vos pectora instar manuum ad decerpendum explicetis, si quid conducibile aspectui occurrat; Deo vicissim gratias agentes, a quo pulcherrima quæque communi usura decerpimus: tribuit, inquam, qua ut solemnitatem honore prosequamur, qua ut spiritalis dilectionis, nostri in vos, cordi hærentis amoris, debitum persolvamus. Verum adesto, supernorum populorum ductor ac princeps; relictisque cœlestibus axibus, Virgini ministerium impende. Nam et modo tibi licet, ut non in Nazareth, Judaicam delatus provinciam, sed ut profecto in Regis Domini civitatem, divinum ejus gloriæ templum faustis acclamationibus C ac laudibus corones. Promptum est, ut nunc quoque Unigeniti thalamo acclames quod ei olim nuntiasti, vel potius per eam universo terrarum orbi inclamasti. Nunc maxime clara ac penetrabili voce, ei dicito *Ave*, quæ exsistit *gratia plena* [21.22], per quam Deus ac Pater, quæ sæculis anteriori consilio statuerat, hominum videlicet reconciliationem, adventu charissimi Filii sui, in Spiritu sancto adimplevit. Olim quidem cum faustus ejusmodi nuntius Virgini suspectus esset; novus quippe, ac contra naturæ totam rationem, videbatur; decebat, ut non sine formidine *Ave* illud inclamares: nunc autem nihil est quod libertatem impediat. Haud itaque denuo Virginem turbabis, nec in stuporem D ex sermone conjicies, quippe cum cernat ea quæ nuntiasti, jam reipsa esse completa. Accede ac loquere, non illa vetera: *Concipies in utero, et paries filium* [23]; hæc enim jam evenerunt: quid ergo?

[21.22] Luc. I, 28. [23] ibid 31.

VARIÆ LECTIONES.

[a] *Isc.* ἡμῖν.

NOTÆ.

(5) Ediderat Gretserus septimam: malui ego editarum ab ipso primam novum edere, quem ordinem rerum ipsa series videtur exigere, excepta temporum ratione; significat enim Leo recens adeptum imperium ista orasse. Paucula sunt in quibus non placuit Gretseri versio, quanquam fuit vir doctus; quæ tu, lector, collata utriusque versione melius censueris.

Digitized by Google

Concepisti in utero, ac eum complexa es, qui complectitur omnia : capere licuit, quem cœli latitudo non capit : eum portasti, cujus omnia nutu portantur. Peperisti novissimis temporibus eum, quem ante sæcula Pater genuit. Adde, si libet, encomiasticam quoque illam mulieris vocem : *Beatus venter tuus* [24]. Vere enim beatus qui eum partu ediderit qui verbo edidit universa : qui cœlestem illum panem miscuit ; cujus opera, decretum exsilii adversus inobedientiæ reos conscriptum, abolitum est ; scitumque factum, quod ad primævam patriam revertendi facultas concederetur. Neque illud proferes, quodnam ejus sis vocatura nomen ; sed dices : Ecce reipsa, de quibus olim dubitabas, fausta nuntia, toto clare celebrantur orbe. Omnes enim fines terræ gloriantur tui Filii invocatione, in quo solo invenere salutem.

A Πρόσθες, εἰ βούλει, τὴν ἐπαινέτην τοῦ γυναίου φωνήν· *Μακαρία ἡ κοιλία σου.* Ὄντως γὰρ μακαρία ἡ τεκοῦσα τὸν ἀποτεκόντα τὰ πάντα τῷ λόγῳ· ἡ τὸν οὐράνιον ἄρτον φυράσασα· δι' ἧς ἡ ὑπερόριος ἀπήλειπται γραφὴ τοῖς ἐκ παρακοῆς καταδίκοις, καὶ πάλιν τῆς ἀρχαίας ἐπιβαίνειν πατρίδος ἐγράφη ψῆφος. Οὐδὲ τοῦτο ἐρεῖς, τὸ ποῖον ὅτι καλέσεις τὸ ὄνομα αὐτοῦ· ἀλλ' εἴποις ἄν· Ἴδε σοι τὰ εὐαγγέλια οἷς πάλαι ἠμφισβήτεις, ἀνὰ πᾶσαν τὴν γῆν μεγαλύνεται. Σωτῆρα γὰρ τὸν σὸν Υἱὸν πάντα καυχᾶται ἐπικεκλημένα τὰ πέρατα, ἐν αὐτῷ μόνον τὴν σωτηρίαν εὑράμενα.

Ergone thronum David proparentis tacitus præteribis, an vel in primis ejus facies mentionem? Cernis, Virgo, quæ tibi olim nuntiabam? Cernis, quanta gloria Filius tuus paternum solium teneat? Non enim tantum unam nationem ditione regit, neque unam provinciam exiguis terminis circumscriptam ; sed pariter in omnia cœlestia, terrestria, et infera dominationem habet. Quid igitur? An adhuc, o cœlestis præco, tuam nobiscum laudationem conjunges? an ut non ignarus eorum, quibus præconia tua longe excellentius exornes, tam grandia, communione nostræ humilitatis, nequaquam deprimi patieris? Plane enim alia proferes, quæque haud facile in intelligentiam nostram, terrena nimirum caligine circumfusam, cadant : at tu omnibus tenebris solutus, et a primo collustratus lumine, a cujus participatione nulla te materialis concretio arcet, hæc facile conitueris. Verum, principem angelorum, eo quo voluerit modo, laudationem instituere sinamus. Nos vero quid? Num hic gradum figemus, illique soli, ob præstantiam dignitatis qua nos præcellit, committemus, ut Reginam nostra ex stirpe ortam laudibus cohonestet? An et nos, quantum assequi licebit, ora in laudes solvemus? Equidem ita censeo. Quamvis enim ille laudis texendæ doctior artifex est, nihil tamen Regina minus libens ab iis accipiet, quorum cognatione gaudet. Norunt quæ dico, quotquot cognationis amorem illibatum integrumque custodiunt.

B Ἆρ' οὖν ἐφῇς τὸν θρόνον Δαβὶδ τοῦ προπάτορος, ἢ πάντων μάλιστα τοῦτο ἐρεῖς; Ὁρᾷς, Παρθένε, ἃ πάλαι ἐμήνυον; Ὁρᾷς, μεθ' ὅσης δόξης ὁ σὸς Υἱὸς τῷ πατρικῷ θρόνῳ κάθηται; Οὐκ ἔθνους ἑνὸς, οὐδὲ γῆς εὐπεριορίστου· ἀλλ' ὁμοῦ συμπάντων οὐρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων τὴν κυρείαν ἔχων. Τί οὖν; Ἔτι σὺν ἡμῖν εἰσοίσεις τὴν εὐφημίαν, ὁ οὐράνιος πανηγυριστής, ἢ ἅτε εἰδὼς, οἷς πολλῷ ἄμεινον τὴν σὴν πανήγυριν σεμνύνεις, οὐκ ἀνέχῃ τὰ σὰ τῇ ἡμετέρᾳ ταπεινοῦσθαι κοινωνίᾳ; Εἴποις γὰρ ἂν καὶ ἄλλ' ἄττα, ἃ μὲν πρὸς τὴν ἡμετέραν διάνοιαν, οἷα δὴ τῆς γεώδους ὁμίχλης ἐπιπροσθούσης, οὐ ῥᾴδιον φαίνεσθαι· σὺ δ' ἀπηλλαγμένος γνόφου παντός· μᾶλλον δ' ἀπὸ τοῦ πρώτου φωτὸς μηδεμιᾶς τὴν μέθεξιν διατειχιζούσης ὑλώδους συστάσεως ἐκλαμπόμενος, οὐ χαλεπῶς καθορᾷς. Ἀλλὰ τῷ μὲν ἀρχηγῷ τῶν ἀγγέλων, ὅπως ἂν βούλοιτο, καθ' αὐτὸν διαθέσθαι τὴν εὐφημίαν παρήσομεν. Ἡμεῖς δὲ τί; Ἆρ' ἐνταῦθα καταλύσομεν ἐκείνῳ μόνῳ καταλιπόντες, δι' ἣν ἔχει πρὸς ἡμᾶς ὑπερβολὴν, τὴν ἐκ τοῦ γένους βασιλίδα γεραίρειν, ἢ καὶ ἡμεῖς ὅσον ἐφικτὸν οὐκ εἰς ἀφωνίαν περιστησόμεθα; Ἔγωγε τοῦτό φημι. Εἰ γὰρ καὶ ἄμεινον αὐτὸς διασκευάζει τὴν εὐφημίαν, ἀλλ' ἥ γε Βασιλὶς τῶν συγγενῶν οὐκ ἀηδέστερον δέξαιτ' ἄν. Ἴσασιν ἃ λέγω, ὅσοι τὰ συγγενῆ φίλτρα καθαρὰ περισώζουσιν.

Ergo et nos virgineo thalamo hymenæum decantemus. Porro nihil prohibet ut ne hymenæi totius velut caput quoddam vocem angeli statuamus. Neque enim ob id nobis Gabriel litem intendet, siquidem ille a Reginæ eam acceperat Filio, qui ipse junctus nobis est cognatione : ac eo acceperat fine, ut nostris eam auribus succineret. Acclamemus igitur *Ave*, illi gratiose ; per te Dominus nobiscum. Paululum immutata voce clamemus *Ave* ; tu, inquam, quæ tanquam lilium [25] in medio confusissimi ac perturbatissimi humanæ naturæ passionum agri efflоruisti ; quamobrem rex a sua celsitudine, nihil ipse detrimenti passus descendens, cum terrigenis habitavit ; cum ex tua sibi

C

Οὐκοῦν καὶ ἡμεῖς τῷ νυμφῶνι κατὰ τὸν ὑμέναιον ᾄδωμεν. Οὐδὲν δὲ κωλύει οἷά τινα κορυφὴν τῶν ὑμεναίων θέσθαι τὴν τοῦ ἀγγέλου φωνήν. Οὐδὲ γὰρ περὶ ταύτης ἡμῖν Γαβριὴλ ἀμφισβητήσει, ὅτι καὶ παρὰ τοῦ Παιδὸς τῆς Βασιλίδος αὐτὴν ἐδέξατο· συγγενὴς δ' αὐτὸς ἡμῖν· καὶ ὥστε πρὸς ἡμᾶς ὑπηχῆσαι, ἐδέξατο. *Χαῖρε* τοιγαροῦν τῇ κεχαριτωμένῃ βοῶμεν· διὰ σοῦ ὁ Κύριος μεθ' ἡμῶν. Βραχὺ τὴν φωνὴν ὑπαλλάξαντες, *Χαῖρε* βοῶμεν, ἡ ὥσπερ κρίνον ἐν μέσῳ τοῦ πολυσυγχύτου τῶν παθῶν χωρίου τῆς ἀνθρωπίνης φύσεως ἀναβλαστήσασα, καὶ διὰ τοῦτο τοῦ οἰκείου ὕψους ἀκενώτως ὁ βασιλεὺς κατελθὼν, μετὰ τῶν κάτω συνῴκησεν· ἐκ τῆς σῆς εὐωδίας τὸν οἶκον πηξάμενος ἑαυτῷ. *Χαῖρε*, τὸν οὐράνιον ἡμῖν ἀνα-

D

[24] Luc. II, 27. [25] Cant. II, 2.

Digitized by Google

πτύξασα μαργαρίτην, δι' οὗ τῆς προγονικῆς πτωχείας ἀπηλλάγημεν. *Χαῖρε*, δι' ἧς εἰς ἀμείνονος ἀνανέωσιν κόσμου τοῦ γένους κατακλυζομένου σπέρμα σωτηρίας διετηρήθη. *Χαῖρε*, ῥάβδος, ἧς ἐπειλημμένος ὁ δεύτερος Μωσῆς, μᾶλλον δὲ τοῦ παλαιοῦ πρεσβύτερος καὶ δεσπότης, βυθίζει μὲν τοὺς διώκοντας, σώζει δὲ τοὺς τῷ πηλῷ καὶ πλίνθῳ τῆς ἁμαρτίας τετρυχωμένους. *Χαῖρε*, παράδεισε, οὗ τῷ καρπῷ τραφέντες, τὸν προσφυέντα ἡμῖν φθοροποιὸν ἰὸν ἀνεπτύσαμεν, πρὸς ἀνθηρὰν δὲ καὶ ἀγήρω ἰδέαν μετεποιήθημεν. Βουληθείης ἂν ἡμῖν ἐπιτρέπειν, ἄμωμε Νύμφη, τῶν σῶν μνήστρων, ἃ ὁ Πατὴρ διὰ τῶν ὑποφητῶν τοῦ Πνεύματος ἐχαρίσατο, εἰς ἐργασίαν τῆς εὐφημίας λαβόντας ἀποχρήσασθαι; Καὶ ἔστιν, καὶ ἐπιτρέπει. *Χαῖρε*, διὰ τοῦτο βοῶμεν, ὦ βάτε, δι' ἧς τὸ ὑπερουράνιον ἐδηλοῦτο μυστήριον, ὅτιπερ τὸ ἄοτεκτον τῆς Θεότητος πῦρ τῆς ἀνθρωπίνης ὕλης ἐπειλημμένον, τοῦ μὲν φωτὸς ἐνήσει τὴν μετοχήν· οὐ καταφλέξει δὲ, οὐδ' ἀφανιεῖ περιδεδραγμένην τὴν φύσιν τῆς Θεότητος τῇ φλογί. *Χαῖρε*, λυχνία, ἐξ ἧς τὸ ἀπαύγασμα τοῦ Πατρὸς λάμψαν, ἀνιερούμενον τὸν κόσμον εἰς ναὸν τῷ Γεννήτορι, φέγγει τῆς ἑαυτοῦ κατελάμπρυνε ἐπιγνώσεως. *Χαῖρε*, ἀκρότομε, ἐξ ἧς ὁ χειμάρρους τῆς ζωῆς ἀναβλύσας, τοὺς ὅσον οὔπω δίψει σωτηρίας τεθνήξεσθαι μέλλοντας, οὐ μόνον τῇ ζωηφόρῳ πόσει ἀνεβιώσατο, ἀλλὰ καὶ πάντα ῥύπον ὃν ἐκ πορείας τῶν παθῶν προσετρίψαντο, ἔδωκεν ἀπολούσασθαι. *Χαῖρε*, νεφέλη, ἧς ἀνατείλας ὁ τῆς δικαιοσύνης ἥλιος, τῆς ἀπιστίας τὸν ζόφον εἰς πάντα κεχυμένον τὰ πέρατα, ἐξηφάνισε, ᾧ ὡς ἀνασχὼν θεογνωσίας, οἷς εἰς ἀντίληψιν θείου φωτὸς τὸ ὄμμα οὐκ ἀτονεῖ. Ἔτι μὲν οὖν σοι τῇ ὀσφῦι θαλαμευομένῃ ὁ σὸς ἐβόα προπάτωρ· *Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου.* Ἤκουσας ὄντως, ἡ σοφὴ θυγάτηρ, τοῦ παρεγγέλματος, καὶ ἐπελάθου τοῦ λαοῦ σου, καὶ κλήρου, καὶ οἴκου πατρῴου· κλήρου ἐκείνου, ὃν ἡ προμήτωρ Εὔα, ὅλῳ τῷ γένει διένειμε, τὸν μυρίον τῶν παθῶν φόρτον κληροδοτήσασα. Οὐδὲν τούτων οὐ μὲν οὖν εἰς οἶκον ἠγάγου τὸν σόν. Διὰ τοῦτο ὁ Βασιλεὺς ἠγάσθη σε τῆς ψυχικῆς εὐπρεπείας, καὶ Νύμφην ἐξελέξατο.

A suaveolentia domum construxisset. *Ave*, quæ cœlestem margaritam nobis reclusisti, qua sumus ab avita egestate liberati. *Ave*, per quam, ad melioris mundi reparationem, humano generi undis obruto, semen salutis conservatum fuit. *Ave*, virga, qua assumpta, secundus Moses, seu potius veteri illo senior, Dominusque, cum persecutores submergit, tum eos salvat, quos labor luti et laterum peccati attriverat. *Ave*, paradise, cujus alti fructu, adnatam lethalem rubiginem abjecimus, et ad floridam seniique expertem formam traducti sumus. Libetne permittas, o immaculata Sponsa, ut ad pertexenda tua præconia iis abutamur, quæ Pater, velut nuptiarum tuarum arrhabonem, per Spiritus sancti interpretes ac internuntios, donavit? Licet utique, permittitque. Salve, igitur clamemus, o rube[26], per quem cœlis altius declarabatur mysterium: ut nimirum importabilis ille Deitatis ignis, apprehensa humana materia, luminis quidem communionem esset immissurus, haud tamen combusturus, atque assumpturus naturam, quam corripuisset Deitatis flamma. Salve, candelabrum, ex quo Patris splendor elucescens, mundum Genitori in templum dedicans, eumdem suæ cognitionis lumine collustravit. Salve, durissima petra, ex qua vitæ torrens exortus[27], eos, qui jamjam siti rerum ad salutem pertinentium morituri erant, nedum vitali recreavit potu, sed et omnes sordes, quas a vitiorum via contraxissent, ablui concessit. Salve, nubes, ex qua justitiæ Sol exsistens, infidelitatis caliginem in omnes terræ fines diffusam, disjecit; sublato divinæ cognitionis lumine iis, quibus oculi ad divinum lumen hauriendum non cæcutiunt. Cum enim adhuc in lumbis paternis contineris, tuus tibi clamabat progenitor: *Audi, filia, et vide, et inclina aurem tuam; et obliviscere populum tuum, et domum patris tui*[28]. Plane audivisti, sapiens filia, commonitionem, esque oblita populi tui, ac hæreditatis, domusque paternæ: hæreditatis, inquam, illius ac sortis, quam progenitrix Eva generi universo distribuit; innumerabili passionum ac affectionum cumulo velut hæreditario jure relicto. At nihil horum tuam in domum intulisti: propterea Rex, tuam animi pulchritudinem admiratus, te sibi in Sponsam delegit.

Διὰ τοῦτό σοι νῦν οἷα Βασιλίδι λειτουργοῦμεν, καὶ τῷ προσώπῳ σου λιτανεύομεν, τὴν σὴν δόξαν καταπλουτούμενοι. Ἰδού σε πᾶσαι γενεαὶ, κατὰ τὴν σὴν προαναφώνησιν, μακαρίζουσιν. Ἐποίησε γάρ σοι μεγαλεῖα ὁ δυνατὸς, ἐκ σοῦ ὡς ἐν παραπετάσματι τῇ σαρκὶ προελθών, καὶ καθελὼν δυνάστας, καὶ ἀνυψώσας τοὺς ταπεινούς. Ἐποίησέ σοι μεγαλεῖα, οὐκ ἐν γενεαῖς μόνον ἀνθρώπων, ἀλλὰ καὶ ἐν οὐρανοῖς τὴν σὴν δόξαν ἀναστηλώσας. Ἤδη γὰρ ἤδη καὶ δήμοις ἀγγέλων ἐπέραστόν ἐστι σοὶ προσάγειν τὴν αἴνεσιν· καὶ μακαρίζουσί σε ὡς Βασιλέως Μητέρα, τὸ σοὶ λειτουργεῖν ἀντὶ πάντος τιθέμενοι, ὡς τῆς

D Ea de causa nunc tibi tanquam Reginæ ministramus, tuoque vultui supplicamus, tuæ gloriæ divitias abunde consecuti. Ecce omnes generationes, ut prædixisti[29], te beatam prædicant. Fecit enim tibi magna qui potens est, ex te carne, quasi velo tectus prodiens, deponensque potentes, atque exaltans humiles. Fecit tibi magna, nedum in generationibus hominum, sed et in cœlis gloriæ tuæ titulum erigens. Jam enim, jam angelorum ipsis populis dulce est, ut tibi offerant laudem, atque ut Regis Matrem, beatam prædicant; nihilque potius habent quam ut tibi

[26] Exod. III, 2. [27] Exod. XVII, 5. [28] Psal. XLIV, 2. [29] Luc. II, 48 seqq.

Digitized by Google

inserviant, cui impensum obsequium ad filium transire compertum habeant. Benedicunt te solam benedictam, cujus dulci partu amarus inobedientiæ partus abolitus est, nempe maledictio. Benedicunt te, utpote hominum amantissimi, qui hominem videant, fraude a beatitudinis illa sublimitate dejectum, nedum ad eamdem revocatum, sed et divino solio donatum. Ut quid vero quis tuæ conetur gloriæ magnitudinem metiri? Facilius arbitror cœli sidera, quam eam oratione complecti. At, o virgo et mater, quæ sola cœlestibus his opibus affluis; quæ dicenda suggessisti, ea et diximus. Nihil enim meum; sed et lingua, et oratio, et regnum, ac si quid aliud est, id omne tuæ curæ ac benevolentiæ munus duco. Quare tua tibi vindicans, nunc quidem largire, ut gregem tuum ad salutis pascua dirigam: ne inscitia muneris regendi (vides enim quantulus ego sim) noxia aliqua fera in gregem insiliat, neque ulli ex meis, vel tuis potius gregalibus ullum animæ periculum accidat; sed nunc quidem, tum novum me pastorem, tum gregem, universis insidiis superiores gubernaveris, exque mundo hoc migrantes ad immortalitatis illas mansiones duxeris, ut et illic tuis fruamur præsidiis, gratia ac humanitate primogeniti Filii tui Domini nostri Jesu, cui gloria in sæcula sæculorum. Amen.

σῆς θεραπείας διαβαινούσης πρὸς τὸν Υἱόν. Εὐλογοῦσί σε τὴν μόνην εὐλογημένην, ἧς τῷ γλυκεῖ τόκῳ ὁ πικρὸς τῆς παρακοῆς ἠφανίσθη τόκος, ἡ ἀρά. Εὐλογοῦσί σε οἱ ἐκ δὴ φιλάνθρωποι, τὸν ἐξ ἀπάτης καταπεσόντα ἄνθρωπον τοῦ τῆς μακαριότητος ὕψους, οὐ μόνον πρὸς αὐτὴν ἀναβάντα πάλιν, ἀλλὰ τῷ θεϊκῷ θρόνῳ καθήμενον καθορῶντες. Καὶ τί ἂν τις τὴν σὴν δόξαν ἐπιχειροίη, ὅση τις ἀναμετρεῖν; ῥᾷον γὰρ οἶμαι οὐρανοῦ ἄστρα, ἢ ταύτην λόγῳ διαλαβεῖν. Ἀλλ', ὦ παρθένε καὶ μῆτερ, ἡ μόνη τὰ ὑπερφυῆ ταῦτα πλουτήσασα, ἃ παρέσχες ὑπηχῆσαι, καὶ δὴ εἴρηται ἡμῖν. Οὐδὲν γὰρ ἐμόν· ἀλλὰ καὶ γλῶσσα, καὶ βασιλεία, καὶ πᾶν εἴ τι ἄλλο, τῆς σῆς ἐστι δῶρον κηδεμονίας. Διὸ δὴ προσοικειουμένη τὰ σὰ, νῦν μὲν δίδου τὸ σὸν ποίμνιον ἐπὶ νομὰς εὐθύνειν τῆς σωτηρίας, μηδ' ἀπειρίᾳ ποιμαντικῆς ἐπιστήμης· ὁρᾷς γὰρ ὅσος ἐγώ· ἐπιπηδῆσαι γένοιτό τινι λυμεῶνι θηρί· μηδέ τινι τῶν ἐμῶν, μᾶλλον δὲ, τῶν σῶν θρεμμάτων τῆς ψυχῆς ἁπαντῆσαι κίνδυνον· ἀλλὰ νῦν μὲν διεξάγοις ἐμέ τε τὸν νέον ποιμένα, καὶ τὸ ποίμνιον πάσης ἐπιβουλῆς ἀνωτέρους· ἄγοις δὲ καὶ πρὸς τὰς ἐκεῖθεν τῆς ἀπαθείας μονὰς ἐντεῦθεν ἀποχωρήσαντας, ἵνα σου κἀκεῖ τῆς προστασίας ἀπολαύσωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ πρωτοτόκου Υἱοῦ σου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ORATIO IV.

Quando intemerata invectus nube, senilibus manibus, gloriæ Sol in templum umbratile commigrans ingressus est (6).

ΛΟΓΟΣ Δ'.

Ὅτε νεφέλης ἀχράντου ἐποχούμενος, πρεσβυτικαῖς χερσὶν, εἰς σκιώδη ναὸν μετοικισάμενος, ὁ τῆς δόξης εἰσελήλυθεν ἥλιος.

(Combefis. *loc. cit.* p. 1639.)

Christi solemnem honoramus diem, qui universis bene honorari auctor fuit. Sacram Christi celebritatem agimus, per quem profanis celebritatibus exstinctis, exortæ sunt sacræ celebritates. Exorto lumine in spelunca, præsentemque Bolie lucis radiis illustrante diem, collætemur. Rursus enim is cujus beneficio, qui in tribulationis tenebris sedebamus, exsultationis aspeximus lumen, lætæ festivitatis jucunditatem prætendit: non ita ut e spelunca effulgeat, sed ut tanquam nube, Virgine matre vehatur, ac paternam ingrediatur domum. Qui prius hominis matrem terram verbo edidisset, sibi ipse matrem condens, naturæ innovavit leges; qua nimirum ratione processit e vulva, nulla semente feta, quod abhorret a lege: nunc autem pro communis ratione legis eorum quorum ex semine carnem assumpsit, qui legem in monte Sina scripsisset, tanquam legis reus, legis constitutionem adimplet: ipse, inquam, gloria Israel, ac lumen gentium. Gentes universæ, laudate; ecce enim Deus puer factus est, ac sub lege vivit, ut tum iis qui sub

Χριστοῦ ἑορτὴν τιμῶμεν, τοῦ καλῶς ἅπασι τιμᾶσθαι διαιτήσαντος. Χριστοῦ ἱερὰν τελοῦμεν πανήγυριν, δι' οὗ ἀπεσβέσθησαν ἀνίεροι τελεταὶ, καὶ πανηγύρεις ἀνίσχον αἱ ἱεραί. Τοῦ ἐν σπηλαίῳ φωτὸς ἀνατείλαντος, καὶ νῦν τὴν παροῦσαν ἡμέραν καταπυρσεύσαντος, φαιδρυνώμεθα. Πάλιν γὰρ, ὁ δι' οὗ οἱ ἐν θλίψεως καθήμενοι σκότει, φῶς ἀγαλλιάσεως εἴδομεν, ἑορτῶν ἀνίσχει φαιδρότητα· οὐκ ἀπὸ σπηλαίου ἐκλάμπων, ἀλλ' οἷα νεφέλῃ, Παρθένῳ μητρὶ ἐποχούμενος· ἀλλὰ πρὸς οἶκον εἰσελαύνων πατρῷον. Πρότερον ὁ γῆν τὴν ἀνθρώπου μητέρα τῷ ῥήματι ἀποτεκοῦσαν, μητέρα ἑαυτῷ ποιησάμενος, νόμους ἐκαινοτόμει φύσεως, μήτρας ἀνθ' ὧν ἀσπόρου, τὸ τοῦ νόμου ἀλλότριον, προελήλυθε· νῦν δὲ κατὰ νόμον κοινὸν, ὧν ἐκ τοῦ σπέρματος σάρκα προσέλαβεν, ὁ τοῦτον ἐν Σιναίῳ γράψας, ὠφείλων αὐτῷ, τὴν ἐκείνου διάταξιν ἐκπληροῖ· ἡ δόξα τοῦ Ἰσραὴλ, τὸ φῶς τῶν ἐθνῶν. Πάντα τὰ ἔθνη, αἰνέσατε· ἰδοὺ γὰρ Θεὸς παιδίον ἐγένετο, καὶ πολιτεύεται ὑπὸ νόμον, ἵνα καὶ τοῖς ἐν νόμῳ βοηθήσῃ, τὸ ἐλλεῖπον ἐκείνῳ ἀναπληρῶν, καὶ τοῖς ἀνόμως ἔθνεσι πολιτευομένοις, τὸν πλοῦτον γνωρίσῃ τῆς οἰκείας χρηστότητος.

NOTÆ.

(6) Habemus ex regia gaza luculentissimam, partim festivam, partim polemicam, ac qua Filii ac Verbi divinitatem in humilitate, qua se legi subjecit, præcipue vindicet. Opus certe elegans, ac pium dignumque ut tandem aliquando juris publici fiat.

Digitized by Google

lege, auxilietur, adimplens legis defectum, tum gentibus sine lege viventibus, bonitatis suæ divitias ostendat.

Ἐπειδὴ γὰρ ὁ δακτύλῳ Θεοῦ γραφεὶς νόμος, οὐχ οἷός τε ἦν διασοβηθέντα τὸν λογισμὸν, ἐκ τοῦ πρώτως σκαιᾷ εἰσηγήσει παρατρέψαντος αὐτὸν, ἐπὶ τὸ σῶφρον ἀνενεγκεῖν, οὐδ' ὥσπερ ὄργανον τῆς οἰκείας ἐξεστηκὸς ἁρμονίας πρὸς τὸν ἑαυτοῦ φθόγγον ἁρμόσαι· οὐδ' εὖ τίθεσθαι τὰ οἰκεῖα διδάξαι· ἀλλὰ χειρόνων ὑποθήκαις τὰ προλαβόντα ηὐξάνετο, οὐκ ἀρκουμένων ἡμῶν τῷ τολμήματι τῆς παρακοῆς, ἀλλ' ὁμοῦ τῇ ἐντολῇ καὶ τὸν Δεσπότην διωσαμένων· καὶ καθάπερ πώλου τὸν χαλινὸν ἐκδακόντος, καὶ κατακρημνῶν ἀπωλείας ὅλου ῥυέντος τοῦ γοῦ· ἐπεὶ οὖν ὁ θείᾳ χειρὶ γραφεὶς νόμος οὕτως ὡρμηκότα οὐκ εἶχεν ἀναχαιτίειν, αὐτὸς ὁ ὑπερούσιος Λόγος, ἡ πάντων ὑποστάτις σοφία, ἐν τῷ πάχει τοῦ πλάσματος, τῷ πλάσματι ὁμιλεῖ· καὶ χρηματίζει νόμος αὐτὸς καὶ παραίνεσις, δι' ἑαυτοῦ τοὺς ἀτάκτους ἐπανορθούμενος· καὶ ὁρᾶται ἀλλοιωτῷ ἐν εἴδει ὁ ἀναλλοίωτος τοῦ Πατρὸς χαρακτὴρ· καὶ μεσιτεύει τῷ Πατρὶ καὶ ἡμῖν, λυθέντος ἐν τῇ σαρκὶ αὐτοῦ, τῆς ἔχθρας τοῦ ἀντιφράγματος.

A Quia enim Dei digito scripta lex haud satis erat, ut perturbatam rationem ejus malo conatu, qui sinistra primum pervertisset suasione, ad sobrietatem reduceret, utve tanquam organum consonantia amissa ad proprios iterum componeret modos, ac sua probe moderari doceret: quinimo, cum pejorum accessionibus priora increscerent, nec sufficeret inobedientiæ præsumptio; sed abunde una cum mandato, Dominum ipsum repulissemus: mensque pulli instar adeso freno præceps tota in interitum proruisset: quia, inquam, divina manu scripta lex sic præcipitem factum animum minime poterat revocare, ac secus inflectere, Verbum ipsum supersubstantiale, universarum productrix sapientia, in figmenti crasso corpore, figmento consuescit; fitque lex ipsa ac admonitio, ipsum per se incompositos B emendans; atque in mutabili cernitur specie, qui Patris exsistat immutabilis figura; ipsumque inter ac hominum genus sequestrum agit, solvens in carne sua adversam inimicitiarum maceriem.

Μὴ φρενοβλαβείτω Ἰουδαῖος, μηδὲ παραπλησίως τοῖς νυκτονόμοις, τὴν ἡμέραν ἀποστρεφέσθω· ἀλλ' ὀφθαλμοῖς φθόνῳ μὴ διαλελυμασμένοις, τὸ λαμπρὸν τῆς θείας ἐνανθρωπήσεως, ἐκ τῶν παρ' αὐτῷ κειμένων ὁράτω. Μηδὲν τὴν ἀλήθειαν Ἕλλην διαγελάτω, ὁ τὰ οἰκεῖα αἴσχη θεοποιῶν, καὶ δήμους θεῶν ἐκ παθῶν ἑαυτῷ συνιστῶν. Ἡμῖν γὰρ εἷς Θεὸς· Πατὴρ, Υἱὸς, καὶ Πνεῦμα ἅγιον· οὐχ ἑνὶ προσώπῳ τῶν ὀνομάτων κειμένων· ἀλλὰ τρισὶν ἑνουμένοις ταυτότητι φύσεως. Θέμωζέτω γὰρ ὁ τῆς παρανοίας ταύτης πατὴρ, καὶ τὸ ἓν ἀμείβων ταῖς κλήσεσι πρόσωπον· μηδ' αὐτὸ τοῦτο συνεὶς ὁ ἐμβρόντητος, ὅτι τῇ μιᾷ ὑποστάσει φιλοτιμούμενος τὰ ὀνόματα, οὐκ εἴασε λέγεσθαι ἃ ἐκάλεσεν· οὐδ' ὁ προσηγορεύει κεῖσθαι δίδωσιν, εἴπερ ἀληθῶς κεῖται τὰ μὴ διαδοχὴν προσιέμενα. Πῶς οὖν τὸ ἓν αὐτοῦ πρόσωπον ὀνομάσει Πατέρα, τῇ Υἱοῦ προσηγορίᾳ ἐκείνης ἐξιστάμενον; ἵνα νῦν ἐάσω, πῶς ὅλως ῥηθείη Πατὴρ, ἢ πῶς Υἱὸς καλέσοιτο, εἰς τὴν τοῦ Πνεύματος μεθεστώς. Εἷς οὖν Θεὸς ἡμῶν ἐν τρισὶ προσώποις· οὔτε διὰ τὸ τρισσὸν τμήμασιν ἑτεροφυὲς μεριζομένης τῆς ἑνιαίας Θεότητος, οὔτε τῶν προσώπων διὰ τὸ ἑνιαῖον συγχεομένων τῆς φύσεως· ἀλλ' ἀεὶ τῶν τριῶν ὄντων, καὶ οὔτε τοῦ Υἱοῦ ἐξ οὐκ ὄντος, οὔτε τοῦ Πνεύματος· ἵνα μὴ ἐλλιπὲς ὂν τὸ Θεῖον, ὕστερον ὀφθῇ τὴν ἔνδειαν ἀποθέμενον· ἀλλ' ὁμοῦ τῷ αἰτίῳ Πατρὶ, καὶ τῶν ἐξ ἐκείνου συνόντων· Πατρὸς μὲν καὶ Πνεύματος ἐν τῇ ἑαυτῶν διαμεμενηκότων ἁπλότητι. Υἱοῦ δὲ, τῇ ἐξ ἡμῶν συντεθειμένου προσλήψει.

Ne Judæus insaniat, autve haud secus ac ulula, seu ejusmodi aliud noctivagum animal, diem aversetur; quin potius nullo oculis livore oblæsis, divinæ incarnationis splendorem ex iis conspiciat, quæ sunt apud ipsum. Nihil gentilis veritatem derideat, qui sua ipse probra deitate donet deorumque populos ex passionibus vitiisque sibi constituat. Nobis enim unus Deus est; Pater, Filius, et Spiritus sanctus; non ita, ut uni personæ attributa sint nomina, sed ut tribus ejusdem con- C junctis communione naturæ. Lugeat enim ejusce dementiæ pater, quique unam personam appellationibus commutat; nec hoc ipsum emotæ mentis homo intelligit, quod uni hypostasi ambitiose nomina tribuat, ne hoc quidem dici sinere, quod appellavit: nec vero quod appellat, firmum ac ratum esse concedit: quando illa vere firma rataque sunt quæ successionem haudquaquam admittunt. Qua ergo ratione suam illam unam personam Patrem appellabit, cum illam notionem Filii appellatione amittat? Ut nunc omittam, qua prorsus ratione Pater dicatur, aut qua appelletur Filius, qui in Spiritus commigraverit appellationem? Unus ergo est Deus noster in tribus personis; nec trium ratione, diversi ge- D neris sectionibus singulari deitate divisa, sed ita ut tres semper exsistant, ac nec Filius ex nihilo sit, nec Spiritus sanctus: ut ne Deitas cum prius deficiens esset postmodum videatur, defectum abjecisse: sed una cum causa, Patre scilicet, simul exsistant qui sunt ex illo, ut nihilominus tum Pater, tum Spiritus suam retinuerint simplicitatem; Filius vero, carnis nostræ assumptione factus sit compositus.

Ἔδει γὰρ Θεοῦ βουληθέντος διὰ σπλάγχνα ἐλέους ἐν ἡμετέρᾳ μορφῇ τὴν λογικὴν ἡμῶν εὐγένειαν διαῤῥυεῖσαν πρὸς ἑαυτὸν ἀνασῶσαι, Υἱὸν εἶναι τὸν τοῦτο πραγματευσόμενον· οὐ μόνον ὅτι ὅπερ ἦν ἀΐδιος,

Par enim erat, ut cum Deus per misericordiæ viscera rationalem nostram ingenuitatem, quæ in natura nostra diffluxisset, ad se ipse reparare statuisset, id negotii per Filium gereretur: nedum

Digitized by Google

ea ratione, quia quod æterna esset generatione, A postmodum audiens, a suis ipse haudquaquam excessurus erat, verum etiam, quia rationis erat ut a nobis sua nobiscum consuetudine, irrationales affectus moresque auferret. Idcirco Conditor ipse sæculorum principium sæculo recentius sumit; partu nullis infecto sordibus, meum honorat partum; ac, quod præsentis diei solemniis agitur, carne in templo offertur, Deo me, a profana immundaque in impietate conversatione, vindicans sacransque. Id hodie agit provide, qui nostri causa factus est infans. Hoc festivitatis hodiernæ argumentum est: nempe infantis in templo oblatio, cui igneis ab oribus offertur laudatio. Quis non horreat? Quis non stupeat? Quis non in gratiarum solvatur actiones? Qui ut Deus universa perficit, mortalium formatione in imperfecta cernitur ætate. Qui considet Patri, manibus gestatur maternis. Cujus verbo vocatum lumen prodiit, in vitæ nostræ nebula procedit. Cæci gentium oculi in atra mortis nocte sedentium, illuminamini, qui lucidam vitæ diem conspiciatis. Excisæ namque sunt ignorantiæ tenebræ, quibus a Deo discreti tenebamur, ipso se inflectente summo misericordiarum Patre atque his, qui interibant in tenebris, verum inferente lumen. Soluta mœstitia est, Deitatis splendore nobis affulgente. Videant salutare, qui propter peccati obscuritatem caligant. Ecce enim puella castis manibus invectum gestans, in umbratile intrat templum, quo sacerdotum illud manibus offerat. O inclinationis summæque illius demissionis altitudinem! Qui Aaronem delegerat in ministerium, priorique Moysi fuerat collocutus; quem etiam hodiernæ diei docet mysteria, qua posteriora ostendit C (Deus namque suam posteris temporibus cum hominibus futuram consuetudinem ænigmate designans, Moysi, famulo suo posteriora videre concedit [89]): tanquam sacerdotali indigens benedictione, sacerdoti offertur; nimirum, eo modo volens reparare, quod in legem offendens, crimen commisissem.

Quænam tanta hæc benignitas, ineffabilisque misericordia? Ex servili ego conditione, dominorum propriis honestatus privilegiis, ac tanquam dominus, meique juris vivens, meæ custodem gloriæ legem repuli: Dominus autem, sempiternæ jure hæreditatis dominium possidens, vitæ cum servis societatem minime renuit; atque adeo legi servis latæ morem gerit. Quorsum id vero? Nimirum, ut mihi præbeat quo excusem ordinis desertionem, meæque inobedientiæ crimen diluat: ac si pater D amoris visceribus plenus pœnæ obnoxium nepotem videat, tumque mali causam in filium longe solertiorem, ipsius diluendum opere, conferat. Quodnam horrendum hoc opus, universisque excellentius, si qua Deus operatus est!

Sane quidem magnum quid extentum cœlum, terraque super nihilum fundata, nec non lumen verbo obaudiens, ut mundo toto late effulgeat;

τοῦτο καὶ ὕστερον χρηματίζων, οὐκ ἔμελλε τῶν ἰδίων ἐκστήσεσθαι, ἀλλ' ὅτι καὶ Λόγου ἦν ἐξ ἡμῶν ἀπεσκευάσθαι τὴν ἀλογίαν οἰκείᾳ προσομιλήσει. Διὰ τοῦτο ὁ τοὺς αἰῶνας δημιουργήσας, ἀρχὴν μεταγενεστέραν αἰῶνος λαμβάνει· ἀῤῥυπάντῳ ἀποτέξει τὰς ἐμὰς ὠδῖνας τιμᾷ· καὶ, τὸ νῦν τελούμενον, σαρκὶ προφέρεται ἱερῷ, ἐμὲ ἱεροποιῶν, τῆς ἀνιέρου καὶ ἀκαθάρτου ἐν ἀθείᾳ διαγωγῆς! Τοῦτο σήμερον τῷ δι' ἡμᾶς οἰκονομεῖται νηπίῳ. Τοῦτο ἑορτάζομεν· προσένεξιν εἰς ναὸν βρέφους, ᾧ πυρίνων στομάτων προσάγεται αἴνεσις. Τίς οὐ φρίττει; Τίς οὐκ ἐκπλήττεται; Τίς οὐκ εὐχαριστεῖ; Ὁ τὰ σύμπαντα τελειῶν ὡς Θεὸς, ἐν ἀτελοῦς ἡλικίας ὁρᾶται γηγενῶν διαπλάσει. Ὁ συγκάθεδρος τῷ Πατρὶ, χερσὶ βαστάζεται μητρικαῖς. Οὗ ῥήματι καλούμενον προῆλθε τὸ φῶς, ἐν τῇ ὁμίχλῃ τοῦ ἡμετέρου βίου προέρχεται. Ὀφθαλμοὶ ἀλαμπεῖς τῶν ἐν τῇ μελαίνῃ τοῦ θανάτου νυκτὶ καθημένων ἐθνῶν, φωτίσθητε, τὴν φωτεινὴν τῆς ζωῆς ἡμέραν θεώμενοι. Ἐτμήθη γὰρ τῆς ἀγνοίας τὸ σκότος, ᾧ B Θεοῦ διιστάμενοι κατειχόμεθα· δυσωπήσαντος ἑαυτὸν τοῦ μεγάλου τῶν οἰκτιρμῶν Πατρὸς, καὶ τοῖς ἐν αὐτῷ ἀπολλυμένοις, τὸ ἀληθινὸν φῶς ἐπιφάναντος. Ἐλύθη τὸ σκυθρωπὸν, τοῦ ἀπαυγάσματος ἡμῖν τῆς Θεότητος ἐπιλάμψαντος. Ἰδέτωσαν τὸ σωτήριον, οἱ διὰ τὴν ἀμαυρὰν μύοντες ἁμαρτίαν. Ἰδοὺ γὰρ κόρη παλάμαις ἀγναῖς ἐποχούμενον γέρουσα, εἰς σκιώδη ναὸν εἰσελαύνει, χερσὶν ἱερέως τοῦτο προσάγουσα. Ὦ βάθος συγκαταβάσεως! Ὁ πρὸς λειτουργίαν τὸν Ἀαρὼν ἐκλεξάμενος, καὶ πρὸ τούτου προσομιλῶν τῷ Μωσεῖ· ᾧ καὶ τὰ νῦν μυστήρια ἐν τῇ τῶν ὀπισθίων μυεῖ παραδείξει· τὴν γὰρ ἐν ὀπίσω καιροῦ ὁμιλίαν αὐτοῦ ἀνθρώποις αἰνιγματίζων Θεὸς, τῷ θεράποντι τὰ ὀπίσθια δείκνυσιν· ὡς ἱερατικῆς χρῄζων εὐλογίας προσφέρεται ἱερεῖ. Οὕτως ἐμοὶ εὐδοκήσας ἐπηνωρθωκέναι τὸ πταῖσμα, ὃ νόμῳ προσκρούσας διεπραξάμην.

Τίς ἡ φιλανθρωπία, καὶ ὁ οἶκτος ὁ ἄφατος; Ἐκ δούλων ἐγὼ δεσποτικοῖς τιμηθεὶς προνομίοις, καὶ οἷα δεσπότης διαιτώμενος, τὸν φύλακα τῆς ἐμῆς δόξης διωσάμην νόμον. Δεσπότης δὲ ἀΐδιον κλῆρον ἔχων τὴν δεσποτείαν, οὐ παραιτεῖτσι τὴν μετὰ δούλων συνδιαίτησιν, καὶ τῷ κειμένῳ δούλοις διὰ ταῦτα πειθαρχεῖ νόμῳ. Ἵνα τί γένηται; Ἵν' ἐμοὶ τῆς ἀταξίας ἀπολογίαν παραστήσηται, καὶ τοῦ τῆς ἀνηκοΐας ἀπαλύσῃ ἐγκλήματος, ὥσπερ ὑπόπλεως φιλτρόου πατὴρ ἔκγονον ἐπιτιμίοις ὀρῶν ὑποκείμενον· εἶτα τὸ αἴτιον τῆς κακώσεως τῷ παιδὶ κατὰ πολὺ δεξιωτέρῳ, αὐτοῦ διαλύσαι τῷ ἔργῳ. Τί τὸ φρικτὸν τοῦτο ἔργον, καὶ πάντα ὑπεραῖρον ὅσα Θεὸς εἰργάσατο!

Μέγα μὲν οὖν οὐρανὸς ἐκτεινόμενος· καὶ γῆ ἐπ' οὐδενὸς ὑποστηριζομένη· καὶ φῶς ὑπακούων τῷ ῥήματι, πρὸς ὅλου κόσμου ἀγλαΐαν· καὶ πρὸ τούτου

[89] Exod. xxxiii, 3.

Digitized by Google

δῆλοι δῆμοι περιιόντες εἰς λειτουργίαν· ἀλλὰ Θεὸς ἐν μήτρᾳ χωρούμενος καὶ πλαττόμενος, μεῖζον ἔργον καὶ θαυμαστότερον· τοῦτο θειότερόν τε καὶ ὑψηλότερον, Θεὸς δι' ἡμᾶς θηλάζων καὶ χερσὶ βασταζόμενος. Εἰ καὶ τοῖς λαλοῦσιν ἀδικίαν εἰς ὕψος, ἀφορμὴ τῆς τοῦ Μονογενοῦς ἀθετήσεως γίνεται[31] ὥσπερ δέον ἐκ τῶν ἀμεινόνων ἔργων, ἐξευτελίζειν τὸν ἐπιστήμονα· ἢ ἀφ' ὧν τινι τὸ μαρτύριον τῆς ὑπεροχῆς τῆς δυνάμεως;, ἐκεῖθεν αὐτῷ πειρᾶσθαι τὸ κραταιὸν καθαιρεῖν. Τί λέγεις; ἐπειδή σοι κατορωρυγμένῳ ἐν σκότει ἐπεφάνη τὸ φῶς, ἀτιμάζεις τὸ φῶς; Καὶ ὅτι ὁ Βασιλεὺς οἶκτον λαβὼν τῆς σῆς ταλαιπωρίας πρὸς σὲ παραγίνεται, καὶ οὐχ ἑτέρῳ ἐπιτρέπει, ἀλλ' αὐτός σοι διακονεῖ τὴν χρηστότητα, ἐκ τῆς ὑπερβολῆς τῆς εὐεργεσίας, πρὸς καταφρόνησιν ἔρχῃ τῆς δόξης τοῦ εὐεργέτου; καὶ διὰ τὴν πρὸς σὲ ταπείνωσιν οἴει τὸ ἐκείνου ὕψος ταπεινοῦν; Καίτοι διὰ τοῦτο ἐχρῆν τὸ μεγαλεῖον τιμᾶν· σὺ δὲ, ἐπειδὴ βρέφος καὶ σπάργανα καὶ χεῖρας περιπούσας, καὶ τὰ ἄλλα ὅσα διὰ τὴν σὴν οἰκονομεῖται σωτηρίαν, ἀκούεις, τὴν προαιώνιον δόξαν ἀποστερεῖς τὸν Λόγον· ὥσπερ ἂν εἰ καὶ τὸν βασιλέα, διότι αὐτός σοι παραγεγονὼς ἦρε τοὺς τῆς κακώσεως πόνους, ἠξίους ἀποστερεῖν τοῦ διαδήματος; ὅτι διὰ σὲ κτίζεται μητρὸς χρηματίζων υἱός, διὰ τοῦτο τῆς πατρικῆς διαιρεῖς συναφείας, καὶ μετὰ τῶν κτισμάτων συναριθμεῖς, καὶ μηδὲ τῆς κάτω γεννήσεως; τοῖς πολυπραγμονοῦσιν οὐσης ληπτῆς; ἥπλωται γὰρ καὶ ταύτης ἀδιέκβατος γνόφος ἀποκρυβῆς· σὺ δὲ, κόραις, ὃ δὴ λέγεται, ἀτενέσιν ἐξ ἀναιδείας τὰ ἐκείνα τῶν αἰώνων καταλαμβάνεις, καὶ διατάττεις ὡς ἡ σοῦ θεωρία βούλεται τῷ Υἱῷ; Ὡς τυφλόν σου τὸ ὀξυωπὲς, καὶ ἠλίθιον τὸ σοφόν! Ἀλλὰ τῶν φρενοβλαβῶν τῆς παραπληξίας ἀφέμενοι, τῶν παρόντων ἐχώμεθα, καὶ τὰ τῆς ἡμέρας θειάζωμεν, ἱεροῖς ὀφθαλμοῖς πρὸς ναὸν εἰσιοῦσαν θεώμενοι τὴν τοῦ κόσμου παράκλησιν.

Ἤδη μὲν οὖν πρόσθεν ἐν σπηλαίῳ διαιτωμένῳ τῷ Βασιλεῖ, ἡ ἐκ τῶν ἄνω βασιλείων ἐφοίτα δορυφορία· οὐράνιοι δῆμοι προσάδοντες· ἀστὴρ ὁδηγῶν βασιλεῖς, καὶ ἀνακειμένῳ ἐν φάτνῃ τῷ Δεσπότῃ προσκυνοῦντας προσάγων· καὶ τὴν εὐτέλειαν ἡ δεσποτεία ἐδορυφόρει, μηνύοντος τοῦ θείου πλούτου τὴν ἐκούσιον τοῦ ἀστέγου [καὶ] ἀοίκου πτωχείαν. Πῶς δὲ τὰ παρόντα; Μήτηρ ἡ λοχευσαμένη οὐ κατὰ μητέρας, γονὴν πρωτότοκον ἑαυτῆς ἅπεισι Θεῷ παραστήσουσα· βρέφος ἐν εὐτελέσι σπαργάνοις τῶν νομίμων τυχεῖν προσφέρει τῷ ἱερεῖ· ὑποδέχεται ὁ ἱερεύς. Τί τὸ ἐνταῦθεν; Ἀγκαλίζεται βρέφος, καὶ Δεσπότην ὑμνεῖ. Ὡς ἄρτι πρὸς γένεσιν παριοῦσαν τῆς φύσεως βλάστην λαμβάνει, καὶ ζωῆς ἀπολελύσθαι ὡς πλάστην αἰτεῖ. Τί φθέγγῃ; Τί γέγονεν, ἱερεῦ; Οὐ συμβαίνοντα τοῖς ὁρωμένοις λαλεῖς. Ποῦ τῆς δεσποτείας ὁ ὄγκος; Ποῦ τοῦ ἀξιώματος τὰ γνωρίσματα; Οἱ δορυφόροι δὲ ποῦ; οἱ συντρέχοντες; οἱ προπομπεύοντες; οἱ ἑφεπόμενοι; ὁρᾷς τὴν εὐτέ-

eoque prius secreti a materia populi, præsto exsistentes ad ministerium : longe enimvero majus opus, ac majorem habens admirationem, ut Deus in vulva capiatur atque formetur : divinius hoc ac sublimius, ut Deus nostri causa lactens exsistat, ac manibus portetur, quanquam iis qui loquuntur iniquitatem [31] in excelso occasio, ut Unigeniti gloriæ detrahant : tanquam peritus artifex spernendus sit ob præclariora opera ; aut inde conandum sit ut cujuspiam potentiam convellamus unde illi excellentis potentiæ testimonium accedit. Quid ais? quod tibi in tenebris obruto lumen affulserit, lumen infamas? Ac quia Rex tuæ misertus miseriæ ac calamitatis ad te ipse venit, nec negotium alii committit, sed tibi ipse bonitatem ministrat, ex beneficii summa præstantia, in ejus contemptum gloriæ procedis, qui te eo impertit? putasque, ob eam humilitatem, qua se tibi inclinavit, illius deprimi celsitudinem? Atque ea ratione majestas honore efferenda erat : tu vero, propterea quia infantem, fasciasque, ac manus foventes audias, sæculis antiquiorem gloriam Verbo adimis; haud secus ac si regem, quod ipse ad te, laboribus levaturus quibus affligereris advenisset, diademate spoliare velles? Quia tui ergo creatus, matris filius audit, idcirco ejus cum Patre conjunctionem divellis, connumerasque creatis; cum tamen ne ipsa quidem ejus in terris nativitas, curiosis comprehensa sit? Nam huic quoque impermeabilis caligo, quæ sit latibulo, superfusa est : tu vero, intentis pupillis, ut dici solet, præ impudentia, ea quoque quæ sæcula antecedunt, comprehendis atque Filio, quem velit intellectus tuus, ordinem præscribis? Quam cæca tua illa visus acuties ac sapientia stulta! Enimvero stultorum nos omissa amentia, argumento insistamus, dieique celebremus mysteria sacris oculis ingredientem in templum spectantes, mundi consolationem.

Jam vero prius agenti Regi in spelunca, a cœli regalibus sedibus satellitium venerat, nimirum accinentes supernorum civium populi; stella regum ductrix, jacentique in præsepio Regi, eosque adoratores admovens : ac dominatus, vilitatem obsequio fovebat, indicantibus deitatis divitiis, ejus spontaneam paupertatem, qui sine tecto ac domo erat. Qua vero ratione habent præsentia? Mater utique, alia ac matrum ratione, suscepta editaque prole, primogenitam illam Deo oblatum abit : Infantem sacerdoti offert vilibus obtectum pannis, ut legitimorum ac legalis benedictionis compos fiat. Suscipit sacerdos. Quid vero inde? In ulnas susceptum stringit infantem, ac laudat Dominum. Tanquam recens procreatum accipit naturæ germen, utque mundi fictorem, vitæ missionem rogat. Quid loqueris? Quid ita, sacerdos, factum est? Non congruunt iis quæ cernuntur, quæ ipse ais. Ubinam dominationis fastus? Ubinam dignitatis indicia?

[31] Psal. LXXII, 8.

Digitized by Google

Ubinam satellites? Ubinam qui simul gradiantur; qui præeant; qui sequantur? Vides quanta sit abjectio, Dominumque dicis? Tenes infantem nudius tertius in vitam progressum, affarisque tanquam vitæ habentem imperium? Quomodo in propensa adeo paupertate, magna mirandaque conseris, vocasque Israelis gloriam, ac gentium appellas lumen, pauperculæ matris puellum? Cæterum adde quod reliquum laudatio habet, ac perge celebrare lumen nostra occultatum carne, tanquam velo. Quidnam aget? Quid molietur? Plane duas rerum faciet sortes, aliorum resurrectio, aliorum ruina exsistens; quem senex intueris duplicem, ac quidem dejectos exsuscitabit atque eriget; elatos autem dejiciet atque deprimet; suaque ipse afflictione ac cruciatu etiam matris Virginis animam, tristitiæ gladius feriet.

A λειαν δση, καὶ Δεσπότην καλεῖς; νήπιον ἄρτι παρελθὸν εἰς βίον κρατεῖς· καὶ ζωῆς ὡς κρατοῦντι ῥήματα φθέγγῃ; Πῶς ἐν οὕτω πενιχροῖς μεγάλα προσαρμόζεις καὶ θαυμαστά; καὶ δόξαν Ἰσραὴλ καλεῖς, καὶ φῶς ἐθνῶν προσαγορεύεις, νήπιον μητρὸς εὐτελοῦς; ἀλλὰ προστίθει καὶ τὰ λοιπὰ τῆς εὐφημίας τῷ ὡς ἐν παραπετάσματι τῷ ἡμετέρῳ σαρκίῳ κρυπτομένῳ φωτί. Τί τελέσει; τί πραγματεύσεται; Ἡ διπλᾶ τελέσει τὰ πράγματα, τῶν μὲν ἀνάστασις ὢν· τῶν δὲ, πτῶσις· ὁ διπλοῦς σοι ὁρώμενος, γηραιέ· καὶ τοὺς μὲν ἐξεγερεῖ καταβεβλημένους· τοὺς δὲ καταβαλεῖ ἐπηρμένους· καὶ διαθήσει εὖ τὰ βροτῶν ἰδίᾳ κακώσει, ὅτε καὶ Μήτηρ ἡ παρθενεύουσα, λύπης ῥομφαίᾳ πεπλήξεται τὴν ψυχήν.

mortalium res statu meliori componet, quando etiam matris Virginis animam, tristitiæ gladius feriet.

Noverat enim Dei occisorum facinus, utque cædem stillantes manus armandæ in eum forent, qui manibus gestaretur: ut modo quidem in pannis ac cunabulis, furens Herodes sit persecuturus, Ægyptusque susceptura hospitio eum, qui violati juris hospitii pœnam reposcens, olim Ægyptum cecidisset: ut denique gladii infantum tingantur cæde, qua infantis cædem molientur. Par namque erat, ut Deo nato in terra virginalibus ex sanguinibus, coætanei in cœlis fuso sanguine nascerentur: priorque illa ætas adventus Dominici fructum perciperet, quæ prior infantibus accensum vidisset; tumque universis commodum accederet, necato ipso omnium causa regenerationis: quando magnus ille Patris Nuntius, peracto opere cujus missus est consummator, cœli sinum omnibus pariter aperturus est.

B Ἤδει γὰρ τῶν θεοκτόνων τὸ τόλμημα, καὶ ὡς χεῖρες ἀποστάζουσαι φόνου, κατὰ τοῦ χερσὶν ὀχουμένου ὁπλισθήσονται· νῦν μὲν ἐν σπαργάνοις αὐτὸν μεμηνὼς Ἡρῴδης διώξεται, καὶ ξενίσει Αἴγυπτος, τὸν πάλαι ταύτην διὰ κακοξενίαν μαστίξαντα· καὶ βαφήσεται ξίφη κατὰ σφαγῆς νηπίων, διὰ τὴν σφαγὴν τοῦ νηπίου. Ἔδει γὰρ Θεοῦ ἐκ παρθενικῶν αἱμάτων ἐπὶ γῆς τεχθέντος, συνηλικιώτας αὐτῷ δι' αἵματος οὐρανοῖς ἀποτεχθῆναι· καὶ προτέραν ἐκείνην τὴν ἡλικίαν ἀπόνασθαι τῆς Δεσποτικῆς παρουσίας, ἣ τοῦτον εἶχε πρώτη ἐν τοῖς νηπίοις ὁρώμενον· ὕστερον δὲ πᾶσιν ἡ ὠφέλεια ἥξει, ἐκείνου τῆς πάντων [d] ἀναγεννήσεως τὴν σφαγὴν ὑφισταμένου· ὅτε ὁ μέγας τοῦ Πατρὸς Ἀπόστολος, οὗ ἀπέσταλται ἔργου τελειωτὴς περαθέντος, ὁμοῦ πᾶσι τοὺς οὐρανίους κόλπους ἀναπετάσει.

loco, quasi pro mercede, spinas mihi submittentem : at jam terra non amplius tribulos et spinas proferet, neque maledicta in operibus erit. Nam natura ligni, quo talia subministrabantur, fecunditatem præclarorum fructuum mihi suppeditavit. Conversa sunt omnia : tristitia in gaudium, maledictio in benedictionem, spina in dulcissimum fructum. Sola immutabilis remansit pœna, qua multatus est hostis, ob ea, quæ male in me patrarat. Jam supra ventrem lubricus serpens serpit. Cum enim ex divina illa celsitudine sponte exciderit, non amplius abdicabit sese malitia, quæ humi repit. Terram adhuc comedit gravem illam, quæ ei dolores conciliat, eo quod conatus sit, eum, qui per viscera misericordiæ ex limo terræ ad cœlestem beatitudinem evectus erat, rursus ad limum terræ detrudere ; et hæc quidem ita se habent. Interim incessabilis ille dolor et inconsolabilis afflictio et ærumna perpetim durat ; quæ vero nobis angorem creabant, illa in requiem et pacatissimam relaxationem desierunt. Verum enim vero hoc divinam Providentiam decebat, ut non solum male affectum miseraretur, et a circumsistentibus incommodis liberaret, sed ut id quoque, quod occasio doloris fuit, in materiam hilaritatis commutaret, et per id quo inimicus læserat, ipse vicissim lethale vulnus acciperet, qui nunc oberrat gemens et ejulans beneficio ligni, quo me antea profugum fecerat. Fugi enim a facie Dei nuditatem meam reveritus. Nunc ipsum ab omni creatura expulsum conspicor. Et loco ejus, quod tunc foliis subsidii causa indigui, ipse nunc omni ope destitutus circuit. Sed ego jam simul et folia et vestes pelliceas deposui ; non enim amplius his opus habeo, antiqua stola denuo recepta, quam ligno contaminatam per lignum restituerunt manus, quæ me ex terra formarunt, in hoc expansæ manus, inquam, illæ, quarum extensionem et vim Moyses olim suarum manuum extensione præfigurabat, Amalecitarum persequens [12], reconciliato prius Moyses, qui tropæum statuit, hostilem gentem populo cum Deo.

Ἀλλὰ ταῦτα μὲν Μωϋσῇ τῷ πρεσβυτέρῳ τετέλεστο· ἡμεῖς δὲ τρυφῶμεν τῶν τύπων ταῖς ἐκβάσεσιν, ὁμοῦ τῷ Ἀμαλὴκ καὶ τοῦ σκότους τοῦ ἄρχοντος πίπτοντος σὺν ἀπάσῃ τε ἀοράτῳ αὐτοῦ στρατιᾷ, οὗ καὶ πρὶν εἰς καθαίρεσιν ὡπλοποιήθη σταυρὸς καὶ νῦν ὑφούμενος ταῖς ἑαυτοῦ μαρμαρυγαῖς, οἷα ζόφον αὐτὸν ἐκ τῶν περάτων ἀποδιώκει. Ὑψοῦται ξύλον μακάριστον, ἐν ᾧ πάλαι θεὸς χερσὶ μιαφόνοις ὑψωθεὶς ἐχλευάζετο, ὁ χλεύης ἐλθὼν ἀπαλλάξαι τοὺς ὑβριστὰς καὶ ἀγνώμονας. Ὑψοῦται ξύλον, ὃ πάλαι μὲν συναγωγὴ πονηρὰ χερσὶν ἐτεκτήνατο παλαμναίαις, θανάτῳ διανοηθεῖσα τὴν ζωὴν προδοῦναι, σφᾶς δ' αὐτοὺς ἀποστερήσαντες τῆς ζωῆς οἱ πονηροὶ γεωργοὶ, οἱ τῷ κληρονόμῳ τόλμαν ἀράμενοι πονηρὰς χεῖρας ἐπιβαλεῖν, οἵγε κληρονόμον ὁμολογοῦντες φθόνῳ καὶ μανίᾳ μεθύοντες τὴν αὐτοῦ δόξαν οὐ συνῆσαν, ᾗ φησι τὸ λόγιον, *Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν*

Et hæc quidem ab antiquo illo Moyse peracta sunt. Nos autem exsultamus figurarum eventibus, simul Amalecitis et principe tenebrarum corruentibus, cum universo suo invisibili exercitu, in cujus exitium prius quoque crux est fabrefacta, et nunc exaltata, splendore suo, velut caliginem quamdam, ipsum ex finibus terræ exterminat. Exaltatur beatum lignum, in quod olim a sceleratis manibus actus irridebatur is, qui venerat, ut ab irrisione injuriosos illos et ingratos liberaret. Exaltatur lignum, quod olim maligna synagoga manibus funestis fabricaverat, morti vitam tradere conata ; interim seipsos propria vita privarunt improbi illi agricolæ, qui hæredi, sumpta audacia, nefarias manus injecerunt ; qui hæredem esse fassi, invidia et furore ebrii, gloriam ejus non intellexerunt, ut sacræ Litteræ testantur : *Nam si cognovissent, non*

[12] Exod. XVII, 9.

Digitized by Google

atique Dominum gloriæ crucifixissent[13]. Non cognoverunt, quia cognoscere noluerunt, tota cogitatione ad invidiam conversa, gloriæque magnitudinem, etsi manifestam, agnoscere detrectantes, non dederunt locum rationi ad intelligendum, ut tantam rabiem cohiberent, tantum ad sanguinem Domini effundendum intenti : sed viderunt et cognoverunt hæredem.

Cognoverunt certe, non ut tanquam Dominum gloriæ honorarent, sed ut ignominiosa morte perimerent. Ea enim invidiæ natura est. Non recipit, quæ confitetur ; neque id quod videtur, videre vult, neque assentiri iis, quæ negari nequeunt. Hac occupati, populus ingratus, hæredem, gloriæ Dominum, quem noverant (quomodo enim divinam ejus majestatem ignorare poterant illi, apud quos tot tantisque miraculis fulgebat ?) quasi non cognitum in ligno extendunt, cujus virga præsignificans vim et efficaciam, scelestum Pharaonem cum curribus et ascensoribus in profundum demersit, viam libertatis aperiens populo, qui luto et lateritio opere afflictus fuerat. Non conflictabor ergo amplius luto et gravi lateritio opere peccati. Jam enim salutifera virga mundi hostem nobis infensissimum cum tota potentia et tyrannide peccati obruit : mihi vero misero et destituto salutis viam pandit. Violenter quidem persecutor me insecutus est, sed ab impetu cohibitus est terribili quodam obstaculo objecto. Vidit divinam armaturam, et concidit potentia. Radii hujus effulserunt, tenebrasque instantes et persequentes dispulerunt. Vidit regium sceptrum improbus ille genius, et desertor tyrannus, et horrore perfusus in summas angustias detrusus est. Quid ergo ? An, o omnis improbitatis repertor et artifex, adhuc in altum loqueris sublimia, et magnifice gloriaberis, quasi manus tuas sis extensurus, totumque terrarum orbem velut ova detractis putaminibus in altum rapturus ? Nequaquam. Quin magnas ob magniloquentiam istam pœnas pendis. Igitur non solum tibi non licet manus extendere, sed neque movere. Dissolutæ enim jam sunt et inefficaces redditæ, cruce usque ad fines terræ extensa.

Jam olim quidem hominem perversis tuis persuasionibus obtemperantem reliquit Deus, non ut tibi, scelestissime, prædæ esset (non tantopere ob meum errorem benignissimus Pater irascitur), sed eo usque duntaxat deserit, ut casus sui gustum quemdam et sensum habeat, eoque magis intelligat, qua ratione insidiatorem vitare debeat, vel rectius loquendo, ipse non derelinquit, quia cum ego propria malitia ex paterno sinu me præcipitarim, ad modicum spatium insultum et impressionem tibi, improba bestia, permisit, ut ego calamitate pressus, rursum ad paternas ulnas me recipiam. Tu quidem putabas, cum fraude abreptus essem, me omnino a paterna cura et providentia abjectum esse, neque aliquid consolationis vel spei de reditu superesse,

A τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. Οὐκ ἔγνωσαν, ἐπεὶ μηδ' ἠβουλήθησαν γνῶναι, ὅλον τὸν λογισμὸν ἐπὶ τὸν φθόνον ἀποκλίναντες, καὶ τὸ μεγαλεῖον τῆς δόξης, καί τοι γε φανερὸν ὄν, συνιδεῖν οὐκ ἐθέλοντες. Οὐκ ἔδωκαν τόπον τῷ λογισμῷ συνεῖναι, ὥστε τὴν τοσαύτην λύτταν ἐπισχεῖν, πρὸς μόνον τὸ κενῶσαι τὸ δεσποτικὸν αἷμα ὀξεῖς γεγονότες. Ἀλλ' εἶδον μὲν καὶ συνιᾶσι τὸν κληρονόμον.

Συνιᾶσι μέν τοι ἐφ' ᾧ οὐχ ὡς Κύριον δόξης τιμῆσαι, ἀλλ' ἐφ' ᾧ παραδοῦναι θανάτῳ ἀτίμῳ. Τοιοῦτον γὰρ ὁ φθόνος· οὐ καταδέχεται ἃ ὁμολογεῖ, οὐδ' ὁρᾷν βούλεται τὸ φαινόμενον, οὐδὲ κατατίθεσθαι τούτοις, ἃ μὴ ἀρνεῖσθαι δυνατόν. Τούτῳ κρατηθέντες, λαὸς ἀγνώμων τὸν κληρονόμον τῆς δόξης τὸν Κύριον, ὃν ᾔδεσαν (πῶς γὰρ ἐνῆν, ἀγνοεῖν τὴν θεϊκὴν αὐτοῦ B δόξαν, οἷς τῇ ὑπερφυΐᾳ τῶν θαυμάτων διέλαμψε ;) ὡς μὴ εἰδότες ἐπὶ ξύλου τανύουσι, οὗ ῥάβδος προμηνύουσα τὴν ἐνέργειαν, τὸν ἀλιτήριον Φαραὼ αὐτοῖς ἅρμασι καὶ ἀναβάταις θαλάσσῃ ἐβύθιζεν, ἐλευθερίας ὁδὸν τέμνουσα πηλῷ καὶ πλινθείᾳ ταλαιπωρουμένῳ λαῷ. Οὔκουν οὐκέτι πηλῷ καὶ πλίνθῳ τῇ βαρείᾳ τῆς ἁμαρτίας ἐργασίᾳ ταλαιπωρήσω· ἤδη γὰρ ἡ τοῦ κόσμου σωτήριος ῥάβδος Φαραὼ μὲν τὸν δυσμενῆ, αὐτῇ δυνάμει καὶ τυραννίδι τῆς ἁμαρτίας, κατακαλύπτει, ἐμοὶ δ' ἐξηπορημένῳ σωτηρίας ὁδὸν ὑπανοίγει. Βιαίαν ὁ διώκτης ἐποίησε τὴν δίωξιν κατ' ἐμοῦ, ἀλλὰ τῆς ῥύμης ἔστη περιτυχὼν κωλύματι φοβερῷ. Εἶδεν ὅπλον θεῖον, καὶ συνετρίβη τὴν δύναμιν. Ἐπέστραψαν αἱ τούτου ἀκτῖνες, καὶ τὸ διῶκον C σκότος ἐδίωξαν. Εἶδε τὸ βασιλικὸν σκῆπτρον ὁ ἀλάστωρ, ὁ ἀποστάτης τύραννος, καὶ φρίκῃ συσχεθείς, ἐξηπόρησε. Τί ἔτι ; Ἆρ' οὖν, ὦ τῆς κακίας εὑρετά, ἔτι λαλήσεις εἰς τὸ ὕψος ὑπέρογκα, καὶ μεγαλορρημονήσεις ἐκτενεῖν τὰς χεῖρας, καὶ πᾶσαν ἐξαρεῖν ὡς ὠὰ καταλελειμμένα τὴν οἰκουμένην ; Οὐδαμῶς, ἀλλὰ καὶ φοβερὰν εἰσπράττῃ τῆς μεγαλορρημοσύνης τὴν ποινήν. Οὐκ οὖν περιέσται σοι μὴ ὅτι ἐκτείνειν, ἀλλ' οὐδὲ κινεῖν τὴν χεῖρα· παρείθη γὰρ καὶ γέγονε ἀνενέργητος, τοῦ σταυροῦ εἰς τὰ πέρατα διεκταθέντος.

Πάλαι μὲν οὖν τὸν ἄνθρωπον ταῖς σαῖς σκολιαῖς παραγωγαῖς πειθαρχήσαντα, λείπει Θεός, οὐχ ἵνα σοι τῷ πελαμναίῳ ἅρπαγμα γένηται· οὐχ οὕτως ὁ D φιλάνθρωπος Πατὴρ ἐπὶ τῷ ἐμῷ παροργίζεται σφάλματι· ἀλλὰ τοσοῦτον μόνον καταλείπει ὅσον συναίσθησιν λαβεῖν τοῦ σφάλματος, καὶ μαθεῖν δι' ὧν φυλάξομαι τὸν ἐπίβουλον· μᾶλλον δ' οὐδ' αὐτὸς καταλείπει, ἀλλ' ἐμοῦ κακῶς τῶν πατρικῶν ἀποσκιρτήσαντος κόλπων, ἐπὶ βραχὺ τὴν καταδρομήν σοι τῷ πονηρῷ διαφῆκε θηρίῳ, ἵν' ἐγὼ συσταλεὶς πάλιν τῇ πατρώᾳ προσδράμω ἀγκάλῃ. Σὺ δ' ἆρα ᾠήθης, ἐπεὶ παρεκλάπην παντάπασιν ἀπερρίφθαι πατρικῆς προνοίας, καὶ μηκέτι παραμύθιον μηδ' ἐπιστροφὴν εἶναί μοι, ἀλλὰ τὸν οὕτω Θεοῦ τιμηθέντα εἰκόνι καθάπαξ ὑποχείριον οἷα δὲ ἅρπαγμα ἐπειράθης ποιῆ-

[13] I Cor. II, 8.

Digitized by Google

σασθαι. Ἀλλὰ μάνθανε νῦν, ὡς μάτην μὲν ἡ κακίστη τέχνη διεσπουδάσθη σοι τῆς ἐπιβουλῆς, μάτην δέ με τῷ φυτῷ ὑποθέλξας τῆς γνώσεως τοῦ τῆς Ἐδὲμ ἐξάγεις χωρίου. Μάτην δὲ σοβαρὸς περιῇεις, ἐφ' οἷς ἐπεπόνθειν ἐγὼ, κομπάζων ἐπὶ ταῖς σαῖς ἀπάταις καὶ σεμνυνόμενος.

Ὅρα γὰρ οἷά μοι γέγονε, μᾶλλον δ' ὁρᾷς καὶ περιφέρεις ὀδύνης κέντρον ἀπαραμύθητον. Ἰδοὺ γὰρ ἐν Κρανίῳ τῆς ζωῆς μοι ξύλον ἀνέθη, δι' οὗ καὶ παράδεισον καὶ ἀθανασίαν, καὶ τὴν πρὸς τὸν πλάστην οἰκειότητα, τὸν ἀρχαῖον ἀπολαμβάνω πλοῦτον. Νῦν σε μᾶλλον ἢ τότε θερμότερος ἀνσφλέγει φθόνος, μάλιστά γε, ὅ τι καὶ ὀρῴης ἐξαποροῦντα. Πᾶσα γὰρ κακοτεχνίας μηχανὴ περιῄρηται, οὐδ' ἔστι δι' ὧν ἔτι πόρον πρὸς ἀπάτην λάβοις. Οὐ γὰρ μόνον ὑποψιθυρίζειν οὐ παῤῥησιάσῃ, ἀλλ' οὐδὲ οἰστόν σοι μένειν τὴν ἀπὸ τοῦ θείου τούτου φυτοῦ δύναμιν προϊεμένην. Ἰδού μοι τὸ βασιλικὸν σκῆπτρον οἷα παιδὶ ἠγαπημένῳ δίδωσιν ὁ Δεσπότης. Δι' οὗ σε τὸν σκολιὸν θανατώσας ὄφιν τὴν ζωὴν ἐχαρίσατο. Νῦν μοι τὸ μέγα τῆς ἀσφαλείας ὅπλον ἐχαλκεύθη, δι' οὗ πάσης ἐπιβουλῆς ἀμείνων καθίσταμαι. Ἀλλ' ὦ ξύλον μόνον ἐκ φυτῶν θείου νάματος ἀρδείᾳ πιανθέν! Ὦ ξύλον φυὲν μὲν ἐν Κρανίῳ, πᾶσαν δὲ γῆν περιλαβὸν τῇ σκιᾷ, ἐν ᾧ τῆς κακούσης ἁμαρτίας διανεπαυσάμην! Ὦ φυτὸν ἐν γῇ μὲν βλαστῆσαν, ὑπερῆκον δὲ τὸν οὐρανὸν, οὗ τὸν ἀμύθητον ἄγγελοι καρπὸν ὁρῶντες, τὴν μεγάλην σοφίαν τοῦ φυτοκόμου θαυμάζουσιν ἐκπληττόμενοι, ὁρῶσι καρπὸν τῶν ἀνθρώπων τὴν σωτηρίαν, τοῦ θανάτου κατάλυσιν, τὴν εἰς τὴν πατρίδα τῶν ἀνθρώπων ἐπάνοδον, τῆς φλογίνης ῥομφαίας τὴν ὑποχώρησιν, τοῦ διαβόλου τὴν ἧτταν καὶ τρόμον, καὶ τὴν ἐπὶ μόνῳ τύπῳ τῆξιν αὐτοῦ καὶ ἀφανισμόν!

Ταῦτα δὲ τοῦ σταυροῦ τὴν ἰσχὺν καὶ θειότητα πρώην εἰκόνιζον προτυποῦντες, ὁμήγυρις ἱερὰ, ἄρτι μὲν ῥάβδου προφητικῆς, ἀπάτης σοφίσματα καταπούσης Αἰγύπτια, καὶ λαὸν ἐξ Αἰγύπτου δουλείας ἐξαγούσης, ἄρτι δ' ἀκροτάτου νάματα πηγαζούσης ῥάβδου πληγῇ καὶ δίψους ἀνάγκην παραμυθουμένης, ἐρημικῇ πορείᾳ διαθλοῦντος λαοῦ. Καὶ νῦν μὲν ἀνθεῖ ῥάβδος καὶ τῆς ἱερωσύνης δωρεῖται τὸ χάρισμα τῷ βλαστήματι. Νῦν δ' ὑπὸ γέροντος πατριάρχου προσκυνεῖται, εἰ καὶ βασιλέως, ἀλλ' Υἱοῦ χρηματίζουσα ῥάβδος. Τοῦτο ἄρα ἦν, ἐπείπερ ἔμελλεν ἡ τοῦ σταυροῦ σωτήριος ῥάβδος οὐ μόνον ὑπὸ ἐθνῶν, οὓς ὁ κληρονομίαν ὁ Πατὴρ δίδωσι τῷ Υἱῷ, ἀλλὰ καὶ ὑπ' αὐτοῦ προσκυνεῖσθαι τοῦ γέροντος Ἰσραὴλ, ὃς δὴ κατὰ σάρκα γεννήτωρ ὤφθη τοῦ γεννηθέντος ἀπάτορος. Πάντως δὲ οὐδὲν ὑπεναντίον τῷ λόγῳ ἡ τούτων μέχρι καὶ νῦν πρὸς ἐπίγνωσιν ἀναβολὴ, εἴπερ κατὰ τὸ λόγιον, ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, *τὸ κατάλειμμα σωθήσεται*. Σωτηρία δ' οὐκ ἔστιν ἐν ἄλλῳ τινὶ, ἢ τῷ σταυρωθέντι

A sed eum, qui Dei imagine insignitus erat, tibi prorsus subdere, et velut rapinam, proprium facere tentasti; at disce jam, frustra te hanc pessimam fraudem et sutelam machinatum esse; frustra me ligno scientiæ delinitum, ex regione Edem educis. Frustra circuis elatus ob ea, quæ passus sum detrimenta: triumphans et mirifice te circumspiciens propter illas, quas commentus es fraudes.

Intuere enim quæ mihi evenerint: vel potius jam intueris, stimulumque insolabilem doloris circumfers. Ecce enim in Calvariæ loco lignum vitæ mihi exstitit, quo et paradisum, et immortalitatem, et conjunctionem cum Conditore, veteresque opes recupero. At tu nunc ardentiore quam olim livore contabescis, maxime cum nescias, quo te vertas. B Omnis enim versutiarum machina tibi præcisa est: neque est unde amplius occasionem ad fraudem petas. Nam non solum mussitare non audes, sed neque potes ullo modo sufferre virtutem et efficaciam, quæ ab hac divina planta emittitur. Ecce regium sceptrum, tanquam dilecto filio, tradit Dominus, quo te, versute serpens, occiso, vitam mihi donavit. Nunc mihi insignis illa armatura omnis præsidii confecta est, qua cunctis insidiis superior efficior. At o lignum solum ex omnibus plantis divini fluenti irrigatione pinguefactum! O lignum natum quidem in loco Calvariæ, at umbra tua totum terrarum orbem ambivisti, in quo a peccato, quod me affligebat, liberatus sum! O planta, in terra C quidem germinans, at cœlum transcendens, cujus ineffabilem fructum angeli dum intuentur, immensam satoris hujus sapientiam obstupescentes admirantur! intuentur fructum, salutem videlicet hominum, mortis dissolutionem, reditum hominum in patriam, flammeæ rhomphææ recessum, diaboli cladem et tremorem, ejusque ad hujus speciem duntaxat tabefactionem et fugam.

Et hanc quidem virtutem et divinitatem olim varia præfigurabant et adumbrabant, auditores, modo virga prophetica, quæ Ægyptias præstigias devoravit, populumque ex Ægyptia servitute eduxit: modo virga ictu suo ex petra aquæ copiam eliciens, sitisque urgentem necessitatem depellens, tum, cum populus itinere per solitudinem fatigabatur: D modo itidem floret virga, et sacerdotii dignitatem ipso suo germine confert: modo a patriarcha jam seniore adoratur licet regis, attamen filii virga dicta. Quod accidit, quia futurum erat, ut salutaris virga crucis non solum a gentibus, quas Pater Filio suo dat pro hæreditate, adoraretur, sed etiam ab ipso sene Israel, qui secundum carnem pater esse visus est ejus, qui sine patre genitus est. Nec adversatur orationi meæ, quod isti ad veritatis cognitionem huc usque cunctantur, quia secundum divina oracula, si numerus filiorum Israel fuerit ut arena maris, *residui salvabuntur* [76]. Salus autem in alio non est quam in crucifixo Unigenito. Cæterum

[76] Isa. x, 21; Rom. ix, 27.

Digitized by Google

veterа hæc,et id genus alia, quæ figuræ et imagines crucis nominabantur, non facile est animo comprehendere, nedum verbis eloqui. At recentia quæ ?

Hac martyres armati principatus et potestates principis hujus mundi everterunt; hac mulieres mortificatæ, eum qui potèns est in iniquitate, loco improbi mancipii habuerunt, cladem a muliebri natura illatam hoc ipso resarcientes. Hac insuper divini pastores feras ab ovili arcentes, gregem ab insidiis tutum præstant. Hac homines obliti, quod carnis pondere prægravantur, ad angelorum consortium elevantur, vitam in terra carnis expertem degentes; hæc Ecclesiarum fundamentum est, sacerdotum gloria, regum corona, civitatum firmamentum, urbium hostilium eversio, fidelium auxilium, hæc totius mundi custodia est. Hæc distantia conjunxit, inimicitiæ parietem interjectum dissolvit, pacem terrestribus et cœlestibus impertivit. At o Verbum Dei Deus, qui hominem bonitate tua condidisti, invidia vero perditum et per lignum ad extrema sublimioris vitæ delapsum, rursus per lignum in pristinam impatibilitatem restituisti, qui guttis pretiosi sanguinis tui emisti illos, qui sponte in peccati servitutem concesserant, quique gregem et populum peculiarem tibi constituisti, cujus curam et præfecturam nobis, etsi immerentibus, concessisti, largire nobis crucem tuam, salutiferam illam armaturam, in inexpugnabile subsidium, ut inaspectabiles quidem hostes perdat in finem, quos vero dextera tua conservos esse fecit, sententiarum autem varietas distraxit, hos per crucem eo usque instrue, quoad reconcilientur, et amicitiam ineant cum his qui te agnoscunt, quod pro omnium salute crucem subieris, ut omnes uno ore et uno corde tuum sanctum nomen celebremus, quia tuum est regnum et gloria, nunc et semper et in sæcula sæculorum. Amen (29).

τῷ Μονογενεῖ. Ἀλλὰ τὰ μὲν παλαιὰ ταῦτα, καὶ ὅσα ἄλλα, οὐδ' ἐπὶ νοῦν λαβεῖν ῥᾴδιον, μὴ ὅτιγε διὰ χειλέων προάγειν, ἃ τύποι καὶ εἰκονίσματα τοῦ σταυροῦ ἐχρημάτιζον. Τὰ δὲ νέα ὁποῖα ;

Τούτῳ μάρτυρες ὁπλισάμενοι τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καθεῖλον τοῦ κοσμοκράτορος, τούτῳ καὶ γυναῖκες νεκρούμεναι, καθάπερ τραυματίαν ἡγούμεναι τὸν δυνατὸν ἐν κακίᾳ, νεανικῷ ποδὶ τὴν ἐκείνου κατεπάτησαν κεφαλήν, ἐν τούτῳ τὴν ἧτταν τῆς γυναικείας ἀνακαλούμεναι φύσεως. Τούτῳ καὶ θεῖοι ποιμένες τῆς μάνδρας ἀποσοβοῦντες τὰ θηρία, τὸ πολίμνιον ἀνεπιβούλευτον διασώζουσι. Τούτῳ τῆς σαρκὸς τὴν ἀνάγκην ἄνθρωποι λαθόντες πηλῷ συνδεδεμένοι, τοῖς ἀγγέλοις συμμετεωρίζονται, ἄσαρκον ἐν γῇ πολιτείαν ἐπιδεικνύμενοι. Τοῦτο θεμέλιος τῶν ἐκκλησιῶν, ἱερέων δόξα, βασιλέων διάδημα, πόλεων ὀχύρωμα, ἐθνῶν πολεμίων ἀνατροπή, πιστῶν συμμαχία. Τοῦτο παντὸς τοῦ κόσμου φυλακτήριον, τοῦτο τὰ διεστῶτα συνήγαγε, τῆς ἔχθρας διέκοψε τὸ μεσότοιχον, εἰρήνην τοῖς ἐν γῇ καὶ οὐρανῷ ἐβράβευσεν. Ἀλλ', ὦ Λόγε Θεοῦ, ὁ πλάσας μὲν ἐπ' εὐεργεσίᾳ τὸν ἄνθρωπον, φθονηθέντα δὲ καὶ διὰ ξύλου πρὸς ἰσχατιὰν τῆς ὑψηλῆς πολιτείας ἀπολισθήσαντα, πάλιν διὰ ξύλου ἀναγαγὼν εἰς τὴν πρώτην ἀπάθειαν, ὁ σταγόσιν αἵματος τιμίου ἐξαγοράσας τοὺς αὐτοπροαιρέτως καταδουλωθέντας τῇ ἁμαρτίᾳ, καὶ πολίμνιον καὶ λαὸν ὑποστησάμενος περιούσιον, οὗ τὴν ἐπιτροπὴν καὶ προστασίαν ἡμῖν εἰ καὶ ἀναξίοις ἐνεχείρισας, δίδου τὸν σὸν σταυρὸν τὸ σωτήριον ὅπλον εἰς βοήθειαν ἀπροσμάχητον, ἐχθροὺς μὲν ὅσοι ἀόρατοι ἀπολλύων εἰς τέλος, οὓς δὲ ὁμοδούλους ἡ σὴ μὲν δημιουργὸς ἐπλαστούργησε δεξιά, γνώμη δ' ὑπεναντία διέστησε, τούτους δὲ διὰ τοῦ σταυροῦ ἐπὶ τοσοῦτον παιδεύων, ὅσον εἰς ἓν συμβιβασθῆναι τοῖς σε γινώσκουσι, ὅτι ὑπὲρ τῆς πάντων σωτηρίας σταυρὸν ὑπέμεινας, ἵνα πάντες ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ τὸ σὸν ὑμνῶμεν πανάγιον ὄνομα, ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δόξα, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ORATIO X.

In magnum ac salutare adversus mortem excitatum tropæum (30).

Resurrectio mei Jesu ac Dei, mortuique Adæ ad vitam revocatio. In vitæ hilaritate festam vitæ celebremus diem. Resurrexit Christus, inferis in captivitatem redactis, ac libertate annuntiata captivis; laudibus extollamus liberatorem : *Mors in victoria* a morte *absorpta est* [75]; fugaturque cor-

ΛΟΓΟΣ Ι'.

Εἰς τὸ μέγα καὶ σωτήριον κατὰ τοῦ θανάτου τρόπαιον.

(Combefis. *Auctar.* p. 1691.)

Ἀνάστασις τοῦ ἐμοῦ Ἰησοῦ καὶ Θεοῦ, καὶ τοῦ νεκρωθέντος Ἀδὰμ ἀναβίωσις· ἐν φαιδρότητι ζωῆς, τῆς ζωῆς τὴν πανήγυριν ἑορτάσωμεν. Χριστὸς ἀνέστη τὸν ᾅδην αἰχμαλωτίσας, καὶ τοῖς αἰχμαλώτοις ἐλευθερίαν κηρύξας· δοξάσωμεν τὸν ἐλευθερωτήν. *Εἰς νῖκος* τῷ θανάτῳ *θάνατος κατεπόθη*, καὶ

[75] I Cor. xv, 54.

NOTÆ.

(29) Exstant in bibliotheca Bavarica novem aliæ orationes hujus imperatoris, quorum titulos et inscriptiones enumerat Bibliothecæ Gesner. *Epitome*, quas ex Bavarico cod. exscriptas, et in Latinam linguam conversas ante aliquot annos evulgavimus. Asservatur in eadem bibliotheca volumen homiliarum Philothei patriarchæ Constantinopolitani; et quidem illius homiliæ, quæ est in secundam Dominicam post Pentecosten, idem prorsus initium est, quod hujus, quam præ manibus habemus orationis, ut proinde Philotheum id ex Leone sublegisse oporteat, quippe posteriorem ex priore; si non uterque ex quodam tertio accepit.

(30) Videatur hæc Leonis orationum fere palmaria, sic docte presseque, tum nostra edisserit, tum traducit externa. Multis emendatior prodit ope Regii cod., ex quo edendam putavi collatam cum editis.

Digitized by Google

φθορὰ φυγαδεύεται, καὶ πολιτεύεται ἀφθαρσία· *Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ·* ἀναβοᾶτε τὴν δυναστείαν αὐτοῦ· καθῄρηται ὁ ἀντίδικος· ὁ ὑπερήφανος τεταπείνωται· ὁ δεσμίους κατέχων, δεσμοῖς περιβέβληται· ὁ τὸ γένος ἀφανίζων, ἀπώλετο· Χριστὸς ἐξ ᾅδου τροπαιοφόρος, τίς οὐ προϋπαντᾷ τοῦ τοιούτου τροπαίου, ποσὶ καὶ φωναῖς ἀξίαις τῷ νικητῇ; Ἀδέτω ἄνωθεν ὁ οὐρανὸς, καὶ γῆ κάτωθεν τὰ νικητήρια ᾄσματα. Νῦν ἄγγελοι δοξολογείτωσαν· νῦν ἄνθρωποι χορευέτωσαν, εἰρήνης αὐτοῖς ἀναφαιρέτου δεδωρημένης. Ἔκτεινε γὰρ τὴν ἔχθραν ἐν τῇ σαρκὶ συναποκτείνας αὐτῇ τὸν ταύτης πατέρα, ὁ σήμερον [1] ὡς ἐκ παστάδος προελθὼν τοῦ τάφου, δεσμῶν αἰωνίων καὶ πυλῶν τοῦ θανάτου κρείττων γενόμενος. Νῦν ἡμῖν πασῶν ἑορτῶν, ὅση ἐν ὁρατοῖς καὶ ὅση ἐν νοητοῖς, ἑορτὴ θειοτέρα καὶ ὑψηλοτέρα. Καὶ εἴ τις γὰρ ἄλλη ἐστὶν ὑπερουράνιος ἀγαλλίασις, ἣν διὰ παντὸς αἱ περὶ Θεὸν ἑορτάζουσαι δυνάμεις εὐφραίνονται, κἀκείνην ὑπολεπτέον ταύτῃ παραχωρεῖν· οὐ μόνον διὰ τὸν ἀναστάντα, ἀλλὰ καὶ δι' οὓς ἑαυτῷ συνεξήγειρεν. Εἰ γὰρ ἐπὶ ἑνὸς ἐξεγέρσει χαρὰ τούτοις γίνεται, τί χρὴ σήμερον ὑπολαμβάνειν αὐτοῖς γίνεσθαι, κόσμου παντὸς ἐξεγειρομένου; Σήμερον ἡμῖν ἡ τῆς χαλεπῆς Αἰγύπτου ἔξοδος ἑορτάζεται, καθ' ἣν τῆς ἐπωδύνου τοῦ πηλοῦ δουλείας ἠλευθερώθημεν, καὶ τὸν βαρὺν ἐλίπομεν Φαραὼ, καὶ Θεοῦ λαὸς εἶναί τε καὶ καλεῖσθαι ἠξιώθημεν, καὶ τῆς φερούσης ὁδοῦ πρὸς τὴν ἀγαθὴν τῆς κληροδοσίας ἐπέβημεν γῆν, ὑφηγουμένῳ τῷ θαυμαστῷ νομοθέτῃ καθοδηγούμενοι, τῇ τοῦ σταυροῦ ῥάβδῳ τερατουργοῦντι. Ἑώρταζε πάλαι Ἰσραὴλ ἐξόδιον ἑορτὴν, ἀλλ' εἰς στενὸν κομιδῇ τὰ τῆς ἑορτῆς συνεκλείετο· ἑώρταζεν ἑορτὴν, ἧς τί δεῖ λέγειν ὡς οὐδὲν μετῆν τοῖς ἄνω ἑορτάζουσιν; ὅπου γε οὐδὲ πρὸς τοὺς μικρῷ διφασισμένους αὐτῶν, καὶ κάτω διέβαινεν ἡ φαιδρότης· εἰκότως γέ τοι πολλῷ πρὸς τοὺς ἄνω οὐκ ἔφθανε· σωματικὰ γὰρ ἦν τὰ τελούμενα, καὶ τοῖς ἄϋλοις ἐπιστροφὴ οὐκ ἐγίνετο.

A ruptio et interitus, ac incorruptio regnat; *Jubilate Deo omnis terra* [16]; alto vocis præconio ejus efferte potentiam: prostratus est adversarius: superbus, depressus; qui vinctos prius tenebat, nunc vinculis constrictus tenetur: qui genus humanum abolebat ac exstinguebat, is jam occidit. Adest Christus ex inferis victor; quis non obviam ei, qua pedum agilitate ac vocum alacritate tantum decet victorem, occurrerit? Canat cœlum desuper victoriæ cantica, terraque subter. Nunc angeli gloriam resonent: nunc homines chorus ducant, ob pacem, eamque sempiternam, concessam; Interfecit enim inimicitias in carne [17], interfecto simul cum iisdem earumdem parente ac artifice; is nimirum, qui hodie ex sepulcro, tanquam ex thalamo B processit, æternis illis vinculis ac portis mortis potentior effectus. Omnium nobis solemnitatum, si quas oculis conspicui homines, ac si quas inadspectabiles mentes celebrant, hodierna festivitas divinior sublimiorque illuxit. Nam si quæ alia supercœlestis exsultatio est, quam jugi celebritate assistentes Deo Virtutes gaudio peragant, eam quoque nostræ huic lætitiæ putandum est cedere: non modo propter eum qui resurrexit, sed et propter eos quos secum suscitavit. Si quidem enim unius ipsa suscitatione eis gaudium est, quid hodierna die acciderit, cum mundus universus resurgit? Hodie egressum ex gravissima Ægypti servitute festis gaudiis colimus; quo, a molesto illo luti opere liberati, crudelem Pharaonem reliquimus, C Deique populus esse pariter ac vocari meruimus, viamque illam, quæ ad hæreditatis promissæ terram bonam ducit, inivimus, admirandum illum legislatorem, ac qui virga crucis prodigia præstet, secuti ducem. Celebrabant quidem olim etiam Israelitæ egressionis solemnem diem, valde tamen ea solemnitas in angustum coacta erat. Festum, inquam, solemne agebant; at quid refert dicere, si nihil ejus participes essent, qui in cœlis dies festos agunt ac epulantur? cum ne ad illos quidem qui in terris ac proximo intervallo dissiti degebant, celebritatis hujus lætitia manaret: potiori itaque jure non pertingebat ad superos. Cum enim ea quæ agebantur corporali ratione constarent nihil erat ut spiritus ac secreti a materia ad eam celebritatem convenirent.

Ἦν ποτε καὶ Ἕλλησιν ἑορτάζειν· ἀλλὰ τί τὸ κάλλιστον τῶν παρ' αὐτοῖς ἑορτῶν; Ἐπίδειξις αἰσχρότητος, καὶ τῷ δοκοῦντι φαιδρῷ, τοῦ τῆς γνώμης D ἀνοήτου δημοσίευσις. Τίνος γὰρ αἴσχους, ἢ ποίας ἀνοίας ὑπερβολῆς ἔλαττον ἔχει, ὁ τῶν θεῶν, ὡς αὐτοί φασιν, ὕπατος, ταῦρος γινόμενος, καὶ τὰ παιδικὰ φέρων ἐπὶ νώτου, καὶ τέμνων πορείαν ὑγρὰν ὁ διόταυρος, μυκήματι ἁπαλῷ δελεάζων τὴν Κόρην, καὶ πείθων ἀναβαίνειν ὡς ἐν ὀχήματι· ἢ μειρακίου δύσερως Ἔρως ὀρνιδεικνύων, ἵν' οὕτως ἀναληφθεὶς ὁ Γανυμήδης τὸ νέκταρ οἰνοχοήσοι αὐτῷ· ἢ γυναικῶν ἀσελγὴς Ἔρως, νῦν μὲν εἰς χρυσὸν αὐτὸν μεταμείβων, καὶ τὸν πάντας ἀνέλκειν θεοὺς ἀπειλοῦντα σειρᾷ,

Habebant antiquis temporibus etiam Græci sua festa; sed quodnam illis festorum omnium pulcherrimum? Illud videlicet quod omnis turpitudinis argumentum erat; et hoc ipso, quod splendidum magnificumque videbatur, nihil aliud nisi summam animi insipientiam et stoliditatem testabatur. Qua enim turpitudine, et qua, quantumvis insigni stultitia, minor censeri debet illa, ut divum rex, ut loquuntur ipsi, in taurum inuletur; ut amores suos dorso ferat, deusque taurus humidum secet iter, blando mugitu Europam demulceat, inque dorsum, velut vehiculum conscendere inducat? aut ut perdito amore flagrans in avem sese transmutet, ut

[16] Psal. LXV, 1. [17] Ephes. II, 16.

VARIÆ LECTIONES.

[1] Ed. male ὀσημέραι.

Digitized by Google

ita assumpto ac rapto Ganymede pocillatore utatur: aut ut insano mulierum æstu percitus, sese modo in auri speciem induat, atque is, qui catena de cœlo demissa deos omnes sese attracturum minabatur, in Danaes detrahatur gremium: modo cygni formam subeat, ut nimirum modulata voce, quod par est credere, Ledam decipiat? Cæterum annon dies ille festivus valde ac clarus, quo patris Saturni (31) celebratur memoria, a filio gravissima perpessi exsectique; nec non suprema inde rursus proles, turpiter tum nata, tum notos afficiens? Similibus addamus similia; videlicet Panem illum, qui, ut gravissimi Græcorum sapientes volunt, ex universorum seminum commistione natus, eaque de causa Pan appellatus est: armigeram item illam virginem, quæ ex Jovis vertice exstitit: cujus matrem cum vehemens, ardensque ille amator devorasset, ipse inusitato more ac modo partus dolores sustinuit, ut nimirum armatum fœtum, uti dicebam, ex capite effunderet: nempe, ut et filia symbolum parenti consentaneum gereret; quod ille genitore suo hostiliter usus, eum et imperio dejecisset, ac Tartaro inclusisset. Digna profecto diis geniti parentibus suis ob vitam et lucis acceptam usuram, persolverunt præmia!

A πρὸς κόλπον τῇ Δανάῃ [m] κατάγων· ἄρτι δὲ κύκνον δεικνὺς, ἵν', ὡς ἔοικε, ταῖς ᾠδαῖς ἡ Λήδα κατακηλοῖτο; Ἐκεῖνο δὲ πῶς οὐ λίαν φαιδρὰ ἑορτὴ, Κρόνου πατὴρ ὑπὸ τοῦ παιδὸς ἀτυχῶν, καὶ τὸ εἶναι πατὴρ ἔτι ἀποχειρόμενος· καὶ τελευταία πάλιν ἐκεῖθεν γονὴ, αἰσχρῶς καὶ φυεῖσα, καὶ τοὺς γνωρίμους διατιθεῖσα; Προσθετέον ὁμοίοις ὁμοια· τὸν ἐκ τῆς πανσπερμίας, ὡς ἡ ἐκείνων σεμνότης βούλεται, καὶ γενόμενον [n] Πάνα, καὶ ὀνομασθέντα· καὶ τὴν ὁπλοφόρον παρθένον τῆς κεφαλῆς ἀποτικτομένην, ἧς τὴν μητέρα καταπιὼν ὁ θερμὸς ἐραστὴς, αὐτὸς ταῖς ὠδῖσι καινότατον ὑπηρετεῖ τρόπον· ἔνοπλον, ἧπερ ἔφην, τῆς κεφαλῆς ἀποκύων γονήν· ἵνα δὴ καὶ σύμβολον ἡ παῖς φέροι, μήνυμα τοῦ τεκόντος, οἷς ἐκεῖνος τῷ φύντι πολέμιος ὤφθη, καθαιρῶν αὐτὸν τῆς ἀρχῆς, B καὶ καταχλείων Ταρτάρῳ. Ἀξιά γε οἱ θεῶν φύντες ἀντέδοσαν γεννητήρια!

Quid nunc referam, quo Neptunus œstro percussus insanierit in Phrygium adolescentem, quem et ipse, fratris sui exemplo ad turpe nefandumque ministerium (32) rapit? Sic enim Græcorum disciplinarum sectatoribus videtur, qui inhonesta magis inhonestis emendare studeant: quibus religio est, ut divum quempiam gulæ ac ventri deditum fateantur; inque eum usum, Pelopem agnoscant a Neptuno raptum, ut, quod proverbio ferunt, dum carbones fugiunt, incidant in flammam. Cæterum C quis fando explicet, quonam pacto ille idem in mulierculas item exardescens in aliam aliamque speciem transformatus sit? His adjunge Apollinem, qui Daphnem efflictim deperiit; qui aliis occulta pandens, sibi ipse nequivit opem ferre: quippe nescivit fore, ut ab eo amasia fugeret; ipse vero vanis ac incassum fusis ploratibus, juxta arborem ejularet, nullo alio ad solatium relicto, quam ut dolorem magis accenderet: tametsi is Martem adulterantem prodit, ipsumque vinculis circumquaque astringit. Quid vero percensere attinet om-

Τί δὲ τὸν Ποσειδῶνος νῦν μὲν ἐπὶ Φρυγὶ μειρακίῳ οἶστρον, ὃν παραπλησίως καὶ αὐτὸς τἀδελφῷ εἰς ἄτοπον [o] ἁρπάζει διακονίαν; Οὕτω γὰρ τοῖς Ἑλλήνων θιασώταις δοκεῖ, πειρωμένοις ἐπανορθοῦν ἀσχημονεστέροις ἀσχήμονα· οἷς ἄπορον τὸ γαστρίμαργον μακάρων τινὰ εἰπεῖν, καὶ διὰ τοῦτο βούλεσθαι τὸν Ἀγλαυτριαίναν ὁρπάζειν τὸν Πέλοπα· καὶ φεύγοντες ἄνθρακας, τὸ τῆς παροιμίας, φλογὶ περιπίπτουσι. Τί δὲ τὴν ἄλλην καὶ τίς ἂν ἀριθμήσαι μανίαν, ἣν ἐπὶ γυναίοις ἐκμέμηνεν, ἄλλοτε πρὸς ἄλλο εἶδος μεταποιούμενος; Λέγε καὶ τὸν Δάφνης ἐραστὴν τὸν Πύθιον, ὃς καίτοι ἑτέροις μηνύων τὰ ἄδηλα, οὐκ ἀπέχρησεν ἑαυτῷ, ἀλλ' ἠγνόησεν ὡς διαφεύξεται τοῦτον ἡ ἐρωμένη, καὶ ἀνόνητα κλαιήσει ἐπὶ φυτῷ, οὐδὲν πλέον ἢ ὅσον ὑπέκκαυμα τῆς ὀδύνης ἔχων· καίτοι τὸν Ἄρῃ ἀσελγαίνοντα μηνύει, καὶ δεσμοῖς περιβάλλει. Τί τὰς πάντων ὁμοῦ θεῶν ἐφ' ἕτερα εἴδη μεταποιήσεις, ἵνα τὴν Κόρην διερευνωμένῃ τῇ Δήμητρι μὴ εἴη τῆς πλάνης ἀπόπαυσις, οὐκ ἐχούσῃ παρ' ὅτου μάθοι, πάντων ὁμοῦ τὰς οἰκείας διαμειψάντων εἰδέας, καὶ πρὸς ἑτέρας οὐ γνωρίμους μετα-

VARIÆ LECTIONES.

[m] ed. τῆς Δανάης. [n] ed. νεννώμενον. [o] Grets. τοῦ ποτοῦ, vel πότου, vel εἰς εὔποτον.

NOTÆ.

(31) *Quo patris Saturni.* Nota fabula exsecti Cœli a Saturno filio, ex cujus genitalibus in mare projectis nata sit Venus, turpis revera fetus, quique turpiter suos ac nothos scortum turpe afficiat. Gretserus nihil rem exprimit, refertque in Saturnum male affectum, quod auctor in eumdem habet male afficientem, patrem. Nec bene vocem διατιθεῖσα, tanquam suspectam nititur emendare, cum ascribit marg. διατίκτουσα vel διατεκοῦσα· quæ plane voces nihil quadrant. Nihil moror fabulas quas auctor perstringit, tantum mentem clare repræsentare conor: petet qui volet a mythologis, apud quos ta pervia sunt.

(32) *Ad turpe nefandumque ministerium* Εἰς ἄτοπον ἁρπάζει διακονίαν. Sic palam auctor; cujus non emendatio est, sed depravatio, quod Gretserus margini ascribit, redditque, Εἰς τοῦ ποτοῦ, *vel πότου, vel εἰς εὔποτον· Pincernæ ministerio destinavit.* Eos namque gentiles perstringit, qui in Neptuno ac divis aliis gulam putarent minus decere, libentesque admitterent in eis luxuriam, cujus liquet notatum Neptunum, non autem gulæ; nec forte deerant qui Ganymedem sic a Jove raptum contenderent, ut ei in deliciis esset, quod leniori vocabulo pocillatoris ac pincernæ mollirent. Non liquet mihi ex quibus mythologis habeat Leo sic raptum a Neptuno Pelopem, ut non ambio doctior videri in gentilium fabulis, qui nuda ac Christiana veritate magis delecter.

Digitized by Google

θεμένων; Οὐκ οἶδα τί φῶ, τὴν κλοπὴν τῶν γάμων συγκρυπτόντων τῷ Πλούτωνι, ἢ ἀγνοούντων, καὶ διὰ τοῦτο πρὸς τὴν ζήτησιν ἀγωνιώντων, καὶ μεταμορφουμένων. Ἀλλ' οὗτοι μὲν ὥσπερ ἐπισφαλῶς ἐξεῦρον οὓς ἤδεσαν θεοὺς, οὕτω καὶ περὶ τῶν τελουμένων, φαύλως ὑπελάμβανον, καὶ οὐκ εἶχον συγιέναι, ὅτι πρὸς αἰσχύνην αὐτοῖς καταστρέφουσιν αἱ πανηγύρεις, καὶ τὴν ἑαυτῶν ἑορτάζουσιν ἄνοιαν.

A nium pariter deorum in alienas formas transmutationes, ne Ceres Proserpinam quæritans, finem laboris reperiret; nemine scilicet exsistente a quo interrogaret, cum omnes simul dii, posita figura propria, peregrinas ignotasque formas sibi ascivissent? Quid dicam, non satis dispicio: num quia furtivas illas Plutonis nuptias communi consilio celare statuissent, aut quia ignorarent, eamque ob causam difficiliori inquisitione, formas alias assumpsissent. At isti quidem, ut temere excogitarunt, quos arbitrati sunt deos, ita etiam sine ratione iisdem dies festos consecrarunt; non animadvertentes, quos eis festos constituissent dies, in eorum dedecus ac opprobrium cedere, nec aliud ipsos, quam suam ipsorum stoliditatem solemniter colere.

Ἡμῖν δὲ ὥσπερ εἰς καλὸν τὸ γνῶναι Θεὸν, μᾶλλον δὲ, ὑπ' αὐτοῦ γνωσθῆναι [p] ἡμᾶς, οὕτω καὶ τὸ ἑορτάζειν. Διὰ τοῦτο σήμερον ἡμῖν πᾶσα μὲν ὁμοῦ συνεορτάζει ἡ κτίσις· πάντα δ' ὁμοῦ συνέρχεται τὰ καλὰ· ἐλευθερία, ἀφθαρσία, δόξα τοῦ δι' ἔλεον ἐπεγνωκότος ἡμᾶς, εὐφροσύνη τῶν ἐπὶ τῇ εὑρέσει τῆς βασιλικῆς ἀγαλλιωμένων δραχμῆς· σκυθρωπότης τῶν εἰς τέλος καταβεβλημένων, ᾅδου καὶ θανάτου, καὶ τῶν στυγηρῶν δαιμονίων, οὓς Ἕλληνες αἰσχρῶς ἐπιγνόντες, αἰσχίον ἐτίμησάν τε καὶ ἐσεβάσθησαν. Ἀλλὰ γὰρ ἀπίωμεν ἐπὶ τὰ θεῖα ὄντως καὶ ἡμέτερα, οἷον ἐφ' ἱερᾶς σκοπιᾶς ἀναγαγόντες τὸν λόγον, καὶ ὄμματι εὐσεβεῖ τὴν ἐν ἀρχῇ δόξαν τοῦ ταύτης ἡμῖν αἰτίου τῆς ἑορτῆς θεωροῦντες, οὕτω τε πρὸς τὴν ἐπ' ἐσχάτων διαβαίνοντες οἰκονομίαν.

Nobis porro, ut Deum cognovisse, vel potius a Deo cognitos esse, præclarum ac honestum est, ita et festa celebrare. Quapropter tota rerum universitas una nobiscum hodie celebrat, ac festum agit; simulque omnia bona quasi in unum fontem confluunt, libertas, incorruptio; ejus gloria, qui per misericordiæ viscera nos cognovit; lætitia eorum, qui ob regiam drachmam inventam gaudent: tristitia ac mœror eorum, qui penitus prostrati sunt, inferni scilicet ac mortis, nec non invisorum dæmonum, quos cum Græci turpiter agnovissent, longe adhuc turpius coluerunt, ac Deo debitis honoribus prosecuti sunt. Verum ad nostra, quæ vere divina sunt, regrediamur, orationemque velut ad sacram speculam revocemus: et gloriam, qua a principio claruit is, qui nobis hujus festi auctor est, religioso oculo contemplemur; sicque ad œconomiam ultimis temporibus exhibitam procedamus.

B

Θεὸς οὗ σήμερον ἡμῖν ἡ πανήγυρις, ἦν μὲν ἐξ ἀϊδίου συνὼν τῷ τεκόντι, *οὐχ ἁρπαγμὸν ἡγησάμενος*, κατὰ τὸ λόγιον, *τὸ εἶναι ἴσα Θεῷ*, ἀλλ' ἔχων μὲν ἐξ αὐτοῦ τὸ εἶναι· κληρονομῶν δ' ὥσπερ τῆς συμφυΐας καὶ τῆς ἀϊδιότητος, οὕτω καὶ δόξης, καὶ πάντων ὅσα τοῦ γεννήτορος. Ἔπρεπε γὰρ δόξης καὶ κυριότητος ἀπ' ἀρχῆς ὁμοτιμία τῷ Υἱῷ, ὅτι τέλειος ἐκ τελείου· καὶ ὅτι οὕτω μᾶλλον σώζοιτ' ἂν ἡ δόξα τῷ *ἐξ οὗ πᾶσα πατριὰ*, ἐν τῷ μηδὲν ὑποβεβηκέναι δόξης καὶ τιμῆς τὸν Υἱόν. Ἄνθρωποι μὲν γὰρ ἐπεὶ κατ' οὐδὲν τέλειοι, ἐνδέοντες τίκτουσιν ἐνδεεῖς· ὁ δὲ, τέλειος ὤν, μᾶλλον δ' ὑπερτελὴς, ἀπροσδεῆ γεννᾷ· ἵν' οἰκεία μεγαλοπρεπείας Θεοῦ ἡ γέννησις ᾖ, καὶ μὴ τῆς ἐκείνου φύσεως ἀπρεπής. Ἐπεὶ δὲ κληρονόμος ὢν ἁπάντων ὅσα τοῦ γεννήτορος, ἀγαθὸς ἦν ἐξ ἀγαθοῦ· ἔδει δὲ τὸν πλοῦτον ὀφθῆναι τῆς ἀγαθότητος, μὴ μόνον ἐν τῷ δημιουργῆσαι τὸν χοῦν εἰκόνα [q] Θεοῦ· μηδ' ἀφ' ὧν ὑπέρπλουτος [r] ὁ τιμηθεὶς ἐχρημάτιζεν· ἀλλ' ἐπὶ ῥοπαῖς οἰκείαις θανάτῳ δεδούλωτο, καὶ ἄπορον ἡ λύτρωσις ἦν, εἶναι καὶ τοῦτο δῶρον τῆς ἐκεῖθεν ἀγαθότητος. Ἐβούλετο δ' ἄρα ὑπερβαλέσθαι αὐτὸς ἑαυτὸν φιλανθρωπίας ὑπερβολῇ· διὰ τοῦτο εὐδοκεῖ, πόνων οἰκείων οὐ χωρὶς δοῦναι τὴν ἐλευθερίαν. Ἦν δὲ τοῦτο βουληθέντι ἕτοιμον· πάντα γὰρ εἶχε Θεῷ· ἀλλ' ἐν τῷ κοινωνῆσαι μὲν τοῖς καταδίκοις τῆς συναναστροφῆς, οὕτω δὲ πεῖραν τῆς κα-

C

Deus cujus nobis hodie festivitas agitur, ab æterno exstitit ac fuit cum Patre; *nec rapinam arbitratus est*, ut Scriptura loquitur, *esse se æqualem Deo* [76]: sed ab ipso quidem esse suum accepit, particeps ut ejusdem naturæ et æternitatis, ita et gloriæ et omnium, quæ Pater habet. Filio enim ab initio competebat et gloriæ, et imperii seu potestatis æqualitas, quia perfectus ex perfecto prognatus est; quodque ea ratione magis constet ejus gloria, *ex quo omnis paternitas* descendit [77], ut Filium genuerit, qui neque gloria, neque honore minor quid quam Pater exsistat. Homines quidem cum perfectionis expertes sint, imperfecti imperfectos, egentesque egenos progenerant: at qui perfectus, vel, ut rectius loquar, omni perfectione major est, is omnibus modis consummatum gignit; ut generatio illa divinæ majestati sit consentanea, non a natura illius aliena. Quia vero hæres exsistens omnium Patris bonorum atque donorum, bonus ex bono erat, decebatque ut divitiæ bonitatis non solum in eo apparerent, quod pulverem ad Dei imaginem condidisset; ac neque ut ipse honorem habens, opulentissimus esset: adjecit et hoc bonitatis suæ munus et argumentum, ut, postquam homo propria inclinatione et ruina in servitutem mortis ineiderat, neque ratio ulla

D

[76] Philipp. II, 6. [77] Ephes. III, 15.

VARIÆ LECTIONES.

[p] ed. ἐγνῶσθαι. [q] ed. εἰκόνι. [r] γρ. ὑπερπλούσιος.

Digitized by Google

qua se inde expediret, suppetebat, eum a vinculis his exsolveret. Quapropter nimia quadam benevolentiæ abundantia ipse se exsuperare voluit. Idcirco statuit perditum in libertatem asserere, non sine molestiis (quod volenti facile erat; nam omnia cedunt Deo), sed ita ut conversationis cum reis societatem iniret, sicque ipse incommoda ac miserias expertus, miseriam omnem dissolveret. Cæterum cum id aliter præstari non posset, quam ut is, qui me finxerat, meum ipse figmentum indueret; peragitur quod totum mysterium, occultum ac arcanum mysterium est; ac mei simile primum incipit esse, quod a principio erat Verbum: magnique consilii Patris Angelus [80], in humana specie venit; amoris magnitudinem, quo nos Pater dilexisset, per seipsum ostendit, ac sua carni justificatione, ut a mortis dominatione justi speciem habente, exsolvatur, tribuit. Quibus enim adversus eum, qui nihil piaculi in se receperat, suæ vim adversus peccatum jure fulta erat, amisit: ac cum per unum peccatum, teste Scriptura [81], imperium suum firmasset, idem per unam justificationem ac meritum pessumdatum est. Cum enim mors, ad ejus modum Adami, qui peccatum admiserat, eum se Adamum qui peccatum nescivisset, retenturam speraret, non animadvertit · rem sibi cum eo esse, qui diuturnam illam tyrannidem dissipaturus esset.

A κώσεως λαβόντα διαλῦσαι τὴν κάκωσιν. Ἐπεὶ δὲ τοῦτο πραχθῆναι ἄλλως οὐκ ἦν ἢ πλασθῆναι τῷ ἐμῷ τὸν πλάστην φυράματι, τελεῖται τὸ πᾶν μυστήριον, ἀποκρύπτον μυστήριον· καὶ λαμβάνει ἀρχὴν κατ' ἐμὲ ὁ ὢν ἐν ἀρχῇ Λόγος· καὶ ὁ τῆς μεγάλης βουλῆς τοῦ Πατρὸς Ἄγγελος ἐν ἡμετέρῳ εἶδει ἐπιφοιτᾷ, τό τε ὕψος τῆς ἀγάπης ἣν ἠγάπησεν ἡμᾶς ὁ Πατὴρ δι' ἑαυτοῦ γνωρίζων, καὶ τῇ σαρκὶ διδοὺς οἰκείῳ δικαιώματι τῆς τῷ θανάτῳ δοκούσης εὐλόγου κατοχῆς ἀπολελύσθαι. Οἷς γὰρ κατὰ τοῦ μηδὲν ἡμαρτηκότος ἐπήρθη τὴν τυραννίδα ἐπιβαλεῖν, τούτοις καὶ ὃ κατὰ τοῦ ἁμαρτήσαντος ἦν αὐτῷ δικλωλεν εὔλογον· καὶ δι' ἑνὸς ἁμαρτήματος, κατὰ τὸ λόγιον, τὴν τυραννίδα πηξάμενος, δι' ἑνὸς καταλύεται δικαιώματος. Οἰηθεὶς γὰρ τῷ τοῦ ἡμαρτηκότος Ἀδὰμ ὁμοιώματι, B τὸν ἁμαρτίαν μὴ γνόντα κατασχήσειν Ἀδὰμ, ἔλαθε τῷ καθαιρέτῃ τῆς πολυχρονίου τυραννίδος ποοσομιλήσας.

Hoc præsentis nostri festi caput et summa. Deus, non suffragiis hominum creatus, sed divino ipse peculiariter gloriosus imperio atque virtute, misericordia erga homines commotus, humanam naturam assumpsit, ac carnem suam in atram mortem tradidit, ut nos immortalitatis luce collustraremur. Neque enim fieri poterat, ut ab ipso creatum hominem in calamitatibus versantem despiceret; quem, inquam, ex nihilo ad imaginem condidisset; utve morbo ex ligni esu contracto, perpetuo excruciari sineret; aut paradisi civem jugi custodia macerari permitteret: at cum auxilio destitutum aspiceret, manum suam, cujus homo opus esset, adjutricem extendit: fit personarum acceptator, qui justissimus est: decretumque illud adversus eum, qui mandatum violasset, legitime conscriptum, insita commiseratione, velut munere quodam captus, oblitterat atque expungit; propriaque morte mortis in nos impressionem cohibet. O immensam bonitatem! O viscera! O amoris vim, quo sic Deus hominem deperiit! Ex terræ effingis pulvere; tua inspiratione animam tribuis; domum destinas omnis generis plenam deliciis: ast ego tam immensam bonitatem non perpendi· magnitudini muneris tanti gratum me non exhibui; nec dignitatem, qua pollebam, æstimavi. Ligni esu divinam prodidi denuntiationem, quæ mihi vitam omnis interitus expertem pollicebatur. Quod denique meorum scelerum gravissimum est, dexteram nescivi, qua conditus essem: creatis honorem quo Creator prosequendus erat detuli. Quid vero

Τοῦτο τῆς ἡμῶν πανηγύρεως τὸ κεφάλαιον· Θεὸς οὐ ψήφοις χειροτονηθεὶς ἀνθρωπίναις, ἀλλ' ἰδίῳ θείκῳ δοξαζόμενος κράτει, δι' ἔλεον τὸν πρὸς ἀνθρώπους γενόμενος ἄνθρωπος, καὶ σαρκὶ τῷ ζοφερῷ διδοὺς προσεγγίζειν θανάτῳ, ἵν' ἡμεῖς τῷ φωτὶ τῆς C ἀθανασίας ἐλλαμφθῶμεν. Οὐδὲ γὰρ ἦν πρὸς ἐκείνου γενόμενον ἐν κακοῖς παριδεῖν, ὃν οὐκ ὄντα κατ' εἰκόνα δημιουργεῖ· οὐδ' ἀθεράπευτα κάμνειν τοῦ ξύλου τῷ ἀῤῥωστήματι· οὐδὲ τὸν τοῦ παραδείσου πολίτην ἀφεῖναι κατατρυχόμενον ἐν φρουρᾷ· ἀλλ' ἐπείπερ εἶδεν ἐξαπορήσαντα βοηθείας, ἐκτείνει τὴν χεῖρα, ἧς ἔργον ἄνθρωπος, εἰς βοήθειαν· καὶ γίνεται προσωπολήπτης ὁ δίκαιος· καὶ ὅπερ ἐγράφη ἔννομον ψήφισμα κατὰ τοῦ μὴ τετηρηκότος τὴν ἐντολήν, τοῖς οἰκείοις δωροδοκηθεὶς οἰκτιρμοῖς ἀπαλείφει· καὶ οἰκείῳ θανάτῳ τὴν καθ' ἡμῶν τοῦ θανάτου ἵστησιν ἔφοδον. Ὦ ἀπείρου ἀγαθότητος! ὦ σπλάγχνων! ὦ φίλτρου, οἷς οὕτω Θεὸς ἀνθρώπου ἐρᾷ! Ἐκ χοὸς διαπλάττεις· ψυχὴν τῷ σῷ δίδως ἐμφυσήματι[a]· οἶκον D παντοδαπῆς τέρψεως ἀφορίζεις μεστόν. Οὐκ ἐμέτρησα τὴν ἀγαθότητα· οὐκ ἐγενόμην εὐχάριστος τοσούτου δώρου μεγέθει· οὐκ ἔστερξα τὴν τιμήν· προὔδωκα βρώσεως θεῖον διάγγελμα[b], ὃ μοι ἀνώλεθρον ὑπεισχνεῖτο ζωήν. Τὸ βαρύτατον τῶν ἐμῶν ἐγκλημάτων, ἠγνόησα τὴν δημιουργὸν δεξιάν· ἔδωκα τοῖς ποιήμασι τοῦ ποιήσαντος τὴν τιμήν. Καὶ τί γίνεται ἀντὶ τούτων; Τὴν πηλίνην ὁ πλάστης ἀμορφίαν λαμβάνεις. Καὶ μέχρι τῆς ἐσχάτης ἀτιμίας οὐκ ἐπαισχύνῃ συγκατελθεῖν· καὶ γεύῃ τοῦ πικροῦ πόματος τοῦ θανάτου, ἵν' ἐγὼ τῆς γλυκύτητος τοῦ χειμάῤῥου τῆς ἀθανασίας πιὼν. τὴν πικρίαν τῆς φθορᾶς ἀπο-

[80] Isa. IX, 6. [81] Rom. V 12.

VARIÆ LECTIONES.

[a] ed. δίδοὺς ἐμ. [b] ed. παράγν.

Digitized by Google

θῶμαι. Τίς ὁ παράδοξος τῆς φιλανθρωπίας τρόπος; Ἐξέπεσεν οὐρανοῦ ὁ Ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων, καὶ ζόφος ἐγένετο· ἐξέπεσον ἐγὼ θείας ζωῆς, καὶ πᾶσαν ὕβρεως ὑπομένεις εἰδέαν, ἵνα τοῦ πρότερου ποιήσῃς θεοειδέστερον. Τί τὴν φλογίνην ἕδου ῥομφαίαν τῆς ζωῆς τὸ ξύλον φυλάσσειν, ὅπως μὴ φαγὼν ἐξ αὐτοῦ ζήσω εἰς τὸν αἰῶνα· ἢ, ἵν' ἐπὶ σεαυτῷ ἐλκύσας τὸν θάνατον δι' ἐμὲ, οὕτω ζωὴν αἰώνιον δωρήσῃ; Τί δέ με εἰς γῆν ἀποστρέφεις δι' ἐπιθυμίαν θεώσεως; ἢ, ἵνα πρὸς ἐμὲ παραγενόμενος, οὕτω θεοποιήσῃς; Ἀλλὰ γὰρ ἐνικήθης τοῖς σοῖς οἰκτιρμοῖς, καὶ οὐκ ἔφερες ὁρᾷν θανάτῳ κατανεμόμενον τῆς σῆς παλάμης τὸ φιλοτέχνημα, οὐδὲ τοῦ σοῦ εἶναι περὶ ἐμὲ φίλτρου κρίσιν ποιῇ, καταλιπεῖν ἀδοήθητον· ἀλλ' εὐδόκησας ἀντίλυτρον δοῦναι σεαυτὸν τῆς ἐμῆς σωτηρίας· καὶ κατέρχῃ πρὸς τὴν ἐμὴν ἰσχατιὰν, ἵν' ὁ δι' ἐπιβουλῆς πρὸς ταύτην καταπεσὼν, μὴ μόνον τῆς ἰσχατιᾶς ἀνακομισθῶ, ἀλλὰ πρὸς οὐρανὸν, οὗ μὴ πρὶν ἦκουν, ἐγκατοικισθῶ. Οὕτω τὴν ἐπιβουλὴν ἐμοὶ πρὸς κέρδος μεταποιεῖς, καὶ τὴν ἐμὴν μαλακίαν ἀναφέρει, [a], καὶ τὰς ἐμὰς ἀναδέχῃ ὀδύνας, ἵν' ἐγὼ πρὸς ἀνώδυνον βίον μετασκευάσωμαι.

horum gratia mercedis rependitur? Lutcam hanc meam deformitatem conditor ipse meus induis; neque renuis, quominus te ad extremam usque ignominiam demittas, gustesque amarum mortis poculum, ut ego de torrente voluptatis, quo immortalitas affluit, bibens, mortis amaritudinem deponam. Quisnam iste novus adeo ac præter opinionem beneficentiæ ac humanitatis modus? Cecidit e cœlo Lucifer, qui mane oriebatur [32], estque effectus caligo; excidi et ego a divina vita, omneque contumeliarum genus suffers, ut priori in me illustriorem divinam formam instaures. Qua de causa flammeum ensem posuisti, ut lignum vitæ custodiat, ut ne eo vescens in æternum vivam? Nonne ut mei gratia in te mortem trahens, sic vitam mihi sempiternam dones? Quid vero in terram reverti facis ob affectatam deitatem? Annon ut ad me accedens, deitate dones? Verum ab innata tua misericordia victus es; nec es passus ut a morte manus tuæ opificium absumeretur, neque amori tuo adversus me consentaneum esse duxisti, si me omni auxilio destitueres: sed statuisti teipsum pro me pretium redemptionis et salutis comparandæ tradere; descendisque ad has meas infimas sedes, ut qui per insidias huc delapsus sum, non solum ab imo revocer, sed et ad cœlos, ubi prius non degebam, transferar. Hoc modo insidias, quibus deceptus essem, mihi in lucrum convertis; meamque infirmitatem portas, ac dolores meos recipis, ut ego ad vitam omni dolore carentem commigrem [33].

Προδίδωσι μαθητὴς, καὶ οὐκ ὀργίζῃ· τύπτουσι μιαιφόνοι χεῖρες, καὶ οὐκ ἀμύνῃ· κρίνει Πιλάτος, καὶ σιγᾷς, ὡς κατάκριτος· ἐμπτύουσι, καὶ οὐκ ἀποστρέφεις τὸ πρόσωπον· ἕλκουσιν ἐπὶ σφαγὴν ὡς ἀμνὸν, καὶ οὐκ ἀνοίγεις τὸ στόμα· καθηλοῦσι τῷ ξύλῳ, καὶ ὑπερεύχῃ. Νῦν τὸν βασιλέα χλευάζουσιν· *Εἰ βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω ἀπὸ τοῦ σταυροῦ*· νῦν τὸ, οὐαὶ [y], φωνοῦσι στόμασι μιαροῖς· σὺ δὲ πάντα βυθῷ καλύπτεις φιλοστοργίας, ὥσπερ ἐπὶ τούτῳ δημιουργῶν ἐκ πηλοῦ ζῶον, ἵν' ἐκεῖνο μὲν μηδὲν ὕβρεως παραλίποι· σὺ δὲ μηδένα τρόπον εὐεργεσίας οἷς οὐκ εὖ πάθοι ὁ ὑβριστής. Οὐ γὰρ εἰς τὴν παροινίαν, ἀλλ' εἰς τὴν σωτηρίαν τῶν ἀχαρίστων ἀποσκοπεῖς. Ἀλλὰ ταῦτα μὲν ἡ θεοκτόνος πλαμᾶται Συναγωγή· ὁ δὲ τοῦ Θεοῦ τῷ ὄντι λαὸς Πάσχα τὸ θεῖον ἑορτάζει, καὶ σωτήριον τῇ σφαγῇ, καὶ τῷ τιμίῳ χρίσματι· ἀπαθὴς μὲν τοῦ ὀλοθρεύοντος συντηρούμενος, ῥυόμενος, δὲ τῶν κακούντων, καὶ πρὸς τὰς ἐπαγγελίας μετοικιζόμενος. Πάλαι μὲν οὖν τὸ Ἑβραίων γένος Μωϋσῆς ἐλευθερῶν τῆς Αἰγυπτίων κακώσεως, οἷον σκιαγραφίᾳ τὰ παρόντα εἰκόνιζε· καὶ μαστίζει μὲν Αἴγυπτον ἐπ' ἄλλαις [x] πληγαῖς, βαρυτέρᾳ τέως πληγῇ, τῶν πρωτοτόκων θανάτῳ· δίδωσι δὲ τοῖς κακουμένοις [y] ἐλευθερίαν· καὶ μικρὸν ὕστερον τέμνει πορείαν, ἡ τάφος τοῖς

Prodit discipulus, nec irasceris; percutiunt sacrilegæ manus, nec ulcisceris; judicat Pilatus, et taces, tanquam reus; conspuunt, nec faciem avertis; trahunt ad cædem, tanquam agnum, neque os aperis; clavis ligno affigunt, proque illis preces fundis. Modo regem subsannant: *Si rex Israel est, descendat de cruce* [34]: modo exsecrando ore illud *vah* intonant. At tu omnia profundo immensi amoris tui tegis, quasi hominem eo consilio e luto efflinxeris, ut nihil ille in te injuriarum et contumeliarum omitteret; tu vero nullam beneficentiæ rationem, qua contumeliosum demerereris, præterires. Neque enim in vesaniam, sed in salutem ingratissimorum servorum oculos conjicis. Cæterum hæc Dei interfectrix Synagoga molitur: at qui vere Dei populus est, is celebrat Pascha divinum et salutiferum, tum immolatione, tum veneranda unctione, securus plagarum quas exterminator illaturus esset, atque a cunctis quibus vexabatur ærumnis liberatus, ac ad cœlestes promissiones translatus. Nam olim quidem Moyses, Hebræorum gentem ex dura illa Ægyptiorum servitute liberans, velut umbra quadam ac obscurioribus lineis rerum præsentem statum designavit: ac ille quidem post plagas alias (33), graviori hactenus plaga, ac superiores

[32] Isa. XIV, 12. [33] Isa. LIII, 4. [34] Matth. XXVII, 40, 42.

VARIÆ LECTIONES.

[a] ed. φέρεις. [y] ed. οὐά. [x] Grets. ἐπαλλήλοις, vel ἄλλαις ἐπ' ἄλλαις. [y] ed. καλουμένοις, non bene.

NOTÆ.

(33) *Post plagas alias.* Ἐπ' ἄλλαις πληγαῖς. Clara sententia: liquet enim primogenitorum cædem ultimam fuisse ac gravissimam Ægyptiorum plagam, excepta duntaxat Pharaonis submersione, ubi jam

Digitized by Google

omnes vincente, primogenitorum morte Ægyptum afficit, atque iis, qui male vexabantur, libertatem impertit, brevique intervallo iter secat, quod persequentibus in sepulcrum cedit. Hæc antiquitas beneficii monumento recolere, ac prosequi honore jubebatur. At postquam satis jam umbra duraverat, tempusque adveneral, ut ipsa veritas coleretur, neque jam una natio, sed totum genus humanum libertatis recuperatæ beneficium celebraret; peragitur magnum hoc mundi Pascha, non cæsis immolatisque pluribus, anniversario ritu, agnis, sed unico illo ac singulari Agno occiso, qui omnium onera suis humeris tulit: ungiturque pretioso sanguine non ædium caducarum superliminare, sed immortalis sapientiæ indissolubile opus: videlicet ea, quæ per illam est, structura, ad quam exterminatori propinquare non licet: quam supra se, tanquam supra fundamentum, ratione fixionis (δι) in imo superædificatam, velut angularis lapis continet ac sustentat, propter supernam illam ejus virtutem, qua continet omnia atque conservat: quam pretioso suo sanguine sanctificat, velut victima pro nobis oblata: ac ut Redemptor, salvam facit novam initians viam, non quidem diviso ac quasi discisso maris profundo, neque enim profundi illius semita suos redemptor ducit, sed quoad superas oras tenditur, ac quo persecutoribus transire nulla ratione conceditur. Ipse, non alius, in promissam terram nos introducit, ubi nullus Chananæus, nec eorum quispiam ex illis, qui exosi sunt, sed soli illi qui hæreditatis largitorem agnoscunt, ac quos ille habitandi causa introducit, ut a Patre hæreditatem accipiant, loco vulnerum ac sanguinis quæ ipse obtulit. Patri enim sanguinem offert, uti etiam commendat animam. Nam licet ea pro nobis redemptionis pretium offerre dicatur (vere etenim pretium sunt redemptionis, quod nostri causa mortem subiens nos la redemerit): attamen Filius Patri suo oblationem facit.

A διώκουσι γίνεται. Ταῦθ' ἡ παλαιότης εἰς μνημόσυνον τῆς εὐεργεσίας τιμᾶν ἐκελεύετο. Ἐπεὶ δ' ἅλις εἶχεν ἡ σκιὰ, καὶ αὐτὴν ἔδει τιμᾶσθαι τὴν ἀλήθειαν, καὶ γένος οὐχ ἕν, ἀλλ' ὁμοῦ πάντας ἑορτάζειν τὴν ἐλευθερίαν ἀνθρώπους· τελεῖται τὸ μέγα τοῦτο τοῦ κόσμου Πάσχα, οὐ προβάτων ἐνιαυσίων πολλῶν θυομένων, ἀλλὰ τοῦ ἑνὸς Ἀμνοῦ, ὃς τὰ βάρη πάντων ἐπὶ τῶν ὤμων ἐβάστασε. Καὶ χρίεται τῷ τιμίῳ αἵματι, οὐ καταλυομένων οἴκων φλιὰ, ἀλλὰ σοφίας ἀθανάτου ἔργον ἀκατάλυτον, ἡ διὰ πίστεως οἰκοδομὴ, οὗ προσεγγίζειν οὐκ ἔνι τῷ ὀλοθρεύοντι· ἣν ἐφ' ἑαυτῷ οἰκοδομηθεῖσαν ὡς θεμελίῳ, κατὰ τὴν κάτω πῆξιν, συνέχει, ὡς λίθος ἀκρογωνιαῖος, διὰ τὴν ἄνωθεν τὰ πάντα συνέχουσαν αὐτοῦ δύναμιν· ἣν ἁγιάζει μὲν τῷ τιμίῳ αἵματι ὡς ὑπὲρ ἡμῶν σφάγιον· σώζει δὲ ὡς λυτρωτὴς, ξένην ἄγων ὁδόν· οὐ κατὰ βυθοῦ τεμνομένου· οὐδὲ γὰρ ἐκεῖνον ἄγει τὸν βυθὸν ὁ λυτρωτὴς· ἀλλὰ τοῦ ἄνω, οὗ [a] παριέναι τοῖς διωκταις ἀμήχανον· αὐτὸς εἰς τὴν ἐπηγγελμένην εἰσάγων κληρονομίαν, οὐχ ἕτερος· ἔνθα οὐ Χαναναῖος, οὐδέ τις ἄλλος τῶν μεμισημένων οἰκεῖ· μόνοι δ' οἱ τὸν κληροδότην ἐπιγινώσκοντες, καὶ οὓς ἐκεῖνος ἐγκατοικίζει λαβεῖν [a] κλῆρον παρὰ τοῦ Πατρὸς, ἀντὶ τῶν τραυμάτων καὶ τοῦ αἵματος, ὃ προσήνεγκεν. Προσάγει γὰρ τῷ Πατρὶ τὸ αἷμα, ὡς [b] καὶ τὴν ψυχὴν παρατίθησιν. Εἰ γὰρ καὶ ὑπὲρ ἡμῶν ἀντίλυτρον ταῦτα δοῦναι λέγεται· ἀντίλυτρον γὰρ ἀληθῶς, ὅτι τὸν ὑπὲρ ἡμῶν ὑπομένων θάνατον λυτροῦται· ἀλλ' ἥ γε προσένεξις τῷ οἰκείῳ Πατρὶ παρὰ τοῦ Παιδός.

B

Age et nos mundus inferior, a quibus, quamvis discesserit, haud tamen beneficentiam abstulit ; quin ab alto, sui patrocinii alis fovet; quod nostri muneris est, præstemus, ac Virginis translationem honore prosequamur : cœlorumque sublimia transcendentem, pro virili nostra , quantoque ornatu possumus, deducamus, atque a gravi ac detrahente materia, quantum attollit spiritus, translati, cum spiritibus cœlitibus in altum subvehamur. Quibus autem acclamationibus triumphum prosequemur, quave ratione honorem debitum offeremus? An ex altissima cœlorum regione coryphæos advocabimus, ac maxime illius, quæ in laudis argumentum proponitur, avum Regem ? atque ubi ab eis audierimus, quibus ipsi modis elogia concinnent aptentque, illorum nos more laudum præconia reddemus ? Arbitror equidem ipsos, quibus prius celebrabant, iisdem encomiorum generibus, etiamnum uti : nam neque nostratia erant, quæ tunc personabant , tametsi inter nostrates psallerentur : sed ii, cœlitus instincti ac impulsi canebant. Fas itaque est, ac rationi consentaneum, ut iidem hodierna luce, pristinis illis laudum concentibus, ceu cœlestibus, Dei Matris in cœlos adventum honorent : quos et nobis usurpari oportet. Licet enim, nec ullum est periculum ut ejusmodi usurpemus laudes. Verum oratio paululum sit liberior ; nec solum faustam illam acclamationem, ac si nullum aliud præconiorum exemplum sequi ausit, usurpet; verum etiam ipsam adiens, quæ præconio celebratur, cum illa cominus agat.

Τί σοι ὁ τὰ μεγαλεῖα ποιήσας μέγας Υἱὸς, ὑπερευλογημένη σήμερον ποιεῖ; Τί γίνεται; Τί τὸ ὁρώμενον; Ἢ τὴν κιβωτόν σε τοῦ ἁγιάσματος· τὸν εὐπρεπῆ νυμφῶνα· τὸν θειότατον θρόνον εἰς τὸ θεῖον ἑαυτοῦ ἀνάκτορον μετατίθησι· τὴν ἐξ ἧς λαβὼν τὴν σαρκίνην στολὴν μετ' ἀνθρώπων ἐπολιτεύσατο, ἐν ὑψίστοις φέρει συνδιατρίβειν τῶν σαρκίνων ἀναλαμβάνων· καί σοι πάρεισι λειτουργοῦντες, πᾶσα ἡ ἐκείνῳ λειτουργοῦσα τάξις· ἀγγέλων δῆμοι· προφητῶν χορεῖαι· οἱ ὡραῖοι τοῦ σοῦ ὡραίου Παιδὸς μαθηταί· τὰ τῶν καλλινίκων μαρτύρων συστήματα· ἅπασα παρθένος ψυχὴ, καὶ πρὸς τὴν νυμφικὴν ἀπόλεκτος παστάδα σοῦ τοῦ τῆς παρθενίας ἀγάλματος προῖασιν ἐν εὐφροσύνῃ. Ἐπειδὴ γὰρ ἐχρῆν ἀνασχοῦσαν θνητῆς γεωργίας ἀκολούθως σε τῇ βλάστῃ πρὸς τὰ θεῖα συγκομισθῆναι ταμεῖα, λειτουργεῖς νόμῳ θνητῶν, καὶ ὁμιλεῖς, ὦ τοῦ ἡλίου φαεινότερα, τῷ σκυθρωπῷ προσιόντι θανάτῳ· πλὴν τῆς ἀῤῥήτου φαιδρότητος ἡ παρουσία, οὐδὲν συγχωρεῖ τῇ σκυθρωπότητι ἐνοχλεῖν· χειρῶν μὲν ἐκείνων, αἷς πάντα συνέχεται, τὴν πανάμωμον δεχομένων ψυχήν· τοῦ δὲ καθαροῦ, καὶ ἀσπίλου σώματος ἐν καθαρωτάτοις

Quid vero is, qui magna tibi magnus Filius fecit[a.1], o ter benedicta, tibi hodie facit ? Quidnam rerum evenit ? Quid istud quod cernimus ? Sane arcam te sanctificationis, honestissimum thalamum, divinissimum thronum in divinum suum transfert templum : eam, ex qua carne sumpta inter homines versatus est, ad sublimia cœli transfert, ex hoc mortali statu eductam; tibique omnis ordo illi ministrantium satellitio adest : angelorum turmæ, prophetarum chori, speciosum discipulorum agmen speciosi Filii tui, insignium victorum martyrum exercitus, omnes animæ virgines, Sponsique thalamo destinata cohors, tibi, quæ virginitatis imago, vivumque simulacrum exsistas, in exsultatione obsequio præit. Quoniam enim te mortalitatis messe succisam, consequenter una cum germine in divina horrea ferri oportebat, mortalium legi obsequeris, ac cum tristi ac atra morte, tu sole illustrior, congrederis, quanquam ineffabilis claritatis præsentia, nihil mortis illam severitudinem, molestam esse sinit : cum illæ quidem manus, quibus omnia continentur, intemeratissimam susciperent animam;

[a.1] Luc. I, 49.

Digitized by Google

mundum autem ac immaculatum corpus, in purissima loca transferretur. Quod Deum carne indutum gestasses, Dei ipsa manibus gestaris, ubi exuisses carnem. Maternum obsequium tuo, sine Patre, Filio detuleras, cum ille mundum ingrederetur : nunc mundum ipsa egrediens, ejus vicissim obsequio foveris, omni cœlitum choro, ac tripudio præeunte, moreque supplicantium honorem habente : quemadmodum et prius, haud ita pridem ex Annæ utero in lucem suscepta, virgineo agmine, supplicantium ritu, in unum coacto honorabaris. Verum tunc, aliud quiddam erat, quod fiebat, aliaque ratione corpore præsentem, virgines corporibus amictæ stipabant, ac deducebant ; apte nimirum et consentanee corpori. Nunc vero, cum excesseris corpore, virginum animæ corporeis vinculis exsolutæ, longe honorificentius deducunt.

A μεθισταμένου χωρίοις. Ὅτι ἐβάστασας Θεὸν σάρκα ἡμφιεσμένον, βαστάζῃ Θεοῦ παλάμαις ἀπαμφιασαμένη τὴν σάρκα. Προσενήνοχας δορυφορίαν μητρικὴν πρὸς κόσμον εἰσιόντι τῷ ἀπάτορί σου Υἱῷ· ἀντιδορυφορῇ κόσμου ἐξιοῦσα, πάσης τῆς περὶ αὐτὸν χοροστασίας προπορευομένης, καὶ τῇ λιτανείᾳ τιμώσης, ὥσπερ καὶ πρόσθεν ἐθίμῳ λιτανευομένῃ ἄρτι τῶν τῆς Ἄννης λαγόνων εἰς βίον προκύπτουσα. Ἀλλὰ τότε μὲν ἄλλο τὸ γινόμενον, καὶ ἄλλως ἐλιτάνευον παροῦσαν ἐν σώματι, μετὰ σώματος τιμῶσαι παρθένοι, καὶ τῷ καιρῷ συμβαίνοντα προπομπεύουσαι· νῦν δ' ἐκδημούσης, ἔκδημοι τῆς σαρκίνης πέδης, αἱ παρθένων ψυχαὶ, ἐντιμοτέραν ποιοῦσι τὴν προπομπήν.

Verum quid ais, o sacratissime deductionis hujus coryphæe, qui et tunc velut coguatus, quanquam longe morabaris a sæculi via, in filiæ tamen honorem pariter occurristi, ac spirituum more, cum iis qui materia constant, diem festum lætus agitabas : nunc autem maxime, illi congruentissime statui, in quo versaris, ea cernens quæ peraguntur, filiæ honorem celebras, ac gratularis, gloriamque omnium oculis expositam perspicue laudibus extollis. Haud vero jam intra carnis velum contemplans deprædicas, quod tunc in laudes effusus præstabas, propiusque contextam in fimbriis aureis [2] stolam considerans ; summa tamen voluptate ob filiæ decorem perfunderis, universoque sacratissimo choro signum laudationis inchoandæ edis. An dignaberis ut et nostro choro adveniens, laudis nobis ac prædicationis modum ordinemque præscribas, adjuvesque alacritatem eorum qui filiæ tuæ, quasi munus festo competens, orationem offerre cogitant ? An abnues neque adduceris, ut qui jam immortales sedes incolis, ad nos descendas, quibus istæ mortalitatis sedes obtigerunt, et quos fata his locis debita exercent ? Haud enimvero recusat ; adest, ac opus aggreditur, operamque suam nobiscum jungit, nihil moleste ferens, ut ejus nos vocibus ac oraculis abutamur oratione conficienda : quibus tanquam oppositissimis, capitis loco addemus verbum gaudii plenissimum, quod integerrimus ille pronubus usurpavit, sicque communi studio Virgini præconia contexemus. Dicamus igitur ei, vel potius totius chori ductor ac auspex dicat : Ave, arca, per quam Deus, reparando per te a lapsu manuum suarum figmento [3] (ob cujus ruinam intimis visceribus angebatur), ac cum ea ratione erexisset, requiescens, in suam surrexit requiem. Ave, mons pinguis [4], cujus pinguedinem videns naturæ cultor et sator, ex te omnium bonorum abundantiam nobis produxit. Ave, per quam ex mortalibus lumbis supra æternum thronum [5], æternum regnaturus Rex collocatur. Ave, quam compluens vitæ pluvia [6], universos fines terræ, cum ex lethali siccitate in

B Ἀλλά τί φῄς, ὦ τῆς ἱερωτάτης προπομπῆς κορυφαῖε, ὃς καὶ τότε οἷα δὴ συγγενὴς, εἰ καὶ ὁδοῦ τῆς ἐν βίῳ πόρρω διέτριβες, ὅμως εἰς τιμὴν συνέτρεχες τῆς θυγατρὸς, καὶ ἀΰλως συνεπανηγύριζες τοῖς ἐνύλοις. Καὶ νῦν μάλιστα οἰκείως τῆς ἐχούσης σε καταστάσεως ὁρῶν τὰ γινόμενα, συγκροτεῖς τῇ θυγατρὶ τὴν τιμὴν, καὶ τὴν δόξαν ὁρωμένην προφανῶς ἐπαινεῖς. Ἀλλ' οὐκ ἔσωθεν αὐτὴν τοῦ παραπετάσματος σαρκὸς οὖσαν θεωρῶν ἀνυμνεῖς, ὥσπερ τότε ἐποίεις ὑμνῶν, καὶ τὴν ἐν τοῖς χρυσοῖς τῶν ἀρετῶν κροσσωτοῖς ἐξυφασμένην στολὴν ἐγγύθεν κατανοῶν, ὑπερηδύνῃ μὲν τῇ εὐπρεπείᾳ τῆς θυγατρὸς, προαναφωνεῖς δὲ τῇ ἱερωτάτῃ χορείᾳ τὸ ἐνδόσιμον. Ἆρ' ἔστιν, ὅπως καὶ ἡμῖν ἀξιώσεις παρελθὼν διατάξαι τὴν εὐφημίαν, καὶ συνεπιλήψῃ τῆς προθυμίας, βουC λομένοις τῇ θυγατρὶ ὥσπερ τι δῶρον ἑόρτιον προσενηνοχέναι τὸν λόγον; Ἢ παραιτήσῃ, καὶ οὐκ ἐθέλεις αὐτὸς ταῖς ἀκηράτοις ἐνδιατρίβων λήξεσι πρὸς ἡμᾶς κατιέναι, οὓς αἱ κάτω περιφέρουσι κῆρες; Ἀλλ' οὔμενουν παραιτεῖται· πάρεστι δὲ, καὶ συμμετέχει τοῦ πράγματος, καὶ συγκατασκευάζει τὸ ἔργον, οὐδέν τι νεμεσῶν, τοῖς ἐκείνου φθέγμασιν ἀποχρωμένοις ἡμῖν, εἰς τὴν τοῦ λόγου κατασκευήν· οἷς οὖσι προσφορωτάτοις κεφαλὴν ἐπιθέντες τὴν τοῦ καλοῦ νυμφευτοῦ φωνὴν τῆς χαρᾶς, κοινῇ τῇ παρθένῳ ποιῶμεν τὸν ἔπαινον. Εἴπωμεν τοίνυν αὐτῇ· μᾶλλον δ' ὁ ταῦτα προανυμνήσας λεγέτω· Χαῖρε, ἡ κιβωτὸς, δι' ἧς ὁ Θεὸς ἐν τῷ διὰ σοῦ ἀναστῆσαι τὸ πλάσμα τοῦ πτώματος, ἐφ' ᾧ κειμένῳ τὰ τῆς στοργῆς ἐτρύχετο σπλάγχνα, κάντεῦθεν ἀνεστηκότος ἀναπαυD σάμενος, εἰς τὴν ἑαυτοῦ ἀνέστη ἀνάπαυσιν. Χαῖρε, τὸ πολὺν ὄρος, οὗ τὴν πιότητα κατιδὼν ὁ τῆς φύσεως γεωργὸς, ἐκ σοῦ ἡμῖν ἐμηχανήσατο τὴν ἀφθονίαν τῶν ἀγαθῶν. Χαῖρε, δι' ἧς ὁσφύος ἀνητῆς ἐπὶ τὸν αἰώνιον θρόνον αἰωνίως καθίσων, ἐνίδρυται Βασιλεύς. Χαῖρε, ἐν ᾗ ὗσας ὁ τῆς ζωῆς ὑετὸς, αὐχμῷ κινδυνεύοντα θανάτου τὰ πέρατα διεσώσατο. Χαῖρε, ὁ δεξιώτατος τόμος τῆς τοῦ Θεοῦ Λόγου γραφῆς (ἐπισυνήφθω γὰρ τοῖς προπατορικοῖς ἱερολογήμασι, καὶ ἃ, τῷ αὐτῷ πνεύματι χειλέων ἑτέρων ἱερολογήθη, τῇ αὐτῇ προσαναρμόζοντα χορείᾳ), δι' οὗ τετυχωμένοις ἡμῖν τῷ

[2] Psal. XLIV, 14 [3] Psal. CXXXI, 8. [4] Psal. LXVII, 16. [5] Psal. CXXXI, 11. [6] Psal. LXXI 6.

Digitized by Google

βαρεῖ τῆς δουλείας ζυγῷ, ἀναφαίρετος ἐγράφη ἐλευθερία. Χαῖρε, Ῥάβδος, ἐξ ἧς τοῦ ζωηροῦ ἄνθους τῆς εὐλογίας ἐξανθηκότος, ἡ φθοροποιὸς ἀπεφθάρη κατάρα. Χαῖρε, ἡ τὸν ἄστεκτον ἄνθρακα περισχοῦσα λαβίς, δι' οὗ τῆς ῥυπαρᾶς ἁμαρτίας, ἐν τῇ χειλέων προσψαύσει ἐκκαθαιρόμεθα. Χαῖρε, ἡ τὸν καινῶς καὶ ὑπερφυῶς γεωργηθέντα ἄρτον φέρουσα τράπεζα· οὗ τραφέντες οἱ τῇ γεωργίᾳ τῆς ἀκάνθης λιμῷ ἀπολλύμενοι, τοῦ κινδύνου διασεσώσμεθα. Χαῖρε, πύλη, ἡ μόνῳ τῷ Βασιλεῖ, εἰς τὴν εἴσοδον τῆς καθ' ἡμᾶς ἀφωρισμένη ζωοπλαστίας, τῶν κλείθρων σοι τῆς σεπτῆς παρθενίας ἀκινήτων μεμενηκότων. Χαῖρε, παλάτιον, ἐξ οὗ ἐν ταπεινῷ σχήματι προεληλυθὼς ὁ Βασιλεὺς, καὶ τὸν ἀνῃρημένον τὸ καθ' ἡμῶν κράτος θάνατον ἀνελὼν, τὸ τῆς ἐκείνου τυραννίδος ὀδυνηρὸν, καὶ ἐπίπονον, εἰς ἀνάπαυσιν ἠμείψεν· ᾗ καὶ αὐτὴ σήμερον προσομιλοῦσα, πρὸς τὴν διὰ σοῦ κεχορηγημένην διαβαίνεις ἀθανασίαν.

A periculum venissent, incolumes servavit. Ave, elegantissimus Dei Verbi scripturæ tomus [7] (addamus enim avitis, ac Davidicis elogiis alia, eodem spiritu a prophetis aliis fusa ac decantata, nec a præsenti choro aliena) per quem, cum gravi servitutis jugo tereremur, inviolabilis nobis libertas scripta est. Ave, Virga, ex qua, cum tanquam vitalis flos, benedictio efflоruisset [8], mox maledictio, interitus effectrix, interiit [9]. Ave, forceps, carbonem illum importabilem complexa, quo a peccati sordibus, labiorum contactu emundamur. Ave, mensa, quæ panem illum novo ac naturæ inaudito modo confectum gestas; quo sustentati, qui spinarum messe proventuque, fame enecabamur, ex tanto discrimine evasimus. Ave, porta, quæ soli Regi B ingressuro ad nobis similem induendum naturam destinata es [10], claustris venerandæ tuæ virginitatis immotis. Ave, palatium, ex quo humili habitu progressus Rex, erectam contra nos mortis potentiam sustulit: durissimamque ipsius ac molestissimam tyrannidem, in requiem commutavit: ad quam tu quoque hodierna die recepta, ad immortalitatem per te mundo concessam, proveheris.

Πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν (προσκείσθω καὶ τοῦτο τοῖς ἐγκωμίοις τὸ μέρος, ἐπείπερ οὐδαμῇ ἐτέρωθι συμβαίνει τῶν ῥημάτων τὸ ἀληθὲς), *πολλαὶ ἐκτήσαντο πλοῦτον*· κρατεῖ δ' ἁπάντων, ἡ παρὰ πάντας ὑπερδεδοξασμένη. Οὔκουν ἐν τῷ κάλλει αὐτῆς ψευδομένη ἀρέσκεια. Διὰ τοῦτο καταστὰς εἰς ἀρέσκειαν αὐτῆς ὁ Θεὸς, ἐκ πασῶν γενεῶν μητέρα ἐκλέγεται· καὶ τῶν ἐκείνης αἱμάτων μορφοποιούμενος, εἰς τὸ ἀρχαῖον τὴν διαῤῥυεῖσαν τοῦ πλάσματος ἀνακαινίζει μορφήν. Τῷ ὄντι μόνη ἐν γυναιξὶν εὐλογημένη, ἡ μόνη τῇ προμήτορι, καὶ τοῖς ἐξ αὐτῆς βοηθήσασα· τῇ μὲν, οἷς διπλῆν οὖσαν C τὴν κατήφειαν, ἑαυτῇ, καὶ τοῖς τέκνοις λυμηναμένῃ, διελύσατο· τοῖς δὲ δι' ὧν τούς τε κατόχους ὄντας τῷ κακῷ, ἀπελυτρώσατο· καὶ τοὺς μετὰ ταῦτα οὐκ εἴασε κατασχεθῆναι τῇ συμφορᾷ· οὐκ ἔτι κεχωρηκυίας ἐπὶ τὸ πρόσθεν τῆς πρώην τὸ πλάσμα κατανεμομένης ἀρᾶς· ἀλλ' εἰς ἀνάῤῥουν στραφέντος τοῦ κακοῦ ῥεύματος, ἐπιστάσης τῆς εὐλογημένης· οὐδ' ἔτι κρατουμένων ἀνθρώπων ἐν τοῖς ἀφύκτοις τοῦ θανάτου λίνοις, ἀλλὰ χρωμένων αὐτῷ διαβατηρίῳ πρὸς τὴν ζωὴν, τοῦτο δὴ τὸ ἐπὶ τῇ εὐλογημένῃ ἀρτίως πανηγυριζόμενον· ἣν διὰ θανάτου πρὸς ἑαυτὸν διαβιβάζων ὁ Βασιλεὺς, καὶ Υἱὸς, τῆς ἰδίας δόξης τῇ μετοχῇ, παρὰ πᾶσαν κτίσιν ἐνδοξοτέραν δεικνύει· ἀντισηκῶν οὕτω τὴν ἐξ αὐτῆς μετοχὴν, ᾗ παραπλησίως ἡμῖν ἐμορφώθη, ὁ τοῦ Πατρὸς ἀναλλοίωτος χαρακτὴρ· σαρκὸς καὶ αἵματος ἡμῖν παραπλησίως μετεσχηκώς· καὶ μητρικῆς θεραπείας, τῇ πρὸς αὐτὸν παῤῥησίᾳ, καὶ τῇ ἐγγύτητι ἀντιθεραπεύων· δι' ἣν, ὡς μὴ ῥαγεῖσα κόσμου, μηδ' ἀφ' ἡμῶν μακρυνθεῖσα, οὐκ ἐζημίωσε τὸν κόσμον τῆς ἰδίας ὁμιλίας· ἀλλ' ὧν ἐπ' ὠφελείᾳ κοινῇ τῆς εἰς βίον εἰσόδου μετέλαχε, τούτων, καὶ παροδεύσασα, κοινὴν ἐργάζεται διηνεκῶς τὴν ὠφέλειαν. Συνδιατρίβει καὶ ἔτι περινοστοῦσα, τοῖς κάτω· μᾶλλον δὲ νῦν πανταχοῦ φθάνει ὁ ἔμψυ-

Multæ filiæ fecerunt virtutem (addatur et hoc reliquis encomiis, quandoquidem nusquam alibi ejus veritas constat) *multæ acquisierunt divitias* [11]: at major omnibus est, quæ apud omnes celebratur. Haudquaquam fallax ejus pulchritudinis gratia: quamobrem Deus, ejus specie ac pulchritudine captus, ex omnibus unam hanc sibi matrem delegit; exque ejus sanguinibus humanam assumens formam, figmenti formam quæ diffluxerat, in pristinum statum instaurat. Vere sola in mulieribus benedicta, quæ sola primæ parenti, ejusque posteris opem tulit: illi quidem, qua duplicem calamitatem, cujus illa sibi ac filiis auctrix fuerat, exsolvit: hos vero, qua a malis, quibus obnoxii tenebantur, redemit; nec est passa ut posteri, in eadem mala denuo incurrerent, ut nimirum maledictio, secundum eum cursum, quo humanum depascebatur genus, haud ultra procedat: sed retro actus sit, ac conversus mali impetus, ejus præsentia, quæ benedicta exsistit, ut nec amplius homines inevitabilibus mortis casibus teneantur, sed utantur ea tanquam transitu ad vitam; hoc plane, quod in benedictæ hisce solemniis, festive recolimus: quam Rex Filiusque, mortis interventu ad se traducens, qua propriæ gloriæ facit participem, majori supra D creata omnia, gloria auget: ea ratione vicem rependens ejus ex ipsa participationis, qua Patris immutabilis character, similem nobis formam accepit: more nostro, effectus particeps carnis et sanguinis, proque materna ipsa impensa cura, agendi libertate apud ipsum donatam, sibi proximam locans, quo munere, tanquam minime a mundo abscissa aut nobis subducta, nihil mundus ejus ergo consuetudinis jacturæ fecit: nam quibus ut prodesset in hunc mundum venit, iisdem jam quoque in cœlum translata, conducibilia pro-

[7] Isa. VIII. 1. [8] Num. XVII, 8. [9] Isa. VI, 6. [10] Ezech. XLIV, 1. [11] Prov. XXX, 29.

Digitized by Google

curare nunquam desinit. Hactenus in terris commoratur, nostra circumlustrans : quin magis jam ubique adest animatum cœlum, omnesque similiter fovens, beneficentiæ stillas pluit; arentemque vitam nostram, a peccati æstuantibus flammis, irriguam facit. Nunc omnes adit; quippe via faciliori, maternoque affectu cognatos invisens, præsto est promptissime ut incommoda depellat; pro universorum stans salute, pro omnibus immaculatissimas extendens manus, quibus universorum salus vecta est.

Idcirco os omne plenum est laudis, qua ejus celebrentur magnalia, atque a cunctis ætatibus beata prædicatur [12] : quam etiam prædicationem jam olim proferri eminus intuens, magnificabat in exsultatione rerum adeo mirabilium effectorem. Seth, o beatissima, reipsa exhibita sunt verissima tua illa oracula. Ecce enim omnes nationes præconia tua celebrantes, beatam te acclamant, omni quidem id tempore; potissimum autem in præsenti, quo ad Filium translata ac inseparabili illi consortio adhærens, non cessas in terra positis opem ferre. Beatam te dicunt omnes fines terræ, quod res ineffabiles tuo ministerio sint peractæ; qua nimirum Altissimi brachium, per te suam potentiam notam fecit, cum illud altiori supra rationem modo ex te carnem sumens, sua humilitate, tum excelsum illum in superbia dejecit, tum humiles exaltavit. Beatam te dicunt, qui donec exorta esset, tua illa sine semine spica esurientes; ea exorta, omni abunde bonorum copia recreati sunt. Illabebat quidem antiquus Israel, arcam tui imaginem adjutricem, si quando rebus adversis urgeretur et ut quandoque inopiam levaret : verum erant, quæ gerebantur, reipsa imaginis atque figuræ, iis longe inferiora, quæ per te præstantur. Quocirca neque semper opem ab ea impetrabant, sed tum, cum pio erant in Deum animo, neque a recta divinorum semita aberrabant, salutem consequebantur. At si quid commisissent, seque reos culpæ alicujus, divinorum præceptorum transgressione constituissent, non solum nihil auxilii depellendo periculo suppeditabatur; sed et ipsa arca una cum ipsis periclitabatur [13]. Quare aliquando accidit, ut ab alienigenis caperetur, cum populi scelera grandiora essent, quam quod ea præstaretur auxilium, tropæumque adversus gentem, in manus hostium cederet : atque adeo ipsa captiva abducitur, etsi illic quoque Deus, ejus consulens majestati, morbi plaga eos qui cepissent ulciscitur : diique, quos inani illi cultu venerabantur, id lucri ex tantis illis spoliis reportarunt ut corruerent, non valentes iis consistere basibus quibus locati erant : in terram allisi, ac comminuti, simul atque arca ad illos invecta esset. Verum tua haud ita habent, nec tali auxilio novum populum tueris ac protegis : quin et prius iis qui

χος οὐρανός· ὁμοίως ἅπαντας περιέπουσα, καὶ τῆς εὐεργεσίας ὗσα τὰς ῥανίδας, καὶ λύουσα τὴν αἰχμηρὰν τῆς ἡμετέρας ζωῆς κατάστασιν, ἣν ἡ φλογώδης ἁμαρτία συνίστησι. Νῦν ἐπὶ πάντας διήκει, ἑτοιμοτέρας οὔσης τῆς πορείας, καὶ συμπαθῶς ἐπισκεπτομένη τοὺς συγγενεῖς, πρὸς τὴν ἀπαλλαγὴν τῶν ὀχληρῶν, ἑτοιμοτάτη βοήθεια γίνεται, πάντων ὑπὲρ σωτηρίας ἑστῶσα· πάντων ὑπερπλοῦσα πανάχραντους παλάμας, αἷς ἡ τῶν ὅλων ἐπωχήσατο σωτηρία.

Διὰ τοῦτο πλῆρες ἅπαν στόμα τῆς αἰνέσεως τῶν αὐτῆς μεγαλείων, καὶ ὑποδέχεται παρὰ πασῶν γενεῶν τὸν μακαρισμόν· ὃν καὶ πρὶν θεωμένη πόρρωθεν προφερόμενον, ἐμεγάλυνεν ἐν ἀγαλλιάσει τῶν θαυμαστῶν μεγαλείων τὸν ποιητήν. Ἀλλὰ παρέστηκεν, ὦ μακαρία, ἐπὶ τῶν πραγμάτων, τὰ σὰ παναληθῆ ῥήματα. Ἴδε γὰρ πᾶσα φυλή, τὰς σὰς αἰνέσεις ποιουμένη, τὸν μακαρισμόν σοι προσάγει· μάλιστα μὲν ἐν παντὶ καιρῷ· διαφερόντως δ' ἐν τῷ παρόντι· ἐν ᾧ πρὸς τὸν Υἱὸν μετεσχηνωμένη, καὶ ἀδιάστατον λαχοῦσα τὴν πρὸς αὐτὸν ὁμιλίαν, οὐ λήγεις ἐν γῇ διαπεραίνουσα τὰς ἀντιλήψεις. Μακαρίζουσι δή σε τὰ πέρατα, διὰ σοῦ πραγμάτων ἀπορρήτων πεπραγμένων ἐν τῷ, διὰ σοῦ τὸν τοῦ Ὑψίστου βραχίονα, τὸ οἰκεῖον γνωρίσαι κράτος· ἐκ σοῦ ὑπὲρ λόγον σωματωθέντος, καὶ τῇ ἑαυτοῦ ταπεινώσει, τὸν μὲν ὑψηλὸν ἐν ὑπερηφανείᾳ καταβεβληκότος· τοὺς δὲ ταπεινοὺς ἀνυψώσαντος. Μεγαλύνουσί σε, οἱ μέχρι τοῦ σοῦ ἀσπόρου πεινήσαντες στάχυος· ἐκείνου δὲ τῇ φυῇ, ἀφθόνως τοῖς ἀγαθοῖς ἐντρυφήσαντες. Ἦν μὲν οὖν Ἰσραὴλ τῷ γηραιῷ τῆς σῆς δόξης εἰκὼν, κιβωτὸς ἐπίκουρος ἐλαττουμένοις, καὶ ἔτὸ ἐκείνων ἐνίοτε ἐνδεὴς ἀναπληροῦσα· ἀλλ' ἦν εἰκόνος, ὡς ἀληθῶς τὰ γινόμενα· καὶ πολὺ τῶν διὰ σοῦ γινομένων λειπόμενα. Διὰ τοῦτο οὐ βοηθείας ἀεὶ παρ' αὐτῆς ἠξιοῦντο· ἀλλ' ὀρθῶς μὲν τὰ πρὸς Θεὸν διακειμένους, καὶ μὴ τῆς εὐθείας τῶν θεσπισμάτων τρίβου ἀποπλανωμένους, ἀπήνυτα ἡ ἴσωτηρία. Δίκης δ' ἐνόχοις αὐτοῖς γεγενημένης, οἷς κατωλιγώρουν τῶν προστεταγμάτων· οὐ μόνον οὐ παρῆν ἡ ἐπικουρία τὸν κίνδυνον ἐπαμύνουσα, ἀλλὰ καὶ αὐτὴ τούτοις συνεκινδύνευεν. Οὕτω ποτὲ ἀλώσιμος τοῖς ἀλλοφύλοις ἐδείκνυτο, τῶν τοῦ λαοῦ πταισμάτων ἐπικρατησάντων τῆς ὑπ' αὐτῆς χορηγουμένης ἀντιλήψεως· καὶ πρὸς τὴν χεῖρα τῶν πολεμίων τὸ κατὰ τοῦ ἔθνους χωρεῖ τρόπαιον· αὐτὴ δορυάλωτος γίνεται, εἰ καὶ Θεὸς κἀκεῖ τὸ τίμιον αὐτῆς διασώζων, νόσου πληγῇ τοὺς αἰχμαλωτεύσαντας τιμωρεῖται· καὶ οἱ φαύλως ὑπ' ἐκείνων τιμώμενοι θεοί, κέρδος τῆς τοσαύτης λαφυραγωγίας τὴν σφῶν λαμβάνουσι πτῶσιν, οὐ δυνηθέντες ἐπὶ τῆς ἰδίας ἱστασθαι βάσεως· ἀλλ' εἰς γῆν συντριβόμενοι, ὁμοῦ τῇ τῆς κιβωτοῦ παρ' αὐτοὺς εἰσελεύσει. Ἀλλ' οὐχὶ τὰ σὰ τοιαῦτα, οὐδὲ τοσαύτης τῷ νέῳ λαῷ παρὰ σοῦ μέτεστιν ἀντιλήψεως· ἀλλὰ καὶ πρότερον παντελῶς οὖσι καταπεπολεμωμένοις ὑπὸ τῶν κακῶν, ἐπήμυνας· καὶ νῦν οὐχὶ μόνον ἐπ'

[12] Luc. I, 47. [13] I Reg. IV, 4 seq.

Digitized by Google

εὐθείας φῶν ἐνταλμάτων ὁδοῦ βαδίζειν προαιρουμέ- A
νων ἡ παρὰ σοῦ βοήθεια συνέπεται, ἀλλὰ καὶ πρὸς
τὴν ἐναντίαν ἐκτρεπομένοις, καὶ ταύτῃ ἐνδίκως ἂν
ὀφλουσι ποινήν, εὑρίσκῃ ἀποχρῶσα, καὶ τῆς δίκης
τοὺς ἐνόχους ἀξαιρουμένη.

Δυσωπεῖται γάρ σε Θεὸς τὴν πανιερωτάτην αὐτοῦ
Κιβωτὸν, καὶ χρηστεύεται, πρὸς τοὺς οὐκ ὄντας
ἀξίους χρηστότητος· καὶ τῆς δίκης ἀφίησι, παρα-
κλίνων τὰ τῆς δίκης ζυγὰ, προσωποληπτης διὰ τὴν
σὴν ἀξίαν γενόμενος, καὶ τῶν χειρῶν τὴν ἔκτασιν
εὐλαβούμενος, αἳ τούτῳ γεγόνασιν ὄχημα. Οὐ γὰρ
ἀνέχεται παροραν αὐτὰς αἰρομένας· πρὸς ἔλεος
διακλᾶται, καὶ λύει συμπαθῶς τὰ χρέα, τῆς παρ'
αὐτοῦ ἀξιῶν εὐμενείας, ἀνθ' ἧς ἦν ἄξιον ὑποσχεῖν
εἰμωρίας. Οὐκ οὖν ὅπη σὴ παρουσία, τῶν ἐναντίων B
ἡ ὁμιλία λαμβάνει τὴν παῤῥησίαν· οὐδ' εὑρίσκει
χώραν τὰ σκυθρωπὰ τῆς σῆς ἐπιχωριαζούσης φαι-
δρότητος. Ἀπ' ἀρχῆς γὰρ εἰς κόσμον παριοῦσα, ἐπὶ
φαιδροτέρᾳ τούτου καταστάσει, τὴν αὐτὴν ἀεὶ δια-
σώζεις προαίρεσιν, τῆς τῶν δεξιῶν χορηγίας οὐ
λήγουσα.

Ἦν αὐτοῖς καὶ λυχνία φώτων ἑβδομάδι περιαυ-
γαζομένη, καὶ στάμνος τοῦ μάννα ταμεῖον· καὶ
ῥάβδος τῆς σῆς παρθενίας ἀνθοφοροῦσα τὸ κήρυγμα·
καὶ τὰ ἄλλα, οἷς μέγα εἰκότως ἐφρόνει τὸ ἔθνος,
παρὰ πάντα τὰ ἔθνη. Ἀλλ' ὑπεχώρησε μετὰ τοῦ
κλεινοῦ ὀνόματος αὐτῶν, καὶ τῆς σεμνότητος. Σὲ
γὰρ σκιαγραφοῦντα, τῇ σῇ ἐκρύβη ἐπιφανείᾳ. Φαίνῃ
δὲ ἄρα ἡ ἀείφωτος σὺ λυχνία, τοῦ σκοτεινοῦ καὶ C
ῥυσαμένη, καὶ ῥυομένη θανάτου τῆς ἁμαρτίας.
Εὐωδιάζεις τὸν κόσμον τῇ σῇ τῶν καλῶν ἀνθοφορίᾳ.
Ἡ τὸ ἄνθος ἀνασχοῦσα τῆς σωτηρίας, τρέφεις τῷ
ἐκ σοῦ πεφυραμένῳ ζωηρῷ ἄρτῳ. Πηγάζεις ἀδια-
λείπτως τὰς δωρεὰς, καὶ τῇ ἀεννάῳ βλύσει τῶν
χρηστοτέρων, τὴν τῶν περιστάσεων φορὰν ἀνακό-
πτεις. Σκεδάζεται τῆς ἀθυμίας τὰ νέφη, διὰ σοῦ
αἰθρίας τὸν βίον ἀγλαΐζούσης. Ἐλαύνεται πάθη, τὸ
φοβερὸν τῶν κινδύνων εἰς ἄνεσιν μεταβάλλεται·
οὐδὲν, ὃ μὴ παραγίνεται τῶν χρηστῶν, σοῦ βουλο-
μένης· καὶ οὐδὲν ὃ μὴ φεύγει τῶν ἐναντίων, σοῦ
ἀμυνούσης· κατανεύει γὰρ ἀεὶ ἐπὶ πᾶσι, καὶ δί-
δωσι πάντα διὰ σοῦ, ὁ ἐπ' εὐεργεσίᾳ τοῦ πλάσματος,
τὴν σὴν εἰς τὸν βίον πάροδον δεδωκὼς, ἐξ οὗ πρὸς
τὸν ἀπέραντον διαπεραιουμένη βίον, κοινῇ προ- D
ετρέψω πανηγυρίζειν, οὕς τε ἐκεῖνος ἐν βαθείᾳ γαλήνῃ
προσορμοῦντας ἔχει, καὶ οὓς οὗτος ἀστάτοις ἔτι
περιφέρει ταῖς παλιρροίαις. Ὡς γὰρ αὐτῶν τε
δεσπόζουσα καὶ ἡμῶν, ὑφ' ἑκατέρας λήξεως ἀν-
υμνῇ.

Ἀλλ', ὦ Παρθένε, καὶ Μῆτερ, ἡ παρθενίαν καὶ
τόκον, τὰ πολὺ ταῦτα διεστῶτα, ἐπὶ σοὶ δείξασα
ἡνωμένα. Ὦ σκέπη, καὶ καταφύγιον, καὶ ἄγκυρα
κόσμον ὅλον ἐν ἑαυτῇ κρατοῦσά τε, καὶ περισώζου-
σα. Αὕτη σοι παρ' ἡμῶν ἡ τοῦ λόγου προσένεξις,
τὴν σὴν, ὅσον ἡμῖν ἐξήκει, τιμῶσα μετάστασιν·
πρὸς ἣν, παρ' ἐλπίδας τῶν οὐκ εὖ τὰς ἡμετέρας,

a malis penitus fuerant debellati, opem tulisti: A
nuncque etiam, nedum illis facilis ades, qui viam
divinorum mandatorum insistunt, sed et iis qui con-
traria via incedunt, ac proinde pœnis se obnoxios
reddunt, potens abunde ad protectionem inveneris,
eosque a meritis suppliciis eripis.

Reveretur enim Deus sacratissimam Arcam
suam, benignumque se exhibet iis, qui benignitate
indigni sunt; pœnaque solvit, ac justitiæ lancem
declinat, alioque vertit, tui ratione velut persona-
rum acceptator factus, ac manuum extensionem
reveritus, quæ ipsi vehiculum fuerunt. Nec enim
patitur ut sublatas despiciat; inflectitur ad mise-
ricordiam, ac debita clementer remittit, sua dignans
placabilitate, quibus merito pœna irroganda erat.
Ergo ubi tu præsens es, nulla adversariis superat B
loquendi fiducia; nullum tristia locum inveniunt,
ubi tui splendoris lætitia affulget. Cum enim a
principio in hunc mundum veneris, ut læto magis
statu componeres, eamdem semper retines voluptа-
tem, nec unquam beneficia nobis præstare ces-
sas.

Erat Israelitis quoque candelabrum, septenario
luminum fulgore conspicuum; et urna, in qua
manna servabatur; et virga, virginitatis tuæ præ-
conium, quasi florem emittens; et id genus alia,
quibus natio illa merito super omnes nationes sese
efferebat. Verum recesserunt hæc omnia, cum in-
clyto eorum nomine ac majestate. Cum enim te
adumbrarent, adventa fulgoris tui abdita sunt. Tu C
vero, tanquam perpetuo lumine collustratum can-
delabrum lucens a peccati tenebrosa morte eruisti,
pariter atque eruis. Mundum totum tuarum virtu-
tum floribus bene olentem efficis. Ferens salutis
florem, eumdem vitali ex te confecto pane alis. A
te indesinenter beneficia, quasi ex fonte manant,
jugique illa bonorum scaturigine, calamitatum,
quas patimur, impressionem ac cursum cohibes.
Dissipantur tristitiæ nubila, dum nitore tuo serenas
vitam. Fugantur morbi: periculorum terror in se-
curitatem commutatur: nihil non adest bonorum,
ut ipsa velis: nullumque malum quod non propul-
setur, modo opem tuleris. Annuit enim in omnibus,
ac per te omnia largitur, qui, ut beneficio singulari
figmentum suum afficeret, in hanc te vitam nasci D
concessit; ex quo nimirum ad interminabilem il-
lam transmittens vitam, communis festi gaudia
præbuisti, tum iis quos vita illa in portum rece-
ptos, alta fruentes tranquillitate habet: tum iis,
quos ista instabilibus et reciprocis quasi fluctibus,
hactenus circumagitat. Ut enim illorum pariter, ac
nostra Domina, ab utrisque laudaris.

At, o Virgo, et mater, quæ virginitatem et par-
tum, res sic diversas, in te conjunctas ostendisti.
O protectio, et perfugium, atque anchora, totum
in te mundum tenens conservansque. Hoc ego
orationis munus tibi dono, tuæ translationis pro
viribus honorandæ gratia: ad cujus solemnitatem,
præter spem eorum qui dies vitæ nostræ (quos ipsi

Digitized by Google

non subministrant) perperam metiuntur, vitæ nostræ curriculum durare voluisti. Tu vero vice hujus muneris et oblationis, da nobis, non vitæ longitudinem (non adeo eam amo, neque insatiabili desiderio hujus amaræ navigationis, et quam conjunctam habet, agitationis, teneor) : sed, si ita decretum, nos ex hac vita subducere, largire, ut peccatorum pondere lever. Quod si diutius in carne manendum erit, etsi hoc scio quibusdam ingratum fore, tu concede, ut et ipsis et nobis fructuose gregem pascam ; simulque mecum pasce, duc et educ ne ad aliorum operum rationem supremo illo examine, damnationis reatus propter subditos accedat : sed ut omnes sicut hic, ita et ibi indesinenter festum diem agamus, et collætemur in illa primogenitorum celebritate : in Christo Jesu primogenito tuo Filio ac Domino omnis creaturæ : quem decet gloria, potestas, honor et adoratio in sæcula sæculorum. Amen.

A οἷον οὐκ εἰσὶ χορηγοὶ, τῆς ἡμῶν βιώσεως ἐπιμετρούντων, τὸν ἡμέτερον βίον διαρκέσαι εὐδόκησας. Σὺ δ' ἡμῖν δοίης ἀντὶ τῆς προσενέξεως, οὐ μῆκος βίου (οὐχ οὕτως ἐρῶ, οὐδ' ἀκορέστως ἔχω τοῦ ἁλμυροῦ τούτου πλοῦ, καὶ τῆς ἐνταῦθα περιφορᾶς), ἀλλ' εἰ κέκριται μεταναστεύειν ἡμᾶς, τοῦ φόρτου τῶν ἁμαρτημάτων τὴν ἐλαφρότητα. Εἰ δὲ καὶ ἔτι, κἂν εἰς ἄχθος ἐνίοις τό γε, παραμένειν δεῖ τῇ σαρκὶ, ἀλλὰ σύ γε παράσχοις λυσιτελῶς αὐτοῖς τε, καὶ ἡμῖν ποιμένειν τὸ ποίμνιον, αὐτὴ καὶ συμποιμένουσα, καὶ συνδιεξάγουσα · ὡς ἂν μὴ ἐπὶ τῇ τῶν ἔργων εἰσπράξει, καὶ ἡ ὑπὲρ ἐκείνων προσέλθοι κατάκρισις · ἀξιοῦσα, πάντας ἅμα κακεῖθεν, ὥσπερ καὶ ἐντεῦθεν ἀληκτως ἑορτάζειν, καὶ συνευφραίνεσθαι ἐν τῇ πανηγύρει τῶν πρωτοτόκων. Ἐν Χριστῷ B Ἰησοῦ τῷ σῷ πρωτοτόκῳ Υἱῷ, καὶ Κυρίῳ πάσης τῆς κτίσεως · ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ORATIO XV.

Dominica post Pentecosten; ejusdem imp. Oratio, in universæ terræ sanctos universos, quando generis nostri adversarium, suis in certaminibus prostraverunt, et universalis Dei Ecclesia illos honorat.

ΛΟΓΟΣ ΙΕ'.

Κυριακῇ μετὰ τὴν Πεντηκοστήν. Τοῦ αὐτοῦ λόγος εἰς τοὺς ἁπανταχοῦ τῆς ἁγίους πάντας · ὅτε τὸν ἀλάστορα τοῦ γένους οἰκείοις ἄθλοις κατέβαλον, καὶ ἡ παγκόσμιος Ἐκκλησία τούτους τιμᾷ.

(GRETSER., t. XV, p. 329.)

Antea Spiritus sancti ad homines adventum celebrabamus, Verbo jam ad superas sedes profecto. Nunc festum diem nobis constituunt ministri sermonis, qui variis tormentis corpore suo excruciati sunt, ut animæ stolam intactam custodirent. Heri sacrum diem egimus Paracleto, qui ad apostolos descendit, et per ipsos velut perennibus quibusdam fluviis totum terrarum orbem irrigavit. Hodie recolimus immortales illos flosculos, martyres, inquam, quos terra quidem submisit, at cœlum jam recepit. Sed quæ lingua his decantandis satis est sonora ? quæ mens satis idonea ? Quod si qua angelis est lingua, eam oportebat horum laudes texere. His enim qui luctam supra naturæ vires luctati sunt, quomodo pro meritis et dignitate censeatur illa laudatio, quam natura instituit ? Verum plane credendum est, eximios hos athletas celebrari ab angelis, ea, quam ipsi agunt, solemnitate ; sed an ideo æquum erit, ut nos qui in terra degimus, quia dicendo tantam excellentiam æquare non licet, penitus ab horum cultu et honore desistamus, et non potius, quidquid vires ferunt, conferre tentemus ? Igitur ad exordium orationc revocata, rem ipsam aggrediamur.

Itaque cum jam divina cognitio animas irrigaret, aridum prorsus et omnis humoris expers humanum genus vivebat, quin et ab idololatriæ cultusque inanium deorum flamma absumebatur, et quæ a conditore indita erant semina, non poterant naturæ consentaneos, et quales ex probo semine prodire solent, fructus proferre ; sed quidquid succreverat, id peregrinum et alienum erat, et ortus sui manifestiora dabat indicia, quam soleant monstra præbere documenta morbi eorum, a quibus progene-

C Πρότερον ἡ τοῦ παναγίου Πνεύματος ἐπανηγυρίζετο πρὸς ἀνθρώπους ἐπιδημία, ἤδη τοῦ Λόγου τὴν εἰς οὐρανοὺς ἄνοδον τελεσαμένου. Νῦν ἡμῖν συγκροτοῦσι τῆς ἑορτῆς τὴν ὑπόθεσιν οἱ ὑπηρέται τοῦ λόγου ποικίλαις βασάνων ἰδέαις τὸν δερμάτινον χιτῶνα διαξανθέντες, ἵνα τὸ ἀκέραιον τῇ στολῇ τῆς ψυχῆς συντηρήσωσι · χθὲς τὸν Παράκλητον ἐθειάζομεν, ἐνδημοῦντα τοῖς ἀποστόλοις, καὶ δι' αὐτῶν, ὥσπερ τισὶ ποταμοῖς ἀενάοις τὴν οἰκουμένην ἀρδείας πληροῦντα. Σήμερον, τὰ ἀμάραντα ἄνθη, ἃ γῆ μὲν ἐξανέτειλεν, ὑπεδέξατο δὲ οὐρανὸς, τοὺς μάρτυρας. Ἀλλὰ τίς εὔηχος γλῶσσα ; τίς διαρκὴς νοῦς πρὸς εὐφημίαν ; εἴ τις ἄρα ἐστὶ γλῶσσα ἀγγέλων, ταύτην ἐχρῆν διαπλέκειν τὴν εὐφημίαν· οἷς γὰρ ὑπὲρ φύσιν, ἡ πάλη, πῶς τούτοις ἀποχρῶν πρὸς τιμὴν ὀφθείη ὁ ἐκ τῆς φύσεως ἔπαινος ; ἀλλ' ἄγγελοι πάντως τῇ καθ' ἑαυτοὺς πανηγύρει, τοὺς ὑπερφυεῖς τιμῶσι γεννάδας. Μή ποτε δὲ οὐχ ὅσιον, ἡμᾶς τοὺς ἐν γῇ, ὅτι μὴ τῆς ἀξίας ἐφικνούμεθα, ἤδη παντελῶς D κατολιγωρεῖν τῆς τιμῆς, χρῆναι δὲ μᾶλλον συνεισενεγκεῖν, ὅσον ἧκεν εἰς δύναμιν ; Οὐκοῦν, ὥσπερ εἰς ἀρχήν τινα καταστήσαντες τὸν λόγον, τοῦ ἔργου ἐπιληψόμεθα.

Ἤδη μὲν οὖν τῆς ἐπαρδούσης θείας γνώσεως τὰς ψυχὰς, ἄνικμον ἦν παντελῶς τὸ ἀνθρώπινον, εἰδωλομανίας δὲ ἐκέκαυτο πυρὶ, τὰ δὲ ἐντεθέντα παρὰ τοῦ δημιουργοῦ σωτηρίας σπέρματα, οὐδ' ἦν ἀνασχεῖν βλάστην γνησίαν τῆς φύσεως, οὐδ' οἷα προέλθοι ἂν σπέρματος ἀγαθοῦ, ἀλλὰ πᾶν, ὅπερ ἐπεφύκει ἀλλότριον, καὶ ξένον ἦν γνωρίσματος οἰκείου πλέον, ἡ νόσῳ [νόσου] τῶν γεννώντων τὰ τέρατα. Δαιμονίων γὰρ ἔτικτε θεραπευτὰς, καὶ οὐ τῆς δημιουργοῦ τῶν ὅλων αἰτίας, ἁπάντων καταλελοιπό-

Digitized by Google

των μικροῦ δεῖν ἀνθρώπων τὴν τοῦ Θεοῦ τιμήν, καὶ πρὸς ἐκείνους μεταταξαμένων. Ἐπεὶ δ' ὁ ἐξ ἀρχῆς πλάσας δι' οἶκτον τὸν ἄνθρωπον, οὐκ ἔφερε βλέπειν τὴν τοσαύτην ἐπὶ τὰ χείρω ῥοπὴν, οὐδὲ τὴν οὕτω πικρὰν τοῦ πλάσματος τυραννίδα, ἀλλ' εὐδόκησεν αὐτὸς γενόμενος ἄνθρωπος, ἐν ὁμοίῳ σχήματι ἐπαμύνειν ἀνθρώποις, ἄρτι μὲν θείου ῥανίσιν αἵματος ἀπεσβέννυτο τῆς εἰδωλομανίας ἡ φλὸξ, ἐδροσίζετο δὲ ἡ τῶν ἀνθρώπων φύσις, καὶ κατὰ βραχὺ πίνουσα τῶν σταγόνων, ἀνέφερε πρὸς ἑαυτὴν, καὶ καρποὺς ἐνηνόχει, οὐκ ἀλλοτρίους, ἀλλ' οἰκότας, οἷς ἐξ ἀρχῆς ὁ γεωργήσας, ἡμῖν ἐγκατέθετο σπέρματι. Καὶ ἤδη μὲν κατεπεφρόνητο δαίμονες, ἐπανῆει δὲ πρὸς τὸν Κτίστην ἡ τιμὴ καλῶς ἀπὸ τῶν κτισμάτων ἀναχωροῦσα. Τοῦτο οὖν ἐπείπερ ἐγεγόνει, ἠσχάλλεν ἀνιώμενον τὸ δαιμόνιον γένος, οὐδ' ἠνείχετο βλέπειν ἐφ' οὕτω χρηστὴν μεταβολὴν ἐπανιόντα τὸν πρὸς τὰ χείρω μετατραπέντα. Διὰ τοῦτο καὶ πρὸς ἀκήρυκτον ἀνηρέθιστο πόλεμον. Καὶ ἐπειδὴ προβάτων, καὶ βοῶν αἵματα τοὺς βωμοὺς ἐπελελοίπει, ἀνθρωπίνοις αἵμασι φύρεσθαι τὴν γῆν παρεσκεύασε. Καὶ ὅτι σφαγίων ἐνεδεῖτο πλήθους, ἐπὶ τὰς τῶν ἀνθρώπων ἐχώρει σφαγάς. Ἀλλ' ἦν δαίμοσιν ὄλεθρος, καὶ τῆς αὐτῶν ἰσχύος καθαίρεσις. Ὅσον γὰρ οἱ κρουνοὶ τῶν μαρτυρικῶν αἱμάτων ἐκενοῦντο, τοσοῦτον τῶν ἐπιῤῥωμίων αἱμάτων αἱ ῥοαὶ ἀνεκόπτοντο, ὅσον τοῖς ἀτμοῖς τῶν μαρτυρικῶν θυσιῶν ὁ ἀὴρ ἡγιάζετο, ἐπὶ πλέον τῆς κνίσσης τὸ δυσῶδες διεσκεδάννυτο.

A rata sunt. Dæmonum enim pariebat cultores, non ejus, qui universa procreavit, omnibus ferme hominibus, ad dæmonum cultum, Deo derelicto, transgressis. Postquam vero is, qui ab initio hominem, misericordia motus, formarat, non tulit, ut ad deteriora semper prolaberetur, et tam duro servitutis jugo figmentum suum opprimeretur; statuit ipsemet opis ferendæ causa, humanam naturam induere, et simili sub imagine inter mortales versari. Et jam guttis divini sanguinis exstinguebatur idololatriæ flamma, et rore cœlesti perfundebatur humana natura, paulatimque stillas combibens, ad seipsam trahebat, fructusque ferebat non peregrinos, sed sibi competentes, quorum semina a primo statim ortu, cœlestis colonus insperserat. Jamque despicatui erant dæmones, honosque a creaturis ablatus Creatori deferebatur. Quod ubi factum, ira exarserunt dæmones, nec tolerandum putarunt, ut quæ ad pessimum statum devoluta fuerant, restituerentur in optimum. Quocirca etiam ad non denuntiatum bellum suscipiendum irritati sunt; et quia ovium et boum sanguis altaria jam reliquerat, curarunt, ut humano sanguine terra misceretur; et quia deerat jam cæsarum hostiarum copia, ad cædes hominum sese converterunt; quæ tamen dæmonibus interitum attulerunt, et potestatem, qua valebant, destruxerunt. Quanto magis enim fontes sanguinis a martyribus profusi aperiebantur, tanto magis fluenta sanguinis in aris immolati imminuebantur, et quanto magis aer sanctificabatur vapore sacrificiorum, quæ martyres offerebant, eo magis aliorum sacrificiorum nidor dissipabatur.

B

Ἀλλὰ γὰρ ἁπανταχοῦ τῆς εὐσεβείας ἐξαστραπτούσης τὸ φέγγος, καὶ τῆς σκοτομηνίας ἀπελαυνομένης, ἁπανταχοῦ γῆς ὁ ἄρχων τοῦ σκότους διέτρεχε, καὶ δόγμα ἐγράφετο, ἢ δαίμοσι φέρειν τὸ σέβας, ἢ καταφρονοῦντας τοῦ δόγματος, τοῦ ζῆν ἀπελαύνεσθαι. Εἵλκετο δὴ οὖν ἐπὶ τὰς σφαγὰς τὰ ἀμώμητα θύματα, παρεδίδοτο τοῖς θηρίοις τοῖς πικροῖς τυράννοις τὰ τοῦ Χριστοῦ πρόβατα· πολύτροπος δ' ἦν αὐτοῖς καὶ ποικίλη, ἡ, ὅπως μετέλθοιεν τοὺς ἁγίους, περίνοια. Τοὺς μὲν γὰρ καὶ πρὶν ὁραθῆναι, ὅτι τὴν ἀληθινὴν ὡμολόγουν ζωὴν, τῷ θανάτῳ παρεδίδουν. Ἔχαιρον δὲ, πρὸς αὐτὸν οἱ γενναῖοι ἀγόμενοι, ὥσπερ εἰς ἱερὸν ἀπιόντες, τελειουμένην αὐτοῖς ὁρῶντες τὴν ἔφεσιν. Καὶ αὐτίκα τῷ ποθουμένῳ καθαρώτερον ὁμιλήσειν προσδοκῶντες, μηδὲν ἔτι τοῦ σαρκίνου παραπετάσματος διατειχίζοντος. Τοῖς δὲ [Οἱ δὲ], ὥσπερ φλογὸς καπνὸν, τὸν θυμὸν ὑπέκρυπτον, καὶ συνδιεπλάττοντο πρὸς τὸ ἥπιον, καὶ κηδομένοις ἐῴκεσαν, καὶ φιλούντων ποιεῖσθαι παραίνεσιν· ἔνθεν μὲν προτιθέντες ἀπόλαυσιν τῶν τοῦ βίου τερπνῶν, ἐκεῖθεν δ' οἰκτίζεσθαι λέγοντες, μὴ κακῶς ἀπόλοιντο· νῦν μὲν φείδεσθαι νεότητος ἄνθους οὕτως ἀώρως ἀποχειρομένου, νῦν δὲ μὴ ἀφειδεῖν τοῦ τῆς ἀνδρείας χρήματος, ὃ τιμῶν, καὶ στεφάνων, ἀλλ' οὐ τιμωρίας, οὐδ' αἰκισμῶν ἐστιν ἄξιον. Ναὶ μὴν ἀγαπᾷν καὶ τὰ ἐκ βασιλέως ἀγαθὰ, ἃ δωρεῖται τοῖς ἐκείνου πειθαρχοῦσι τῷ δόγματι. Ἀποβλέπειν δὲ καὶ εἰς τὸ γλυκὺ τῆς παρούσης ζωῆς, καὶ μὴ καθάπερ ἀπομύσαντας,

C

D

Porro cum lux pietatis ubique fulgeret, noctisque caligo pelleretur, ubique locorum princeps tenebrarum circumcursitabat, edictumque exiit, ut aut dæmonibus pietatis cultus tribueretur, aut qui id renuerent, ex vita exterminarentur. Trahebantur ergo ad cædem innoxiæ hostiæ, tradebanturque immanibus belluis, truculentissimis tyrannis, oves Christi, variasque rationes adhibebant, quibus sanctos e medio tollerent. Nonnullos enim trucidabant, etiam antequam constaret, eos veram religionem sequi. Gaudebant autem generosi illi pugiles, quando ad mortem ducebantur, tanquam ad sacrum tabernaculum abeuntes, cum viderent jam desiderium suum perfici, seque e vestigio clarius et prius cum eo, quem desiderabant, versaturos nullo jam amplius carnis velo interjecto. At ergo alios iram, ut flammæ fumum, occultabant, et ad lenitatem sese componebant; et quasi eorum magnam curam gererent, simulabant, et amicas cohortationes instituebant, hinc quidem vitæ hujus jucunditatibus propositis, inde commiseratione, et formidine se angi dicebant, ne male interirent; jam se ætatis flori parcere, ne tam immature demetatur. Jam rogabant, ne adeo nihili penderent ingenitam fortitudinem et invictam dexteram, rem quæ potius digna sit honoribus et coronis, quam suppliciis et pœnis. Et ut imperatoris quoque rationem ducerent, propter munera, donanda iis, qui mandatis ejus morem gererent; utque etiam vitæ hujus

Digitized by Google

dulcedinem perpenderent, neque clausis oculis ad interitum ruerent. Hæc tyrannorum subdola et malitiosa versutia. His puerilibus commentis tyranni veræ sapientiæ amatores in fraudem impellere studebant. At ex illorum numero alius aliud responsum dabat. Hic clamabat : Nihil eorum, quæ sub aspectum cadunt, me delectat, tota cupiditate ad hoc, ut pro Christo patiar, effusa. Ille vero : Jam occasio adest, ut fortitudinem meam in certaminibus pro rege meo subeundis, demonstrem. Alius : Nunc par est ut, dum flos mei viget, delicto me sistam, priusquam senio exarescat. Alius animo ad plura diducto, et oratione copiosior talia quædam loquebatur : Sunt quidem pulchra, quæ commemorasti. Pulchra esse, neque nos inficiamur, et a Deo concessa ; ac proinde gratias eidem merito persolvimus. At qua ratione gratias ageremus, si nimia horum cupiditate ab illo sejungeremur? Quomodo mens illa gnara pulchri vocari potest, quæ donum honorat, donantem aspernatur? Pulchra sunt ista ; sed si quis totam suam cogitationem ad ea convertit, et propter eorum amorem, ejus qui vere pulcher est, amorem exstinguit, iste et pessimus sibi ipsi efficitur, et miser ob voluptatem, quam inde capit, et longe adhuc miserior ob pœnas, quas dum rebus modice sensum titillantibus inhiat, sibi asciscit. Nequaquam igitur opportuna est animi vestri in nos benevolentia, neque enim quidquam emolumenti affert. At hæc dulcia sunt, mentemque devinciendi vim habent. Sed pulchritudo animæ est incomparabilis. Non decet, ut quis præstantiore relicto, circa deterius studium et operam ponat. Suavis est præsens vita ; sed neque umbram ejus, quæ nos exspectat, vitæ complectitur. Non finiuntur res nostræ præsentibus. Exspectat nos alia vita, cujus finis nullus. Non abit in nihilum etiam isthæc nostra ex luto ficta effigies, etiamsi perpetuo quasi radatur, multoque minus anima ; sed hanc quidem insolubilis status manet ; huic vero per dissolutionem, quæ cernitur, transitus paratur ad statum indissolubilem. Et animæ quidem, si a vera cognitione non aberret, in beatorum sedibus commoratio jam decreta est ; at si ad contrarium vergat, pœnis sese obnoxiam reddit : corpus autem necessario aut bonis aut malis, quibus ipsa, perfrueretur. Si igitur in præsenti vita pulchritudinem animæ conservemus (conservabimus autem si pietatem non prodamus), hoc ipso etiam corpori meliorem formam et conditionem conciliabimus. Quod si patiamur animam in impietatem prolabi, et huic et illi insidias tetendisse jure optimo feremur. Quid igitur illa nobis affertis, quæ neque altera parte pulchrum respiciunt? Quod si et vobis ea quæ delectant, cordi sunt, quærite viam quæ ad vere delectabilia ducit. Sin minus, nobis autem tota cogitatio nostra ad illa tendit, ne præsentia proponite : nihil nos inde abstrahere potest, sive voluptatem, sive tristitiam pariat. Quid gloriam nobis pollicemini, cujus domini non estis? Quid datis,

A χωρεῖν πρὸς τὸν θάνατον. Ταῦθ' ἡ τυραννικὴ κακεντρέχεια. Τούτοις ἡ παιδαριώδης τῶν τυράννων ἐπίνοια, τῆς ἀληθινῆς σοφίας τοὺς ἐραστὰς ἐπειρᾶτο παραλογίζεσθαι. Τῶν δὲ ἄλλος ἄλλην ἱερὰν ἠφίει φωνήν. Ὁ μὲν γὰρ ἔλεγεν· Οὐδὲν τῶν ὁρωμένων ἐμοὶ τερπνὸν, ὅλης τῆς ἐπιθυμίας, εἰς τὸ παθεῖν ὑπὲρ Χριστοῦ κεκενωμένης. Ὁ δὲ, Νῦν ἐπιτήδειον ἥκειν μοι τὸν καιρὸν, τὸ ἀνδρεῖον ἐν τοῖς ὑπὲρ τοῦ ἡμετέρου βασιλέως ἀγῶσιν ἐνδείξασθαι. Καὶ ἄλλος· Νῦν προσῆκεν ἐν ἄνθει τῆς νεότητος ὀφθῆναι τῷ ποθουμένῳ, πρὶν ἢ καταμαρανθῆναι τῷ γήρει. Ἕτερος δὲ ἐπιπλέον κινούμενος τὴν διάνοιαν, καὶ οἷον ῥέων τῷ λόγῳ, τοιαῦτά τινα ἐφθέγγετο· Εἶναι μὲν ταῦτα καλὰ, ἅπερ ἔφης, καλὰ καὶ ἡμεῖς σύνισμεν, καὶ παρὰ Θεοῦ δεδόσθαι μέντοι, ἐφ' ᾧ B χάριν εἰδέναι· πῶς δ' ἂν εἰδείημεν χάριν, εἰ τῷ πόθῳ τούτων ἐκείνου διαζευγνύμεθα; ποῦ δὲ φρενὸς εἰδυίας καλὸν, τὸ μὲν δῶρον ἐθέλειν τιμᾷν, τῆς δὲ τοῦ δεδωκότος τιμῆς κατολιγωρεῖν; καλὰ ταῦτα. Ἀλλ' εἶτις ὅλον τὸν νοῦν πρὸς αὐτὰ στρέφοι, καὶ τούτων ἔρωτι τοῦ ὄντως καλοῦ τὸν ἔρωτα ἀποσβέσοι, οὗτος κάκιστος μὲν ἑαυτῷ, ἄθλιος δὲ τῆς ἀπολαύσεως, ἀθλιώτερος δὲ τῆς ζημίας, ἣν ἐπὶ μικρὰ δελεάζουσιν, ἀντελέξατο· οὐκ οὖν ὑμῖν ἐν καιρῷ τὸ τῆς γνώμης κηδόμενον (οὐ γὰρ κτῆσιν ἀγαθῶν εἰσηγεῖται) ἔχει τι ταῦτα θελκτήριον, καὶ ὑπαγωγὸν, ἀλλὰ τὸ κάλλος ἀσύγκριτον τῆς ψυχῆς. Οὐ δεῖ, τοῦ κρείττονος ἀφεμένους, περὶ τὸ ἧττον τὴν σπουδὴν ἐπιστρέφειν. Γλυκὺς ὁ παρὼν βίος, ἀλλ' οὐδὲ σκιὰν τῆς ἡμῖν ἀποκειμένης γλυκύτητος ἀναπληροῖ. C Οὐ μέχρι τούτων ἕστηκε τὰ ἡμέτερα. Ἐκδέχεται ἡμᾶς ἄλλη ζωὴ, ἧς οὐχ ἅπτεται λύσις. Οὐκ οἰχεται πρὸς τὸ μὴ ὄν, οὐθ' οὗτος ἡμῶν ὁ πήλινος ἀνδριὰς, κἂν ξέηται διαπαντὸς, οὔτε πολλῷ πρότερον ἡ ψυχὴ, ἀλλὰ τῇ μὲν ἄλυτος ἡ διαμονὴ, τῷ δὲ, διὰ τῆς ὁρωμένης λύσεως, πρὸς τὸ ἄλυτον ἡ μετάβασις· καὶ τῇ μὲν μὴ ἀπολισθούσῃ τῆς ὄντως γνώσεως, ἐν μακαρίᾳ μεταστάσει ἡ διαγωγὴ, ὑπαχθείσῃ δὲ πρὸς τοὐναντίον, λῆξις ἁπάντῃ τιμωρίας· τῷ δὲ ἀνάγκη συναπολαύειν, ὧν ἂν ἐκείνη δεξιῶν, ἢ φαύλων μετέχοι. Εἰ μὲν οὖν ἐν τῷ παρόντι τὸ κάλλος τηρήσομεν τῆς ψυχῆς (τηροῖτο δ' ἄν, εἰ μὴ προδοίημεν τὴν εὐσέβειαν), ἔσται ἡμῖν, ἔσται καὶ ταῦτα δὴ τὰ τοῦ σώματος ἐν ἀμείνονι διαμειβόμενα σχήματι. Εἰ D δὲ τῇ ψυχῇ παραχωρήσομεν τὰς τῆς ἀσεβείας κῆρας, λυμήνασθαι, καὶ ταύτῃ, κἀκείνῳ ἐπιβουλεύοντες ἂν ὀφθείημεν. Τί οὖν ἐκεῖνα ἡμῖν εἰσηγεῖσθε, ἃ μηδ' ἑτέρῳ μέρει πρὸς καλὸν ὁρᾷ; Εἰ μὲν καὶ ὑμῖν μέλει τῶν τερπνῶν, ζητήσατε τὴν ὁδὸν, ἣ διαβιβάζει πρὸς τὰ ὄντως τερπνά. Εἰ δὲ μὴ, ἀλλ' ἡμῖν γε ὅλον τὸ φρόνημα πρὸς ἐκεῖνα μεταθεμένοις, μὴ τὰ παρόντα προτείνετε. Οὐδὲν ἡμᾶς ἐκεῖθεν μεθέλκειν δύναται, οὐχ ὅσα φέρει τέρψιν, οὐχ ὅσα λυπεῖ. Τί δόξαν ἡμῖν ὑπισχνεῖσθε, ἧς οὐκ ἐστὲ κύριοι; τί δίδοτε, ἃ καὶ ὑμᾶς θᾶττον ἀπολείπει; τί δ', ὡς φοβερὸν, τὸν θάνατον ἀπειλεῖτε, ὃς μᾶλλον ὑμῖν ἁπάντῃ φοβερός; Ἐν ἡμῖν τερπνὸν, τὸ μετὰ Χριστοῦ εἶναι. Ἐν δὲ φοβερὸν, τὸ, ἐκείνου χωρίζεσθαι. Ταῦθ' ὁ μέν τις τῶν ἀθλητῶν, οἷον νιφάδας ἀφιεὶς εἰς ἀφωνίαν

Digitized by Google

περιέστη τὰς συνηγόρους τῆς πλάνης γλώσσας. Ἕτερος δὲ, τὰ μέλη προΰτεινε πρὸς ἐκτομὴν, καὶ πρὸς τὴν σφαγὴν τὸν αὐχένα ἐδίδου, καὶ μὴ μέλλειν πρὸς τὴν πεῖραν τῶν βασάνων παρεκελεύετο.

A quæ vobis ipsis forte desunt? Quid tanquam terrificam mortem minamini, quæ vobis magis formidanda venit? Unum nobis jucundum est, esse cum Christo. Unum formidandum, separari ab ipso. Hæc unus ex athletarum numero prolocutus, silentium imposuit erroris advocatis. Alius vero membra protendebat, ut amputarentur, et cervicem, ut præcideretur, cunctantesque ad tormenta inferenda excitabat.

Ἀλλ' ἡ μὲν τῶν προμάχων τῆς ἀληθείας, οὕτως ἀκατάπληκτος παῤῥησία. Ἡ δὲ ποικίλη τῶν δικαστῶν κακόνοια. Τοῖς μὲν εὐθέως ἐπῄρει τὰ δεινὰ, καὶ διὰ τῶν παλαισμάτων ἐλάμβανε δοκιμὴν τῆς τε ἀηττήτου τῶν ἀθλητῶν ἀνδρείας, καὶ τῆς σφῶν ἥττης. Οἱ δὲ καίτοι πρὸς φόνους τεθηγμένοι, καὶ ἥδιστα τοῦ μαρτυρικοῦ ἂν αἵματος πιόντες, ἢ ὕδατος, ἔτι τὸ μειλίχιον ὑπεδείκνυον, καὶ τῶν βασάνων ἀνεῖχον τὴν πεῖραν, καὶ πρὸς λαβὰς λόγων, πράως δοκοῦντες ἔχειν, ἔτι συνεπλέκοντο, Εἰ καὶ ὑμῖν λέγοντες, οὐ βουλομένοις ὁρᾷν τὸ συμφέρον, περισπούδαστός ἐστιν ὁ οὕτω πικρὸς θάνατος, ἀλλ' ἡμᾶς γε οἰκτος εἰσέρχεται, καὶ οὐ βουλόμεθα κακῶς ὑμᾶς ὀλωλέναι. Ἐχρῆν δὲ μᾶλλον, ὥσπερ διακαθᾶραι τῷ ἐκ λόγων φωτὶ τὴν περισχοῦσαν ὑμᾶς πλάνην, ὡς ἂν οὕτω τῆς ἐπικινδύνου δόξης ἀποστάντες, θεούς τε μεθ' ἡμῶν τιμήσητε, καὶ τῶν βασιλέως ἀγαθῶν κοινωνοίητε. Ἰησοῦς μὲν γὰρ ἐκεῖνος, ὃν ἑαυτοῖς βασιλέα χειροτονεῖτε, τὸν τῶν κακούργων θάνατον ὑποστὰς, οὐκ ἔσχεν αὐτὸν βοηθεῖν. Πῶς οὖν ὑμῖν ἐπαμύνει, ὃς μηδ' αὐτῷ ἤμυνεν; ἢ πῶς τῶν εἰς τιμὴν ἡκόντων τι μεταδῷ, ὁ οὕτως ἀτίμως θανών; ἐπίγνωτε τοὺς εὐεργέτας καὶ σωτῆρας θεούς. Οὐχ ὁρᾶτε, ὅθεν τὰ κάλλιστα παραγίνεται; Ἥλιος οὑτοσὶ τὰ πάντα πληροῖ φωτὸς, πάντα πληροῖ ζωῆς. Ἀγνοεῖτε τούτου τὴν δύναμιν; Οὐ νὺξ, καὶ ἡμέρα τοῖς ἐκείνου ἀκαμάτοις δρόμοις μερίζεται; Οὐ τῶν θαυμασίων ὡρῶν, αἱ ὥσπερ σεμναί τινες κόραι ἀλλήλαις περιχορεύουσιν, οὗτός ἐστιν αἰτιώτατος; Ἆρ' ὀλίγου τινὸς ἄξια ταῦτα, καὶ οὐ θείας τιμῆς; Οὐδὲ σελήνην ἴστε, ὅσα ἀνθρώποις χαρίζεται; ὅσα συμβάλλεται τῷ παντί; Προσφέρειν οὖν δεῖ καὶ ταύτῃ τὸ σέβας· ναὶ μὴν καὶ τοῖς ἄλλοις φωστῆρσιν, ὧν ἡ ἐπιτροπὴ διοικονομεῖ τὰ ἀνθρώπινα· ἐπὶ πᾶσι δὲ, τῷ θεῶν ὑπάτῳ Διὶ, ὃς ἁπάντων εἴληχε τὴν ἀρχήν.

Sed hæc quidem veritatis propugnatorum adeo imperterrita loquendi libertas erat. At judices improbi hos sine mora tormentis subdebant, ipsisque certaminibus experimentum sumebant et de invicto athletarum robore, et de sua clade et victoriæ amissione. Alii vero quamvis cædium cupidi, magisque sanguinis martyrum, quam aquæ sitientes, blanditias adhuc adhibebant, et a cruciatibus abstinebant, et ad tendiculas verborum, quo clementes B esse viderentur, sese convertebant. Licet vobis, aiebant, nolentibus cernere id quod conducibile, amara mors expetenda videatur, at nos misericordia vestri tangit; neque vos male perire volumus. Satius autem erat, ut velut orationis lumine eam, quæ vobis circumfusa est, deceptionem expurgaretis, ut sic deserta periculosa persuasione, deos nobiscum coleretis, et bonorum, quæ imperator largitur, participes essetis. Nam Jesus ille, quem vobis regem legitis, maleficorum morte subita, sibi ipse opem ferre nequit. Quomodo igitur vobis succurret, qui sibi non fuit auxilio? Aut quomodo is, qui tam ignominiosam mortem oppetiit, gloriæ aliquid conferet? Agnoscite benefactores et servatores deos. C Nonne videtis, unde pulcherrima quæque fluant? Sol iste omnia implet lumine, omnia implet vita. Num vim ejus ignoratis? An non nox et dies indesinenti ejus cursu distinguitur? An non admirabilium horarum, quæ velut decoræ puellæ choreas sibi mutuo succedentes agitant, iste vel maxime est effector? An hæc exiguo honore, et non divino digna sunt? Nec quanta luna hominibus præstet, nostis? quanta commoda rerum universitati progignat? Oportet ergo, ut et hæc debito cultu colatur, imo et aliis luminaribus, quorum munere humana administrantur, cultus est exhibendus. Præ omnibus autem, divum supremo Jovi, cui imperium in omnes commissum.

Πρὸς ταῦτα οἱ μὲν τῶν μαρτύρων, σιωπῇ τὴν αὐτῶν πλάνην κατέστενον. Οἱ δὲ καὶ δάκρυσι κατ- D ελείβοντο, τοῦτο μὲν τοῦ Δημιουργοῦ τὴν ὕβριν οὐ φέροντες ἀδακρυτὶ, τοῦτο δὲ, καὶ τοὺς πλανωμένους τῆς ἀπονοίας οἰκτείροντες. Ἄλλος δέ τις γλῶσσαν πολύφθογγον ἀνακινήσας τῷ Πνεύματι, τῶν λόγων τὸ μάταιον, λόγοις ἀληθείας ἐῤῥάπιζε. Περὶ μὲν τῆς τοῦ ἡμετέρου βασιλέως δυνάμεως λέγων· Ὦ δικαστὰ, ἦν ἔφης τὸν τῶν κακούργων θάνατον ὑπομεῖναι; εἴγε βουλομένῳ σοι ὁ λογισμὸς πρὸς τὸ ὕψος αὐτοῦ τῆς μεγαλειότητος ἐνατενίζειν, ἔγνως ἂν οἷός τίς ἐστι τὴν δύναμιν, καὶ τὸν θάνατον, ὃν χλευάζεις, ἡλίκην ζωὴν προεξένησεν; Ἀλλ' οὐ φίλον ὑμῖν ἀπηλλάχθαι τῆς φίλης πλάνης. Οἷς δὲ περὶ τε ἡλίου καὶ τῶν ἄλλων συνείρεις, οὐκ ἀγνοοῦμεν τοὺς λό-

His auditis, martyrum nonnulli silentio errorem deplorabant: aliis ubertim lacrymæ manabant, partim quia tantam in Creatorem injuriam absque lacrymis ferre non poterant; partim, quia deceptos istos ob amentiam miserabantur. Alius autem reserata diserta lingua per Spiritum, orationis vanitatem, dicendi veritate castigabat his et similibus verbis: De nostri Regis potentia, o judex, quem ais maleficorum necem subiisse, si tibi collibitum esset paulo attentius cogitare, et in magnitudinem ejus oculos defigere, intelligeres utique ejus vim simulque, qualem vitam, mors, quam ridea, pepererit. At non gratum est vobis, ut ab errore grato liberemini. Quod vero de sole et aliis affers, nos ignoramus, quos terminos a Creatore præfixos ha-

Digitized by Google

beant, neque id nos fugit, quanta ab his, tanquam a ministris, creatura hac inferiore superioribus, bona proveniant. Sunt enim nobis oculi ad hoc perspiciendum satis perspicaces. Quocirca existimationem quam merentur de illis habemus, et pulchra hæc fatemur, rerumque pulcherrimarum causas; quidni enim, cum sint optimi opificis effecta? At apud vos, ut honor ipse, quem his defertis, contra omnem est rationem, ita et causa honorandi. Nam quas tandem de illis opiniones concepistis? Siderum enim quædam nunc optima quæque efficiunt. Et nunc quidem cum in hac parte volvuntur, necessariam vim et efficaciam ad res gignendas exserunt; at cum inde abscedunt, simul etiam vis et efficacitas abscedit. At par non est hujusmodi de Deo cogitationem suscipere. Sed mittamus hæc. Cæterum affirmare, ea, quæ animum improbum reddunt, ex eorum constitutione ad animum pervenire fatali quadam necessitate, quomodo non præter summam impietatem omnisque Dei abnegationem, omnium mortalium, qui legibus reguntur, et vestro etiam sensui penitus repugnat? Non enim arbitror eo nequitiæ quemquam processisse, ut Deum bonum esse abnuat. Qua igitur ratione a bono mala provenient? Sin minus, poteris et ignem causam caloris nominare, et lucem tenebrarum. At non fatebitur hoc, cui mens sana. Qua de causa leges fers, quæ improbis pœnas decernunt? Si enim [stellarum] constitutionibus hujusmodi voluntatis propositum ascribendum est, cur pœnas poscis qui ut maxime voluisset, facinus tamen illud vitare nequivisset? Vides quomodo non tantum de Deo convenienter non sentiatis, sed et vestra dogmata [evertatis. At nos quemadmodum dixi, pulcherrima Dei opera esse profitemur; et pulcherrima quæque producere, idque ex commissa functione quam a primo ortu a rerum Conditore acceperunt. Vos vero haud scio, quonam consilio ducti, ei cui honor adimi nequit, honorem abrogare tentatis, et illis, quibus divini honoris nulla communio, quasi eo dignissimis, eumdem impertitis. Quo testimonio permoti, divinis honoribus afficitis? Qualem vero vim et potentiam, quæ divinam naturam testetur, in ipsis intuiti, divinam appellationem eis tribuistis? Splendidus est sol iste, vitalique actione præditus. Eximia hæc sunt, planumque faciunt, solem inter res creatas eximium locum obtinere. Sed tanta non sunt, ut ad divinitatem evehant. An non cernitis, quantis subjaceat affectionibus? Quo jure tales affectus et mutationes Deo assignabis? An non videtis, quomodo actio ejus dispertiatur? At quæ sana mens ullam partitionem in Deo statuit? Diversitas autem temporis, quam cursu suo efficit, quomodo non et ipsa servitutem, quam servit, testatur? Quid enim Deo opus est locorum diversitate, ut jam hoc, [jam aliud agat? Quin ef per hæc ipsa tantum non vocem edit; sed surdi eam non exaudiunt.

Quam incnarrabilis est ratio, qua sidera sunt

γους, οὓς αὐτοῖς ἔθετο ὁ Δημιουργός· οὐδ' ὅσα χορηγεῖ δι' αὐτῶν, ὡς λειτουργοῖς ἀναβεβηκόσι τὴν ἄλλην ὑποβεβηκυῖαν διατάττων κτίσιν. Ἔνεισι μᾶλλον ἡμῖν ὀφθαλμοὶ τηλαυγέστερον διαβλέποντες. Διὰ τοῦτο καὶ τοὺς προσήκοντας αὐτοῖς ἁρμόζομεν λόγους, καὶ καλὰ μὲν ταῦτά φαμεν, καὶ τῶν καλλίστων παραίτια. Πῶς γὰρ οὐκ ἔμελλε τοῦ ἀγαθοῦ ὄντα δημιουργήματα; ὑμῖν δὲ ὥσπερ παράλογος ἡ περὶ ταῦτα τιμή, οὕτω πολὺ τὸ παράλογον ἔχει καὶ ὁ τῆς αἰτίας λόγος. Οἷα γὰρ καὶ δοκεῖ ὑμῖν περὶ τούτων; νῦν οἱ μὲν αὐτῶν τὰ καλὰ φέρουσιν ὑμῖν· νῦν δὲ οἱ αὐτοὶ πάλιν τῶν χειρόνων εἰσὶ δημιουργοί. Καὶ νῦν μὲν ἐν τούτῳ μέρει ἐπιβατεύοντες, ἄμαχον ἔχουσι τόδε τι γενέσθαι ῥοπήν· νῦν δὲ ἐκεῖθεν ἀναχωροῦντες, ἀναχωροῦσαν ἔχουσιν | τὴν δύναμιν. Οὐ γὰρ ἄξιον, τοιαύτας περὶ τοῦ Θείου φέρειν τὰς ὑπολήψεις. Ἀλλὰ ἀφείσθω τοῦτο. Τὸ δ' ἐκεῖθεν φάσκειν, ἃ τὴν ψυχὴν κακύνει, ἐπ' αὐτὴν ἥκειν, ὥσπερ τινὶ ἀναγκαίῳ κλήρῳ τῷ αὐτῶν σχήματι, πῶς οὐ παντάπασι, μετὰ τοῦ νοσεῖν ἀθεότητα, καὶ ταῖς ἁπάντων ἀνθρώπων, ὅσοι νόμοις ἄγονται, δόξαις, καὶ ταῖς ὑμῶν αὐτῶν πολεμιωτάτους ἀποφαίνει; Ἀγαθὸν μὲν οὖν εἶναι τὸν Θεὸν, οὐκ ἂν ἐπὶ τοσοῦτον κακίας οἶομαί τινα ἐλάσαι, μὴ κατάθεσιν δοῦναι. Πῶς οὖν ἐκ τοῦ ἀγαθοῦ γένοιτ' ἂν τὰ κακά; Εἰ μὴ ἄρα σὺ καὶ τὸ πῦρ ψύχους αἴτιον φήσαις, καὶ τὸ φως σκότους. Ἀλλ' οὐχ ὁμολογεῖ τοῦτο ὑγιαίνουσα αἴσθησις. Τί δὲ καὶ γράφεις νόμον δίκας τοῖς φαύλοις ὁρίζοντα; Εἰ γὰρ τοῖς τῶν ἀστέρων σχηματισμοῖς ἀναγκαίως ἡ τοιάδε προαίρεσις συνηνέχθη, τί δίκην οὗτος εἰσπράττεται, ὑπὲρ οὗ καὶ βουληθέντι φυγεῖν τὴν πρᾶξιν, οὐκ ἦν ἄλλως γενέσθαι; Ὁρᾷς, ὅπως μετὰ τοῦ μὴ σώζειν τὴν Θεῷ πρέπουσαν δόξαν, καὶ τὰ ὑμῖν δοκοῦντα, καταλύετε; Ἡμῖν δὲ, ὥσπερ εἴρηται, κάλλιστά τε νομίζεται Θεοῦ δημιουργήματα, καὶ τὰ κάλλιστα ποιεῖν τὴν οἰκείαν πληροῦντα λειτουργίαν, ἣν ἐξ ἀρχῆς διέταξεν ὁ Δημιουργήσας. Ὑμεῖς δὲ, οὐκ οἶδ' ὅ τι δοκοῦν, οὗ μὲν ἀναφαίρετος ἡ τιμὴ, τοῦτον πειρᾶσθε ταύτης ἀποχειροτονεῖν, οἷς δὲ οὐδ' ὁτιοῦν μέτεστι ταύτης, ὡς αὐτοῖς διαφέρουσαν ἀνατίθετε. Τί οὖν ἐχέγγυον λαβόντες, θείας αὐτὰ τιμῆς ἀξιοῦτε; Ποίαν δὲ δύναμιν, ἣ Θεῷ προσμαρτυρεῖται, κατανοήσαντες ἐν αὐτοῖς προσηγορίας μετέδοτε; Λαμπρὸς οὗτος ὁ ἥλιος, καὶ ζωογόνους ἐνιεὶς ἐνεργείας. Ἐξαίρετα ταῦτα, καὶ μαρτυρεῖ κτισμάτων αὐτὸν εἶναι ἐξαίρετον. Ἀλλ' οὐκ εἰς θειότητά ποθεν ἀναβιβάζει. Οὐχ ὁρᾶτε, οἷς ὑποπίπτει πάθεσι; Ποῦ δ' ἔσιον πάθος προσνέμειν Θεῷ; Οὐχ ὁρᾶτε, μεριζομένην αὐτοῦ τὴν ἐνέργειαν; Ποῦ δὲ φρενὸς ὑγιοῦς, μεριστὸν ἐν θείᾳ φύσει νοεῖν; Τὸ δὲ διάφορον τῶν ὡρῶν, ἃς τῷ διαφόρῳ δρόμῳ ποιεῖ, πῶς οὐχὶ καὶ τοῦτο τὴν δουλείαν αὐτοῦ βεβαιοῖ; Τί γὰρ δεῖ Θεῷ τόπων διαφορᾶς, ἵνα νῦν μὲν τοῦτο, νῦν δ' ἐκεῖνο ποιήσῃ; Ἀλλὰ καὶ διὰ τούτων μονονουχὶ φωνὴν ἀφίησιν· ἐπαΐειν δὲ ἄρα οὐ δύνανται οἱ κωφοί.

Ὡς ἀπόῤῥητος λόγος δημιουργίας αὐτῶν, τὰς δια-

Digitized by Google

φόρους ἐπιτρέπει μεταβάσεις, εἰς ἐργασίαν τῆς τῶν ὡρῶν εὐταξίας. Θαυμαστόν τι καὶ σελήνη χρῆμα, καὶ χορηγὸς ἀνθρώποις θαυμασίων, λευκαίνουσά τε τὸ σκυθρωπὸν τῆς νυκτὸς, καὶ ἄλλα ἄττα διοικονομουμένη, ἀλλ' ὁμολογεῖ καὶ αὐτὴ τὴν δουλείαν, καὶ σιωπῶσα τὴν ἔνδειαν κέκραγεν. Οἷς μὲν λαμβάνουσα μεταδίδωσι τοῦ φωτὸς, οἷς δ' οὐ λαμβάνουσα, οὐκ ἔχει, τί μεταδῷ. Συμπληροῦσί γε μὴν τῷ παντὶ χρείαν καὶ φωστῆρες ἄλλοι. Συμπληροῦσι δ' οὐχ ἧν ὁ μάταιος δίδωσι λόγος, οὐδ' ἦν ἀποκληροῖ τούτοις ἡ πλάνη δεσποτείαν, ἀλλ' ὑπηρετικήν τινα τοῦδε τοῦ παντὸς διακόσμησιν. Μὴ τὴν εὐγένειαν ἀφαιρεῖσθε ἑαυτοὺς, ἣν χειρὶ Θεοῦ πλασθεὶς τετίμηται ἄνθρωπος, καὶ οὕτω κακῶς ἀγαθοὶ δοῦλοι κτισμάτων γίνεσθε, μὴ τῆς προαιρέσεως τὸ ἐλεύθερον καταδουλοῦτε. Τίνα γὰρ ἔχει λόγον, ἄρχειν τῆς ἐν ἡμῖν αὐτεξουσίου ὁρμῆς, ἃ προαιρέσεως ἀμοιρεῖ; Ἀλλ' ἦν ἄρα καὶ τοῦτο ἀκόλουθον, ἐκπεπτωκότας τῆς Θεοῦ οἰκειότητος, καὶ σφῶν αὐτῶν ἐκπεσεῖν. Ἵνα μὴ μόνον Θεοῦ, ἀλλὰ καὶ ἑαυτῶν ὄντας ἀλλοτριωτάτους, παντάπασιν ἀδοηθήτους ὄντας ἡ πλάνη ἀνδραποδίζοι, πρὸς μηδεμίαν ἔχοντας ἐπιστροφὴν ἀνενεγκεῖν. Οὐκ ἀπέχρη δ', ὡς ἔοικε, τὸ ἐν ἀγνοίᾳ εἶναι μόνον τοῦ ὄντος Θεοῦ, ἀλλ' εἰ καὶ μὴ πλήθη θεῶν ἐξεύροιτε, οὐδέν τι μέγα φρεσθε διανοηθῆναι. Ὡς καὶ νῦν ἐπιτάσσετε θεοὺς τιμᾶν. Δεῖ γὰρ, ὡς ἔοικε, πλήθη θεῶν ἐφιστάνειν ὑμᾶς, ἵνα μὴ τῶν ἐπιτροπευόντων ἀσθενείᾳ κάμοι τὰ πράγματα. Ἀλλὰ κακῶς μὲν τῆς ἀληθοῦς γνώσεως Θεοῦ παρηγέχθητε, πολὺ δὲ χεῖρον τὸ ἐν τῆς θεότητος, εἰς πλῆθος ἀπομερίζετε. Ἀφθονίαν γὰρ θεῶν ἀνευρίσκοντες, εἰς τὸ παντελῶς ἄθεον περιίστασθε. Παντὶ μὲν οἶμαι, τῷ περὶ Θεοῦ ἀδιαστρόφου ἐννοίας σώζοντι χρῆναι ἀνομολογεῖσθαι, ἀπροσδεῆ τε εἶναι τὸν Θεὸν, καὶ ἐπὶ πάντα τὴν αὐτοῦ ἐξαρκεῖν δύναμιν, μηδενὶ πέρατι ὁριζομένην. Εἰ μὲν οὖν τοιαύτη τις ἔννοια ὑμῖν ἐνέσπαρται, τί κοινωνοὺς αὐτῷ τῆς ἐξουσίας προσνέμετε; Μᾶλλον δὲ πῶς οὐ γέλως, κοινωνίαν ἐξουσίας δωρεῖσθαι, οἷς κατ' οὐδὲν ἔσται ταύτης μετέχειν, ἁπάντων ὑπὸ τῷ πρώτῳ περιδεδραγμένων; Εἰ δ' ὅ τί ποτε πρώτην ἀρχὴν οἴεσθε, εἴθ' ὁ Ὕπατος ὑμῖν Ζεὺς, εἴτε τις ἄλλος, οὐ διαρκής ἐστι καθ' αὐτὸν, καὶ διὰ τοῦτο, δεῖ κοινωνοὺς λαβεῖν αὐτὸν τῆς ἀρχῆς, πῶς ἂν εἴη Θεὸς, ὃς παραπλησίως ἀνθρώποις οὐκ ἀποχεχώρηκεν ἀσθενείας, ἀλλ' εἰς τὰ δοκοῦντα, δεῖται τοῦ ἐπικουρήσοντος; ἢ πῶς συνάρχειν ἑτέρους ἐγκαθιστῶντες αὐτῷ, οὐχ ἅμα τε τοῦτον τῆς ἀρχῆς ἀφαιρεῖσθε, καὶ οὓς συνάρχειν καθίστασθε; Εἰ μὲν γὰρ πάντας ὁμοίως ἄρξουσι, τί τούτου μᾶλλον, ἢ ἐκείνων ἡ ἀρχή; Εἰ δὲ μὴ πάντες ὁμοίως, πῶς ἐν ᾧ ὑποβεβήκασιν, οὐκ ἐν τῇ τῶν ἀρχομένων εἶεν μερίδι; Ὃ δὲ μὴ ἄρχει, πῶς ἂν εἴη Θεός; Οὕτως ὑμῖν τὸ ἄθεον τῷ πολυθέῳ συνάρχεται· οὐδαμῶς οὖν χρὴ εἰς πλῆθος τὸ Θεῖον ἀπομερίζειν, οὐδὲ ἐξ οὗ τοῖς ἄλλοις ἡ μετοχὴ τοῦ ἑνὸς, ἐκεῖθεν γὰρ κάτεισι τὸ ἓν ἐν τοῖς σκεδαστοῖς, τοῦτο ἀποστερεῖν, ὃ δίδωσι τοῖς ἄλλοις. Μὴ τομαῖς τὸ ἀνίαλον τῆς κυριότητος ὑποβάλλετε. Μηδὲ, τὸ μέν τι ταύτης ὑπερκεῖσθαι, τὸ δ' ὑποβεβηκέναι νομίζοιτε; μηδὲ ἀφελόμενοι τοῦ Κτίσαντος τὴν προσκύνησιν, τοῖς κτί-

A procreata. Variis transitionibus et mutationibus ea instruxit, ut temporis aptissimum ordinem efficiant. Luna itidem res plane est admiranda, rerumque admirabilium suppeditatrix, quæ noctis caliginem illustrat, et id genus alia multa præstat. Sed et ipsa servitutem suam fatetur, et clara voce egestatem suam contestatur, dum lumen, quod accipit, communicat, et, si nihil aliunde sumat, nihil communicat. Alia quoque cœli sidera mundo huic ministerium suum exhibent ; quod tamen non consistit in eo modo, quem vana ratio comminiscitur, neque in potestate, quam error eis ascribit, sed in facultate quadam huic rerum universitati subserviendi. Ne vosmetipsos spolietis insita nobilitate, qua Conditor hominem exornavit. Ne tam improbe
B in creaturarum servitutem concedatis. Neque libertatem arbitrii in servitutem redigite. Qua enim ratione astrui potest, ea quæ libero arbitrio carent, jus et potestatem in nostrum liberum arbitrium habere? At consequens erat ut, postquam a Dei familiaritate et conjunctione exciderant, exciderent quoque a semetipsis, et non solum a Deo, sed a seipsis alienissimi efficerentur, ut omni ope destitutos error magis in captivitatem abriperet, nullo penitus, quo se reciperent, perfugio relicto. Non sufficiebat autem vobis, ut videtur, ignorantia unius et veri Dei, sed nisi ingentem deorum multitudinem excogitaretis, nihil laude dignum vos reperisse existimabatis. Quos etiam ut honoremus imperatis.
C Oportet enim vos, ut apparet, magnum deorum numerum rebus præficere, ne curatorum et præsidum imbecillitate res male administrentur. Porro prave quidem a vera Dei cognitione abducti estis. Longe vero pejus unitatem Dei in plures secuistis. Nam per introductam deorum copiam in atheismum incurristis. Arbitror namque omnem illum, qui existimationem de Deo competentem custodit, confiteri debere, Deum nullius esse indigum, et potentiam ejus nullis terminis circumscriptam, ad omnia sufficere. Si igitur hujusmodi de Deo notitia mentibus vestris est insita, cur socios potestatis ei adjungitis? Vel potius quomodo ridiculum non est, communionem potestatis largiri his, qui hujus nullo modo possunt esse participes, quippe omnibus sub
D primo illo rerum parente comprehensis? Quod si aliquo tandem modo primum principium, sive illud sit supremus Jupiter, sive aliud quiddam, virtute sufficiente per se non pollet, et ob id imperii sociis eget, quomodo Deus erit, qui instar hominum a potestatis et virium imbecillitate non est exemptus, sed ad ea, quæ exsequi statuit, adjutoribus opus habet? Et quomodo cum socios imperii ei constituitis, non simul et hunc imperio privatis, et illos, quos ei opitulatores adjungitis? Si enim omnes æqualiter imperent, cur hujus quam illius magis sit imperium? At si omnes non gaudeant æquali imperio, quomodo ea ratione qua sunt minores, non censebuntur in eorum qui subsunt numero? Quomodo Deus est, qui non præest? Ita tandem atheis-

Digitized by Google

inum nullumque Deum cum deorum multitudine miscetis. Quare nullo modo dividendum est divinum Numen in plura, neque id, unde aliis communio unitatis manat (inde enim ad res, quæ plures et dispersæ sunt, unitas venit) par est privare eo, quod largitur aliis. Neque partitionibus et sectionibus unitatem domiuationis subjicite, neque partem ejus superiorem, partem vero inferiorem esse existimate, neque detracto a Creatore debito cultu et adoratione, eam creaturis tribuite. Respicite, o mortales, in cœlum. Discite, quis cœlum extenderit. Quis quasi siderum floribus illud variarit. Quis luminibus illis ordinem præscripserit. Quis universitatem hanc ordinarit. Quis immensitate suæ scientiæ res omnes tam concinne disposuerit: ita ut per ejus elegantissimam dispositionem, quasi per ordinatissimum chorum sapientia Creatoris decantetur, et præstantissima quæque dona homo percipiat. Discite hæc, et repudiato rerum creatarum cultu, discite magnum divinæ dispensationis circa homines mysterium. Quomodo propter salutem hominum Deus homo factus sit. Et quomodo mors, quam vos irrisui et despicatui habetis, sit vitæ causa. Infirmitatis loco duxistis, quod eruci affixus est. Atqui iusuperabilis est crucis virtus. Simul atque enim crux fixa est, ab eo momento usque ad præsens tempus potestas dæmonum, qui a vobis colebantur, desiit. Illa mors amaritudinem mortis in dulcedinem vertit, quæ et nunc tanquam poculum gustatu valde jucundum, nobis est in optatis, utpote cujus interventu ad vitam transimus, et ut de nobis bene merentem exspectamus, quia ex luteo tabernaculo eductos ad æternas sedes traducit.

A σμασι ταύτην δίδοτε. Ἀναβλέψατε, ἄνθρωποι, λογισμῷ εἰς τὸν οὐρανόν· καταμάθετε, τίς ὁ τανύσας αὐτόν· τίς ὁ ποικίλας αὐτὸν τῷ ἀστρῴῳ ἄνθει, τίς ὁ διατάξας δρόμον φωστῆρσι, τίς ὁ θέμενος τάξιν τῷ παντὶ, τίς ὁ ἀπείρῳ ἐπιστήμῃ οὕτω τοῖς πᾶσιν ἁρμονίαν θέμενος, δι' ἧς ὥσπερ τεταγμένου χοροῦ ἡ τε σοφία τοῦ Ποιήσαντος ἀναφωνεῖται, καὶ τὰ κάλλιστα πλουτεῖ ἄνθρωπος. Καταμάθετε ταῦτα, καὶ τούτοις ἀνανεύσαντες τῆς τῶν κτισμάτων δουλείας, μάθετε τὸ μέγα τῆς περὶ ἀνθρώπους οἰκονομίας μυστήριον τοῦ Θεοῦ, πῶς μὲν διὰ σωτηρίαν ἀνθρώπου, Θεὸς ἄνθρωπος γίνεται, πῶς δ' ὁ θάνατος, ὃν χλεύην ποιεῖσθε, ζωῆς αἰτιώτατος γέγονεν, ἀσθένεια ὑμῖν ἔδοξε, τὸ, προσηλῶσθαι σταυρῷ, καὶ μὴν ἄμαχος τοῦ σταυροῦ ἡ δύναμις. Ἅμα τε γὰρ σταυρὸς ἐπεπήγει, καὶ B τῶν παρ' ὑμῶν σεβομένων δαιμονίων, ἐξ ἐκείνου μέχρι καὶ νῦν, ἡ δύναμις ὑπολήγει· ἐκεῖνος ὁ θάνατος, τὸ πικρὸν τοῦ θανάτου, εἰς γλυκύτητα μετενήνοχεν, ὡς καὶ νῦν ἡμῖν οἷόν τι γλυκὺ πόμα δι' ἐπιθυμίας ἐστὶ, δι' αὐτοῦ πρὸς ζωὴν μεταβαίνουσιν, ὡς εὐεργέτην προσμένομεν αὐτὸν, ὅτι τοῦ πηλίνου μετοικίζων σκήνους, εἰς τὰς οὐρανίους ἐγκατοικίζει σκηνάς.

Hæc martyrum quispiam prolocutus invicto animi robore, disertaque et docta facundia tyranni iram accendit, quibus quod responderet, nihil suppetebat. Et ubi tormenta, vociferabatur? Ubi flagella? Afferantur rotæ. Inflammentur fornaces. Et his tanquam aurum, aureas vere pietatis imagines, probabant. Quis eorum in perpetiendis cruciatibus constantiam et tolerantiam digne repræsentet? Præparata erant instrumenta ad cruciatus inferendos apposita. Et læto vultu, quasi medicamen et levamen inde percepturi essent, lictorum manus intuebantur, quasi non tormenta, sed voluptatem ab ipsis exspectarent. Et hi quidem ad ossa usque eos radebant. At illi, sicut plantæ in profundo pinguefactæ, floridiorem fidem ostendebant. Membra illis amputabant; at martyres laudes Deo decantabant, et quia impietatis caligine circumfusi non erant, speciosiores et fulgidiores apparebant. Illi D ungulis lacerabant. Isti vero clamabant: Extenuate carnis molem, et quasi tunicam, quam peccatum crassam effecit. Abradatur his instrumentis malitia, qua divino operi malignus nocuit. Nunc dum ossa carne nudantur, tunica illa, qua ab initio induti eramus, nobis denuo præparetur. Nunc beata illa constitutio et habitudo, quam per voluptatem amisimus, in hac, quæ vobis videtur, tormentorum acerbitate nobis restituitur. Quas regias dignitates et opes libentissime non insumat quis et profundat, ut hunc tam felicem statum recuperet? At hac exigua corporis velut expensa, et impensa divina illa dignitas redditur. Quin potius neque expensam

Εἴπέν τις ταῦτα τῶν μακαρίων, γενναίῳ μὲν παραστήματι, εὐλάλῳ δὲ καὶ σοφῇ τῇ γλώσσῃ, καὶ τοῦ τυράννου ἐξέκαυσε τὸν θυμὸν, οἷς ἀντειπεῖν ἠπόρει. C Καὶ ποῦ αἱ στρεβλώσεις, ἐδόα; Ποῦ δὲ αἱ μάστιγες; Ἀχθήτωσαν δὲ οἱ τροχοὶ, ἐξαπτέσθωσάν τε καὶ αἱ κάμινοι, καὶ τούτοις ὥσπερεὶ χρυσὸν, τοὺς χρυσοῦς ὄντως ἀνδριάντας τῆς εὐσεβείας ἐδοκίμαζον. Τίς τὴν πρὸς τὰ δεινὰ καρτερίαν αὐτῶν παραστήσει; Εὐτρέπιστο τὰ βασανιστήρια ὄργανα, καὶ χαίροντι προσώπῳ, καθάπερ πρὸς θεραπείαν τὰς τῶν δημίων χεῖρας ἀπέβλεπον, ὥσπερ οὐ πόνου, ἀλλ' ἡδονῆς ἐξ αὐτῶν οὔσης προσδοκίμου. Καὶ οἱ μὲν ἕξεον μέχρις ὀστέων. Οἱ δὲ, ὥσπερ φυτὰ κατὰ βάθος πιαινόμενα, εὐανθεστέραν τὴν πίστιν ἐδείκνυσν. Ἀπέκειρον τὰ μέλη. Οἱ δὲ τὴν εἰς Θεὸν δοξολογίαν, καθάπερ καρποὺς ἀναφέροντες, οἷς ὁ τῆς ἀσεβείας οὐκ ἐπεσκότει γνόφος, ὡραιότεροι ἀνεφαίνοντο. Καὶ D οἱ μὲν διεσπάρασσον ὄνυξιν· οἱ δ' ἔλεγον, Λεπτύνατε τὸν τῆς σαρκὸς χιτῶνα, ὃν ἡ ἁμαρτία ἐπάχυνεν. Ἀποξεέσθω διὰ τούτων κακία, ᾗ ὁ πονηρὸς τῷ θείῳ ὑφάσματι ἐλυμήνατο. Νῦν ἡμῖν, δι' ὧν ἀπογυμνοῦνται τῆς σαρκὸς τὰ ὀστᾶ, χιτὼν ἐκεῖνος ὁ ἀπ' ἀρχῆς ἑτοιμάζεται. Νῦν ἡμῖν τὸ μακάριον τῆς εὐεξίας, ὃ δι' ἡδονῆς ἀπωλέσαμεν, ἐν τῇ δοκούσῃ πικρότητι τῶν βασάνων ἀποκαθίσταται. Πόσα ἂν τις βασιλείας ἀπολέσας ἀξιώματα, ἡδέως ἀνάλωσεν ἄν, ἵνα τοῦτο πάλιν ἀνακτήσηται; Νῦν ἡμῖν τὸ θεῖον ἀξίωμα τῇ ὀλίγῃ ταύτῃ ἀναλώσει τοῦ σώματος, ἀποδίδοται, μᾶλλον δὲ οὐδὲ ἀνάλωσις τοῦτό ἐστιν, ἀλλ' οἷον σπορά τις, εὐανθέστερον ἡμῖν τὸ σῶμα προΐσχουσα. Τί μέγα τοσαύταις ἐνεργείαις κατα-

Digitized by Google

πλουτισθέντας ἡμᾶς, ὀλίγα ὑπὲρ οὗ τὸ πᾶν ἔχομεν ἀποθέσθαι; Μὴ γὰρ βασάνους ἡγούμεθα τὰς βασάνους ὑμῶν, ἐμπορίαν τὸ πρᾶγμα νομίζομεν. Κείρετε οὖν ἀφειδῶς, ἵνα ἡμῖν ἀναβλαστήσῃ ἀκμαιότερον. Λάμβανε μὴ καθ' ἓν διακόπτων τὰ μέλη, ἀλλ' ὁμοῦ πάντα τέμνε, ὡς ἡμᾶς γε πλέον ἀποτέμνων, πλέον εὐφραίνῃς. Καὶ οἱ μὲν ἔλεγον ταῦτα. Ἕτεροι δὲ τοῦ πνεύματος τὰ ἄσματα ἔμελπον, ὥσπερ οὐκ ἐν βασάνοις ὄντες, ἀλλ' εὐωχούμενοι. Ἄλλοι διδασκαλίας ἥδιστα νάματα ὤμβριζον, πολλοῖς τῆς δυσσεβείας τὸν αὐχμὸν διαλύοντες. Εἶπες ἂν ἰδὼν, οὐκ αὐτοὺς, ἀλλ' ἑτέρους τοῖς δεινοῖς ὑποκεῖσθαι.

A nominare decet, cum sit instar sementis, quæ corpus nostrum vegetius et floridius submittet. Quid mirum, si tantis donis locupletati, paucula quædam, quibus omnia adipiscimur, deponamus vicissim et elargiamur? Non enim tormenta vestra tormenta ducimus, sed magis bonorum omnium abundantiam. Attondete igitur nos et demetite absque modo, ut eo uberius nobis corpora repullulent. Ne sigillatim membra abscindas, sed simul omnia amputa, ut pluribus amputatis, magis nos exhilares. Et hæc quidem nonnulli ex illo numero ferebant. At alii spiritualia cantica concinebant, quasi non in tormentis, sed in conviviis versarentur. Alii doctrinæ pulcherrimæ et saluberrimæ velut imbrem emittebant, impietatis siccitatem per divini eloquii rorem humectantes. Dixisses, si coram conspicatus esses, non eos, sed alios cruciatibus excarnificari.

Ἐμιμοῦντο δ' ἄρα κωφὴν ἀσπίδα οἱ τύραννοι, ὑπ' οὐδενὸς ἐπᾳδόμενοι· ἀλλὰ πρὸς τοὺς σπαραγμοὺς τῶν ἀθλητῶν θηριούμενοι· ἀλλὰ γὰρ ὁ μέν τις ὡς ἄμπελος εὐκλήματος, ἀποτεμνόμενος, οἷα δὴ βότρυς, τὴν εἰς Θεὸν ἔφερεν εὐχαριστίαν. Ἄλλος δὲ τοὺς ὀφθαλμοὺς ὀρυσσόμενος, τοιαύτην ἀφίει φωνήν· Προσφερέσθω θυσία ὀφθαλμὸς τῷ φωτί. Καλὸν, τῷ ἀληθινῷ φωτὶ, ὅπερ ἐν ἡμῖν ἔκτισε φῶς, προσφορὰν γενέσθαι. Ἀλλ' εὐπρόσδεκτος εἴη ἐνώπιόν σου, Κύριε, ἡ θυσία ἡμῶν· οὐδὲν ἀπεικὸς, παρ' οὗ τοσούτῳ κάλλει διεστολίσθη ὀφθαλμός· ὑπὲρ ἐκείνου τῶν ἰδίων ἐξελθεῖν θαλάμων, νῦν ὡραιότερον θαλαμεύεται. Νῦν μᾶλλον πλουτήσει τὸ φῶς. Νῦν ἀποστίλψουσιν αἱ κόραι λαμπρότερον, πάντων ἐπιπροσθούντων ἀπηλαγμέναι. Καὶ ἄλλοι διέθλων τὰς κεφαλάς. Οἱ δὲ, Ἀντὶ τῶν καλλίστων τῆς φύσεως, ἔλεγον, ἃ ὁ Δημιουργὸς τῇ κεφαλῇ ἐθησαύρισε, τὸν θησαυρὸν τῆς πίστεως τηρήσωμεν ἄσυλον. Μὴ γὰρ, κἂν δοκῇ τοῖς τυράννοις, σκορπιεῖται τῆς κεφαλῆς ἡ ὑπόστασις. Συνάγεται μὲν οὖν πλαστουργῷ δεξιᾷ, καὶ τῶν μυελῶν ἡ τῆξις, ὡς ὀσμὴ εὐωδίας σπουδασθήσεται. Καὶ ὀβελίσκοις ἄλλος ἐπερονᾶτο τὴν ἀκοὴν, ἀλλὰ νῦν τρανότερον ἀκούσειν, ἔλεγεν, τῆς τοῦ δρακοντείου πωρώσεως ἰοῦ, τοῖς ὀβελίσκοις τούτοις διακαθαιρομένης, νῦν εἰς ὑποδοχὴν ἐπιτηδειοτάτη τοῦ ἄσματος τῶν ἀγγέλων ἡ ἀκοὴ, διὰ τοῦ πυρὸς τούτου τῇ προϊούσῃ τῶν φλογερῶν στομάτων ὑμνολογίᾳ προσοικειουμένη. Ἄλλῳ ἀνασπώμενοι ῥιζῶν ὀδόντες, εὐφροσύνην ἀνέβλυζον, Νῦν δὴ τραφήσομαι λέγοντι τροφὴν ἀγγέλων, καὶ μέχρι τοῦ τὴν οὐ μένουσαν στοῦμαι, ἄρτι δώσει τροφὴν ὁ Δεσπότης οὐ κενουμένην, οὐδ' ὀδόντων προσδεομένην. Μή μοι τὸ πρᾶγμα βάσανος λεγέσθω, εὐεργεσίαν ἐγὼ τοῦτό φημι. Καὶ ἄλλων τὰ νῶτα, ἀμύθητον πλῆθος ἔφερε πληγῶν ἐκ βουνεύρων, ἀλλ' ἔχαιρον, Ἀντὶ τῆς πολλῆς, λέγοντες, ῥώμης, ἣν ἔθετο τῷ νώτῳ ὁ πλάσας, τοσούτοις συνδέσμοις συστίξας αὐτὸν, ὑπὲρ τῆς ἐκείνου δόξης τὸ μικρὸν τῶν μαστίγων φορτίον φερέτω. Ἄλλοις τὰ σπλάγχνα μέχρις αὐτῶν μυστηρίων τῶν ἐγκάτων ὠρύσσοντο, ἀλλ' ἐπὶ μᾶλλον τῆς εὐσεβείας τὸν θεμέλιον ἐνεβάθυνον. Ἕτερος τὴν γλῶτταν ἀπετέμνετο, καὶ τῆς δοξολογίας οὐκ ἔληγεν, ἀλλ' οἷα δὴ δῶρον τὸ κάλλιστον προσφέρων Θεῷ, ἐπευφήμει σεμνυνόμενος. Καί τινες ἐπὶ ξύλου ἐτανύοντο. Ἀλλ' ἦν αὐτοῖς καὶ πρὸ τῶν

B Cæterum tyranni imitabantur surdam aspidem, incantamenta illa salutaria repudiantes, quippe ad solos cruciatus invictis athletis inferendos efferati. Sed enim alius, tanquam vitis onusta palmitibus, mutilatus, et botri instar, pressus, Deo debitas agebat gratias. Alius effossis oculis, tales voces mittebat: Offeratur in sacrificium oculus luci. Decet, ut veræ luci lux quam in nobis creavit, hostia fiat. Sed gratum sit in conspectu tuo, Domine, sacrificium nostrum. Inconveniens non est, ut oculus pro eo, a quo tanta pulchritudine exornatus est, propria statione excedat. Nunc ornatiorem sortietur locum. Nunc lumine magis abundabit. Nunc pupillæ splendidius fulgebunt, ab omnibus, quæ luci officiunt, expeditæ. Aliis comminuebantur capita. Illi C vero dicebant: Pro pulcherrimis naturæ donis, quæ rerum omnium Parens in capite reposuit, thesaurum fidei intactum custodiemus. Non enim dispergetur capitis substantia, licet tyrannis secus videatur. Colligetur denuo conditoris dextera, ac medullarum corruptio, ut odor suavitatis reputabitur. Alius verubus per aures transfigebatur. At nunc clarius, aiebat, audiam, expurgato per hæc veruta veneno, quod draco instillaverat. Nunc aptissimus est auditus ad excipiendos cantus angelicos, per ignem hunc laudationi ex igneo ore prodeunti assimilatus. Alii radicitus evulsis dentibus, lætitia exsultabant. Nunc, aiebant, nutriar angelorum esca. Hactenus manducabam cibum non manentem; jam dabit Dominus cibum, qui non perit, quique dentibus non eget. Ne cruciatus hæc res vocetur. Beneficium arbitror. Aliorum dorsa innumeris plagis concidebantur; sed Deum laudabant; sed gaudebant. Loco multi roboris, aiebant, quo Creator dorsum instruxit, tot nexibus et vinclis id compungens, pro gloria ejus exiguam hanc flagellorum molestiam ferat. Aliis viscera usque ab intestinorum penetralibus evellebantur; sed eo altiora pietatis fundamenta jaciebant. Alii lingua abscindebatur, nec a divinis laudibus decantandis cessabat; sed quasi pulcherrimum munus Deo offerens, eum celebrare pergebat. Nonnulli in ligno extendebantur. Sed ex hoc ipso etiam ante perceptam coronam, majorem voluptatem percipiebant, quod similes

Digitized by Google

Domino suo cruciatus paterentur. Alii metæ instar, impuris manibus, per castissima corpora telis transfigebantur ; et vulneribus inde acceptis, tanquam pretiosis lapidibus conspicui decorabantur. Quorumdam suppliciis tyranni fatigati spe omni abjecta, creaturas, quas colebant, ad eos puniendos armabant, et alios quidem undis, alios flammis, alios gelido frigori tradiderunt et exposuerunt. Verum hæc magis eos agnoverunt, quam illi. Agnoscebant enim eos, qui Creatorem honorabant, et plus cultus, quam molestiæ attulerunt. Nam ignis crebro eos qui circumstabant absumens, veneranda eorum corpora intacta conservavit. Quod vero anima evolaret, id non ignis supplicio ascribendum erat, sed majoris cujusdam voluntatis et virtutis, quæ eam excipiebat. Hocque manifestum est, et videre nonnunquam erat, vestem illam martyrum illæsam, quasi in arca conditam, et quasi non fuisset in flamma, ab omni ignis vestigio plane immunem. At vero humida aquæ natura iisdem martyribus ministerium suum non denegabat. Nonnullis enim cum beatam animam Deo tradidissent, erat strati instar, in quo requiescerent, et ab infinitis laboribus respirarent. Allis autem, qui vitam adhuc agitabant, planam et omnis molestiæ expertem viam præbebat. In hunc modum omnia, miranda mutatione, sanctis famulabantur. At quomodo martyres ad hæc adibant ? Videlicet, ut in incorruptionis lavacrum, læti in undas ingrediebantur, et in fornaces, quasi in thalamos se inferebant, et rigido gelu, velut jucundissima aura recreabantur.

Talis invictorum pugilum erat species. Hac ratione omnia, quæ terrifica videbantur, irridebant. Hoc modo generose fugato errore, pietatis tropæum erexerunt, abjectis omnibus hujus vitæ oblectamentis, et exuta omni naturæ necessitate, in solam mortem pro Christo obeundam intenti. Mactabantur, et qui mactabant, cadebant. Ligabantur, eosque qui ligabant omni agendi efficacitate destituebant. Flagellabantur, et dolor eos qui cædebant, cruciabat. Tormentis excogitandis deficiebant tyranni. Emarcescebant lictorum manus, et ipso sudore suo speciosiorem reddiderunt pietatis speciem. Mœstitiam impietati conciliarunt. Dæmones ejulantes aufugerunt, conculcato eorum in corpore supercilio. In silentium deceptionem mutavit malignus serpens, cum videret, omnes insidiarum machinas in suum caput recidisse.

Jam enim et mulieres alacriter in arenam descendentes, ob primam parentem deceptam, pœnas ab eo reposcebant, capite ejus strenue conculcato, illo, inquam, capite, quod illud malorum agmen progenuit. Nunc excogitatum ab illo mendacium : *Eritis sicut dii* [14], præter omnem spem, veritati consonans, acerbissimis eum cruciatibus torquet. Nam martyres Christo in passionibus suis configurati, etiam divinæ gloriæ configurati sunt. Nunc ab

στεφάνων μείζων ἡ ἀπόλαυσις. Ὅτι τῷ ὁμοίῳ πάθει ὑπεβέβληντο τοῦ Δεσπότου. Ἕτεροι, καθάπερ σκοπὸς χερσὶν ἀνάγνοις, τὰ ἁγνότατα σώματα βέλεσι διεπείροντο, καὶ τοῖς ἐκεῖθεν τραύμασιν, ὡς λίθοις πολυτίμοις περιανθιζόμενοι, ὡραΐζοντο. Τοῖς δὲ οἱ τύραννοι πρὸς τὰς βασάνους ἀπαγορεύοντες, ἦν ἐλάτρευον κτίσιν πρὸς τιμωρίαν ἐξώπλιζον. Καὶ οὓς μὲν ὕδατι, οὓς δὲ πυρὶ, καὶ ἑτέρους αἰθρίῳ κρύει παρεδίδοσαν. Ἀλλ' ἦν ἐκείνων ταῦτα μᾶλλον συναίσθησιν ἔχοντα. Ἐπεγίνωσκε γὰρ τοὺς τιμῶντας τὸν Κτίστην, καὶ πλέον ἐτίμα, ἢ κατετόλμα λυπεῖν. Τὸ μὲν γὰρ πῦρ πολλάκις τοὺς ἔξω καταβοσκόμενον, αὐτῶν τὰ σεβάσμια σώματα ἀκέραια διεφύλαττε. Τὸ δὲ ἐκπτῆναι τὴν ψυχὴν, οὐκ ἦν τῆς τοῦ πυρὸς τιμωρίας, ἀλλὰ τῆς ὑποδεδεγμένης αὐτὴν τοῦ κρείττονος εὐδοκίας. Καὶ τοῦτο δῆλον ἀφ' ὧν ἐνίοτε τὴν μαρτυρικὴν ἐσθῆτα, ὥσπερ ἐν κιβωτίῳ, σῶαν ἦν καθορᾷν, ἀλλ' οὐκ ἐν φλογὶ καμίνου, παντὸς ἴχνους πυρὸς ἀπαθῆ, ἡ δὲ ὑγρὰ τοῦ ὕδατος φύσις, θεραπευτικῶς ἐδίδου τὰ νῶτα. Τοῖς μὲν γὰρ τὴν μακαρίαν ψυχὴν παραθεμένοις Θεῷ, στρωμνὴ ἀπολαύσεως ἐγένετο, τῶν μυρίων αὐτοὺς καμάτων ὥσπερεὶ διαναπαύουσα. Τοῖς δὲ ἔτι διαπεραιουμένοις τὴν ζωὴν, ὁδός τις λεία, καὶ μηδὲν ἐπίπονον φέρουσα. Ἀλλ' οὕτω μὲν ταῦτα μετεποιεῖτο εἰς θεραπείαν τῶν ἁγίων. Πῶς δὲ οἱ μάρτυρες πρὸς ταῦτα ἐχώρουν ; ὥσπερ εἰς ἀφθαρσίας λουτρὸν, φαιδροὶ πρὸς τὸ ὕδωρ εἰσῄεσαν, ὡς εἰς παστάδας, τὰς καμίνους ἐνέβαινον, καὶ τῷ αἰθρίῳ κρύει, ὡς ἱλαρῷ ἐπαυριζόμενοι ἐγεγάνωντο πνεύματι.

Τοιαύτη ἡ τῶν ἀηττήτων παράστασις ἀγωνιστῶν, οὕτως ἁπάντων φοβερῶν κατεγέλων· οὕτω νεανικῶς τροπούμενοι τὴν πλάνην, τὸ τῆς εὐσεβείας ἅγιστον τρόπαιον, ἅπαντα ῥίψαντες βίου τερπνὰ, ἅπασαν ἀνάγκην φύσεως ἀποθέμενοι, καὶ μόνον τοῦ ὑπὲρ Χριστοῦ θανεῖν ἀντεχόμενοι. Ἐσφάττοντο, καὶ σφάττοντες ἔπιπτον. Ἐδεσμοῦντο, καὶ ἀνενεργήτους ἐδείκνυον τοὺς δεσμεύοντας. Ἐμαστιγοῦντο, καὶ αἱ ὀδύναι τοὺς μαστιγοῦντας ἐλάμβανον. Ἐξηπόρησαν πρὸς τὴν εὕρεσιν τῶν βασάνων οἱ τύραννοι. Ἐξενευρίζοντο τὰς χεῖρας οἱ δήμιοι. Φαιδροτέραν εἰργάσαντο τοῖς ἱδρῶσιν αὐτῶν τῆς εὐσεβείας τὴν ὡραιότητα· τὸ σκυθρωπὸν τῇ δυσσεβείᾳ κατεπράξαντο, δαίμονες ἀπῆσαν ὀδυρόμενοι τῆς ὀφρύος αὐτῶν ἐν σώματι πατουμένης, μετέβαλεν εἰς σιγὴν τὴν ἀπάτην ὁ πονηρὸς ὄφις, τὸ πᾶν τῆς ἐπιβουλῆς καθορῶν ἐπιστρεφόμενον πρὸς αὐτόν.

Ἤδη γὰρ καὶ γυναῖκες ἀποδυσάμεναι, πρὸς παλαίσματα τῆς προμήτορος, αὐτὸν εἰσέπραττον τὴν ἀπάτην, νεανικῶς τὴν κεφαλὴν πατοῦσαι, κεφαλὴν ἐκείνην, ἣ τὸν ἑσμὸν τῆς πονηρίας ἀπέτεκε. Νῦν τὸ μεμηχανημένον αὐτῷ ψεῦδος, τὸ, *Ἔσεσθε ὡς θεοὶ*, παρὰ πᾶσαν ἐλπίδα πρὸς ἀλήθειαν ἐξελθὸν, δριμυτάταις ἀλγηδόσιν αὐτὸν περιβάλλει. Οἱ γὰρ μάρτυρες συμμορφούμενοι ἐν τοῖς πάθεσι τῷ Χριστῷ, καὶ τῇ θείᾳ δόξῃ συνεμορφώθησαν, νῦν οἷς διεδάσκηνε τῆς

[14] Gen. III, 5.

Digitized by Google

ἀπαθοῦς μακαριότητος, ὑπὸ τούτων περιβάλλεται πάθεσι. Οὐ γὰρ μόνον δι' ὧν, μετὰ πάσης αὐτοῦ τῆς στρατιᾶς συμπλεκόμενος αὐτὸς κατηισχύνετο, ἔπασχεν, ἀλλ' οἷα πάσχει καὶ νῦν, ταῖς ἐκ τάφων προϊούσαις δυνάμεσι. Νῦν τῶν πολυάθλων ὀστῶν ἐκείνων πυρὸς βολίδες πεμπόμεναι, τὰ τούτων καταφλογίζουσι πρόσωπα· καὶ τῆς σαρκὸς τὴν κόνιν, ἣν πολυτρόπως διέξηναν συσφίγγουσαν ψυχὰς ὁρῶντες, καὶ σώματα, αὐτοὶ ἀλύοντες, καὶ παρειμένοι πορεύονται. Ἀλλὰ γὰρ αὕτη τῶν ἀοιδίμων ἡ νίκη. Τοιοῦτον τῆς ἀληθείας τὸ τρόπαιον. Οὕτως οἱ τῆς ἀσεβείας ὑπηρέται σὺν τῷ σφῶν ἄρχοντι, καὶ πρωταγωνιστῇ διαβόλῳ, ὑπὸ τῶν προμάχων τῆς ἀληθείας ἡττήθησαν. Ἐκρότησαν ἐπὶ τούτοις ἄνωθεν ἄγγελοι, εὐφήμησαν καταπεσόντων τῶν ἀλαστόρων, ἐκπλήξει, καὶ χαρᾷ ἐμερίζοντο. Ἔχαιρον ἐφ' οἷς τοῦ βασιλέως ἡ παράταξις, τοὺς ἐχθροὺς ἔργοις, καὶ λόγοις ἐτροπώσατο. Ἐξεπλήττοντο σαρκίνους ὁρῶντες τῶν ἀσωμάτων περιγενομένους· ὁ βασιλεὺς, ὑπὲρ οὗ οἱ ἆθλοι, καὶ τὰ παλαίσματα, τὰ βραβεῖα εὐτρέπιζεν. Ἠνοίγοντο πύλαι τῶν οὐρανῶν, ἀοιδίμους θερμαῖς ἔτι σταγόσι ῥέοντας ὑπεδέχοντο, Παντοκράτορι δεξιουμένους δεξιᾷ.

Ἀλλ', ὦ γενναῖοι τοῦ Χριστοῦ στρατιῶται, τί προσεροῦμεν ὑμᾶς; Ἀνθρώπους; Ἀλλ' ἡ φύσις ἰλιγγιᾷ οἰκειοῦσθαι πρὸς τοὺς ἀγῶνας ὑμῶν καὶ τὴν αὐτῆς δύναμιν ἀποσκοποῦσα. Φωστῆρας; Ἀλλὰ ταῖς ὑμετέραις αὐγαῖς τὸ φέγγος αὐτῶν ἀποκρύπτεται. Ἀγγέλους; Ἀλλὰ τὴν καρτερίαν, καὶ τὴν νίκην ἐξέστησαν ἄγγελοι. Εἰς ποίαν οὖν ἄλλην μεταποιηθέντες φύσιν, οὕτω πάντα ὑπερεβάλεσθε; Οὐκ ἐμάλαξαν τὰ θελκτήρια, οὐκ ἐκλάσθητε τοῖς φοβεροῖς. Ποίῳ τοσούτῳ πυρὶ δυνάμεως τὸ πῦρ τῶν πικρῶν βασάνων ἐσβέσατε; Δρόσος ὑμῖν μᾶλλον, ἢ πῦρ ἐλογίζετο, ἢ δῆλον, ὡς τῷ πυρὶ τῆς θείας ἀγάπης πυρπολούμενοι, ἐκεῖνο τὸ πῦρ ἐνεργεῖν τὰ οἰκεῖα οὐ συνεχωρεῖτε; ἀλλὰ ἀντὶ μὲν τοῦ φλέγειν, δρόσος ἐγνωρίζετο· Τοῦ δ' ἐν ὑμῖν θείου πυρὸς ὑπέκκαυμα γενόμενον, λαμπροτέραν ἀνῆπτε φλόγα τῆς Χριστοῦ ἀγαπήσεως, οὗ νῦν ὡραίοις ποσὶ τὸν φαιδρὸν νυμφῶνα χοροστατοῦντες, εὐφραίνεσθε ἀντὶ τῶν δριμυτάτων ἀλγηδόνων, ἡδυτάταις ἐντρυφῶντες ἀπολαύσεσιν. Ἀντὶ τοῦ πυρὸς, μετὰ τῶν φλογερῶν συμπαρίστασθε τάξεων. Ἥπου, καὶ τούτων ἐγγυτέρω (τολμήσει γὰρ καὶ τοῦτο εἰπεῖν ὁ λόγος), ὅσον καὶ τῇ ἐκμιμήσει τῶν παθημάτων ἐγγύτεροι, ἀντὶ τῆς ἐν λιμῷ, καὶ δίψει ταλαιπωρίας, ἃ *ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*, προτίθεται τράπεζα φέρουσα ἀγαθά. Ἀντὶ τῆς ἐν γυμνότητι πήξεως, στολισμὸν φωτὸς περιβάλλεσθε. Ἀντὶ τοῦ σκορπισμοῦ τῶν μελῶν, τὴν ὁλοκληρίαν τῆς ἀρχαίας ἀπαλάβετε πλάσεως. Ἀντὶ τῶν κενωθέντων αἱμάτων, τὰς πηγὰς προχεῖτε τῶν ἰαμάτων. Χαίρει ἡ γῆ τοῖς ἡμῶν ἀγωνίσμασιν. Εὐφραίνεται οὐρανὸς, τοιούτοις στεφανίταις χοροστατούμενος. Μετὰ ἀγγέλων εὐφραίνεσθε, καὶ ἡμῶν οὐ χωρίζεσθε. Οἱ ἐν πειρασμοῖς πρὸς ὑμᾶς

illis, quibus beatitudinem invidebat, tormentis subjicitur. Non enim solus devictus et confusione repletus est, cum omnes suas copias in aciem produxit, sed et nunc vi illa, velut igneis jaculis, ex ossibus illis, quæ tot certamina tolerarunt, prodeunte, vultus eorum inflammantur, cumque corporis pulverem, quem ipsi varie carpserunt, et animas et corpora constringentem intuentur, tristes ipsi et desperabundi aufugiunt. Hæc præstantissimorum athletarum victoria. Hujusmodi veritatis est tropæum. Hunc in modum impietatis ministri cum suo duce et principe diabolo a veritatis propugnatoribus devicti sunt. Plausum his dederunt e cœlo angeli, faustis acclamationibus exsultarunt, cum malos genios prostratos cernerent; simulque stupore et gaudio percellebantur. Gaudebant enim, quod regis acies, et factis et verbis hostem debellasset. Obstupescebant, cum conspicarentur, carne vestitos superiores factos iis qui carne carebant. Rex pro quo pugnabant, præmia parabat. Aperiebantur cœlorum portæ, et illustres illos calido adhuc perfusos sudore, recipiebant, Omnipotenti exceptos dextera.

Sed, o invicti milites Christi, quo nomine vos appellabimus? An homines? At natura nostra horret ad vestra certamina, cum oculos ad vim suam reflectit. An sidera? Sed vestro splendore lumen illorum occultatur. An angelos? At tolerantiam et victoriam vestram angeli obstupuerunt. In quam igitur aliam naturam transmutati, adeo omnia exceditis? Non emollierunt vos blandimenta; non fracti estis terroribus. Quonam tanto igne ignem acerbissimorum tormentorum exstinxistis? Rorem potius, quam ignem reputabatis. An liquet, vos igne charitatis divinæ inflammatos non concessisse, ut alter ignis ea quæ sunt naturæ suæ consentanea ageret? nec urebat, sed roris instar recreabat. Quin et divinum ignem exsuscitans, longe splendidiorem flammam dilectione Christi accendit. Cujus nunc speciosis pedibus thalamum circumsistentes, exsultatis, loco immanissimorum cruciatuum suavissimis voluptatibus perfusi. Loco ignis assistitis nunc cum flammeis illis ordinibus: imo et his propius (audeo dicere) quanto propius etiam imitatione ad passionem Christi accessistis. Loco conflictationis cum fame et siti, proponitur vobis mensa ejusmodi ferens bona, quæ neque *oculus vidit, nec auris audivit, nec in cor hominis ascenderunt* [18]. Loco nuditatis, stola lucis amicti estis. Loco membrorum disjectorum integram illam primævam hæreditatem adepti estis. Loco effusi sanguinis, fontes curationum funditis. Gaudet terra vestris certaminibus. Lætatur cœlum, cum hujusmodi victoribus corona redimitis ambitur. Cum angelis exsultatis, et a nobis non separamini. Qui tentationibus pressi ad vos confugiunt, paratum remedium inveniunt. Qui tranquillitatis tempore in vobis anchoras figunt,

[18] Isa. LXIV, 4; I Cor. II, 8.

Digitized by Google

jucunde in vitæ hujus solo consistunt. Qui in bello vos pro propugnaculis habent, li servantur; qui in pace, illi vestro præsidio bona, quæ nunquam imminuuntur, percipiunt. Multitudini libertatem suppeditatis; nam eos qui sub peccati jugo captivi tenentur, liberatis, erectis jam olim et etiamnum tropæis, et passionum caliginem, ortu diei, quo memoria vestri recolitur, dispellitis. Ecclesiæ unguentum estis, longe fragrantius, quam *quod descendit in barbam Aaron et oram vestimenti* [16]. Sacerdotibus estis ornamentum stolæ, regibus corona gloriæ, toti terrarum orbi conservatores. Per vos misit Pater dilectum Filium, qui præclarum illud et salutiferum tropæum statuit, creaturamque, quam tyrannide sua opprimebat dæmon, ejecto adversario, rursus subjecit Deo et Patri qui propter eximiam confessionem, qua eum *confessi estis coram hominibus* [17], in conspectu Patris consortes regni vos confitens, corona gloriæ condecorat, quia illius est regnum et gloria in sæcula. Amen.

A καταφεύγοντες, ἑτοίμην τὴν λύσιν εὑρίσκουσιν. Οἱ ἐν εὐθυμίᾳ ὑμῖν τὰς ἀγκύρας ῥίψαντες, ἱλαρῶς τὸν βίον ἀποσαλεύουσιν. Οἱ ἐν πολέμοις ὑμᾶς ἔχοντες πύργους, διασώζονται. Οἱ ἐν εἰρήνῃ, ταῖς ὑμῶν ἐπιστασίαις ἀμείωτα τρυγῶσι τὰ ἀγαθά. Ἔχει τὰ πλήθη χορηγοὺς ἐλευθερίας ὑμᾶς. Τοὺς γὰρ ὑπὸ τῆς ἁμαρτίας διωκομένους ἔτι καὶ νῦν ἐγείροντες τρόπαια, τῆς αἰχμαλωσίας ἀπολυτροῦτε, καὶ τῶν παθῶν τὸ σκότος, ταῖς ἀνατολαῖς τῶν ὑμῶν ἱερῶν μνημοσύνων διασκεδάζετε. Ἔχουσι μύρον ὑμᾶς αἱ Ἐκκλησίαι, τοῦ *ἐπὶ τὸν πώγωνα, καὶ τὴν ὥραν Ἀαρὼν καταβαίνοντος* εὐωδέστερον, στολῆς εὐπρέπειαν οἱ ἱερεῖς, διάδημα δόξης οἱ βασιλεῖς, πᾶσα ἡ οἰκουμένη σωτῆρας. Δι' ὑμῶν γὰρ ἐξαπέστειλεν ἀγαπη- B τὸν Υἱὸν ὁ Πατὴρ, τὸ μέγα καὶ σωτήριον ἦγειρε τρόπαιον, καὶ ἧς ἐτυράννει κτίσεως τὸν ἀλάστορα καθελὼν, καλῶς αὐτὴν πάλιν ὑπέταξε τῷ Θεῷ, καὶ Πατρὶ, ὃς ἀντὶ τῆς καλῆς ὁμολογίας ἣν *ἐνώπιον ἀνθρώπων ὡμολογήσατε*, ἐνώπιον τοῦ Πατρὸς κοινωνοὺς τῆς βασιλείας ὁμολογῶν, τῷ στεφάνῳ τῆς δόξης κατακοσμεῖ, ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ORATIO XVI.

Oratio in decollationem sancti et gloriosi prophetæ et Præcursoris et Baptistæ Joannis.

ΛΟΓΟΣ ΙϚ'.

Τοῦ αὐτοῦ Ὁμιλία εἰς τὴν ἀποτομὴν τῆς ἁγίας καὶ ἱερᾶς κεφαλῆς τοῦ ἁγίου καὶ ἐνδόξου προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

(Gretser., t. XV, p. 322.)

Quis dabit ut prophetæ forcipe os meum bene C conformetur, et carbone illo labia mea expurgentur [18]? Iis enim nunc opus maxime habeo, cum eum oratione deprædicem, quem inter prophetas maxime sonorus et grandiloquus præcinuit. Quis velut supra montem cogitationum sublimitate subvehet eum, qui vocem Verbi dilaudare instituit, præconemque regis? Adest enim etiamnum magna illa pœnitentiæ tuba, divina monita intonans, non jam ex eremi regionibus, sed ex floriferis Ecclesiæ vallibus procedens. Adest, minaturque securim infructuosis et excidium [19], et palearum ab igne exustionem, frumentique in divina horrea importationem annuntiat. Nec una terrarum parte conspicitur; sed qua mundus patet, cernitur omnibus illis, qui oculos hoc spectaculo dignos habent, lucis D lucerna radios salutis emittens. Fundit etiamnum lingua illius, instar puri fontis doctrinæ fluenta [20]. Licet enim jam olim tyrannus, vel potius adulterii mancipium caput ejus amputare non horruerit [21]; at una non abscidit eloquentem illam linguam. Abstinuit gladius ab abscissione, cum incidisset linguam omni sectione penetrabiliorem. Quomodo enim fieri poterat ut lingua, quæ naturæ necessitatem superarat, superaretur ab ictu gladii? Quomodo par erat, ut is qui materno adhuc utero conclusus os in verba formaverat, carnis jam nexibus exsolutus, a loquendi facultate prohiberetur? Igitur lingua non est exsecta, nec vox compressa: sed

Τίς δώσει λαβίδι προφητικῇ διευστομῶσθαι, καὶ τῷ ἄνθρακι τὰ χείλη καθηρᾶσθαι [*f.* κεκαθᾶρθαι]; Ἐκείνων γάρ μοι τὰ νῦν μάλιστα δεῖ τῷ λόγῳ περιηχοῦντι, ὃν ὁ μεγαλοφωνότατος προανήχησεν ἐν προφήταις. Τίς οἷον ἐπ' ὄρους ὑψηλῇ διανοίᾳ ἀναβιβάσει, ὡρμημένον κηρύσσειν τὴν φωνὴν τοῦ Λόγου, τοῦ Βασιλέως τὸν κήρυκα; Πάρεστι γὰρ καὶ νῦν ἡ μεγάλη τῆς μετανοίας σάλπιγξ, τὰ θεῖα σαλπίζουσα παραγγέλματα, οὐκ ἐρημικῶν προϊσχουσα χωρίων, ἀλλὰ τῶν ἀνθηφόρων τῆς Ἐκκλησίας κοιλάδων. Πάρεστιν ἀπειλῶν τὴν ἀξίνην, καὶ τὴν τομὴν τοῖς ἀκάρποις, καὶ τὴν ὑπὸ τοῦ πυρὸς τοῦ ἀχύρου καῦσιν, καὶ τὴν τοῦ σίτου εἰς τὰ θεῖα ταμιεῖα καταγγέλλει ἀπόθεσιν. Ὁρᾶται οὐχ ἑνὶ μέρει τῆς γῆς, ἀλλ' ἀνὰ πᾶσαν τὴν οἰκουμένην, οἷς ὄψις τοῦ τοιούτου θεάματος, τοῦ φωτὸς ὁ λύχνος, τῆς σωτηρίας προπέμπων τὰς λαμπηδόνας. Προχεῖται καὶ νῦν τῆς ἐκείνου γλώσσης ὥσπερ πηγῆς καθαρᾶς τῆς διδασκαλίας τὰ νάματα. Εἰ γὰρ καὶ τὴν κεφαλὴν πάλαι τύραννος, μᾶλλον δὲ μοιχικοῦ δοῦλος ἄγους, ἐκτεμεῖν ἐφρυάξατο, ἀλλ' οὐ συναπέτεμε τὴν εὔλαλον γλῶσσαν. Ἐστράφη τὴν τομὴν τὸ ξίφος, ὀξυτέρᾳ περιτυχοῦσα τομῇ τῆς τοῦ Βαπτιστοῦ γλώσσης. Ποῦ γὰρ ἦν θεμιτὸν διατεμόντα πᾶσαν ἀνάγκην τῆς φύσεως, ἧττω γενέσθαι ξίφους τομῆς; Ποῦ δὲ εἰκὸς τὸν ἐν σπαργάνοις νηδύος φθεγγόμενον, τοῦτον λυθέντα τῶν σαρκίνων δεσμάτων [ἀμμάτων] τὴν φθογγὴν κωλυθῆναι; Οὐκοῦν οὐκ ἐτμήθη ἡ γλῶσσα, οὐδ' ἡ φωνὴ ἐπεσχέθη, ἀλλ' ἔτι καὶ νῦν τὴν Ἡρῴδου μοιχείαν λαλεῖ. Ἀλλ' ἄνω

[16] Psal. CXXXII, 2. [17] Matth. X, 32. [18] Isa. VI, 6. [19] Matth. III, 10; Luc. III, 9. [20] Joan. V, 35. [21] Marc. VI, 28.

Digitized by Google

πρὸς τὰς αὐτοῦ γονὰς ἀνιὼν ὁ λόγος, ὅλον ἡμῖν τὸν ἐκείνου βίον ἀπαγγειλάτω, καὶ ὅλη τῆς ἐκείνου βιώσεως εὐωδία, τὴν λογικὴν αἴσθησιν κατατερπέτω. Μάλιστα μὲν γὰρ μέγα κέρδος τὸ καὶ μέρους τινὸς τοῦ ἐκείνου βίου λαλεῖν τὸ ὠφέλιμον· ἄπειρον δέ τι τὸ σύμπασαν τὴν ἐκείνου ἐπιόντα ζωὴν, συλλέγειν τὰ ἀγαθά.

Ἤδη μὲν οὖν τοῖς δούλοις ὁ βασιλεὺς ἐν ὁμοίᾳ μορφῇ προσομιλεῖν ἐκεκρίκει, καὶ τοῦ ὕψους τῆς θείκῆς συγκαταβάντα δόξης ἐνδημῆσαι τῇ ἀνθρώπων ἐσχατιᾷ. Ἔδει δὲ ἄρα τῆς ὑπὲρ λόγον ταύτης ἐπιδημίας μέγαν τινὰ γενέσθαι προάγγελον. Γίνεται Ἰωάννης, οὗ μείζων οὐδεὶς ἐν γεννητοῖς γυναικῶν· καὶ προφθάνει τόκον ὑπερφυῆ παρθένου, τόκος στειρευούσης παράδοξος· καὶ προανθεῖ στάχυος ἀσπόρου, μαραινομένης ῥίζης βλαστὸς, καὶ λύει ὥσπερ νηδύος τὴν στείρωσιν, οὕτω καὶ γλώσσης δεσμά. Οὐδὲ γὰρ ἔδει φωνῆς ἀποτεχθείσης, τὸν τεκόντα φωνῆς ἀμοιρεῖν, οὐδ' ἄφθογγον εἶναι τὸν τῆς σάλπιγγος αἴτιον. Λύεται τοίνυν τῆς δίκης τῆς σιωπῆς Ζαχαρίας, λύσαντος τὰς ὠδῖνας τοῦ βρέφους· καὶ φθέγγεται νέαν φωνὴν, τῆς πρώτης ἀμείνω καὶ θειοτέραν, τήν τε Δεσποτικὴν ἐπίσκεψιν ἀναφωνῶν ἐν τῷ Πνεύματι, καὶ τὴν τοῦ παιδὸς πορείαν, ἣν πρὸ τοῦ Ὑψίστου πορεύσεται, ὑφηγούμενος· οὐ μόνον δὲ δὴ μέχρι Ζαχαρίου ἵσταται τὰ τελούμενα, ἀλλὰ καὶ δογμάτων ὁρωμένων βαθύτερον ἐν τούτοις καταθεωρεῖται. Ὁ γάρ τοι παλαιὸς νόμος τὴν γηραιὰν τῶν ἐνταλμάτων φωνὴν εἰς καινὴν μετεποιεῖτο τῷ κατὰ Χριστὸν δόγματι καινιζόμενος. Ἀλλὰ γὰρ οὕτω μὲν παραδόξως γαστρὸς ἀτέκνου πρόεισιν Ἰωάννης, ἤδη τοῦ καιροῦ καλοῦντος πρὸς εὐτεκνίαν τὴν ἱερωτάτην τοῦ Μονογενοῦς νύμφην. Παραδοξοτέρων δ' ἀπάρχεται, θαυμαστὰ θαυμαστοῖς συνάπτων, καὶ ὑψηλοῖς ὑψηλά. Οὐ γὰρ κατὰ τὴν νενομισμένην τῇ φύσει αἰῶνα [ᾠώνιζε] ζωὴν, οὐδὲ τοῖς κάτω δουλεύειν ὑπέμεινε νόμοις, ἀλλ' ὥσπερ ἔξω πάσης σαρκίνης ἀνάγκης μετ' ἀγγέλων ἐδίου, καὶ τῇ ἐκείνων συνανήγετο πολιτείᾳ. Καὶ γοῦν καταλείπει τὰς ἐν ἄστει διατριβὰς, οὐδαμῶς ἀνθρώπους μισῶν (πῶς γὰρ ὁ φιλανθρώπου Δεσπότου κήρυξ, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας εὐαγγελιστής;)· ἀλλ' ἐχρῆν, ὡς ἔοικε, τὸν δορυφόρον τοῦ πάσης ἐπέκεινα δόξης καὶ εὐταξίας βασιλέως, κρείττονα εἶναι ἀστικῶν ταραχῶν, καὶ ταπεινότητος. Ἅμα δὲ καὶ μελλούσης ἄρτι τοῖς δουλεύουσιν ἁμαρτίᾳ διὰ τῆς ἐν χάριτι πολιτείας ἐλευθερίας μηνύεσθαι, ἀκόλουθον ἦν ἐξ ἐρημίας τὸ μήνυμα ἥκειν, ὥσπερ δὴ καὶ τῷ πρεσβυτέρῳ Ἰσραὴλ τῆς ἐν Αἰγύπτῳ δουλείας ἐξ ὄρους ἦκε Μωϋσῆς, ἀπαγγέλλων τὴν ἀπολύτρωσιν. Ἕως μὲν οὖν ὁ βασιλεὺς, ταπεινώσεως πλούτῳ, τῆς ἑαυτοῦ δόξης τὸν πλοῦτον ὑπέστελλεν, ἀφανέσι χωρίοις καὶ ὁ στρατιώτης ἐνδιητᾶτο. Ἐπεὶ δὲ ὁ καιρὸς ἐφεστήκει, καθ' ὃν ἔδει, ὅσα παρὰ τοῦ Πατρὸς ὁ Μονογενὴς ἤκουσε, χρηματίζειν, τότε δὴ καὶ τότε, καὶ ὁ τῆς ἐρήμου τρόφιμος, ἄνωθεν λαβὼν τὸ ἐνδύσιμον τοῦ κηρύγματος, ἄρχεται ὁμαλίζειν τρίβους τραχείας, ἤτοι καρδίας ἀτεράμονας τῇ Δεσπο-

hodie etiam Herodis adulterium arguit. At revocemus orationem ad ejus ortum et incunabula, totiusque vitæ decursum nobis denarret, et tota vitæ ab illo transactæ fragrantia sensum rationis participem oblectet. In maximo enim lucro ponendum est, commemorare, quas vel una vitæ illius pars utilitates complectatur, infinitos autem fructus parit, si quis totius vitæ illius bona in unum colligere aggrediatur.

Ergo jam Rex cœlestis cum servis suis, simili vestitus forma, versari et habitare, et ex altitudine divinæ gloriæ ad has imas hominum sedes descendere decreverat; oportebat igitur ut hujus descensus et adventus omnem rationem exsuperantis insignis deligeretur prænuntius. Nascitur Joannes, quo major inter natos mulierum nemo exstitit : partumque divinum Virginis antevertit, partus inopinatus infecundæ matris, et prius efflorescit quam spica non sata, arentis radicis germen. Et ut ventris sterilitatem , ita et linguæ vincula solvit. Non enim decebat, ut genita voce, genitor expers vocis maneret : mutusve esset ille, qui tubæ causa exstiterat. Absolvitur igitur Zacharias a silentio quo damnatus fuerat, infante dolores dissolvente : vocemque fundit novam, priore illa longe meliorem et diviniorem, dum Domini visitationem in Spiritu decantat, puerique viam, qua ante faciem Altissimi iturus erat, exponit. Neque miraculis circa Zachariam gestis res finitur. Quin profundiorem quamdam doctrinam, quam sit vulgaris, et quæ in omnium conspectu posita, in his considerare licet. Nam lex vetus veterem illam mandatorum vocem in novam commutavit, per salutarem Christi institutionem renovata. In hunc modum ex infecundo utero præter opinionem et exspectationem Joannes pronascitur, cum jam tempus sacratissimam Virginem, et Unigeniti parentem ad fecunditatem vocaret, multoque adhuc admirabilius vitæ cursum inchoat, miranda mirandis, et sublimia sublimibus accumulans. Non enim vitam aliis usitatam degebat, neque terrenis decretis servire dignatus est; sed quasi carnis mole jam exutus cum angelis versabatur, eorumque vivendi rationem sectabatur. In urbe commorari renuit, non odio hominum (quomodo enim præco Domini, qui homines tantopere amabat, et salutis humanæ evangelista, homines odisset?), sed quia oportebat, ut credibile est, satellitem Regis, qui omni gloria et ordine superior est, excelsiorem esse omni civili turba et abjectione. Accedit, quod cum iis qui peccato serviebant, libertas per statum gratiæ futura, annuntianda esset, consequens erat, ut ex solitudine nuntius iste prodiret, quemadmodum antiquo Israeli ex monte Moyses missus est, annuntians populo redemptionem ex servitute Ægyptia. Quandiu ergo rex divitiis humilitatis, divitias gloriæ tegebat, tandiu etiam miles illius et propugnator abditus in locis solis morabatur. At cum tempus advenit, quo Filius omnia, quæ a Patre audierat

Digitized by Google

mu. ndo patefacere debebat, tunc et eremi alumnus accepto e cœlis prædicationis inchoandæ signo, incipit vias asperas [21.19], animas videlicet inflexibiles et duras, divina doctrina planare, et æquabiles reddere. Et pœnitentiam quidem annuntiat, quippe salutaris Verbi vox, eosque qui emundatione egebant, mundat verbo et aqua, et eum qui, si tempus spectes, posterius venerat, major autem erat infinitate potentiæ, magis quam unquam antea apparuisse clamat, quem et perfecte in spiritu baptizaturum testatur, Agnum [29], qui apparuerat, ostendit, cujus sanguinis guttæ, a peccati sordibus orbem terrarum expurgarunt, quem et in utero adhuc abditus, agnoscit, et Jordanis aqua Dominum similiter ac servos abluit, testimoniumque Filio a Patre datum exaudit.

Oportebat vero, ut non tantum mortuos inter, sed et inter eos, quos inferi tenebant, præcursor esset, ferretque iisdem lætissimum de libertate nuntium, de Domini videlicet adventu et præsentia. Quocirca cultura sermonis pectora dura excolens ad eum quoque, qui eo tempore apud Judæos rerum potiebatur, pervenit, sterilis et infructuosi animi medicinam explicans, vel potius exitiales peccati fructus libertatis in reprehendendo quasi falce amputans. Nam qui omnium maxime leges custodire debebat, legumque observatione subditos ad sui observantiam adducere (solent enim subditi cum eorum, qui præsunt, virtutibus vel vitiis se plerumque conformare), iste præter jus et fas adulterii flagitio se contaminans, legem violare non erubescebat; neque solum adulterio sese inquinat. sed et fratris toro injuriam infert, quem, si quis alius in eum injuriosus exstitisset, ab omni contumelia cognationis jure vindicare oportebat, quemque tanquam proprium curare debebat : hunc ipsemet incestabat, neque sanguinis, neque legis ulla ratione habita, ut a piaculo desisteret; sed quantus, quantus erat, libidinis mancipium erat, et ad improbitatis barathrum, quasi clausis oculis ferebatur. Quo tempore magna illa Verbi vox silere non potuit : sed objurgavit, reique enormitatem publice traduxit et redarguit. Cæterum et hoc Herodis ingenio conveniebat, ut non modo emendationis spem nullam præbere, sed et improbitatem majoris criminis accessione augeret. Probe enim parentem suum homicidam imitabatur, et se genuinum illius filium esse reipsa comprobabat. Ille enim æquales Antiqui dierum, qui propter nos infantiam subiit, tanquam spicas immaturas, ex hac vita demetit : ille vero præconem, qui medicinam afferebat, putredinemque animæ exscindebat, interficit, et miser eum qui ut vincula solveret, advenerat, in vincula conjicit; quique ab oculis caliginem voluptatis abstergebat, carceris tenebris concludit. Deinde natalem diem celebrat, quem satius fuerat lucem hujus solis nunquam aspexisse,

τικῇ καὶ θείᾳ διδασκαλίᾳ, καὶ ἀπηχεῖ μὲν τῆς μετανοίας τὸν φθόγγον, οἷα δὴ τοῦ σωτηρίου λόγου φωνή, καὶ τοὺς δεομένους καθάρσεως καθαίρει λόγῳ καὶ ὕδατι. Ἀναφανεῖσθαι δ' ὅσον οὔπω προκαταγγέλλει τὸν ὀπισθεν μὲν τῇ δι' ἡμᾶς ἐν χρόνῳ γεννήσει, μείζονα δὲ τῷ ἀπειροδυνάμῳ κράτει, ὃν καὶ βαπτίσειν μαρτύρεται τελείως ἐν Πνεύματι. Καὶ γοῦν φανέντα τὸν Ἀμνὸν ὑποδεικνύει· οὗ ῥανίδες αἵματος, τοῦ λύθρου τῆς ἁμαρτίας τὴν οἰκουμένην ἐκάθηραν· ὃν καὶ περὶ τὰ σκοτεινὰ τῆς γαστρὸς ἔτι χωρία γνωρίζει εἰλούμενος, καὶ τοῖς Ἰορδάνου ῥείθροις παραπλησίως τὸν Δεσπότην λούει τοῖς δούλοις, καὶ τὴν μαρτυρίαν ἐπὶ τῷ Παιδὶ φωνουμένην τοῦ Γεννήτορος ἐνηχεῖται.

Ἔδει δὲ ἄρα οὐ μόνον ἐν ζῶσι Πρόδρομος ὀφθῆναι, ἀλλὰ καὶ τοῖς ἐν ᾅδου φθάνειν, καὶ φέρειν κἀκείνοις τῆς ἐλευθερίας τὰ εὐαγγέλια, τὴν Δεσποτικὴν εὐαγγελιζόμενον παρουσίαν. Τοιγαροῦν τῇ γεωργίᾳ τοῦ λόγου τὰς κεχερσωμένας γεωργῶν καρδίας, ἔρχεται καὶ μέχρις αὐτοῦ τοῦ κατ' ἐκεῖνο λαχόντος καιροῦ τοῦ Ἰουδαίων ἔθνους κρατεῖν, τὴν θεραπείαν τῆς ἀκάρπου καρδίας εἰσηγούμενος, μᾶλλον δὲ τὸν φθοροποιὸν ἐκτέμνων τῆς ἁμαρτίας καρπὸν, τῆς παῤῥησίας τῶν ἐλέγχων τομῇ. Ὁ γάρ τοι πάντων μάλιστα νομοφυλακεῖν ὀφείλων, καὶ τῇ καθ' ἑαυτὸν συντηρήσει τοῦ νόμου εἰς τιμὴν αὐτοῦ τὸ ἀρχόμενον προσκαλεῖσθαι (πέφυκε γάρ πως τὸ ἀρχόμενον ταῖς ἀρεταῖς ἢ κακίαις ὡς ἐπιπολὺ τῶν κρατούντων συνδιστίθεσθαι), οὗτος δὴ παρανομῶν, καὶ μοιχείας ἄγει καταμολυνόμενος, εἰς αὐτὸν παροινῶν οὐκ ἠσχύνετο· καὶ οὐ τοῦτο μόνον μοιχείας, ἀλλὰ καὶ ἀδελφοῦ ἐνυβρίζει κοίτην, ἣν ἔδει καί τινος ἀλλοτρίου ὑβρίζοντος, ἐπαμύνοντα τῷ δικαίῳ τῆς συγγενείας ἀνεπιβούλευτον πειρᾶσθαι διατηρεῖν· ἣν ἔδει περιέπειν, ὡς οἰκείαν, ταύτην αὐτὸς ἀνώρυσσε δι' αὐτοῦ· μὴ τοῖς ἐξ αἵματος, μὴ τοῖς ἐκ νόμου ἔχων ἐπὶ λογισμὸν ἀναφέρειν, καὶ τοῦ μιάσματος ἀποστῆναι, ἀλλ' ὅλος τῆς ἡδονῆς ὢν ἀνδράποδον, καὶ πρὸς τὸ βάραθρον τῆς παρανομίας ὥσπερ δὴ μύων καταφερόμενος· ὅτε δὴ, ὅτε ἡ μεγάλη τοῦ Λόγου φωνὴ σιγᾷν οὐκ ἠνείχετο, ἀλλ' ἐξήλεγχε, καὶ τῆς πράξεως τὸ ἔκθεσμον ἐστηλίτευεν. Ἦν δὲ καὶ τοῦτο Ἡρώδου, μὴ μόνον καὶ καθίστασθαι πρὸς διόρθωσιν, ἀλλὰ καὶ τὸ κακὸν αὐξάνειν, μείζονος προσθήκῃ κακοῦ. Ἀκριβῶς γὰρ τὸν φονευτὴν ἐμιμεῖτο πατέρα, καὶ ὡς ἐκείνου γνησία σπορὰ ἐβεβαίου. Ὁ μὲν γὰρ τοὺς ἡλικιώτας τοῦ Παλαιοῦ τῶν ἡμερῶν δι' ἡμᾶς νηπιάσαντος, οἷα δὴ στάχυς ἀώρους τῆς ζωῆς ἀποκείρει· ὁ δὲ τὸν κήρυκα τὴν θεραπείαν εἰσηγούμενον, καὶ τὴν σηπεδόνα τέμνοντα τῆς ψυχῆς, ἀποσφάττει. Καὶ ὁ δείλαιος τὸν λύσειν αὐτὸν δεσμῶν βεβουλημένον, δεσμοῖς ὑποβάλλει· καὶ τὸν ἀποκαθαίροντα τῶν ὀφθαλμῶν τὴν ἐξ ἡδονῆς ἀχλὺν, σκότῳ φρουρᾶς ἀποκλείει· εἶτα γενεσίων ἑορτὴν συγκροτεῖ, ᾧ ἄμεινον ἦν, μηδ' ὅλως πρὸς αὐγὰς ἡλίου ἐλθεῖν, καὶ παῖδα τῆς συμφθειρο-

[21.19] Luc. III, 5. [29] Joan. I, 29.

Digitized by Google

μένης εἰς ὄρχησιν προύκαλεῖτο, καὶ ἐπὶ θεαταῖς ἐτέρπετο, ἧς ἔδει καὶ μόνον ὀρωμένης ἀποστρέφειν τὰς ὄψεις, ὡς φερούσης τινὰ ἐρυθρίασιν, ἐφ' οἷς τῇ ταύτης μητρὶ συνησέλγαινεν· ὁ δὲ καὶ εἰς ἐπίδειξιν ἄγει, καὶ θεατὰς ἔχων τῆς παρανοίας σεμνύνεται. Προσέτι καὶ τιμῆς ὠνεῖται τὴν ὄρχησιν, καὶ τὴν βασιλείαν μερίζεται, ἐρώτων καὶ μέθης τὸν ἄθλιον λογισμὸν ταλαντευόντων, καὶ δίδωσι κεφαλὴν, κειμήλιον τοῦ Πνεύματος, ἄθλον ὀρχήσεως ἐναγοῦς, ἀντὶ τοῦ τῆς βασιλείας ἡμίσους· ἧς οὐκ ἦν ὅλος ὁ κόσμος ἀντάξιος· καὶ δείκνυσι φοβερὸν ἅμα καὶ σκυθρωπὸν τοῖς εὐωχουμένοις θέαμα. Τί ποιεῖς, ἄνθρωπε; εἶγε δεῖ καλεῖν ἄνθρωπον, τὸν πάντα λογισμὸν ἀφῃρημένον ἀνθρώπινον. Καλεῖς, ἐφ' ᾧ εὐφρανεῖς; ἑορτάζεις, ἵνα φαιδρότητα ἐμποιήσῃς, καὶ οὕτω κατηφείας καὶ σκυθρωπότητος τὸ συμπόσιον ποιεῖς μεστόν; Τίς γὰρ οὐκ ἂν τῶν παρόντων τότε κατηφείας ἐνεπλήσθη; τίς οὐκ ἂν ἤλγησε τὴν ψυχὴν, ἐφ' οὕτω ξένῳ, καὶ οἷον οὐκ εἰδέ ποτε τράπεζα, θεάματι; Ὁπότε δὴ καὶ σύ γε αὐτὸς οὐ χωρὶς λύπης διατεθεῖσθαι προσποιῇ, τίς ἐκείνην θεωρῶν τὴν κεφαλὴν, οὐκ ἂν οἷς ἐκόμα ἀγαθοῖς ἐννοῶν, θάμβει τε κατεσχέθη, καὶ τὴν σὴν τῶν γενεσίων ἡμέραν ἐπηράσατο; Καλῶς γε σὺ τῆς σῆς ἀνοσίου γονῆς τὴν ἡμέραν τιμᾷς· ἐν ᾗ ἐχρῆν καὶ τὸν αἰτιώτατον ἀπολύειν θανάτου, ἐν ταύτῃ τὸν μείζονα πάντων προφητῶν ὑπάγων θανάτῳ· καθ' ἣν εἴ τι κάλλιστον, καὶ πρὸς χαρμονὴν ἐπιτηδειότατον ἐχρῆν προστιθέναι, ἐν ταύτῃ κεφαλὴν τοῦ τῆς σφαγῆς ἀποστάζουσαν αἵματος προτιθείς. Ὡς δείλαιος μὲν τῶν ἀθίνων, ἃς ἐπὶ τῷ σαυτοῦ ἔλυσας κακῷ! ὡς δείλαιος δὲ τῶν ἀκαθάρτων ἐρώτων, οἷς κάτοχος ὅλος γενόμενος, πρὸς οὕτω προήχθης ἔκτοπον τόλμημα!

Οἷον δὲ καὶ τὸ σχῆμα τοῦ μὴ ἐθέλειν ἀνανεύσειν πρὸς τὴν σφαγὴν, μηδὲ τὴν αἴτησιν ἀσελγοῦς γυναίου διακρούσασθαι; Διὰ γὰρ τοὺς ἀνακειμένους, καὶ ἵνα τοὺς ὅρκους ἐμπεδώσηται, τὴν σφαγὴν ἐπιτρέπει, καὶ μὴν εἰ καὶ διὰ μηδὲν ἄλλο, διά γε ταῦτα ἐχρῆν τὸ γύναιον ἀποπέμπεσθαι, ἵνα τε μὴ ἀνιαθεῖεν, οὕτως ἀπανθρώπως οἱ ἀνακείμενοι εὐωχούμενοι, καὶ ἵνα μὴ γέλωτα ὀφλῇς, ἀντὶ τοῦ δοκεῖν εὐορκεῖν· τίς γὰρ ὤφθη τοιοῦτόν ποτε δῶρον ὑπισχνημένος; Ἀλλ' οὐ μόνον ἀνίατον ἡ μανία, καὶ μάλιστα ὅση ἐξ ἐρώτων καὶ μέθης, ἀλλὰ καὶ δόκησιν ἐμποιεῖ τοιούτους ἑτέρους; ἡγεῖσθαι, οἵπερ αὐτοὶ τῇ ἀληθείᾳ εἰσίν. Ὡς καὶ νῦν Ἡρῴδης τοῦ προφητικοῦ διψῶν αἵματος, παραπαίων εἰς ἐκπλήρωσιν τῆς ἐπιθυμίας αὐτοῦ, τοὺς συνανακειμένους προβάλλεται, ὡς οὐκ ἂν ἐκείνων οἷόν τε ὄντων τὴν ἀνόητον ταύτην διαγνῶναι προσποίησιν. Πλὴν ὁ Βαπτιστὴς ἀποτέμνεται τὴν κεφαλὴν, καὶ προθύεται τοῦ αἴροντος Ἀμνοῦ τὰς ἡμῶν ἁμαρτίας, ὥσπερ τῷ τόκῳ μετέχων τοῦ θείου τόκου τοῦ θαύματος, δι' ὧν ἐκ στειρευούσης προῆλθε γαστρὸς, οὕτω καὶ τῇ ἐκ τῶν κάτω πρὸς τὰ ἄνω μεταχωρήσει κοινωνῶν τῇ πορείᾳ, δι' ὧν τοῦ ἀθύτου σφαγίου προσφαγιάζεται, καὶ γίνεται ὥσπερ τῇ λύσει τῶν ὠδίνων, οὕτω καὶ τῇ εἰς ᾅδου φοιτήσει τοῦ Δε-

A filiamque adulteræ ad saltationem provocabat, et una cum spectatoribus delectabatur, a qua vel primo aspectu, oculos avertere debebat, ut quæ ruborem inculeret, eo quod cum matre illius turpiter consuesceret. At vero iste eam in publicum producit, et cum vesaniæ spectatores haberet, gloriabatur. Adhæc honore etiam saltationem mercatur, et regnum partitur, amore et ebrietate miseram mentem huc illucque distrahente, datque caput, Spiritus sancti thesaurum, remunerandæ sacrilegæ saltationi, loco dimidii regni, quo capite neque totus mundus pretiosior erat, infertque in convivium terrificum simul et triste spectaculum. Quid agis, o homo? si homo vocandus est, qui omni humano B sensu est orbatus. Vocas, ut læteris; natalem celebras, ut cunctos exhilares, et tanta mœstitia, animorumque consternatione convivium reples? Quis enim præsentium gravi tristitia tunc non est sauciatus? Quis non animo indoluit ob tam peregrinum, et quale vix ulla mensa vidit, spectaculum, quando et tu ipse te mœrore affectum esse præ te fers. Quis caput illud intuens et quibus bonis floreret, mente reputans, stupore non est defixus, non sine natalis tui exsecratione? Pulchre profecto detestandi ortus tui diem honoras! in qua nocentissimus quisque a morte liberandus erat, hac majorem omnibus prophetis morti tradis. Qua id quod omnibus pulchritudine præstabat, et ad lætitiam excitandam maxime valebat, proponendum erat, C hac tu caput sanguinem ex recenti cæde adhuc stillans, proponis. O infelices ortus tui cruciatus, qui tanto tuo malo sunt soluti. Quam miser es, ob impuros amores, quorum furore captus et abreptus in tam nefandum facinus prorupisti.

Qualis vero ille prætextus, nolle in cædem consentire; et tamen lascivæ mulieris petitionem non repudiare? Nam propter simul discumbentes, et ut jusjurandum firmaret, cædem permittit [21]. Atqui si non alias ob causas, certe ob has mulierecula amandanda erat, ne qui simul epulabantur tam inhumano spectaculo contristarentur, et ne ludibrium fieres, dum sancte jurasse videri cupis. Quis enim unquam tale donum pollicitus est? At non solum vesania immedicabilis est, potissimum D illa, quæ ex amore et ebrietate nascitur, sed et opinionem ingenerat, quasi et alii sint tales, quales ipsi. Ita in præsenti Herodes sanguinem prophetæ sitiens, cupiditati suæ explendæ simul discumbentes stolide prætexit, ac si tantum rationis non haberent, ut tam fatuam simulationem agnoscerent. Cæterum caput Baptistæ amputatur, et sacrificatur prius illo Agno, qui tollit peccata mundi, et quemadmodum in partu miraculi divini partus particeps fuit, ex sterili ventre prognatus; sic et transitu ab his imis ad superna communionem cum eodem habuit in eo, quod ante illam non immolatam hostiam immolatur, fitque, ut ortu ex utero materno, ita et ad inferos abitu Domini

[21] Marc. VI, 26.

Digitized by Google

prænuntius, et his, qui in vinculis et ærumnis versabantur, redemptionem significat, et exsultationis quasi radiis et splendore prius perfundit eos qui in umbra mortis et caligine calamitatis sedebant, et tanquam lucifer præsentiam solis indicat. At quæ inferis in oris gesta sunt mysteria, præcedentibus magis sunt arcana et recondita. Sed qualia illa, quæ Herodes patrat? Disco imponitur caput, cui recipiendo nihil par, illius caput, qui intactum caput tenuerat, ferique abjecta et furiis agitata puella illam comam, quam angeli reverebantur, eamque muneris loco accipit malæ filiæ pejor mater, rata se hujus amputatione amputaturam quoque reprehensiones, quæ pectus ejus vellicabant. At inscia in majores et magis inevitabiles incidit. Pessima bestia! quomodo hoc tibi in mentem venit? Voluisti impuritatis tuæ testem, et quasi columnam sternere, immota quassare agressa; nam supra gradus illustriores collocasti, adjecto ad adulterium tuum homicidio; et insano tuo amore quasi in columna ad sempiternam ignominiam inscripto. Exstinguere niteris lucernam quæ tua opera tenebrarum arguebat. At magis accendis lampadem, quæ nefanda tua flagitia prodat. Vertigine velut corriperis, ob vim et vehementiam propheticæ linguæ, qua putredo incontinentiæ tuæ disrumpitur. At nunc acerbiores cruciatus sustines.

Caput amputasti, Herodes, objurgationes vero non amputasti. Auditur etiamnum vox illa clare insonans: *Non licet tibi habere uxorem fratris tui* [22], quæ increpationes, quas celare tentasti, et funesta tua flagitia toto terrarum orbe decantat. Verum mittamus istos cum infandis suis sceleribus. Ad Baptistam revertatur oratio, et hodie ex terrestri tabernaculo egredientem comitetur, et ad sedes materiæ expertes, quas etiam in corpore adhuc agens incolebat, abeuntem, quantum fieri potest, officii causa deducat. Etsi enim dignitas ejus majorem prædicationem desiderat, quam in hominem cadat; attamen periculum non est fore ut hanc dicendi voluntatem repudiet, cum propter alia, tum quia omnium vilissimis et contemptissimis contentus esse consuevit. Sed qualia oratio encomia adducet? Quam laudationem instituet ei, cujus laudes ipsa Dei sapientia contexuit? Quis vero te compellans reperiat appellationem, quæ exiguum honorem tibi creet? An nihil proprium, nihilque novum excogitandum; sed ea solum promenda sunt, quæ omnes tibi tribuunt, vetera nimirum illa, quæ divina oracula de te præcinuerunt? Te enim nominarunt vocem clamantem in deserto [23]; clamantem quidem in deserto, sed cunctis terrarum finibus resonantem, rectas facientem semitas Domini, aspera in directa flectentem, præconem salutis Israel, exaltantem vocem suam in virtute Sion. Afferantur etiam parentis tui laudes, quas

σπότου προάγγελος, καὶ τοῖς ἐν δεσμοῖς καὶ στενοχωρίᾳ, μηνύει τὴν ἀπολύτρωσιν, καὶ προανατέλλει τῆς ἀγαλλιάσεως τὰς αὐγὰς τοῖς ἐν σκιᾷ θανάτου, καὶ σκότῳ θλίψεως καθημένοις, ὁ ἑωσφόρος μηνύων τοῦ ἡλίου τὴν παρουσίαν. Τὰ μὲν δὴ κάτω τελούμενα τοιαῦτα ἐπὶ προλαβοῦσι μυστηρίοις, μυστήρια ἀπορρητότερα. Ἃ δὲ Ἡρῴδης ἄνω διατίθησιν, ὁποῖα; Πινάκιον δέχεται, ἧς οὐδὲν δοχεῖον ἐπάξιον, κεφαλὴν, κεφαλὴν ἐκείνου τοῦ κρατήσαντος τὴν ἄψαυστον κεφαλὴν, καὶ φέρει κόμη κόρης σεσοβημένης κόμην, ἣν ἄγγελοι κατηδέσθησαν· καὶ λαμβάνει ταύτην δῶρον πονηροῦ τέκνου μήτηρ πονηροτέρα, οἰηθεῖσα μὲν τῇ ταύτης τομῇ διακόψειν τοὺς ἐλέγχους, οἳ τὴν αὐτῆς καρδίαν συνέτρεφον [συνέστρεφον]· ἐλελήθει δὲ μᾶλλον αὐτοῖς ἀφυκτοτέροις περιπίπτουσα. Πονηρὸν θηρίον, πῶς τοῦτο διανενόησαι; Καθαιρήσειν ἐβουλήθης τῆς σῆς ἀσελγείας τὴν στήλην, ἀλλ' ἀκίνητα σαλεύειν ἐπεχείρησας. Ἕστηκε γὰρ μᾶλλον οἷον ἐπὶ βάθρας περιφανεστέρας, οἷς τῇ μοιχείᾳ τὸν φόνον προστέθεικας τὸν σὸν οἶστρον στηλιτεύουσα. Σβεννύειν ἐπιχειρεῖς τὸν λύχνον, τὰ σὰ τοῦ σκότους ἔργα ἐλέγχοντα· ἀλλ' ἀναφλέγεις πλέον τὴν λαμπάδα, τὴν σὴν ἀῤῥητοποιΐαν δεικνύουσαν. Ὀλιγωρᾷς πρὸς τὴν ἀκμὴν τῆς προφητικῆς γλώσσης, οἷς ἡ σηπεδὼν τῆς σῆς ἀκολασίας διασπαράττεται· ἀλλὰ νῦν δριμυτέρων αἰσθάνῃ τῶν ὀδυνῶν.

Ἔτεμες, Ἡρῴδη, τὴν κεφαλὴν, ἀλλ' οὐ συνατέτεμες τῶν ἐλέγχων τὴν φωνήν· ἀκούεται καὶ νῦν διαπρύσιον ἐμβοῶσα· *Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.* Νῦν οὖς ἐπειράθης ἐλέγχους ἀποκρύπτειν, ἁπανταχοῦ γῆς τὴν σὴν ἀθεμιτουργίαν περιηχοῦσα. Ἀλλ' οὗτοι μὲν μετὰ τῆς αὐτῶν ἀῤῥητοποιΐας ἀφιέσθωσαν· ἐπὶ δὲ τὸν Βαπτιστὴν ὁ λόγος ἀναχωρείτω, ἐξιόντι σήμερον τοῦ γηΐνου σκηνώματος συνακολουθῶν, καὶ πρὸς τὰς ἀΰλους μονὰς ἀπιόντα, αἷς συνῴκει, καὶ μετὰ σώματος, ὅσον οἷόν τε τιμῶν καὶ προπομπεύων. Εἰ γὰρ καὶ μείζονος ἢ κατὰ γλῶσσαν ἀνθρωπίνην δεῖ τῆς εὐφημίας αὐτῷ, ἀλλ' οὖν οὐκ ἔστι δέος ἀπαξιώσειν τὴν τοῦ λόγου προαίρεσιν διά τε τὰ ἄλλα, καὶ ὅτι τοῖς πάντων εὐτελεστάτοις ἐξαρκούμενος ἐχαιρεν. Ἀλλὰ τίνων ὁ λόγος ἐγκωμίων ἅψαιτο; τίνα εὐφημίαν προσοίσει, ᾧ τοὺς ἐπαίνους ἡ τοῦ Θεοῦ σοφία διέπλεξε; τίς δέ σε προσειπὼν μετρίαν εἰς τιμὴν ἥκουσαν ἐξεύροι προσηγορίαν; Ἢ οὐδὲν μὲν ἴδιον, οὐδὲ νέον εὕρημα, ἀλλ' αὐτὰ ταῦτα, ὅσα πᾶσα γλῶσσα φθέγγεται, περὶ σοῦ τὰ παλαιὰ ἐκεῖνα, ἃ σε θεῖοι χρησμοὶ προανύμνησαν; τίνα φωνὴν βοῶσαν ἐν τῇ ἐρήμῳ, βοῶσαν μὲν ἐν ἐρήμῳ, πᾶσι δὲ πέρασιν ἀπηχουμένην, εὐτρεπίζοντα τρίβους τὰς εὐθείας Κυρίου, τὰ σκολιὰ κατευθύνοντα, εὐαγγελιστὴν σωτηρίας τῷ Ἰσραήλ, ὑψοῦντα τὴν φωνὴν ἐν ἰσχύϊ τῇ Σιών; Λεγέτω δὴ καὶ τοῦ γεννήτορος τοὺς ἐπιτοκίους ἐπαίνους, βραχύ τε μεταποιήσας αὐτοὺς πρὸς τὸ τῷ καιρῷ προσφορώτερον. Πρὸ τοῦ Ὑψίστου προπεπόρευσαι, προφήτης

[22] Marc. VI, 18. [23] Isa. XL, 3.

Digitized by Google

χρηματίζων ἐν νηπίῳ τῷ γάλακτι, καὶ γνῶσιν σωτηρίας τῷ λαῷ κηρύξας, οὐ μόνον ἐν σώματι, ἀλλὰ καὶ δεσμὰ τῆς σαρκὸς ἀποθέμενος. Προσθῶμεν ὥσπερ τινὰ κορυφὴν, καὶ ἃ τῆς πηγῆς τῆς σοφίας ἔχεις προρρήματα. Μείζων ἐν γεννητοῖς γυναικῶν οὐδεὶς ὤφθη σου ἐξεγηγερμένος· προφητῶν ἁπάντων ἀποφέρῃ τὸ περισσότερον, ἐκεῖνα θεωρήσας, ἐκεῖνα μηνύσας, τούτοις λειτουργήσας, ἃ διὰ συμβόλων αὐτοῖς ὠπτάνετο· τούτων ἀπολαύσας, ὧν ἐπεθύμησαν μὲν ἅπαντες, ἔτυχε δὲ οὐδείς. Ἄρτι σοι, Βαπτιστὰ, τὸ βάπτισμα παραγίνεται, ὃ πάλαι τῆς Δεσποτικῆς ἐζήτεις παλάμης, οὐ νάμασι ποταμίοις, ἀλλὰ ῥείθροις τοῦ σοῦ λουόμενος αἵματος. Πλὴν καὶ οὕτω πρὸς σὲ ἔρχεται, ᾧ πάλαι τὸ πολὺ τῆς συγκαταβάσεως ἐνεκάλεις. Φθέγξαι κἀκεῖ, ὅπου νῦν ἄπει, τοῦ θείου Ἀμνοῦ τὴν ἐνέργειαν, τὴν δι' ἐκεῖνον τῶν ἁμαρτιῶν ἄρσιν, καὶ ἀπολύτρωσιν. Μᾶλλον δ' ἐπὶ τούτῳ προφθάνεις, ἵνα καὶ τούτοις τὸ σὸν ἠχήσῃ κήρυγμα, ἐλεύθερον ἀπειλῆς. Οὐ γὰρ δεήσει τῇ ἀξίνῃ καὶ τῇ τομῇ τοὺς ἐκεῖ ταλαιπωρουμένους φοβεῖν, οὐδὲ τὸ πῦρ καὶ τὸ ἄχυρον προσεπιλέγειν, ἀλλὰ φθέγξῃ φωνὴν ψυχαγωγίας μεστὴν, χαρὰν ἀποστάζουσαν· ὀφθήσῃ τοῖς ἀπ' αἰῶνος ἐν ᾅδου δεσμίοις, θέαμα ποθεινὸν, προφήταις, πατριάρχαις, δικαίοις. Ἀναβιώσεις αὐτοὺς τοῖς εὐαγγελίοις, καὶ πρὸ τῆς ἐκεῖ καταβάσεως τῆς Ζωῆς.

A sub ipsum tuum ortum cecinit; mutatæ paululum, ut sint convenientiores tempori. Ante Altissimum prævisti, propheta nominatus [24], cum adhuc ab ubere matris penderes, et populo scientiam salutis annuntiasti, non solum in corpore, sed etiam corporis nexibus exsolutus. Addamus fastigii loco illa, quæ ab ipso sapientiæ fonte manarunt. Major te inter natos mulierum non apparuit [25], omnes prophetas tu antecedis, illa contemplans, illa nuntians, et illis subserviens, quæ prisci per obscura duntaxat symbola aspexerunt; iis fruitus es, quæ omnes quidem desiderarunt, at nemo adeptus est. Nunc, o Baptista, adest baptisma, quod a Domini manu olim postulabas, non fluvii undis, sed fluentis tui sanguinis ablutus. Cæterum et hoc modo ad B te venit ille, de cujus nimia demissione olim querebaris. Prædica et isthic, quo nunc abis, divini Agni vim et actionem, operaque illius, peccata sublatum, et redemptionem donatum iri. Quin hoc consilio eo prior te recipis, ut et istis prædicatio tua innotescat, ab omnibus jam libera minis; non enim jam securi et excisione opus erit perterrefaccre illos, qui tibi cum ærumnis conflictantur, neque ignem et paleas commemorare; sed vocem consolationis plenissimam preferes, vocem gaudium stillantem. Venies vinctis a sæculo apud inferos, aspectu jucundissimus, prophetis, patriarchis, justis. Resuscitabis eos ad vitam his tam lætis nuntiis, etiam antequam Vita eo descendat.

Ἡσθήσονται Μωϋσῆς καὶ Ἀαρὼν ἰδόντες τὸν συγγενῆ τὸν ἐκ τῆς Ἀαρωνίτιδος. Ἀκούσεται δὲ καὶ Ἡσαΐας φωνούσης τὰ θεῖα μυστήρια, ἧς πάλαι Πνεύματος ὠτὶ θείῳ φωνῆς ἐπήκουσεν. Ἄσεται δὲ καὶ Δαβὶδ ὁ προφήτης καὶ βασιλεὺς, καὶ κρούσει τὴν λύραν. Σκιρτήσουσι πάντες οἱ δίκαιοι, καὶ φίλοι Θεοῦ, τὸν Βαπτιστὴν, καὶ φίλον, καὶ δίκαιον προσελήλυθότα θεώμενοι. Ἀλλ' ὦ παραδόξως μὲν τεχθεὶς, παραδοξοτέραν δὲ διανύσας ζωὴν, καὶ διὰ μαρτυρίου πρὸς τὴν ἀθάνατον ζωὴν μεταχωρήσας, δέχου μὲν ἡμῶν ἵλεως τὴν μετρίαν ταύτην τοῦ λόγου προσένεξιν, πόθῳ τεθαρρηκότων ἅψασθαι τῶν σῶν ἐπαίνων, ἵλεων δὲ ἀπέργασαι τὸν Δεσπότην, καὶ ἡμῖν μὲν οἷς τὸ αὐτοῦ πολίμνιον δι' ἄφατον ἐνεχείρισας ἀγαθότητα, καὶ τῷ ποιμνίῳ δὲ, δι' οὗς τὸ καθάρσιον αἷμα ἐκένωσε· καὶ νῦν μὲν δίδου ἡμᾶς ἄγειν τε καὶ ἰθύνεσθαι τῶν θηρίων, ὅσοι τε ὁρώμενοι ἐπιπηδῶσι, καὶ ὅσοι ἀφανῶς ἐνεδρεύουσιν, ἀπημάντους, καὶ ἀνεπιβουλεύτους. Ἔστι σοι τὸ θαρρεῖν ὡς φίλῳ καὶ Βαπτιστῇ. Εἰ δὲ καὶ τῆς ἐντεῦθεν ζωῆς μεταχωροίημεν, ἀνεύθυνον αὐτῷ παραδοῦναι τὸν λόγον τῆς βασιλείας, ἧς ἐπιτροπεύειν κατέστησε, καὶ τῆς ἀδιαδόχου δόξης τῆς αὐτοῦ βασιλείας ἀξιωθῆναι, οἷς πάντες ἀπολαύσαιμεν καὶ ἐλέει, καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ πτωχεύσαντος, καὶ υἱοῦ ἀνθρώπου χρηματίσαντος δι' ἡμᾶς, ἵν' ἡμᾶς πλουτίσῃ καὶ υἱοὺς Θεοῦ ἀπεργάσηται, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

C Lætabuntur Moyses et Aaron viso cognato ex Aaronis filia. Audiet et Isaias vocem mysteria pandentem, quam olim jam divina Spiritus voce audierat. Canet quoque David propheta et rex, et lyram pulsabit. Exsilient omnes justi et amici Dei cum viderint Baptistam et amicum, et justum adventasse. At, o qui præter opinionem natus es, et adhuc magis præter opinionem cursum vitæ confecisti, qui per martyrium ad immortalem vitam transiisti, accipe propitius hoc levidense orationis nostræ munusculum, quod desiderio laudes tuas celebrandi offero, propitiumque redde Dominum, et nobis, quibus gregis illius per immensam tuam bonitatem, curam commisisti, et ipsi gregi, cujus emundandi gratia sanguinem fudit. Et nunc concede, ut regaD mus et regamur, a bestiis, tam quæ videntur, quam quæ occulte insidias tendunt, immunes et illæsi. Fiducia tibi suppetit tanquam amico et Baptistæ. Quod si hinc excedamus, effice, ut innoxiam et criminis expertem rationem reddamus imperii administrati, cui nos præfecit; et ut perpetua regni cœlestis gloria digni habeamur, qua utinam omnes fruamur misericordia et humanitate ejus, qui pro nobis egenus factus, et filius hominis appellari dignatus est, ut nos divites et filios Dei efficeret, cui gloria et potentia nunc et semper, et in sæcula sæculorum. Amen.

[24] Luc. I, 76. [25] Matth. XI, 11; Luc. VII, 28.

Digitized by Google

ORATIO XVII.

Leonis, Christi Regis æterni gratia, imperatoris, in celeberrimum archipræsulem, Ecclesiæ splendidissimum luminare mirificum magnum Nicolaum.

ΛΟΓΟΣ ΙΖ'.

Λέοντος (1), *ἐν Χριστῷ βασιλεῖ αἰωνίῳ βασιλέως, εἰς τὸν ἐν ἀρχιερεῦσι Θεοῦ περιβόητον, καὶ τῆς Ἐκκλησίας φασιρότατον λαμπτῆρα θαυματουργὸν μέγαν Νικόλαον.*

(Edidit Petrus Possinus, Societatis Jesu presbyter, Tolosæ MDCXLIV, in-4, 47 pag.)

Quandoquidem delectatur Deus servorum suorum honoribus ; non quod magnum putet honorari illos quos ipse apud se occupavit honore cumulare ; sed quod in ejus laudis auctores præcipua ex ea commoda redundent, utpote tanto illustriori vicissim gratiæ reditu remunerandos quanto et abundantius habent unde magnifice largiantur ii qui honorantur, et ad grati animi tuendum officium civiliores sunt, age nostrarum rerum omnium maxima magnum in pontificibus Dei pontificem honoremus. Quid autem tanti est quanti oratio, qua una cæteris excellimus cujusque beneficio Deiformem partem a terrestri concretione repurgantes quicunque non hebetes ad conscientiam originariæ pulchritudinis sensus mentis habent, archetypi similitudine revocanda, nobilitati pristinæ restituunt imaginem : hac, inquam, vere hominis propria re magnus honoretur Nicolaus. Quid tum enim etsi ad sublimitatem ejus magnificentiæ minus accedat donum, at animum certe non aspernabitur. Est profecto sanctis qui apud Deum ævum degunt, est affatim illa gloria qua in cœlis fulgent : minimeque iis opus est perituris laudibus linguæ mortalis. Amant tamen genus unde orti sunt ; ac lætis oculis aspiciunt quæ offeruntur a nobis : non ad meritum dignitatis propriæ munus exigentes : verum ostenso licet tantum proposito liberalis animi perfecti officii laudem imputantes. Atque hinc nemo privatim deterreatur tanquam ab incepto temerario ac facultatem superante. Commune hoc quippe omnium : utique cum subsidere infra verticem meritæ laudationis etiam summæ eloquentiæ necesse sit Nicolaum celebranti. Verum ut parentibus in copiosa re familiari nullo admodum egentibus si quid gratificandi causa collatum sit a filiis nequaquam id opportunitate usuque sui voluptatem accipientibus admovet, sed una pietatis imagine ac filialis amoris monumento : sic communes omnium Patres, quibus non ex voluntate carnis sed ex Deo geniti sumus, erga honores qui ipsis ab hominibus adhibentur, tali quodam modo affectos existimare oportet. Aut potius (neque enim satis ad verum ea similitudo rem exprimit) quem-

Ἐπειδήπερ χαίρει Θεὸς ταῖς τῶν οἰκείων θεραπόντων τιμαῖς · οὐ δι' ὧν τιμῶνται οὓς ἔχει παρ' αὐτῷ τιμήσας, ἀλλ' ὅτι καὶ τοῖς ἐργάταις τοῦ πράγματος τὰ ἐκ τούτου κέρδη ἀσύγκριτα, τοσοῦτον ἐντιμοτέρας ἀμοιβῆς αὐτοῖς ἀντιπαραγινομένης, ὅσον εἷς τε τὸ παρασχεῖν μεγαλοπρεπῶς ἔχουσιν οἱ τιμώμενοι, καὶ μέτρα τηρεῖν εὐγνωμοσύνης εἰσὶ δεξιώτεροι. Φέρε δὴ τῷ μείστῳ τῶν παρ' ἡμῖν, τὸν μέγαν ἐν ἀρχιερεῦσι Θεοῦ τιμῶμεν ἀρχιερέα. Τί δὲ τοιοῦτον, οἷον λόγος, ᾧ μόνῳ τῶν ἄλλων κρατοῦμεν, καὶ ᾧ τὸ θεοειδὲς τῆς γεώδους ὕλυος ἀνακαθαίροντες, ὅσοι γε οὐ ῥᾳθύμως τοῦ οἰκείου κάλλους ἐπαισθάνονται, τῷ ἀρχετύπῳ τὴν εἰκόνα ἐξευγενίζουσι ; τούτῳ δὴ τῷ ὡς ἀληθῶς ἀνθρώπου οἰκείῳ χρήματι ὁ μέγας τιμάσθω Νικόλαος. Τί γὰρ, εἰ καὶ μὴ πρὸς ὕψος τῆς ἐκείνου μεγαλοπρεπείας τὸ δῶρον ; ἀλλὰ τήν γε προαίρεσιν οὐκ ἀτιμάσει. Ἔχει μὲν γὰρ ἤδη, ἔχει τοῖς παρὰ Θεῷ ζῶσιν ἡ ἐν οὐρανοῖς ἀποχρώντως τιμή, καὶ ἥκιστα προσδεῖ τούτοις γλώσσης ἐπικήρου λυομένων ἐπαίνων. Ἀγαπῶσι δ' ὅμως καὶ τὸ γένος ὅθεν ἀνέσχον, καὶ ἡδέως ὁρῶσι καὶ τοῖς πρὸς ἡμῶν φερομένοις · οὐ πρὸς τὴν οἰκείαν ἀρετὴν τὸ δῶρον σταθμώμενοι, τῇ δὲ προαιρέσει τὸ πᾶν ἀπέχειν (2) ἡγούμενοι. Καὶ δέος ἐνταῦθα παρέστω οὐδαμῶς ἰδίᾳ τινὶ, ὡς ἀδυνάτοις ἐπιβαλόντι. Κοινῶς γὰρ ἅπασι μέτεστι τούτου, ὑστερίζειν τῶν προσηκόντων ἐπαίνων, ἂν μάλιστά τις ἐπὶ λόγων δυνάμει προήκῃ. Ἀλλ' ὥσπερ ἐπιεικῶς ἔχοντας πλούτου πατέρας ἡ ἐκ παίδων χαρίζεσθαι διεγνωκότων γιγνομένη συνεισφορὰ, οὐ τῇ χρείᾳ πρὸς ἡδονὴν καὶ ἀποδοχὴν ἀνακινεῖ, τῷ δὲ περὶ αὐτοὺς μόνῳ φίλτρῳ · οὕτως καὶ τοὺς κοινοὺς ἁπάντων πατέρας, οἷς οὐκ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθημεν, διακεῖσθαι πρὸς τὰς ἐξ ἀνθρώπων τιμὰς οἴεσθαι χρή. Μᾶλλον δὲ (οὐ γὰρ εἰς ἀκρίβειαν ἡ εἰκὼν αὕτη σώζει τὴν μίμησιν), ὥσπερ τὸ κρεῖττον οὐδενὸς μὲν τῶν ἡμετέρων εἰς χρείαν καθίσταται, μόνου δ' ἕνεκεν τοῦ τῆς παρ' αὐτοῦ μεταδοῦναι χάριτος, τὰ ἐξ ἀνθρώπων λαμβάνει. Οὐχ ὡς οὐ προῖκα δωρούμενος (πάντα γὰρ οὕτω ῥέει τῆς ἀκενώτου πηγῆς), ἀλλ' ὡς ἐκείνῳ ταύτῃ προσεγγιζόντων ἡμῶν, οὕτω τε μᾶλλον τῶν παρ' αὐτοῦ πρὸς ἡμᾶς διαβαινόντων. Ὥσπερ δὴ κἂν τῷ

NOTÆ.

(1) Ex bibliotheca illustrissimi Caroli de Montchal, archiepiscopi Tolosani. — Leonis Augusti, cognomento Philosophi, res exsequuntur Curopalates, Cedrenus, Zonaras, Glycas. Ex quibus Baronius collegit, et digessit. Scriptorum indices exhibent Gesnerus, Simlerus et Possevinus. Qui, quod hujus orationis non meminerunt si quis in argumentum trahere vellet dubitandi de auctore, sciat exstare in Vaticana bibliotheca num. 803, ut Baronius testatur, codicem quo continentur orationes tres et triginta hujus Leonis, quarum quæ ordine prima et vicesima est, inscriptionem habet hujusmodi : *In fulgentissimum Ecclesiæ lumen Nicolaum.* Quam eamdem huic quoque præfixam legis, ut dubitare non debeas quin hæc ipsa sit quam eidem Augusto Philosopho vindicabant in codice vetere unde exscripsi aliquot iambici versus : nescio cujus Græci grammatici, nequaquam satis elegantes ut editione digni sint visi.

(2) Ἀπέχειν non valet hic δίεσταμαι, sed ἀπολαμβάνω. Quo sensu dicuntur ii quibus ex debito satisdatur, ἀπέχειν τὸ γιγνόμενον. Et operarii quibus est persoluta merces, ἀπέχειν τὸν μισθόν. Imo quod magis huc facit, ἀπέχειν χάριν Synesius dixit, sensu consimili, quod Latinis *accipere, tenere, imputare gratiæ*, etc. Confido me loci sententiam in interpretatione tenuisse.

Digitized by Google

πλησιάζειν ἡλίῳ πλουσιωτέρου (3) φωτὸς μεταλαμβάνουσι τοῖς ἐγγίζουσι. Κοινῆς δ' ἅπασιν ὅσοι τοῖς ἄνω βασιλείοις αὐλίζονται ταύτης οὔσης τῆς προαιρέσεως, ἡμὶ δὴ τοῦ βούλεσθαι τοῖς κάτω χαρίζεσθαι, οὐκ ἔστιν εὑρεῖν ὄντινα μᾶλλον ταύτης ἴσμεν τῆς προαιρέσεως οὗ νῦν τὴν εὐφημίαν εἰς ἔργον θεῖναι προτεθυμήμεθα. Ὥστε καὶ τοῦτο ἀφορμὴ πρὸς τὸν ἔπαινον τῇ περιουσίᾳ τῆς τοῦ ἀνδρὸς πρὸς τὸ εὖ ποιεῖν προθυμίας, ἡμῖν, ἐλαττουμένου τοῦ φόβου. Ποῖον γὰρ θαλάσσης πέλαγος ἀμέτοχον τῶν ἐκείνου καλῶν (4); Ποῖαι δὲ γῆς ἐσχατιαὶ οὐ τὰς ἐκείνου γνωρίζουσι χάριτας; Τοσοῦτον αὐτῷ τὸ ἐπίσημον τῷ περιόντι τῶν δωρεῶν ὥσθ' ὅπερ πρὸς ἥλιον ἄνθρωποι (5) μετὰ χειμερινὴν ὥραν πεπόνθασι, πάντας ἐπὶ τρυφὴν τῶν ἀκτίνων καλοῦντες, τοῦτο κἀν τῇ μνήμῃ (6) τοῦ θείου ἀνδρὸς γινόμενον ἔστι καθορᾶν, μᾶλλον δὲ πολὺ πλέον ἐνταῦθα γίνεται. Ἐκεῖ μὲν γὰρ εἰσὶν οἳ ὑπὸ τῆς καταλαβούσης ἀσχολίας οἷον πεπεδημένοι μένουσι, χαίρειν εἰπόντες τῇ τῶν ἀκτίνων τρυφῇ, ἐνταῦθα δὲ, οὐδεμία οὕτω βιαία πραγμάτων ἀσχολία ἡ δύναιτ' ἂν ἀπείργειν τῆς ἐκ τῶν ἱερῶν μνημοσύνων τοῦ μεγάλου κήρυκος ἀπολαύσεως. Τίς οὕτω σάλπιγξ τὸ ἐνυάλιον ἀπηχήσασα παρατάξεις ἀνέρωσεν ὡς οὗτος διὰ τῆς μνήμης σαλπίσας ἤγειρε τὰς ψυχάς; τῶν προθύμων αὖξων τὸ πρόθυμον, τῶν ἀναπεπτωκότων διαλύων τὸ ῥάθυμον; Ἀεὶ μὲν ὁ τοῦ γένους ἀντίπαλος ἐπὶ ταῖς τῶν ἁγίων τιμαῖς καιρίας δέχεται τὰς πληγὰς, σκυθρωπάζων, καὶ συμφορὰν ἰδίαν τὴν τῶν πιστῶν εὐφροσύνην ποιούμενος. Νῦν δὲ τοσοῦτο πλέον κερδαίνει τῆς συμφορᾶς, ὅσον εἰς ἅπαντα πέρατα τὸ τῆς πανηγύρεως ἀγαλλίαμα διαβαίνει. Ἀλλ' ὥσπερ εἰς ἀρχὴν καταστὰς ὁ λόγος πρότερον διαμνημονευσάτω τῶν ἐντίμων ὠδίνων, αἳ τὸν ἄνδρα τῷ βίῳ παρέσχον· οὕτω τε καθ' ὁδὸν ἐπὶ τὰ πρόσθεν χωρείτω. Τοῦτο δὲ προθυμείσθω οὐ νόμον ἐγκωμίων περὶ πολλοῦ ποιούμενος, ὃς βουλόμενος ἀφορμὴν τοῖς ἐπαίνοις εἰς αὔξησιν παρασχεῖν, ἐκεῖθεν ἐπιτάττει τούτους παρακροτεῖν. Οὐδὲ γὰρ εἰ καὶ τὰ μάλιστα θαυμαστοὶ οἱ γεννήτορες, τῆς ἐκείνων δόξης ἡ τοῦ παιδὸς εὐφημία προσδεῖται· ὥσπερ οὐδ' ἔμφυτον κάλλος τῆς ἐξ ἀλλοτρίων ἀνθέων χάριτος καὶ κομμωτικῆς περινοίας. Οὐδ' ἡμέρα ἡλίῳ καταπυρσευομένη προσθήκην ἐπιζητεῖ φαιδρότητος, ἵνα μᾶλλον ῥοδοειδὲς φέροι τὸ πρόσωπον. Ἀλλ' ὅσον ἐπιδεῖξαι ὅτιπερ οἷα κλῆρον ἐκ πατέρων τὴν ἀρετὴν παραλαβὼν, οὐκ ἐνέμεινε τῷ παρασχεθέντι. Οὐδὲ τοῖς ἐκείνων ἠρκέσθη ὡσπερεὶ παραδείγμασιν ἀκολουθῆσαι (καίτοι γε ἡλίκα οἷα ἦν!) ἀλλὰ τοσοῦτον ἀμειγνύων ἐπέβη κατορθωμάτων, ὅσον εἰκὸς τὸν εἰς οὐρανὸν ὅλην τὴν ζωὴν μεταθέμενον. Ἐπιτιμήσῃ δ' οὐκ ἄν τις τῷ λόγῳ κατόπιν τῆς

admodum Numen præstantissimæ mentis nulla quidem rerum nostrarum opus habet; nostra vero sola causa, quo nimirum occasionem habeat suis nos opibus impertiendi, munera hominum suscipit. Non tanquam vel id ipsum quod eo nomine retribuit non gratis donet (gratis enim certe ex inexhausto illo fonte bona effluunt omnia), sed quod ea religione Deo nos admoveamus; indeque facilius bona quæ ab eo manant propagentur ad nos. Quemadmodum qui ad solem accedunt propius, eo abundantius participant lumen. Atque hoc animi propositum, studium dico bene merendi de mortalibus, cum commune sit omnium qui in cœlesti regia diversantur, nullum tamen reperire est quem illustrioribus constet documentis in tali erga homines esse voluntate, quam eum cujus in adornanda laudatione nunc maxime sumus. Quin hæc adeo fiducia impetum nobis expedit ad audaciam incepti tanti, prolixissima liberalitate viri ad condonanda omnia, veniam quoque male perfunctæ laudationis sperare nobis suadente; successusque parum boni minuente metum. Quod enim maris fretum, quæ pelagi vastitas, non ejus miraculis insignita est? Qui vero saltus ac solitudines terræ non ejus gratias experimento cognitas habuerunt. Quæ tam constans magnificentia donorum tam insignem eum vulgo reddidit; ut, quod solent homines si forte post brumam serenior elucescat sol, tum gestire in aprico ipsi, tum alios ad jucundum teporem radiorum solarium convocare perfruendum: idem ad memoriam quoque divini hujus viri fieri videre liceat, imo longe plus hujus quidem hac in parte fit. Ibi enim sunt qui occupati negotio velut præpediti manent; amœnitate radiorum valere jussa, hic autem nulla tam intenta fuerit occupatio quæ prohibere queat homines ne eam quæ ex sacro magni hujus confessoris monumento percipitur gratiæ copiam participatum eant. Quæ tuba classicum intonans procinctos ad pugnam ordines sic animavit ut hic per sui mentionem veluti clangens concivit animas, devotorum fervorem augens, desidum torporem excutiens? Semper quidem humani generis adversarius honoribus sanctorum lethales accipit plagas, ringens et suam calamitatem fidelium lætitiam reputans. Nunc autem eo abundantiori dolore cumulatur quo jam in fines late omne panegyris hujus celebritas propagatur. Sed velut in principiis adhuc insistens oratio prius repetat memoriam illustrium parentum qui hunc virum mundo genuerunt; ita demum secunda deinceps via in anterioria pergat. Quod

NOTÆ.

(3) Quamlibet copiam πλούσιος Græcis sonat: adeo ut nescio quis apud Euripidem queratur δαίμονα sibi esse πλούσιον κακῶν, ut minus mireris thesaurum iræ ad Rom. II, 5; Jacobi v, 3.

(4) De miraculis a sancto Nicolao in salutem navigantium maximo numero factis consulenda ejus Acta et historiæ veteres juxta recentesque.

(5) Videndum an non fuerit consuetudo aliqua convocandi ad solem post brumam. Qualia multa Plutarchus in Quæstionibus Romanis et alii narrant. Tales illi εὐφημισμοὶ, φῶς ἀγαθόν, cum lux accendebatur prima face.

(6) Ecclesiastica consuetudine memoria martyris templum martyris est aut monumentum. Nec dubium quin ad confessores extendi possit. An hic ista notio vocis hujus sit, judicium integrum relinquo lectori.

Digitized by Google

ipsum ne ea tamen religione curet quasi encomiorum legem eam magni faciens, quæ id agens ut augendi recte facta laudatoribus occasionem præbeat inde eos auspicari jubet. Ut enim maxime mirabiles parentes hujus fuerint, eorum tamen quantæcunque participatione gloriæ filii non indiget memoria non magis quam nativus decor alieno fuco ac emendicato flore gratiæ medicatæ artificio mangonico. Neque vero pleno sole collustrata dies serenitatis accessionem quærit ut magis rosea niteat facie. Verum hoc eatenus memoretur solum ut demonstretur, nostrum hunc, qui tanquam hæreditariam a parentibus virtutem accepisset, nequaquam eo velut patrimonio contentum, in expressione domesticorum exemplorum laudis acquiescendum sibi statuisse (quanquam quanta illa qualiaque erant!), verum ad tanto præstantiora facinora suscipienda generosum animi propositum excitavit, qualia nimirum consentaneum erat moliri eum qui se cœlestem prorsus ad vitæ sectam ac rationem transtulisset. Nemo porro reprehendendam orationem meam putet quod ea secundum a filio dignitatis locum parentibus attribuat. Volentibus sane ipsis ac lubentibus acciderit hoc quidem : quippe hinc tanto uberiore in eos veræ gloriæ accessione redundatura quantum ipsa comparatio dignitatis ademisse postpositis videbatur. Nam hic quidem quod aufertur non damno magis deputandum quam lucro est, ut fluviis in se per orbem refluentibus, seseque excipientibus mutuo per vices, quod adimitur continuo refunditur ei qui dederat.

A τοῦ παιδὸς ἀξίας τιθέντι τοὺς γονέας. Κεχαρισμένον γὰρ δή που καὶ αὐτοῖς τοῦτο πάντως καὶ τοσοῦτον ἐκείνοις φέρον ἐπιθήκην εἰς κόσμον, ὅσον ἀφαιρεῖν ἔδοξε τῆς ἰσοτιμίας τοῦ ἐξ αὐτῶν πεφυκότος. Ὥστε ἐνταῦθα μᾶλλον ζημίαν ἡ κέρδος προξενεῖ ἡ ἀφαίρεσις, ὥσπερ ποταμίων ῥευμάτων ἐν κύκλῳ ῥεόντων καὶ περιχωρούντων εἰς ἄλληλα, τὸ παρ' ἑκατέρου ἀφαιρούμενον πάλιν προσθήκη γίνεται τῷ δεδωκότι.

Ergo qui huic nostro fuere parentes in primis illustres, tum iis ornamentis quæ decent corpora, cumque corporibus consumuntur, tum iis quoque quæ sempiternæ vitæ duratione æqualia sunt : quo posteriori genere potissimum nitentes prius illud contemnebant. Quare procul a civilibus curis tanquam a procelloso mari subducti, in portu beati otii tranquillæ vitæ cursum peragebant. Vultis hic apponamus aliqua virtutis eorum certa documenta? Quid vero me opus est iis vexare colligendis, cum istorum mores in rebus quoque cæteris quales fuerint ex ultro delecto vitæ genere facile sit intelligere. Etenim cum spectabiles eminere possint ex functione aliqua illustri principalis procurationis, rei dignæ vulgo creditæ pro qua laboris nihil contentionis recusetur, id illi tamen præsentibus contenti, ambitione insuper habita, prorsus ut rem nihili neglexerunt. Neque vero suis copiis ad voluptatem abutebantur; neque deliciis quarum inde affluebant opportunitates, resolvebantur. Sed præclare persuasi solum hunc esse habendi fructum si quis ita rem vivendo dispensaret ut ea deinde conscientia solatio esse morienti posset, seminabant, ut dicitur, utraque manu per sinus pauperum divitias, quod ob meritum præter cæteram claritatem illam etiam a remunerante Deo tulere mercedem ut fierent parentes filii mortalis naturæ modum ac captum virtute et admirabilitate superaturi. Alii quidem in magna felicitatis parte numerare solent crebros partus, numerosaque gaudere sobole, velut ad hæc quoque bona sese extendente avaritia, nullumque ne hic quidem cupiditati finem statuente. Quorum in sententiam irem ego quoque pedibus si

B Ἀλλὰ γὰρ ἐκείνου γεννήτορες ἄκρως ἔχοντες περιφανείας, ὅση τε σωμάτων καὶ μετὰ τῆς ἐκείνων συναπολήγει λύσεως, καὶ ὅση τῷ μένοντι βίῳ συμπαρατείνεται· ἢ καὶ μᾶλλον σεμνυνόμενοι, παρὰ φαῦλον τὴν ἑτέραν ἐτίθεντο. Διὰ τοῦτο καὶ πολιτικῶν διατριβῶν ὥσπερ κλύδωνος ἔξω διαβιοῦντες ἀπραγμοσύνῃ τὸν βίον ἐσάλευον. Βούλεσθέ τινα προσθῶμεν τῆς ἐκείνων ἀρετῆς γνωρίσματα; Ἢ τί με δεῖ ὥσπερ ἐνοχλεῖν, ῥᾳδίου ὄντος ἐντεῦθεν τὸν ἐκείνων τρόπον, ὁποῖός τις ἦν κἀν τοῖς ἄλλοις, τῷ προαιρουμένῳ καταμανθάνειν; Οἷγε δυνάμενοι ἐν μεγάλῳ μέρει βασιλείου δόξης γνωρίζεσθαι, πράγματος πᾶσι περιμαχήτου, οἱ δὲ ὥσπερ τι τῶν ἀτίμων οὕτω παρέδραμον αὐτὸ, τοῖς παροῦσιν ἀρκούμενοι, οὐ πρὸς ἡδονὴν ἀποχρώμενοι τῇ περιουσίᾳ, οὐδὲ ταῖς ἐκεῖθεν προσανειμένοι ἀπολαύσεσιν. Ἀλλὰ ταύτην μόνην εὖ εἰδότες ἀπόλαυσιν, εἴ τις ἀπίοι τῆς ζωῆς λαβὼν παραμύθιον, σπείροντες, ὃ δὴ λέγεται, χειρὶ ἑκατέρᾳ ἐν τοῖς τῶν ἀπόρων ἑγκάτοις τὸν πλοῦτον, διὰ τοῦτο μετὰ τῆς ἄλλης εὐδοξίας καὶ τοῦτο θεόθεν ἀντιλαμβάνουσι, παιδὸς χρηματίσαι πατέρας κρείττονος ἢ κατὰ θνητὴν φύσιν ὀφθῆναι μέλλοντος. Ἄλλοι μὲν οὖν μέγα μέρος εὐκληρίας ὑπολαμβάνουσι συχναῖς λειτουργεῖν ὠδῖσι, πολυπαιδίᾳ χαίροντες, ὥσπερ ἐν τοῖς ἄλλοις, οὕτω κἀνταῦθα τερπούσης αὐτοὺς τῆς πλεονεξίας. Ἥμην δ' ἂν κἀγὼ τῶν τιθεμένων ταύτῃ, εἰ ὥσπερ μιᾶς πεφυκότας ῥίζης καὶ τῶν ὠδίνων κληρονομοῦντας ἑώρων (7). Νῦν δὲ πολὺ μᾶλλον ἀνίσως ἔχοντας ἢ τοὺς δακτύλους ὁρῶμεν, καὶ συμβαίνει τῷ μέν τι παρεῖναι τῶν χρηστῶν τῷ δὲ τῶν φαύλων· ὥστε οὐ μᾶλλον ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς τῷ παιδὶ χαιρήσει, ἢ ἐπὶ τοῖς χείροσιν ὁ γονεὺς ἀνιάσεται. Καὶ γίνεται παραπλήσιον οἷον εἴ τις τῇ μὲν στέφοι χειρὶ, τῇ δὲ ῥαπίζοι, ἐν τῷ λυποῦντι

NOTÆ.

(7) Perplexus locus et haud scio an non mendosus. Interpretationem expedivi ut potui. Succurrebat forte legendum ὁμοίων pro ὠδίνων. Nisi verius est hujus nostri et Græciæ citeriorum temporum propria dialecto ὠδῖνας parentes dici. Quod satis manifeste apparet ex pag. 12 superiori. (Col. 206 D.)

Digitized by Google

ἀναχωροῦντος τοῦ τέρποντος. Διό μοι φαίνεται καὶ κατὰ τοῦτο τὸ μέρος, φημὶ δὴ τῆς παιδοποιίας, τοῖς πατράσι τοῦ νῦν τιμωμένου τὴν κατὰ τῶν ἄλλων πατέρων προσεῖναι ὑπεροχήν. Ὄντος γὰρ οὐ ῥᾳδίου ἐν πάσῃ ἀρετῇ ἰδέᾳ ὁμοίως εὐδοκιμεῖν, ἀλλ' ἐν ταύτῃ μέν τινα δοκεῖν ἱκανῶς ἔχειν, ἐν ταύτῃ δὲ ἀποδημεῖν (8), τοῖς μὲν ἄλλοις ὅσοις ὑπῆρξε χρηματίσαι γονεῦσι, τοῦ μὲν τῶν παίδων ταύτην κεκτημένου τὴν ἀρετὴν, τῷ δὲ προσούσης ἑτέρας (τὰ γὰρ χείρω σιγάσθω), συμβαίνει ὥσπερ ἐξ ἐράνου τὸν κόσμον συλλέγεσθαι, εἴπερ ἀρετὴ παίδων κόσμον φέρει τοῖς γεγεννηκόσιν. Ἐνταῦθα δὲ ἑνὸς ὄντος τοῦ πάντα συλλαβόντος τὰ κάλλιστα, ἔξεστιν εἰκάζειν τῷ βουλομένῳ τὸ ὑπερβάλλον τοῦ πράγματος. Ἀλλ' εἴρηται μὲν περὶ τῶν γεννητόρων ὅσον ἐπ' ὀλίγον τῆς αὐτῶν ἀρετῆς ὡσφράνθαι βραχέα τῷ λόγῳ. Εἴη δ' ἂν καὶ τὸ νῦν εἰρημένον μαρτύριον, ὡς τὸ ἅπαξ τὴν καλλίστην ἐκείνην ὠδῖνα λῦσαι, ἀμείνους αὐτοὺς ἄγει τῶν ἐπὶ συχναῖς ἐγνωσμένων. Τὸ δ' ἐντεῦθεν πειράσθω τὸν παῖδα ἐκδιηγεῖσθαι καὶ δεῖξαι, ἂν ἄρα καὶ δύνηται τοσοῦτον ἔργον ὑποστῆναι, ὅσος καὶ ἡλίκος ἐχρημάτισεν.

A ut ex una stirpe procreatos fratres, ita virtutis atque indolis parentum velut hæreditatem participantes ex æquo viderem. Nunc multo major inter eos quam inter digitos inæqualitas cernitur; contingitque fere ab ortu ipso uni laudabile inesse quidpiam, alteri vero vitiosum; ut genitor non majorem a bonis lætandi causam quam dolendi habeat a malis: consimile quid patiens atque si quis altera quidem ipsum manu coronaret, altera colaphum impingeret; in quo casu honoris fructus plagæ contumelia obrueretur. Quare mihi videntur etiam in hac parte, fecunditate, inquam, ac felicitate generandi, parentes ejus quem nunc celebramus, supra cæteros aliorum genitores dignitatis obtinere principatum. Cum enim facile non sit in omni genere virtutis ex æquo florere, sed fere videamus qui in quadam laude aliquousque progressus sit, eumdem ab alia longius abesse, cæteris quibus contigit fieri patribus plurium liberorum collatitio quodam gaudii genere lætandum est. Dum uno quidem filiorum unam duntaxat virtutem possidente, alio vero rursus aliam (nam deteriora sileantur), collectione ipsis atque acervo emendicata multis ex locis gratulatio completur ad aliquem demum ornatus modum, si quis a virtute filiorum conferri verus ornatus in parentes potest. Hic vero cum in uno capite collecta omnia decora teneantur, conjectura licet assequi quanto excessu vulgarem parentum fortunam horum conditio peculiaris antecellat. Atque hæc quidem de Nicolai magni genitoribus sic dicta sunto; ea duntaxat tenus ut velut odorata obiter virtutem eorum quasi præteriens oratio videatur. Sane quæ diximus abunde sunt ad probandum illos unico hoc quidem at eodem præstantissimo partu defunctos longe apparuisse clariores iis ipsis qui numero sobolis fuere nobiles. Deinceps in filio qualis ac quantus fuit demonstrando exornandoque conatus orationis desudet nostræ. Si tamen ingenio atque industria sustinere valebimus opus tantum.

B

Οὗτος μὲν οὖν πρωτότοκος ἅμα καὶ τελευταῖος τίκτεται τῇ μητρί. Αὐτίκα γὰρ αἱ τοὺς λογικοὺς στάχυς ἀνθοῦσαι λαγόνες, ἐπιλιπούσης αὐτὰς τῆς ἐνεργείας, ἀγωνίαν ἠλάσσοντο· ἐμοὶ δοκεῖ δεικνύντος τοῦ κρείττονος, ὡς ἄλλης τινὸς θειοτέρας ἢ κατὰ τὴν συνήθη τῆς γενέσεως αἰτίαν εἴη ὁ πεφυκώς, οἷα ἐπὶ τῶν ἄλλων τῶν κατὰ τὸν βίον γίνεται παραδόξων, ἃ ἐν μακραῖς καιρῶν περιόδοις ἐπιδημεῖ (9). Ἡ μὲν οὖν πρώτη φυὴ οὕτω θαυμαστὴ καὶ τῶν ἄλλων τὸ διάφορον ἔχουσα. Τί δέ; κοινὰ τὰ ἐξῆς, οἷα ἐν τῇ τῶν βρεφῶν εἴθισται ἀγωγῇ; Οὔμενουν, ἀλλὰ θαῦμα, φασὶ, θαύματι ἕπεται. Σαμουὴλ ἐκεῖνον (10) ὃς δῶρον εὐχῆς ὑπῆρξε, καὶ ἄλλους δή τινας ἄρτι θηλῆς πεπαυμένους, ὑπὸ τῶν γεννητόρων ἀκούομεν καθιε-

C

Prima fuit is postremaque matri proles suæ. Nam qui ista rationali spica efflorverat uterus, exhausta mox fecunditate mutatur in sterilem. Deo, ut mihi videtur, demonstrante diviniorem aliquam ad originem, non autem ad consuetas nascendi causas ortum hujus pueri pertinuisse; qualia certis orbibus redeuntia temporum, inopinata in rebus humanis miracula exstant. Primus hic igitur ingressus in vitam ita mirabilis atque adeo præcellens supra cæteros fuit. Quid autem? An vulgaria quæ deinde secuta, et a cætera consuetudine infantilis ætatis nihil abhorrentia? Minime; sed, quod aiunt, miraculum miraculo comes. Samuelem illum qui præmium orationis fuit aliosque quosdam si-

NOTÆ.

(8) Suggerebat animus rescribere ἀποδοκιμεῖν ut opponatur τῷ εὐδοκιμεῖν paulo superius posito. Sane peregrinum ab hoc loco videtur τὸ ἀποδημεῖν nisi se jure metaphoræ tueatur. Quod equidem reveritus manum abstinui.

(9) Censorinus lib. *De die natali*, cap. 17, refert ex Etruscorum libris: « Initia sæculorum alioqui hominibus incomperta futura, divinitus indicari solere apparitione prodigiorum. » Eo respicere videtur hic locus.

(10) Gregorius Theologus de vita sua:

. . . . . τῷ γὰρ Θεῷ
Παρίσταμ' ὡς ἀμνός τις ἢ μόσχος φίλος
Θῦμ' εὐτενές τε καὶ λόγῳ τιμώμενον.
Ὀκνῶ γὰρ εἰπεῖν ὡς Σαμουήλ τις νέος,
Πλὴν ἢ βλέποιμι πρὸς πόθον δεδωκότων.

D

Quæ sic vertit interpres:

. . . . . *Nam Deo sistor velut*
Vitulus vel agnus, victima et pernobilis
Ratione pollens. Non enim fari audeo
Samuelis instar, vota ni spectem et pium
Studium superno dantium me numini.

Atqui τῷ λόγῳ τιμώμενον non est, *ratione pollens*, sed *Deo Verbo consecratum*. Id enim et Gregorius isthic de se et de Nicolao noster hoc loco indicare voluerunt: fuisse utrumque mature, illum a parentibus, hunc a seipso ad modum Samuelis oblatos Christo. Nam alioqui quomodo se Gregorius ratione pollentem diceret jam tum cum primum est natus, nam eo tempore se oblatum dicit.

Digitized by Google

mul atque depulsi a lacte fuerant, accepimus a parentibus Deo dicatos. Hic autem religionem parentum nequaquam exspectans lactens etiamnum sese Deo consecrat. Cum enim vitam ad sacrum canonem jam tum exigeret, hoc ipso consecrationis illius fidem faciebat. Nam aliis quidem diebus materna illum mamilla pascebat nutrimenti ratione ætati congrua; illis vero diebus quarum una quidem in Redemptorem nefaria coitione sceleratorum concilium congregatum, alia vero Deo in carne cum morte congresso exstincta mors est, semel sumpto lacte perseverabat deinde jejunus. Sic tanto ante ætatem adultam jam sacer et sacri ritus erat ac præcepti peritus quo talis observatio præscripta. Talis hic primus surculus assurgentis vitæ, talemque ad modum velut a topiario aut arboratore temperantia exculta, puroque hinc affluente liquore rigata. Postquam autem erat consequens plantam ad hunc modum bono primum satu editam, felicissimis deinde incrementis auctam, proventu denique fructuum abundare. Jamque præterierat pueritiæ rude tempus, auctoque corpusculo adolescentulus esse cœperat, cum varia ecce quædam protinus arrisit decorum species. Adeo siquidem puerilem non ostendit in moribus levitatem, ut constantia potius mentis atque sententiæ senilem prudentiam exhiberet. Quare quæ consueta oratio est laudationes perorantium in eos qui vitam eleganter ab ipsa prima visi sunt pueritia traduxisse: contigisse nempe ipsis ut cubitalibus augmentis crescerent, talis, inquam, oratio quæ in aliorum encomiis magna in laudis parte numeratur, uno in isto quem nunc admiramur quasi exile quiddam nimium et prorsus impar locum habere non videtur posse. Non enim licet affirmare cubitali proportione auctam illius esse virtutem: sed si veram afferre laudationem ejus voluerit quispiam, dicturus utique sit totam ipsam in eo quanta est humano formatam habitu inter homines visam ac versatam esse virtutem. Adeo perfectionem officiorum omnium semper in

A ρῶσθαι Θεῷ. Οὗτος δὲ οὐκ ἀναμείνας τὴν τῶν τεκόντων προαίρεσιν, ἔτι τοῦ γάλακτος ὑποκλύζων, δωρεῖται ἑαυτὸν τῷ Θεῷ. Δι' ὧν γὰρ κατὰ θέσπισμα τὸ ἱερὸν (11) ἐθίου, καὶ ἐπιστοῦτο τὴν καθιέρωσιν, οἷον δὲ τὸ τῆς καθιερώσεως γνώρισμα; Ἐν μὲν οὖν ταῖς ἄλλαις τῶν ἡμερῶν ἡ μητρῴα αὐτὸν εἱστία θηλὴ, κατὰ τὴν προσήκουσαν τῇ ἡλικίᾳ τροφήν· ἐν ἐκείναις δὲ ὧν τῇ μὲν κατὰ τοῦ Αὐτρωτοῦ τὸ παράνομον συνήχθη συνέδριον· τῇ δὲ ὁ θάνατος ἀπώλετο (12) σαρκὶ θανάτῳ Θεοῦ ὁμιλήσαντος, ἅπαξ μεταλαμβάνων τοῦ γάλακτος, τὸ ἑξῆς τῆς ἡμέρας ἀπηγόρευε τὴν τροφήν. Οὕτω πόῤῥω (13) τῆς ἡλικίας ἱερός τε ἦν καὶ τοῦ ἱεροῦ συνίη διατάγματος,

B ὃ ταύτῃ ζῆν ἐπιτρέπει. Ἡ μὲν οὖν πρώτη βλάστη τοιαύτη, καὶ οὕτως οἷον ὑπὸ φυτηκόμῳ τεχνίτῃ τῇ ἐγκρατείᾳ τηρουμένη καὶ τῷ ἐκεῖθεν ἀρδομένη καθαρῷ νάματι· ἐπεὶ δ' ἦν ἐπόμενον τὴν οὕτω μὲν εὖ ἀνασχοῦσαν φυὴν, οὕτω δὲ κάλλιστα αὐξομένην εὐφορῆσαι καὶ τοῖς καρποῖς, καὶ ἤδη παρῆκεν ὁ νηπιάζων καιρὸς, καὶ μειράκιον ἦν, εὐθέως παντοδαπή τις προὔκυπτεν ἰδέα καλῶν. Οὐ γὰρ μόνον οὐκ ἐγνώριζε κατὰ παῖδα τὸ ἦθος, ἀλλὰ καὶ πρεσβυτικὴν τῷ εὐσταθεῖ τῆς γνώμης ἀπέκρυπτε σύνεσιν. Ἀεὶ μὲν οὖν ἐπὶ τῶν ἄλλων ὅσοι ἐκ παίδων εἰς κάλλος ὤφθησαν βιοῦντες, ἔθος ἐστὶ λέγειν τοῖς ἐπαινέταις, ὡς

C κατὰ πῆχυν αὐτοῖς συνέβαινεν αὔξεσθαι· τοῦτο δὲ μέγα μέρος ὂν ἐγκωμίων, ἐπὶ μόνῳ τῷ νῦν θαυμαζομένῳ οὐδὲ τὸ βραχύτατον ἀναπληρῶσαι δόξειεν ἄν. Οὐ γὰρ ἔξεστι κατὰ πῆχυν αὐτῷ προσμαρτυρεῖν ηὐξῆσθαι τὴν ἀρετὴν, ἀλλ' εἴγε μέλλοι τις ἀληθῶς αὐτὸν ἐπαινέσεσθαι, αὐτὴν ὅλην φαίη ἐν ἀνθρωπείῳ σχήματι δι' ἐκείνου ὀφθῆναι τῷ βίῳ. Οὕτως αὐτῷ παρῆν ἐξ ἀρχῆς τῶν κατορθωμάτων τὸ τέλειον· ἀπαγορεύσας δὴ πᾶσιν ὑφ' ὧν ὁ νοῦς ὥσπερ βιαίῳ πνευμάτων ὀχλούμενος, πολλάκις μὲν ὅλην ἀπώλεσε τὴν λαμπάδα, μέγα δ' εἰ καὶ στυγνὸν φαίνουσαν περισώσεις, μόνοις ἐκείνοις προσῆει οἷς ἀρετὴ φίλη, καὶ ὧν ἔμελλε, φωτὸς υἱὸς χρηματίζων προσθήκην φωτὸς λαμβάνειν, ἱεροῖς μάλιστα μαθήμασι προσιὼν καὶ Θεῷ δι' ἀπαύστων προσευχῶν ὁμιλῶν τε καὶ οἰκειούμενος. Ἔδει δὲ ἄρα τῆς σωματικῆς ἀπηρτη-

NOTÆ.

(11) Innuit canonem 68 apostolorum quem et pagina sequenti ἱερὸν διάταγμα nominat. Is sic habet: Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ἀναγνώστης, ἢ ψάλτης, τὴν ἁγίαν Τεσσαρακοστὴν τοῦ Πάσχα, ἢ τετράδα, ἢ Παρασκευὴν οὐ νηστεύοι, καθαιρείσθω ἐκτὸς, εἰ μὴ δι' ἀσθένειαν σωματικὴν ἐμποδίζοιτο. Εἰ δὲ λαϊκὸς εἴη, ἀφοριζέσθω· hoc est: *Si quis episcopus, vel presbyter, vel diaconus, vel lector, vel cantor, Paschæ Quadragesimam non jejunat, vel quartum diem, vel Paraseven, præterquam si propter infirmitatem corporalem impediatur, deponatur. Si sit autem laicus, segregetur.* Commune quidem erat omnium, ut mox videbimus, Christianorum jejunium quartæ et sextæ feriæ. Tamen quia id clericis peculiari modo injunctum erat, visus est Nicolaus jam tum in cunis quasi sponte sese in clericorum ordinem obtulisse: qui se ista peculiari clericorum observatione constrictum quasi profiteretur. Notandum hoc fuit ut intelligeretur quod mox sequitur, πόῤῥω πρὸ τῆς ἡλικίας ἱερός τε ἦν. Nisi forte, quod non

D pernegarim, ἱερὸς hic Christianum sonet, habita ratione consuetudinis illorum temporum quibus baptismus non fere nisi adultis conferebatur.

(12) Hunc locum enarret Augustinus epist. 86: *Cur autem*, inquit, *quarta et sexta feria maxime jejunet Ecclesia, illa ratio reddi videtur, quod, considerato Evangelio, ipsa quarta Sabbati, quam vulgo quartam feriam vocant, concilium reperiuntur ad occidendum Dominum fecisse Judæi.* Et paulo inferius: *Passus est Dominus (quod nullus ambigit) sexta Sabbati, quapropter et ipsa sexta recte jejunio deputatur.* Hæc sanctus doctor. Ex quibus patet antiquissimam fuisse istam observationem jejunii quartæ sextæque feriarum. Cujus præter Clementem Romanum, Ignatius, Tertullianus, Clemens Alexandrinus, Origenes aliique meminerunt, quorum testimonia recitat Baronius ad annum Christi 34 et 57.

(13) Inter voces, πόῤῥω et τῆς, infindendam puto particulam πρό. Paulo post, ὁ νηπιάζων καιρός, pueritiæ tempus, quod *stultos dies* Tibullus dixit.

Digitized by Google

σμένης αὐξήσεως, καὶ τὸ τῆς ψυχῆς τέλειον ἐπίδηλον γεγενῆσθαι, καὶ εἰς κοινὸν ὄφελος, ὅτου πράγματος μετῆν ἱκανῶς, καταστῆναι. Ἐπεὶ καὶ Χριστὸς ὁ τοῦ κόσμου Σωτὴρ τότε ἀνθρώποις γνωρίζεται ὧν εἴη ἐργάτης, ὅτε τὸ μέτρον αὐτῷ οὐκ ἔτ' ἔδει τῆς ἡλικίας. Ὄντος οὖν ἐπομένου τὸν ὑπερφυῶς καὶ γεγονότα καὶ βεβιωκότα, οἰκονόμον ὀφθῆναι τῶν ὑπερφυῶν, οὕτω καὶ γίνεται. Ἵνα δὲ ᾖ ἀμιγὲς θνητῆς ἐπικρίσεως καὶ καθαρῶς θεῖον τὸ γινόμενον, οὐκ ἀνθρώπων ἐκ γῆς τὴν ψῆφον πιστεύεται, ἀλλ' οὐράνιος χρησμὸς ἐπὶ τὸν ἀρχιερατικὸν αὐτὸν ἱδρύει θρόνον. Μικρὸν δὲ ἄνωθεν ἀναλαβὼν ὁ λόγος ἀπαγγελεῖ τὸ διήγημα.

A suis moribus ab ipso principio repræsentarit. Omnibus illis renuntians a quibus mens tanquam vehementia ventorum exagitata sæpe quidem integram exstinctionem totius lampadis patitur, magnumque si vel luridam et mœstam semimortuæ facis servaverit flammulam, cum iis solis versabatur quibus chara virtus; ex quorumque consuetudine filius ipse lucis adventitii luminis augmento proprium suum cumularet, sacris maxime disciplinis vacans et cum Deo nunquam intermissis precationibus agens, seque illi admovens. Oportebat porro jam ad plenitudinem ætatis adulto corpore, animæ quoque perfectum statum apparere manifesto, atque in communem produci utilitatem id quo ille valebat. Quoniam et mundi Salvator Christus tum demum suam illam hominibus mirificam vim ostendit quando jam ætatis ipsi mensura non deerat. Consequens igitur cum esset eum qui supra naturam et natus esset et vixisset in supernaturalium dispensatorem rerum atque administrum tandem evadere, sic plane contigit. At ut nullo mortalis ullius præjudicio mista, sed mere divina ea res esset, non is hominum terrestrium calculo, sed cœlesti oraculo in pontificali collocatus est throno. Cujus rei narrationem paulo altius ductam subjiciam.

Ὁ πρὶν λαχὼν διέπειν ἀρχιερεὺς τὴν μετὰ ἀνθρώπων ζωὴν ᾤχετο λελοιπώς. Ἐπιζητούσης δὲ τῆς πανάγνου παστάδος τὸν ἀντ' ἐκείνου νυμφίον, σύλλογος ἱερὸς, ὅσος καὶ ἐν ἀρχιερεῦσι καὶ ἱερεῦσι Θεοῦ συνελήλυθὼς, βουλὴν ἥτις ἀρίστη διαθεῖναι περὶ τῆς ἱερᾶς μνηστείας σπουδὴν ἐποιεῖτο. Οὔσης δὲ πολλῆς, ὡς εἰκὸς, ἀγωνίας αὐτοῖς (μείστων γὰρ ἀγώνων τὰ μεγάλα τῶν πραγμάτων ἤρτηται), καὶ τοσοῦτο μείζονος (14) ὅσον καὶ τῶν κινδύνων τὸ μέγεθος, μὴ ἁρμοσθείσης τῆς οἰκονομίας τῷ πράγματι, βουλὴν βουλεύονται ἀληθῶς ἱερώσυνον. Τίς αὕτη; Ἀνενεγκεῖν τὸ πᾶν εἰς Θεόν. Ἐκεῖθέν τε παραμένειν ἤξειν τὸ τῆς διοικήσεως (15) ἀσφαλές. Εὐχαῖς τοίνυν καὶ νηστείαις καθάπερ ὠκυτάτοις πτεροῖς εἰς οὐρανὸν ἡ σπουδὴ αὐτοῖς ἀνιοῦσα, τοῦ ζητουμένου τυγχάνει. Εἷς γάρ τις τῆς ἱερᾶς ἐκείνης λογάδος θείῳ χρησμῷ τῶν λογισμῶν ὑπεκλύοντι τὴν ἀπορίαν, μυσταγωγεῖται τήν τε προσηγορίαν, καὶ ὅποι τὸν ἄνδρα εὑρῆσθαι δεήσει. Παραφυλάξας δὲ τὸν τόπον ὁ μεμυσταγωγημένος (ἦν δ' ἄρα τοῦ ναοῦ τι μέρος οὗ προσομιλεῖν ὁ μέγας εἰσθιστο Νικόλαος τῷ Θεῷ), ἐπιστάντα κατέχει (16), καὶ τοῖς ἐκείνου ῥήμασι τὰ ἐκ τῆς ὄψεως συμβαλὼν, τὸν ἄνδρα διαγινώσκει. Οὕτω τε σὺν τῇ παρούσῃ ἱερᾷ πληθύϊ τῇ Ἐκκλησίᾳ νυμφαγωγεῖ.

B Qui ante hunc archiepiscopalem erat administrationem sortitus mortali defunctus vita ex humanis abierat. Cum virgineus porro thalamus alium ejus loco sponsum desideraret, conventus sacer ex pontificibus et sacerdotibus Dei collectus consilio expedire quam posset optimo sacras illas nuptias satagebat. Cum vero multa, ut in deliberatione tanta, perplexitas esset (maximis enim ex discriminibus magnorum negotiorum exitus pendent), ac tanto difficilior expeditu esset electio quanto majora pericula ex errore si quis in ea committeretur consecutura providebantur, consilium caplunt vere sacerdotale. Quodnam vero illud? Rem omnem referendam ad Deum. Exspectandum inde venturam salutarem resolutionem intricatissimi negotii. C Ergo cum orationibus et jejuniis tanquam alis velocissimis evolasset in cœlum ipsorum devotio, nacta ibi quod quærebat est. Unus enim quidam ex sacro illo cœtu, oraculo divino rationis humanæ dubitationem expediente, et viri nomen edocetur et locum ubi reperiendus is erat. Quo observato, ille cui revelatio facta fuerat (erat autem is locus pars quædam ædis ubi frui Dei colloquiis magnus consueverat Nicolaus) stantem ibi deprehendit divina sibi visione demonstratum virum. Hunc enim eum esse ejus ex verbis ipsius facile agnovit, sicque illum cum præsenti sacra multitudine sponsum Ecclesiæ conjungit.

Μέχρι μὲν τοῦδε ὥσπερ ἁπλῆν τινα τρίβον παριὼν ὁ λόγος οὐ χαλεπῶς διήνεγκε. Τὸ δ' ἐντεῦθεν μυρίας ἀπαντώσης διεκδρομῆς καὶ οὐ καθάπερ ἐπὶ τοῖς ἀπόροις λέγεται τρίοδον ἀπηντηκέναι, τί χρὴ δράσαι; μᾶλλον δὲ τί παθεῖν; Ἀπείρων γὰρ ὄντων ἐκείνῳ

D Hactenus recto quodam itinere quasi inoffense processit oratio. At deinceps cum non solum, quod in perplexis dicitur, occurrat trivium, verum in innumera quædam divortia scindat se via, quid facere opus est? vel potius, quid pati necesse? Cum

NOTÆ.

(14) Non dissimulo in exemplari me legisse μειζόνων, quod cum satis cohærere non videretur, in μείζονος mutavi, ut ad ἀγωνίας referatur.

(15) Non puto διοίκησιν hic esse diœcesim. Olim enim aliter id nomen usurpabatur. Quanquam si phrasis Græca pateretur, non esset incommodus sensus. Convenerant episcopi unius provinciæ, quæ diœcesis vocabatur veteribus, et in commune consultabant. Tota tamen ἀκολουθία loci me in eam sententiam traxit quam interpretatione expressi, cujus si minus videbitur felix, equidem non ero pertinax.

(16) Quid si legamus ἐκεῖ πάντα κατέχει?

Digitized by Google

C ταῖς ἀκοαῖς Δημοσθένους τοῦ ὑπάρχου τῆς πόλεως· καὶ, οἷα φιλεῖ ἐν τοῖς τοιούτοις, ἔρως ἀνάπτει τὸν ὕπαρχον πεῖρα γνῶναι τὸν ὑπερβάλλοντα. Ἀθροίζει πάντας, προκαλεῖται τὸν Ἰωάννην, ὀχήματι κελεύει τινὶ ἀφικέσθαι. Ὁ δὲ τοῦτο παραιτεῖται μὲν, παραγίνεται δὲ ποσὶν ἰδίοις. Τοῦτο τῷ μὲν Ἰωάννῃ τὴν τιμὴν μετὰ θαύματος κατά τε βαθμὸν καὶ τάξιν καθέδρας αὐξάνεσθαι, Ἀνθεμίῳ δὲ τὸν ἐμφωλεύοντα φθόνον γυμνοῦσθαι παρασκευάζει. Ἰδὼν γὰρ αὐτὸς τὸν Ἰωάννην λαχόντα τιμὴν καὶ τὸ ὑπερβάθμιον τῆς καθέδρας, καὶ μηκέτι στέγειν οἷός τε ὢν, τοιάδε μὲν

D ἔφη· Κεκαινοτόμηται τὰ ἔθη ὁρῶ· νέοι νόμοι προτέθεινται· τὰ τῶν ἀρχαίων, τῶν σοφῶν, τῶν ἐθάδων προνόμια, ξένοις, ἐπήλυσιν ἀποδέδονται. Λανθάνει δὲ διὰ τούτων προσζημιώσας ἑαυτὸν καὶ τῆς πάλαι τιμῆς, ὑποπτευθεὶς παρὰ πάντων διὰ φθόνον ταῦτα εἰπεῖν. Ταῦτα παρὰ τοῦ ἀδικωτάτου δικαίως εἰσπράττεται φθόνου, τῆς οἰκείας γονῆς ἀπολαμβάνων τὸ γηροτρόφιον. Ἄθρει δὴ καὶ τὰ ἐπὶ τούτοις· Οὐκ ἔδει σε, φησὶν ὁ ὕπαρχος, ὦ Ἀνθέμιε, φιλοσοφίᾳ μεγαλαυχούμενον, ὥσπερ ἕνα τῶν ἐκ τοῦ δήμου, ἢ τῶν ἐν ἀγρῷ τοὺς θῆρας ἑλόντα, ἢ τῶν ληστευομένων, οὕτωσὶ βοᾷ καὶ θορύβῳ διακυκᾶσθαι. Πολλὰ γὰρ, οἷς ὁ Ἰωάννης τιμᾶσθαι καθέστηκεν ἄξιος, ὅτι Σεκούνδου τοῦ μεγάλου στρατηλάτου υἱὸς, ὅτι τοὺς πολιοὺς ὑπερηκόντισε τοῖς μαθήμασιν, ἀλλ' ὅτι καὶ ἡμετέραις ἀνάγκαις τὰ τῆς τιμῆς κατεδέξατο· καὶ πρό γε πάντων ἡ ταπεινοφροσύνη τούτων αὐτῷ αἰτία καὶ πρόξενος. Ἀλλὰ ταῦτα μὲν ὁ ὕπαρχος. Τί δὲ ὁ Ἰωάν-

Digitized by Google

νη:; Τῷ πράῳ τὸ δίκαιον κερασάμενος, πρῶτον μὲν ὑπεραπολογεῖται, οἷς Ἀνθέμιος ἐπετίμησεν· ἔπειτα τῆς Ἰησοῦ μαθητείας, καὶ οἷς ἐκείνη παῤῥησιάζεται, δι' βραχέων αὐτὸν ὅλον εἶναι παραδηλῶν, ἐπικροτεῖται παρὰ πάντων. Καὶ ἦν ἰδεῖν τῷ ὕψει τῶν λόγων Ἰωάννου, τῇ ἐπιλάμψει τοῦ ἁγίου συνεξαστράπτοντα Πνεύματος· ὥστε εἰπεῖν ὁρῶντα τὸν ὕπαρχον, Ἀληθῶς τῆς Ἑλλήνων παιδείας ἡ Χριστιανῶν διδασκαλία πάντα ἀσύμφωνος, τῶν μὲν δοξομανούντων, τῶν δὲ τὴν ἐναντίαν ἐκείνων πορευομένων. Συνεπιλαμβάνεται τούτοις ὁ Ἰωάννης, καὶ τῷ ζέοντι τοῦ κινοῦντος Πνεύματος, δημοσίᾳ παῤῥησιάζεται τὴν εὐσέβειαν, στηλιτεύει τὰ Ἑλλήνων, καὶ τοὺς αὐτῶν θεούς τε καὶ δαίμονας, Κρόνῳ, καὶ Διΐ, καὶ Ἀθηνᾷ καὶ Ἀπόλλωνι, καὶ τῷ λοιπῷ τῶν Ἑλλήνων θεῶν ὁρμαθῷ, ἑρπετῶν τε καὶ θηρῶν, καὶ τῶν ἄλλων κνωδάλων, τὴν στήλην ἀξίαν τῶν σεβομένων παραστησάμενος, ὧν καὶ οἱ λόγοι (λέγων) τὸν αἰθέρα μολύνουσι. Τί ἔτι; τὸ ἀληθινὸν φῶς προστίθησι κηρύττων τῆς ἁγίας Τριάδος, τῆς ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, τῇ μιᾷ θεότητι τρισυποστάτως καὶ ἀνάρχως καὶ ἀϊδίως θεωρουμένης τοῖς Χριστιανοῖς, καὶ προσκυνουμένης. Ταῦτα μὲν ὁ Ἰωάννης. Ἐχάρησαν οὖν, ὅσος τῆς τῶν Χριστιανῶν μοίρας ὄμιλος· ὅσος δὲ ὁ τῶν Ἑλλήνων, ἀηδῶς ἔσχον, ὠργίσθησαν. Βραχὺς ὁ λόγος, καὶ ὁ ὕπαρχος συναπάγεται, παύεσθαι τῶν θεῶν κωμῳδίας τῷ Ἰωάννῃ ἐγκελευόμενος. Χώρα τοῦ λέγειν Ἀνθεμίῳ πάλιν. Καὶ πρῶτα μὲν τοὺς θῶπας τῶν λόγων καταχεῖ τῷ ὑπάρχῳ· ἀδολεσχεῖ δὲ, μακρά τινα κατά τε Ἰωάννου καὶ τῆς ὑπὲρ αὐτοῦ θρησκείας ἐκεῖνα λεσχηνευόμενος, ὅσα τῷ θρησκευτῇ τῶν τοιούτων εἰκὸς, οὕτως εἶπεν. Ἀλλ' οἱ βασιλεύοντες, ἀντέφη ὁ ὕπαρχος, ἀφ' οὗ Χριστῷ συνεστίξαντο, ὑψώθη τὰ τῆς βασιλείας αὐτῶν, ἁπανταχοῦ τῶν Χριστιανῶν ἐπιδόντων εἰς πλάτος· οἷς κἀγὼ κεκοινώνηκα καὶ εἰς τὸ δεῖγμα. Πάλιν οὖν Ἀνθεμίῳ τούτων ἀκούσαντι κημὸς καὶ κατήφεια. Καὶ δέχεται τὸν λόγον ὁ Ἰωάννης, καὶ ταῦτα προστίθησιν· Ἀψευδὴς, λέγων, ὦ ἄνδρες, ὁ ὕπαρχος. Οὐ γάρ τίς ἐστι τόπος ἀπ' ἄκρων ἕως ἄκρου τῆς οἰκουμένης, οὗ Χριστὸς οὐ τιμᾶται καὶ σέβεται. Καὶ εἴ τις φιλοπονῶν ἐθέλοι μαθεῖν, ἔστω τὰ περὶ τῶν ἐν Ἱερουσαλὴμ ἀποσκιρτησάντων Ἰουδαίων, ὅπως μετὰ τὴν ἐκ νεκρῶν Χριστοῦ ἀναβίωσιν, τῷ Ῥωμαίων πολιορκούμενοι δόρατι, εἰς τοσοῦτον στενώσεως ἦλθον, ὥστε τὰς τῶν ἰδίων νηπίων σάρκας ἀντὶ τῶν ἄρτων φαγεῖν. Οἱ τοίνυν ἐμοὶ πειθόμενοι, ἰδοὺ ὁ ἐπίσκοπος, προσέλθετε πρὸς αὐτὸν, καὶ βαπτίσθητε. Ἐπειδὴ δέ τις τῷ θείῳ ζήλῳ καὶ φόβος ἔπεσθαι πέφυκε, φοβεῖ καὶ τούτους αὐτὸς ὁ Ἰωάννης. Οἷς γὰρ τὸ ῥᾳστωνεῦον τῆς γνώμης τῷ χαύνῳ πολιορκεῖται φρονήματι, καλὸν καὶ ὠφέλιμον ἡ τοῦ φόβου παρέστηκεν ἀνθυποφορά. Φοβεῖ τοίνυν αὐτοὺς ὁ ζηλωτὴς ἐκεῖνος Ἠλίας, τί λέγων; Εἰ μὴ πείθεσθέ μοι τὰ ζῶντα συμβουλεύοντι, ἰδοὺ ἀναφέρω τοῖς βασιλεῦσι, καὶ παραυτίκα ἀποθανεῖσθε. Κρείσσων γὰρ θάνατος ζωῆς βλασφημούσης τὸν ζωοδότην, ἀναισθητότερόν τε διακεῖσθαι κυνῶν καὶ πετεινῶν καὶ θηρίων, ἃ τοῖς ἡμεροῦσι καὶ τιθασεύουσιν ὑπείκοντα τέθεικεν. Ἐν τούτοις Ἰωάννου παῤῥησιαζομένου, Ἀνθέμιος ἀντανίσταται μὲν κατὰ

honorem ; et ante omnia, humilitas est ei horum causa et conciliatrix. Sed hæc quidem præfectus. Quid vero Joannes ? Mansuetudine temperans justitiam, primum quidem respondet iis, quæ ei objecit Anthemius ; deinde se Jesu disciplinæ et iis quæ illa libere profitetur, se totum esse deditum paucis ostendens, omnium plausu suscipitur. Licebatque videre oculis, orationem Joannis refulsisse illuminatione sancti Spiritus, adeo ut diceret hoc videns urbis præfectus : Revera Græcorum disciplinæ cum doctrina Christianorum nihil omnino convenit ; cum illi quidem laborent insana gloriæ cupiditate, hi autem ingrediantur via illis contraria. Post hæc sequitur Joannes, et ardore moventis eum Spiritus, publice libere profitetur pietatem ; in gentes invehitur, eorumque deos et dæmones, Saturnum, et Jovem, et Minervam, et Apollinem, et reliquam deorum gentilium seriem, serpentesque et bestias, quæ ab eis coluntur, qui eis debetur, honore afficiens : de quibus ii etiam qui habentur sermones, aiebat, æthera inficiunt. Quid præterea ? Veram etiam lucem pergit prædicare sanctæ Trinitatis, quæ in Patre et Filio et sancto Spiritu in una divinitate et tribus personis, sine principio et sempiterne, a Christianis contemplatione cernitur et adoratur. Hæc quidem Joannes. Lætata est autem universa turba, quæ sequebatur partes Christi ; dolore autem affecti gentiles, ira fuerunt perciti. Ut paucis absolvam, una cum eis movetur quoque præfectus, jubens Joannem cessare deos ludificari. Anthemio rursus datus est dicendi locus. Et primum quidem se blandis verbis insinuat præfecto ; valde autem et prolixe nugatur in Joannem et ejus religionem, illa blaterans quæ talium cultorem decent, ita dixit. Sed, ex quo imperatores, contestatus est præfectus, Christo nomen dederunt, in altum sublatum est eorum imperium, cum ubique Christiani longe lateque crevissent, cum quibus fui ego societate conjunctus, et in hunc locum sum deductus. Rursus ergo Anthemio injectus est mœror et tristitia. Ejus autem orationem excipit Joannes et hæc adjicit, dicens : Vera dicit præfectus, o viri. Nullus est enim locus ab extremis usque ad extrema orbis terrarum, ubi Christus non honoratur et colitur ; et si quis studiosius hæc velit discere, sciat de Judæis qui exierunt ab Jerusalem, quod postquam Christus resurrexisset a mortuis, a Romanis bello obsessi, ad tantas redacti sunt angustias, ut suorum infantium carnes pro pane comederint. Qui ergo mihi creditis, ecce episcopus ; accedite ad eum et baptizemini. Quoniam autem divinum zelum solet etiam metus quidam consequi, illos terret ipse Joannes. Quibus enim animi socordia obsidetur a molli et enervato spiritu, utiliter eis metus objicitur. Eos ergo terret zelo percitus ille Elias ; quid dicens ? Nisi mihi parueritis consulenti quæ dant salutem ; ecce vos deferam ad imperatores, et statim moriemini. Est enim mors melior quam vita, quæ blasphemiis et maledictis incessit vitæ datorem, et minus habet sensus quam

Digitized by Google

canes et volucres et feræ quæ iis cedunt qui eas mites faciunt et cicures. Cum hæc libere diceret Joannes, Anthemius graviter quidem insurgit adversus Christum, cadit autem gravius. Jam enim os sceleratum nondum cesserat Christum maledictis incessere; et protinus a spiritu immundo correptus Anthemius, afficiebatur sicut dæmoniaci, horrorem et fugam immittens iis qui aspiciebant. Deinde quid? Misericordia movetur Joannes, et Anthemium, etsi malo adhuc vexaretur, magnis clamoribus confessum, non esse alium Deum nisi Christianorum, a malo liberat. Cumque esset redactus in exstasim, omnes quidem afficit admiratione, propter repentinam mutationem; repente autem baptizatur cum tota domo; et sic confirmata baptizatur multitudo. Nec hoc solum; sed etiam ex iis qui audierunt, omnes filii lucis regenerantur divino baptismate. Communis hinc omnibus gaudii et lætitiæ exsultatio; adeo ut re ipsa liceret intueri quod canitur: *Lætantium omnium habitatio est in te* [a]. Hujus lætitiæ causam ignorabat antistes Athenarum. Deinde cum intellexisset, eum statuit adducere ad ordinationem. Quod cum rescivisset Joannes, clam aufugit, et se reddit patriæ.

A Χριστοῦ χαλεπῶς, πίπτει δὲ χαλεπώτερον. Ἤδη γὰρ τὸ μιαρὸν οὗτω στόμα τῆς κατὰ Χριστοῦ βλασφημίας ἐπαύσατο, καὶ πορευθὺς πνεύματι ἀκαθάρτῳ βληθεὶς ὁ Ἀνθέμιος, τὰ τῶν δαιμονώντων πάσχει, φρίκην καὶ φυγὴν ἐμποιῶν τοῖς ὁρῶσιν. Εἶτα τί; Δυσωπεῖται ὁ Ἰωάννης, καὶ τὸν Ἀνθέμιον κἂν τῷ πάθει ἔτι ὄντα, καὶ κραυγαῖς ὑψηλαῖς, μὴ Θεὸν ἄλλον εἶναι πλὴν τοῦ Θεοῦ τῶν Χριστιανῶν, διομιλήσαντα, ἐλεύθερον τοῦ πάθους ἐργάζεται. Καὶ γενόμενος ἐν ἐκστάσει, θαμβεῖ μὲν ἅπαντας τῷ ἄθρόῳ τῆς μεταβολῆς· βαπτίζεται καὶ παραχρῆμα πανοικεσίᾳ· καὶ οὕτω στερεωθέντα καὶ τὰ πλήθη βαπτίζεται· οὐ μόνον δὲ, ἀλλὰ καὶ τῶν ἀκουσάντων ἅπαντες, υἱοὶ φωτὸς ἀναγεννῶνται τῷ θείῳ βαπτίσματι. Κοινὴ πᾶσιν ἐντεῦθεν εὐφροσύνης καὶ χαρᾶς ἀγαλλίασις· ὡς ἔργοις B αὐτοῖς ἐνῆν καθορᾶν τὸ ᾀδόμενον· *Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.* Ταύτης τῆς εὐφροσύνης ὁ πρόεδρος Ἀθηνῶν ἠγνόει τὸν αἴτιον· εἶτα μαθὼν, ἐπὶ τὴν χειροτονίαν τοῦτον γνώμην ποιεῖται προσαγαγεῖν. Καὶ γνοὺς ὁ Ἰωάννης, λάθρα διαφεύγει, καὶ τῇ πατρίδι ἑαυτὸν ἀποδίδωσιν.

5. Hinc ubique terrarum fama et sermone erat celebratus Joannes, cum ad illud tempus venisset, quo lanugo solet genas vestire, ut qui annos ageret decem et octo. Quo tempore cum insignem esse Joannem magnus animadvertisset Meletius, persuadet ut ad se veniat frequentius. Quo tempore dicitur suis condiscipulis, Theodoro, qui fuit postea episcopus Mopsuestiæ, et Maximo Seleuciæ, C persuasisse ut relicta vita augendæ pecuniæ dedita, vitam eligerent tenuem et solitariam. Hinc cum magno Basilio, qui ab ipso Meletio diaconus fuerat ordinatus, magna jungitur amicitia, et tanta, ut mutuo amore nullus ei esset æqualis ex iis, qui a principio fuerant ei familiares. Quomodo enim ab artificibus conjunguntur harmoniæ; aut cum iis, quæ in cœlo æquali celeritate moventur luminaribus, inconfusus ordo conjungitur coitionum; aut, ut melius dicam, quomodo lux visui, et visus luci conjunctim præbet ut videatur; aut quomodo mentis cum anima, et animæ cum mente nota est cognatio; aut, ut dicam convenientius, quomodo spiritus ignis in specie linguarum, ita etiam in D his. Homines enim spiritus, sancto Spiritu conjuncti, unam in Christo charitatis perfectam efficiebant conspirationem. Quodnam autem esset amoris inter eos vinculum, ut ita dici potest, sic ostendit oratio. Basilius, qui jam vitam susceperat monasticam, secum attrahebat Joannem; eum autem contra attrahebat materni rursus amoris plena lacrymis oratio. Cum vero clementis et misericordis Joannis non esset animæ et sapientiæ, tam multas matris lacrymas prolixamque orationem et viduitatem despicere, tunc retrahitur, et matri se invitum tradidit, persuasus non tonderi ante ejus exitum. Cum materna ergo pietate insignis esset Joannes, Zeno episcopus ascendit ex

ε'. Ὡς ἐξάκουστος ἔνθεν Ἰωάννης ἁπανταχοῦ γῆς, ἐκεῖνο τοῦ χρόνου φθάσας, ὁ τὴν ὑπήνην ἀνθεῖν ἄρτι προβάλλεται, ὀκτὼ πρὸς τοῖς δέκα τὴν ἡλικίαν ἀγόμενος ἔτεσιν, ἐν οἷς διαπρέποντα τὸν Ἰωάννην Μελέτιος ὁ μέγας προσχὼν, πείθει τὴν πρὸς αὐτὸν ποιεῖσθαι συχνότερον ἄφιξιν. Ἔνθα δὴ λέγεται τοὺς συμφοιτητὰς, Θεόδωρον, τὸν ὕστερον Μοψουεστίας, καὶ Μάξιμον Σελευκείας, πεῖσαι τὸ χρηματιστικὸν καταλελοιπότας, τὸν λιτὸν καὶ μονότροπον βίον ἑλέσθαι. Ἐντεῦθεν τῷ μεγάλῳ Βασιλείῳ, ὃς ὑπ' αὐτοῦ Μελετίου διάκονος κεχειροτόνητο, φιλίως ἄγαν συνάπτεται, καὶ τοσοῦτον, ὥστε τῷ πρὸς ἀλλήλους γνησίῳ τοῦ φίλτρου μὴ ἂν ἄλλο τι τῶν ἀρχῆθεν ἐθάδων παρεξισοῦσθαι. Ὥσπερ γὰρ τοῖς τεχνίταις αἱ ἁρμονίαι συνάπτονται· ἢ τοῖς ἐν οὐρανῷ φωστῆρσιν ἰσοταχῶς κινουμένοις ἡ συνάπτουσα τάξις τῶν συνόδων ἀσύγχυτος· ἢ μᾶλλον εἰπεῖν, ὥσπερ ὄψει τὸ φῶς, καὶ φωτὶ τὸ ὁρᾶσθαι (ὄψις) συνημμένως ἀντιπαρέχεται· ἢ νοῦ πρὸς ψυχὴν, καὶ ψυχῆς πρὸς νοῦν ἡ συγγένεια γνώριμος· ἢ, ἵνα οἰκειότερον εἴπω, καθάπερ τὸ πνεῦμα πυρὸς ἐν εἴδει γλωσσῶν τοῖς μαθηταῖς τοῦ λόγου γνωρίζον συνάπτεται· οὕτω κἀν τούτοις. Οἱ γὰρ τοῦ πνεύματος πνεύματι συναρμονολογούμενοι, μίαν ἐν Χριστῷ ἀγάπης ἀπηκριβώσαντο σύμπνοιαν. Ἀλλὰ τῆς πρὸς ἀλλήλους ἀγάπης τὸν σύνδεσμον, οἷός τις εἰπεῖν, ὁ λόγος ὧδε παρέστησε. Βασίλειος δὲ τὸν μονάδα ἤδη προειληφὼς βίον, συνεῖλκε τὸν Ἰωάννην· ἀνθεῖλκε δὲ τοῦτον μητρῴου πόθου πάλιν λόγος πολύδακρυς. Ἐπεὶ δὲ τῆς συμπαθοῦς καὶ ἀληπτου ψυχῆς καὶ σοφίας οὐκ ἦν, τοσοῦτον ἔργον δακρύων πολλῶν καὶ λόγων μακρῶν τῆς μητρὸς, καὶ χηρείας ἀνάγκην ὑπερίδειν, ἕως ἀνθέλκεται, καὶ τῇ μητρὶ καὶ ἄκων ἑαυτὸν ἐμπεριέχει, πεισθεὶς πρὸ τῆς ταύτης ἐξόδου μὴ ἀποκείρασθαι. Μητρῴαις τοίνυν οἰκονομίαις διαπρέποντος Ἰωάννου, Ζήνων ἐπίσκοπος ἐξ Ἱεροσολύμων ἐπάνειστν,

[a] Psal. LXXXVI, 7.

Digitized by Google

ἀναγνώστην τε τῷ λαῷ τῆς Ἐκκλησίας τῶν Ἀντιοχέων τὸν Ἰωάννην καθίστησι. Τότε δή φασι τοὺς κατὰ Ἰουδαίων αὐτὸν ἓξ συντάξασθαι λόγους, τὸν τόνον τῆς οἰκείας εὐδρομίας ἀνένδοτον πρὸς τὰ κρείττω βίῳ καὶ λόγῳ διαφυλάττοντα. Μετὰ ταῦτα, χερσὶν ἡ μήτηρ Θεοῦ παραθεῖσα τὸ πνεῦμα, τῷ ἱερῷ παιδὶ τὴν ἐλευθερίαν χαρίζεται. Ὁ μὲν δὴ μέγας Δαβὶδ τὸ δίκαιον κἀν τούτοις χαρακτηρίζων, *Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι, φησίν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.* Ὁ δὲ Ἰωάννης τῇ μητρὶ δέοντως ἀποδοὺς τὴν οὐσίαν, οὐ μόνον τὸν ἅπαντα πλοῦτον, ὃν μὲν σκορπίζει καλῶς, ὃν δὲ ἀφοσιοῦται κάλλιστα τῷ Θεῷ· ἀλλὰ καὶ τὸν πρὸς τοὺς γνωστοὺς καὶ φίλους καὶ τοὺς ἄλλως συνήθεις πόθον ἐν δευτέρᾳ μοίρᾳ θέμενος, τοῦ ἀληθοῦς ἐξήρτηται καὶ μόνου μὴ διαῤῥέοντος ἔρωτος· καὶ τὸν μονάδα βίον, ὁ καὶ πρὸ τούτου μονότροπος, εἴπερ τις ἄλλος, ἐπενδυσάμενος, ὡς ἄρτι τότε ἀρξάμενος, φροντιστηρίοις ἑαυτὸν ἐπιδίδωσιν, ὅσαι ἡμέραι, *τοῖς ἔμπροσθεν, κατὰ Παῦλον, ἐπεκτεινόμενος.* Ὁρώμενος δὲ τοιοῦτος, τὴν προστασίαν τῶν ἀδελφῶν παρακαλεῖται μὲν ἀναδέξασθαι, οὐ μέντοι ἀνέχεται. Ὅρους δὲ καὶ τάξεις πάσης ἀγαθοεργίας ὁ θεῖος ζηλωτὴς οὗτος ἀσκητικοὺς συγγραψάμενος, παραδίδωσιν. Ἀλλὰ τί ταῦτα, καίπερ μεγάλα τυγχάνοντα, πρὸς τὰ μέλλοντα; ἡ μὲν περὶ αὐτοῦ φήμη συνεισρεῖν ἅπαντας πρὸς αὐτὸν ἀσμένως ἠνάγκαζεν· αὐτὸς δὲ, οἷά τις ἀένναος κρήνη, τῆς διακρίσεως τῶν Γραφῶν τὸ ὕδωρ βλύζων ἀνεπιθόλωτον, τοῖς πᾶσιν ἐδαψίλευσε. Καὶ ἦν ὁρᾶν ἅπαντας τοὺς, ὅσοι τῷ φλογμῷ, τῇ ἐνδείᾳ καὶ δίψει τῶν θείων λογίων διεξηραίνοντο, ὥσπερ ἄγγεσι ταῖς βίβλοις τὰς τούτου σαφεῖς καὶ διειδεῖς ἑρμηνείας ἀρυομένους, καὶ πρὸς τὰς ἐνεγκαμένας χαίροντας ὑποστρέφοντας.

ς'. Ἐνταῦθά μοι γενομένῳ σιγᾷν προτεθύμηται. Κριτὴς γὰρ τῶν ἐμῶν, ἡ συνείδησις. Τίς δὲ ὁ λόγος τῆς σιωπῆς; Ὅτι μεγάλων ἐντεῦθεν ἀνακόπτει πραγμάτων διήγησις, ὧν τὰ παράδοξα διηγεῖσθαι ἢ ἐξυμνεῖν, ὅσον ἄξιον, οὐχ οἷός τε ἐγώ· πλὴν, ὅ μοι κατ' ἀρχὰς ἐν προοιμίοις, καὶ αὖθις ἐπινενόηται. Καί μοι συγγινωσκέτω πρῶτον μὲν ὁ θεῖος οὗτος ἀνὴρ, καὶ τῆς θείας εὐσπλαγχνίας μιμητὴς, καὶ ἐγγυητής· συγγινώσκοιτε δὲ καὶ ὑμῶν ὅσοι τῆς αὐτοῦ φιλοσοφίας ἐπαινέται καὶ τρυφηταί. *Μακάριος εἶ, Σίμων,* ἐν Εὐαγγελίοις εἰσάγεται, φωνὴ δὲ αὕτη Χριστοῦ πρὸς τὸν μέγαν ἐν ἀποστόλοις Πέτρον· καὶ *στήθει ἀναπίπτων Χριστοῦ* ἄλλος μαθητὴς μεμαρτύρηται, καὶ ὅσα τοῦ μακαρισμοῦ μετὰ ταῦτα, καὶ τῶν ἐν ἀμφοτέροις ἀποκαλύψεων, καὶ τέλος, αἱ κλεῖς τῆς οὐρανῶν βασιλείας. Ἆρ' οὖν εἴ γε τῆς ὁμοίας τιμῆς καὶ δόξης ὁρᾶτο καὶ οὗτος ὁ Ἰωάννης ἠξιωμένος, ἐν δὲ τὸν εἶναι καὶ ὀνομάζεσθαι τῆς μακαρίας ἐκείνης τῶν ἀποστόλων ἀξίας καὶ τάξεως ἰσοστάσιος; Οὐδαμῶς. Πῶς δὲ καὶ τίνα τρόπον, ἤδη ἐρῶ. Συνῆν Ἰωάννῃ Σύρος τις πρέσβυς, Ἡσύχιος τοὔνομα, τοσοῦτος εἰς ἀρετὴν, ὥστε κατηξιῶσθαι αὐτὸν καὶ τοῦ μεγάλου δώρου τῆς θείας προγνώσεως· οὗ τῆς ἀναστροφῆς καὶ τῆς ἄλλης διαίτης ἐμιμεῖτο τὴν σεμνοπρέπειαν. Τούτῳ ποτὲ τῷ γέροντι προσευχομένῳ δύο τινὲς ἀν-

A Hierosolymis, et populo Antiochenæ Ecclesiæ Joannem constituit lectorem. Tunc autem dicunt eum composuisse sex libros adversus Judæos, perpetuum sui ad meliora recti cursus tenorem vita et oratione conservantem. Post hæc cum mater in Dei manus suum tradidisset spiritum, sacrosancto filio concedit libertatem. Atque magnus quidem David in his virum justum exprimens, dicit : *Dispersit, dedit pauperibus, justitia ejus manet in sæculum sæculi* [6]. Joannes autem cum matri, ut decebat, justa fecisset, non solum omnes divitias, partim quidem pulchre dispergit, partim autem Deo pulcherrime consecrat ; sed etiam suum in notos et amicos, et alioqui familiares amorem postponens, a vero et B qui nunquam effluit amore pendet ; et cum vitam suscepisset monasticam, qui etiam ante, si ullus alius, erat solitarius, tanquam tunc incipiens dat se monasteriis, quotidie ad anteriora, sicut Paulus loquitur [7], se extendens. Cum talis autem cerneretur, rogatur quidem ut fratrum suscipiat præfecturam : sed id minime sustinet. Decreta autem et ordinem omnis bonæ monasticæ exercitationis divinus hic zelotes conscripta eis tradit. Sed quid hæc, etsi magna sint, si conferantur cum futuris ? Quæ de eo quidem spargebatur fama, cogebat omnes lubenter ad eum confluere. Ipse autem tanquam fons quidam perennis, discernendarum Scripturarum aquam effundens minime perturbatam, eam affatim suppeditabat omnibus. Licebatque videre omnes, qui æstu et egestate et siti divinorum eloquiorum exsiccabantur, ex ejus libris, tanquam ex vasis, ejus claras et perspicuas haurientes interpretationes, et lætos revertentes in patriam.

6. Cum ad hunc locum pervenerim, statui silere ; meorum est enim judex conscientia. Quænam est autem ratio silentii ? Quod hinc rerum magnarum exoritur narratio, quarum admirabilitatem narrare et laudibus, quantum par est, celebrare non possum : attamen quod mihi in principio procœmii, id rursus quoque venit in mentem. Et mihi primum ignoscat hic vir divinus, divinæque clementiæ imitator et fidejussor : ignoscite autem D ex vobis quoque quicunque ejus philosophiæ laudatores estis, et in ea vos oblectatis. *Beatus es, Simon* [8], dicitur in Evangeliis ; hæc autem vox est Christi ad magnum inter apostolos Petrum. Alium quoque apostolum testatum est *super Christi pectus recubuisse* [9] ; et quæcunque fuerunt utriusque post hæc beatitudines et revelationes, et postremo claves regni cœlorum. Num ergo si eodem honore et gloria cerneretur hic quoque Joannes dignatus, ei deesset aliquid, quominus et esset et nominaretur par beatæ illi dignitati et ordini apostolorum ? Nequaquam. Quomodo autem et qua ratione, jam dicam. Cum Joanne versabatur Syrus quidam senex, nomine Hesychius, virtute tantus, ut is quoque dignus sit habitus, qui assequeretur magnum donum divinæ præscientiæ ; cujus conversationis

[6] Psal. cxi, 3. [7] Philip. iii, 13. [8] Matth. xvi, 17. [9] Joan. xiii, 25.

Digitized by Google

et vitæ agendæ honestatem imitabatur Joannes. Huic seni aliquando oranti apparent duo senes, induti candidis vestibus, astantes ubi precabatur Joannes; quorum unus quidem librum scriptum, alter vero gestabat claves. Licebat autem videre Joannem, cum eos vidisset, adorare, illos autem dicere: Confide, et noli timere. Illum vero verbo rogasse quo appellamus dominos, quinam essent, quod dignati essent venire ad suam humilitatem, et eos rursus dicere: Ne timeas, vir desideriorum, nove Daniel, in quo habitat Spiritus sanctus. Rex magnus Christus, noster magister, nos misit ad te nuntios gaudii; gaudii, inquam, quo per te fruentur omnes Dei Ecclesiæ. Hæc dixisse et ei tradidisse, alterum ex his quidem librum, alterum vero claves, subjungendo: Ego quidem Joannes, qui in mystica cœna super Christi pectus recubui, et illinc hausi fluenta theologiæ; ego autem sum Petrus, qui Christum Dei vivi Filium sum confessus. Deus vero tibi quoque dat meam potestatem. Fac omnia quæcumque tibi jubemus. Et cum in divinorum præceptorum mysteriis eum instituissent, et futurorum et bellorum et afflictionum, quæ justis hic multæ esse solent, prædixissent eventum, tandem cum universa ejus membra obsignassent, eumque amplexi essent, bonoque et forti animo esse jussissent, recedunt. Hæc cum ille vere admirabilis vidisset et audisset senex, apud se mirabatur. Iis autem qui eum sic videbant, causam rogantibus, dixit: *Regis*, o fratres, *arcana propalare* [10], et Dei aperire miracula, par atque adeo majus affert periculum; et incipiens totam narravit visionem. Cui cum data esset fides, non sciturum id Joannem, is mentes omnium implevit admiratione. Joannes autem tunc scripsit libros de monastica exercitatione. Hinc ei ascendenti ad fastigium imprimis regiæ virtutum contemplationis, et subjicienti audaciam passionum, divinitus in eas datur potestas, mente quæ principatum obtinet superno auxilio adjuvata, et subjugante illarum feritatem. Operæ pretium est autem de Omnipotentis quoque in eum et in his munificentia, contrahendo orationem, quoad fieri potest, breviter disserere.

7. Dominicam fimbriam, sicut audivimus, necessitate morbi adacta illic quidem mulier fide tangens [11], accipit tactu salutem. Ergo hic quoque imitatus est magistrum. Hic enim vir quidam laborabat tanto dolore hemicranii, ut mali vehementia exsiliens oculus ejus cerneretur pendere a maxilla. Is cum incassum in medicos suas omnes consumpsisset facultates, accedit aliquando ad divinum Joannem, rogans ut sanaretur. Ille autem dicit ei: Hunc morbum tibi conciliarunt tua animi perversitas et pauca fides in Christum Salvatorem. Tunc ægrotus, simul atque hoc dixisset Joannes, se totum traducens ad firmam Christi fidem, tangit tunicam Joannis, et cum eam locis affectis imposuisset, dicto citius fuit curatus. Post hunc

[10] Tob. XII, 7. [11] Matth. IX, 22.

A δρες ὁρῶνται λευχείμονες, παραστάντες ἔνθα ὁ Ἰωάννης προσηύχετο· ὧν ὁ μὲν τόμον γεγραμμένον, ὁ δὲ κλεῖς ἐπεφέρετο. Ὁρᾷν δὲ ἦν τούτους ἰδόντα προσκυνῆσαι τὸν Ἰωάννην, τοὺς δὲ εἰπεῖν· Θάρσει καὶ μὴ φοβοῦ. Τὸν δὲ διερωτῆσαι ῥήματι, ᾧ τοὺς κυρίους καλοῦμεν, τίνες ἂν εἶεν, ὅτι κατηξιώσατε πρὸς τὴν ἐμὴν ταπείνωσιν ἱκέσθαι· καὶ τοὺς αὖθις εἰπεῖν· Μὴ φοβοῦ, ἀνερ ἐπιθυμιῶν, νέε Δανιὴλ, ἐν ᾧ σκηνοῖ τὸ Πνεῦμα τὸ ἅγιον. Βασιλεὺς ὁ μέγας Χριστὸς, ὁ ἡμέτερος διδάσκαλος, ἀπέστειλέ σοι χαρᾶς ἀγγέλους ἡμᾶς· χαρᾶς, ἧς ἀπολαύσουσι πᾶσαι διὰ σοῦ αἱ τοῦ Θεοῦ Ἐκκλησίαι. Ταῦτα εἰπεῖν, καὶ ἐπιδοῦναι αὐτῷ, τὸν μὲν τὸν τόμον, τὸν δὲ τὰς κλεῖς, ἐπειπόντας, ὡς Ἐγὼ μὲν Ἰωάννης, ὁ ἐπιπεσὼν ἐν τῷ μυστικῷ δείπνῳ στήθει Χριστοῦ, κἀκεῖθεν τὰ τῆς B θεολογίας ἐρυσάμενος νάματα· ἐγὼ δὲ Πέτρος, ὁ τὸν Χριστὸν Υἱὸν Θεοῦ ὁμολογήσας. Θεὸς δὲ καὶ σοὶ τὴν ἐμὴν δίδωσιν ἐξουσίαν· ποίησον οὖν πάντα, ὅσα ἐντελλόμεθά σοι. Μυσταγωγήσαντές τε αὐτὸν τὰ θεῖα ἐντάλματα, καὶ τῶν ἐπελευσομένων πολέμων αὐτῷ καὶ θλίψεων, αἳ πολλαὶ τοῖς δικαίοις προσγίνονται, τὴν ἔκβασιν προειπόντες, τέλος πᾶν μέλος αὐτοῦ κατασφραγισάμενοι, ἀσπασάμενοί τε καὶ θαρσεῖν καὶ ἰσχύειν ἐπειπόντες, ἀπίασι. Ταῦτα ὁ θαυμάσιος ἐκεῖνος ὄντως ἰδὼν, καὶ ἀκούσας πρεσβύτης, καθ' ἑαυτὸν ἐξεπλήττετο. Τῶν δὲ βλεπόντων οὕτως αὐτὸν, τὴν αἰτίαν πυνθανομένων, ἔφη· *Μυστήρια βασιλέως*, ἀδελφοί, *θριαμβεύειν*, καὶ Θεοῦ καλύπτειν τεράστια, τὸν ἴσον, μᾶλλον δὲ καὶ πλείω κίνδυνον C ἐπιφέρει. Καὶ ἀρξάμενος, τὸ πᾶν διῆλθε τῆς ὁπτασίας. Ἀσφαλισάμενός τε αὐτοὺς μὴ γνωσθῆναι ταῦτα τῷ Ἰωάννῃ, θάμβους τῶν ἀκουσάντων τὰς διανοίας ἐπλήρωσεν. Ὁ δὲ Ἰωάννης τηνικαῦτα τοὺς ἀσκητικοὺς συνεγράψατο λόγους. Ἐντεῦθεν αὐτῷ πρὸς ἀκρώρειαν τῆς βασιλικωτάτης τῶν ἀρετῶν ἀνιόντι περιωπῆς, καὶ τὰ θράση τῶν παθῶν ὑποτάσσοντι, θεόθεν ἡ κατ' αὐτῶν ἐξουσία παραδίδοται, τοῦ αὐτοκράτορος νοῦ τῇ ἄνωθεν συνεπικουρίᾳ φορολογοῦντος, καὶ τὸ ἐκείνων ἀγριαῖνον καθυποτάσσοντος. Ἄξιον δὲ τῆς περὶ τὸν ἄνδρα παρὰ τοῦ κρείττονος κἀν τούτοις φιλοτιμίας συνελόντα τὸν λόγον, ὅσον ἐνδέχεται, βραχέα διαλαβεῖν.

D Ζ'. Τοῦ Δεσποτικοῦ κρασπέδου, καθάπερ ἠκούσαμεν, ἀνάγκῃ πάθους ἐκεῖ μὲν γυνὴ ἐκ πίστεως ἁψάμενον, τῇ ἁφῇ τὴν σωτηρίαν ἀπολαμβάνει· τὸν διδάσκαλον οὖν καὶ οὗτος ἀπομεμίμηται. Ἐνταῦθα γάρ τις ἀνὴρ τοσαύτῃ περὶ τὸ ἡμίκρανον ἀλγηδόνι συνέχεται, ὥστε τῷ σφοδρῷ τῆς ὀδύνης τὸν τούτου ὀφθαλμὸν ἐκπηδήσαντα, τῇ σιαγόνι ὁρᾶσθαι ἀπαιωρούμενον. Οὗτος ἰατροῖς προσαναλώσας ὅλον τὸν βίον ἀνόνητα, πρόσεισί ποτε τῷ θείῳ Ἰωάννῃ, ἀντιβολῶν ἰαθῆναι. Ὁ δὲ λέγει αὐτῷ· Τοῦτό σοι τὸ πάθος, τὸ σκολιὸν τῆς ψυχῆς, καὶ πρὸς τὸν Σωτῆρα Χριστὸν ὀλιγόπιστον προεξένησαν. Ὁ δὲ πάσχων, ἅμα τῷ λόγῳ, ὅλον ἑαυτὸν ἐπὶ τὴν ἀῤῥαγῆ πίστιν Χριστοῦ μεταθεὶς, ἅπτεται τοῦ χιτωνίσκου τοῦ Ἰωάννου, καὶ τοῖς πεπονθόσι χωρίοις ἐπιθεὶς, θᾶττον ἢ λόγος,

Digitized by Google

λαμβάνει τὴν ἴασιν. Μετὰ τοῦτον λεπρός τις τὴν ὄψιν, τῶν μεγιστάνων τυγχάνων, Ἀρχέλαος ὄνομα, προσῆλθε τῷ Ἰωάννῃ, καὶ καθὼς Ζακχαῖος ἐκεῖνος, πρὸς τὸν Δεσπότην μεγαλοψύχῳ κινήματι πίστεως καὶ οὗτος εἰπὼν καὶ συνθεόμενος, πρῶτον τὴν ἀμορφίαν τῆς λεπρώσης ψυχῆς τῷ ῥυπτικωτάτῳ τῶν Ἰωάννου λογίων ἀποπλυνάμενος ὕδατι, μετά γε τοῦτο τοῦ φρεατίου ὕδατος, ᾧ ἐχρῶντο οἱ ἀδελφοί, κελεύεται νίψασθαι· καὶ νιψάμενος, εὐθέως καὶ τὸ σῶμα καθαίρεται. Εἶτα τῷ περιόντι τῆς εἰς Χριστὸν πίστεως, ἧς ἦν αὐτῷ τὸ χρυσοῦν ὄντως ἐκεῖνο στόμα πρόξενον ἀποκείρεται· καὶ μονάσας ὁσίως, διαπρέπει καὶ τελειοῦται. Τούτου ζηλωταὶ πολλοὶ τῶν τότε καθίστανται, τὰ μὲν ποικίλα τῶν λογισμῶν τῷ ἰατρῷ θεατρίζοντες τραύματα, ἁπλῆν δὲ καὶ ῥᾴστην καὶ ἄφονον τὴν θεραπείαν ἀποκληρούμενοι. Πανταχοῦ τότε λοιπὸν μοναστήρια, ἀγάπης πλεονασμός, διπλόης ἀφανισμός, ταπεινοφροσύνης περιουσιασμός, ἀγερωχίας κατακλυσμός, βίος ἀσκητικός, λόγος εἰρηνικός, βρωμάτων ὑπεροψία, δογμάτων διδασκαλία. Οὐκ ἦν ἰδεῖν τότε πόσεων οἰνοφλυγίαν, οὐ γέλωτος ἀταξίαν, οὐκ ἔριδας, οὐ ζῆλον, οὐκ ἄλλο τι τῶν ἀντιτειχιζόντων νεφῶν ὁρᾶσθαι τὰς τοῦ νοητοῦ Ἡλίου μαρμαρυγάς. Τῶν ἁπάντων κεφάλαιον ἦν τῆς Ἰωάννου κηδεμονίας ἡ φιλάνθρωπος ἐπιμέλεια. Τί τὰ ἄλλα τῶν θαυμάτων; Νῦν μὲν Εὔκλεος ἐκεῖνος, ὃς φθόνῳ διαβόλου, θατέρου τῶν ὀφθαλμῶν τὸ φῶς λέγεται ἀπολέσαι, πιστεύει τῷ Χριστῷ, πρόσεισιν, ἀποκείρεται· τέλος, εὐχαῖς τοῦ Ἰωάννου πάλιν ἀπολαμβάνει τὸ φῶς· νῦν δὲ ἡ αἱμόῤῥους ἐκείνη χρόνοις ἑπτὰ διατελοῦσα, τὸν σύζυγον πείθει, καὶ δι' αὐτοῦ δυσωπεῖ μὲν τὸν Ἰωάννην, διδάσκεται δὲ παρ' αὐτοῦ τὴν αἰτίαν, ὅτι δι' ἁμαρτίας παρεχωρήθη κολάζεσθαι. Ποίας δὲ ταύτας; Τὴν πρὸς τὰς ἄβρας ἀπανθρωπίαν, τὴν τῶν πενήτων ἀφροντιστίαν, ἀδδηφαγίαν τε καὶ πᾶσαν ἐρισχελίαν. Πρὸς ταῦτα τί δεῖ τὰ πολυειδῆ τοῦ τῶν ψυχῶν ἰατροῦ φάρμακα λέγειν, ὁπόσοις τὴν ἄνθρωπον προσεπενοήσατο; Πάντα διὰ τοῦ συζύγου μαθοῦσα, καὶ αὐτῶν τὴν διόρθωσιν πιστῶς ἐπαγγελομένη, ταχύτατα λαμβάνει τὴν αἴσθησιν τῆς ἰάσεως. Τί δὲ καὶ περὶ τοῦ ἀνημέρου θηρὸς ἐκείνου, ὃς πολλοὺς μὲν τῶν διοδευόντων ποιεῖται κατάβρωμα, πολλοὺς δὲ τῶν ὁμορούντων τῷ δέει φυγάδας ἐργάζεται; Τὸ Δεσποτικὸν ὅπλον ὁ θεῖος κατὰ τοῦ θηρὸς ἐκείνου προβάλλεται στρατηγὸς, καὶ τοῦτο παγῆναι πρὸ τοῦ σπηλαίου διορισάμενος, τὸν φοβερὸν ἐκεῖνον καὶ ἀνθρωποκτόνον λέοντα ποιεῖ πρὸ τοῦ τιμίου σταυροῦ περὶ τὸ περίορθρον χαμαὶ εὑρεθῆναι νενεκρωμένον. Τούτῳ τῷ ὅπλῳ καὶ τῷ τρόπῳ ἀναῤῥύεται μὲν τοὺς ἁλόντας αἰχμαλωσίᾳ τῆς εἰδωλολατρείας· μερίζεται δὲ τὴν ψυχὴν ἑτέραις θεαρέστοις βουλαῖς καὶ ἀποσκοπήσεσιν.

η'. Ἐπειδὴ, τὸ τοῦ Δαβὶδ, καταμόνας εἶναι λίαν ἠσπάζετο, τὸ δὲ φιλάνθρωπον ἀντεφιλονείκει περικόπτον τὸ βούλημα, τὴν καλὴν οἰκονομίαν ἀμφοτέροις κάλλιστα διατίθησιν. Εἰδὼς γὰρ τὸ ἰδιάζον ἀσφαλέστερον μὲν καὶ ἀτάραχον, τοῖς δὲ πολλοῖς, οὐκ ἄτυφον νομιζόμενον· τὸ δὲ κοινωνικὸν, ταραχῶδες μὲν καὶ σφαλερώτερον, οὐκ ἄμισθον δὲ, οὐδὲ ἀκερδὲς, πανσόφως ἄγαν ἀμφότερα κίρνησιν· ὅτε μὲν

A quidam facie leprosus, qui erat e proceribus, nomine Archelaus, accessit ad Joannem, et quomodo Zachæus ille, ad Dominum magnanimo motu fidei hic quoque loquens et accedens; cum leprosæ animæ deformitatem Joannes eloquiorum, quæ maxime expurgabat, aqua abluisset, jubet eum quoque aqua putei, qua fratres utebantur, lavari; et cum lavatus esset, ejus quoque corpus mundatur protinus. Deinde propter summam in Christum fidem, quam ei conciliaverat illud os vere aureum, tondetur; et cum sancte fuisset monachus, insignis evadit et perfectus fit. Multi ex iis qui tunc erant, fuerunt ejus imitatores, varia quidem cogitationum vulnera medico aperientes, simplicem autem et facilem et copiosam assequentes curationem. Ubique B tunc de cætero monasteria, charitatis abundantia, duplicitatis expulsio, humilitatis redundantia, superbiæ diluvium, vita ascetica, oratio pacifica, ciborum contemptio, dogmatum doctrina. Non licebat tunc videre compotationum temulentiam, non risus insolentiam, non lites, non æmulationem, non aliquam aliam nubem quæ obstaret quominus videretur spiritualis solis splendor. Quorum omnium est caput unum benigna cura Joannis providentiæ. Quid alia miracula? Nunc quidem, Eucleus ille, qui invidia diaboli, alterius oculorum lucem dicitur perdidisse, credit Christo; accedit, tonde-tur, tandem Joannis precibus lucem rursus accipit. Nunc autem illa quæ laborabat sanguinis profluvio, septem annos sic affecta, persuadet conjugi et per eum rogat Joannem; ab eo autem docetur causam, quod propter peccata permissum C fuerit ut puniretur. Quænam autem sunt ea? Summa in famulas inhumanitas, pauperum contemptus, ingluvies et omnis nugacitas. Ad hæc quid opus est dicere multiplicia medici remedia quæ in mulierem excogitavit? Quæ cum omnia per conjugem didicisset, et se omnia esse correcturam fideliter promisisset, celerrime recipit sensum curationis. Quid vero de immani quoque illa fera, quæ multos quidem devoravit ex iis qui transibant, ex finitimis autem multos egit in fugam? Dominica arma divinus ille imperator objicit belluæ; et cum decrevisset ut ea figerentur ante speluncam, D facit ut ille terribilis et sævus hominum occisor leo ante pretiosam crucem mane humi inveniretur morte affectus. His armis et moribus liberat quidem eos, qui capti erant a captivitate cultus simulacrorum; animum autem confert ad alia Deo grata consilia et contemplationem.

8. Nam quoniam illud divini Davidis singularitas et solum esse valde amplectebatur, adversus id autem contendebat benignitas voluntatem reprimens, optimo et prudenti consilio utrumque recte administrat. Nam cum sciret, scorsum quidem esse, tutius et magis perturbatione vacuum, a multis autem id existimari non carere fasto et arrogantia, sed uti multorum consuetudine et se eis commu-

Digitized by Google

nicare, turbulentum quidem et periculosius, sed non carere mercede et utilitate, sapientissime utraque commiscet, aliquando quidem versatus cum omnibus, ut omnes lucrifaceret [12] Paulus hic novus, aut complures; aliquando autem seorsum latens in caligine, et purus cum puro versatus [13], novus Moyses, animarum et mentium, quæ Deum vident, legislator et dux. Hinc cum amor divinus superasset, is magnum hunc decertatorem deducit ad quamdam speluncam habitandam, in qua biennium insomnis fere peragens, divinæ scrutabatur Scripturæ, tam veteris quam novæ, quæ sunt profundissima. Cum autem robur corporis voluntati animæ non suffecisset, imus venter morte afficitur; et cum haberet renes frigore sauciatos, tanquam in portum venit ad ecclesiam Antiochenam. Deinde ordinatur diaconus. Quo in ordine se quinque annos præclare gerens, scripsit sex libros De sacerdotio, tres ad Stagirium, qui sunt inscripti de incomprehensibili et ad Anomœos, et sex præterea de introductitiis.

A τοῖς πᾶσιν ἀναστρεφόμενος, ἵνα κερδήσῃ πάντας Παῦλος οὗτος ὁ νέος, ἢ πλείονας· ὅτε δὲ ἰδιαζόντως τῷ γνόφῳ κρυπτόμενος, καὶ καθαρῶς τῷ καθαρῷ συγγινόμενος ὁ νέος Μωῦσῆς, ὁ ψυχῶν καὶ νόων ὁρώντων Θεὸν νομοθέτης καὶ ὁδηγὸς καὶ ἡμαγωγός. Ἐντεῦθεν ὁ θεῖος ἔρως ὑπερνικήσας, ἄγει τὸν μέγαν τοῦτον ἀγωνιστὴν εἴς τινος σπηλαίου κατοίκησιν· ἐν ᾧ διετῆ χρόνον ἄϋπνος μικροῦ διανύσας, ἠρεύνα τῆς θείας Γραφῆς, Καινῆς τε καὶ Παλαιᾶς, τὰ βαθύτατα. Τοῦ δὲ σωματικοῦ τόνου τῷ ψυχικῷ προθύμῳ μὴ ἐπαρκέσαντος, νεκροῦται τὰ ὑπογάστρια, καὶ τοὺς νεφροὺς τῷ κρύει τραυματισθεὶς, καθάπερ λιμένα καταλαμβάνει τὴν Ἀντιοχέων ἐκκλησίαν. Εἶτα χειροτονεῖται διάκονος. Ἐν οἷς διαπρέπων ἐπὶ ἔτεσι πέντε, τοὺς περὶ ἱερωσύνης, τοὺς πρὸς Σταγείριον τρεῖς B λόγους, τοὺς περὶ ἀκαταλήπτου, καὶ πρὸς Ἀνομοίους, ἔτι τε τοὺς περὶ συνεισάκτων ἓξ συνετάξατο λόγους

9. Sed jam ad magni Joannis in presbyterum ordinationem nos vocans oratio, modum enuntiet. Cum Constantinopoli mortuus esset Meletius, qui eo venerat ad constituendum magnum illud luminare, nempe Gregorium cognomento Theologum, Flavianus Meletio succedit Antiochiæ. Is autem cum vigilaret, ut consueverat, quadam nocte videt divinum accessisse angelum, qui ei jubebat ordinare Joannem, dicens futurum Joannem novum vas electionis: Ecce, dicens, ego ei de hoc mandatum dabo, et obediet. Ad quem quidem cum accessisset angelus, ei mandavit; prius narravit futura, et quæcunque par est facere eum qui divinus sit minister. Et ut pluribus prætermissis veniat oratio ad id quod est maxime mirabile, hoc faciat. Cum magnus et hostia et pontifex Jesus Christus Filius Dei mei aquis purgaretur, Pater apparet, ab alto voce testificans eum germanum esse Filium, et Spiritus in columbæ specie [14] vocem illam confirmat. Et licet alicui audax videatur oratio propter ea quæ audet dicere juveniliter, illa proponimus ad recordationem. Quænam? Illud, *Ego dixi, Dii estis*, et illud rursus, si vultis: *et filii Altissimi omnes* [15]; et ante ea, verbum quod est: *ad imaginem et similitudinem* [16]; et quæcunque ad honorem eorum, D qui servant quæ sunt imaginis, copiosa providit gratia. Mihi autem hic quoque considera. Cum igitur adesset hora ordinationis, et incruentum perageretur sacrificium, et inferius assisteret multitudo innumerabilis, et angeli desuper intuerentur, manum imponente episcopo et preces dicente consuetas, dicitur factum esse illud maxime novum spectaculum. Alba columba repente devolans, quomodo illic supra Jesum meum et Deum, in honorem ejus, cui manus hic imponebantur, stetit supra ejus caput. Hoc admiratione quidem afficit et stupefacit eos, qui tunc aderant, simul attrahit autem eos quoque qui audiunt. Admiratur universa, non solum quæ circumsita est regio, sed etiam universa quæ extra fines est Syria. Sic om-

θ'. Ἀλλ' ἤδη καὶ πρὸς τὴν τοῦ πρεσβυτέρου χειροτονίαν τοῦ μεγάλου Ἰωάννου προσκαλουμένου, ὁ λόγος τὸν τρόπον ἀπαγγειλάτω. Ἐν Κωνσταντινουπόλει τελευτήσαντος Μελετίου, παραγεγονότος ἐν αὐτῇ τότε χάριν τῆς τοῦ μεγάλου λαμπτῆρος καταστάσεως Γρηγορίου, ᾧ ἐπώνυμον ἡ τοῦ λόγου θειότης, Φλαβιανὸς ἐν τῇ Ἀντιοχέων Μελέτιον διαδέχεται. Οὗτος δὲ συνήθως ἐπαγρυπνῶν, ἐν μιᾷ νυκτὶ θεῖον ὁρᾷ παραγενόμενον ἄγγελον, ἐγκελευόμενον αὐτῷ χειροτονῆσαι τὸν Ἰωάννην, νέον ἐκλογῆς σκεῦος λέγοντα ὡς ἔσται Ἰωάννης· καὶ ὅτι Ἰδοὺ ἐντέλλομαι C καὶ αὐτῷ περὶ τούτου, καὶ ὑπακούσεται. Ἐφ' ὃν δὴ παραγεγονὼς ὁ ἄγγελος ἐνετέλλετο, προδιηγεῖτο μέλλοντα, καὶ ὅσα εἰκὸς τὸν θεῖον εἰπὼν διακονήσασθαι λειτουργόν. Καὶ ἵνα τὰ πλεῖστα παραδραμὼν ὁ λόγος πρὸς τὸ θαυμασιώτερον γένηται· τοῦτο δὴ καὶ παιείτω. Τοῦ μεγάλου καὶ θύματος καὶ ἀρχιερέως Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ ἐμοῦ καθαιρομένου τοῖς ὕδασιν, ὁ Πατὴρ ἄνωθεν φωνῇ μαρτυρῶν τῷ Υἱῷ τὸ γνήσιον ἐπιφαίνεται· καὶ περιστερᾶς ἐν εἴδει τὸ Πνεῦμα τὸ ἀσφαλὲς βεβαιοῖ τῆς φωνῆς. Καὶ εἰ τολμηρὸς ὁ λόγος, ἐφ' οἷς ἤδη τολμῆσαι νεανιεύεται, ἐκεῖνα προτίθεμεν εἰς ἀνάμνησιν. Ποῖα; Τὸ, *Ἐγὼ εἶπα· Θεοί ἐστε*, καὶ τὸ, εἰ θέλετε πάλιν, *καὶ υἱοὶ Ὑψίστου πάντες*· καὶ πρὸ τούτων, *τὸν κατ' εἰκόνα λόγον καὶ καθ' ὁμοίωσιν*· καὶ ὅσα εἰς τιμὴν τῶν φυλασσόντων τὰ τῆς εἰκόνος ἡ ἄφθονος χάρις ᾠκονομήσατο. Σκόπει μοι δὴ κἀνταῦθα. Ὅτε τοίνυν ἡ ὥρα παρῆν τῆς χειροτονίας, τῆς ἀναιμάκτου θυσίας τελουμένης, πλήθους ἀπείρου κάτω παρεστηκότος, ἄνωθεν ἀγγέλων ἐπισκοπούντων, τοῦ ἐπισκόπου χειρωθέντος, καὶ τὴν συνήθη ποιοῦντος εὐχὴν, τὸ καινότατον ἐκεῖνο γεγονέναι θέαμα λέγεται· ἄφνω περιστερὰ λευκὴ καταπτᾶσα, καθάπερ ἐκεῖ ἐπὶ τοῦ ἐμοῦ Ἰησοῦ καὶ Θεοῦ, εἰς τιμὴν τοῦ χειροθετουμένου, ἔστη ὑπὲρ τῆς αὐτοῦ κεφαλῆς. Τοῦτο θαμβεῖ μὲν τοὺς τότε παρόντας θεασαμένους καὶ καταπλήττει, συνέλκει δὲ τοὺς ἀκούοντας. Θαυμάζει πᾶσα οὐ μόνον ἡ περίχωρος, ἀλλὰ καὶ ἡ ὑπερόριος πᾶσα Συρία. Ἔθεντο πάντες ἐν τῇ καρδίᾳ ταῦτα, λέγοντες·

[12] I Cor. IX, 19. [13] Exod. XX, 21. [14] Matth. III, 16. [15] Psal. LXXXI, 6. [16] Gen. I, 26.

Digitized by Google

Τί ἄρα ἔσται τῷ Ἰωάννῃ, ὅτι ἐκ προοιμίων ἐφανερώθη ἐν αὐτῷ ἡ δόξα Κυρίου; Ἐκ μὲν οὖν τῶν εἰρημένων ἡ, ἐφ' οἷς τὸν οἰκεῖον λειτουργὸν ὁ παρὰ δόξαν ἀνδρῶν εἰς τιμὴν τῶν αὐτοῦ θεραπόντων καὶ δόξαν οὐράνιος τιμᾷ βασιλεύς, εὐφυὴς τῶν πραγμάτων ἀπόδειξις. Ἐνταῦθα δὲ τὸν λόγον βραχύ τι διὰ τὸν κόρον προσαναπαύσαντες, τῶν ἑξῆς προθυμοτέραν ποιῶμεν τὴν διεξάνυσιν. Ἐπειδὴ τῆς οἰκουμένης ὁ μέγας ἔμελλεν ἤδη τὴν προστασίαν προστάτης καὶ κριτὴς ἀναδέχεσθαι, ἔτι τοῖς καλοῖς προγυμνάζεται. Δωδέκατον γὰρ ἔτος ἀνύσας ἐν τῇ Ἀντιοχέων, ἀποσεμνύνει τὸ ἱερατεῖον τῷ καθαρῷ τοῦ βίου, καθαίρων τὰς τῶν βλεπόντων ψυχὰς, λαμπρότητι τοῦ λόγου λαμπρύνων, ἁγιάζων τὰς διανοίας ἁπάντων, πολὺς εἰς τὸ διδάξαι, μέγας εἰς τὴν τῶν ἀκουόντων ὠφέλειαν, τῷ στύφοντι μᾶλλον τοῦ ἤθους, ἢ αἰδοῖ χαριζόμενος, τὸ τοῦ λέοντος πεπονθὼς, ἐν τῷ δικαίῳ διαφερόμενος, ᾧ τοῖς νωθεστέροις ἀλαζονικὸς ἐνομίζετο. Τίς νοῦς, τίς λόγος τὰς ἐκείνῳ πρὸς σωτηρίαν ἁπάντων ἐξευρημένας ὁδοὺς παραστήσειεν; ὧν τὰ πλεῖστά φασι καὶ μέχρι τῆς νῦν περισώζεσθαι τῇ Ἀντιοχέων. Ἀναγκάζεταί ποτε παρὰ τοῦ πρόεδρου ἀνελθεῖν ἐπὶ τοῦ ὁκρίβαντος, καὶ σχεδίως τῷ λαῷ ἐξηγήσασθαι· καὶ μόλις μὲν, βίᾳ δὲ ὅμως πεισθεὶς, καὶ ἀρξάμενος τοῦ λόγου, ὑπόθεσιν ἔχων, εἰς τὸ πρῶτον τότε εἰπεῖν, καὶ εἰς τὸν ἐπίσκοπον, οὗ ἡ ἀρχή· Ἆρα ἀληθῆ τὰ συμβάντα περὶ ἡμᾶς; πάντας ἐξίστησεν. Ἔκτοτε πάντας εἶλεν, ἐπὶ τοῦτο πάντες εἰσέρρεον· κατελίμπανον γεωργίας, τέχνας, ἐξουσίας, διοικήσεις ἁπάσας, ἃς οἷδε πολλὰς ἐμποιεῖν τοῖς ἀνθρώποις ἡ περὶ βίου πολύμοχθον τοῦτον βίον πολυειδὴς περιπέτεια. Φθάνει καὶ τὰς ἀκοὰς Ἀρκαδίου τοῦ βασιλέως ἡ περὶ αὐτοῦ φήμη· καὶ ὁ βασιλεὺς διανίσταται τὴν ψυχὴν, ἔρωτι θείῳ καὶ φίλτρῳ τῆς τούτου θείας περισπαζόμενος.

ι'. Ἀλλὰ μεταξὺ τούτων βραχεῖ λόγῳ παρελείφθη τοῦ λόγου, μακρᾶς ἀσφαλείας ἀνακύψασα παίδευσις, κοινὴ μὲν ἅπασι, μάλιστα δὲ ταῖς ψυχαῖς τῶν ὑπὸ ζυγὸν ὄντων· προσέχειν δὲ ἄξιον· Γυνή τις πρώτη τῶν ἐν Ἀντιοχείᾳ τὸν υἱὸν λάβρως πυρέττοντα καὶ ἀπογινωσκόμενον ἄγει πρὸς τοῦτον τὸν ἰατρὸν, τὴν ἴασιν ἐπισπεύδουσα. Ὁ δὲ, Τοῦτο, ἔφη, Θεοῦ μέν ἐστι τοῦ ζωοποιοῦντος· σὺ δὲ, ὦ γύναι, ἀπέχου τῶν προτέρων παραπτωμάτων· ἴσθι γὰρ ὅτι καὶ οἱ λοιποί σου τέσσαρες υἱοὶ, διὰ τὰς ἁμαρτίας σου καὶ τοῦ ἀνδρός σου τεθνήκασι πρὸς παίδειαν ὑμῶν. Ἔμελλε δὲ καὶ αὐτός· ἀλλὰ διανάστητε, ἀλλὰ διανήψατε· καὶ οὐ μόνον τὸν παῖδα ζῶντα, ἀλλὰ καὶ τὴν τῶν οὐρανῶν ἀπολήψεσθε βασιλείαν. Ταῦτα ὡς ἐκ στόματος Θεοῦ δεδεγμένοι, καὶ λίαν εὐλαβῶς ὑποσχόμενοι τὴν διόρθωσιν, παραυτὰ καὶ τὸν παῖδα ὑγιῆ προσλαμβάνουσιν. Ἀλλ' ὧδε μὲν ὁ τοῦ λόγου δρόμος ἦκεν ἐπὶ τοσοῦτον· ἐντεῦθεν δὲ περὶ τῶν τὰ Μαρκίωνος νοσούντων ὁ τρόπος λεγέσθω τῆς θείας κρίσεως. Ταύτην οἱ νοσοῦντες τότε τὴν νόσον, τὸ μὲν ὅθεν παῤῥησιασάμενοι πολλοὺς ἀποσύρουσιν, ἤδη λελέξεται· τὸ δὲ ὅπως τῆς ἐπὶ θάνατον ἀναῤῥύονται πᾶσα ἡ πόλις, δεδόσθω τῷ λόγῳ πρὸς δόξαν τοῦ λόγου. Συνενόσει τούτοις δὲ ὁ ἄρχων τὴν νόσον τῆς

A nes apud se cogitabant, dicentes : Quidnam ergo erit Joanni, quod ab initio ei apparuit gloria Domini? Atque ex iis quidem quæ dicta sunt, rerum est demonstratio admirabilis, in his quibus suum ministrum honorat præ hominum opinione rex cœlestis, ad gloriam et honorem eorum qui illi ministrant. Cum hic autem orationis cursum propter satietatem parumper stiterimus, ad ea quæ deinceps consequentur, pergemus alacrius. Quoniam orbis terræ creandus erat magnus antistes et judex, his quoque bonis et honestis prius exercetur. Nam cum duodecim annos transegisset presbyter in Ecclesia Antiochena, puritate vitæ decorat sacerdotium, eorum qui videbant animas expurgans, et verbi splendore mentes omnium illustrans et sanctificans; multus in docendo, magnus ad utilitatem B eorum qui audiebant morum potius severitati quam pudori serviens, leonis fiduciam ostendens in justitia; qua de causa hebetioribus existimabatur arrogans et insolens. Quæ mens, quæ oratio ostenderit vias, quæ ab illo inventæ sunt ad salutem omnium? quarum plurimam partem dicunt usque in hodiernum diem servari Antiochiæ. Cogitur aliquando ab antistite Flaviano ascendere suggestum, et ex tempore populo exponere; vix tandem, vi persuasus, cum dicendi cepisset argumentum, quod nunc primum sibi sit dicendum, et episcopi loco cujus est munus, incipit : Num vera sunt quæ nobis acciderunt? affecit omnes C admiratione. Ab eo tempore omnes præterea attrahebat, omnes affluebant, relinquebant agriculturam, artes, potestates, omnes administrationes, quas multas affert hominibus laboriosæ vitæ varia et multiplex conditio. Ad Arcadii imperatoris aures pervenit etiam ejus fama, et tenetur ejus animus magno illius videndi desiderio.

10. Sed inter hæc brevi oratione assumatur, quæ ex magna cautione emersit castigatio, communis quidem omnibus, maxime autem animis eorum, qui sunt sub jugo. Operæ pretium est attendere. Mulier quædam prima ex iis, quæ erant Antiochiæ, filium vehementer febricitantem, et plane deploratum adducit ad hunc sapientem medicum, instans ut eum curaret. Ille autem dixit : Hoc D quidem est Dei vivificantis. Tu vero, o mulier, abstine a tuis prioribus delictis, scias enim cæteros quoque tuos quatuor filios, propter peccata tua et mariti tui, esse mortuos ad vestram disciplinam. Erat autem hic quoque moriturus : sed surgite et resipiscite, et non solum filium vivum, sed etiam cœlorum regnum accipietis. Hæc cum tanquam ex ore Dei accepissent, et se esse correcturos sancte essent polliciti, protinus filium quoque sanum accipiunt. Sed hucusque quidem procedat cursus orationis. Hinc autem de eis, qui Marcionis morbo laborabant, dicatur quodnam fuerit divinum judicium. Atque qui hoc quidem morbo tunc laborabant, quanam quidem fiducia freti multos attraherent jamjam dicetur. Quomodo autem a morbo qui tendebat ad mortem liberata sit tota

Digitized by Google

civitas, dicendum est ad Verbi gloriam. Eodem morbo, quo civitas, laborabat etiam præses civitatis; et hæc erat causa quod malum cresceret, quid ergo facit Deus, qui animarum semper saluti providet? . . . . . *Desunt.*

A πόλεως, καὶ αὕτη ἀφορμὴ τοῦ κακοῦ τῆς προσθήκης. Τί οὖν ποιεῖ ὁ τῶν ψυχῶν ἀεὶ Θεὸς τὴν σωτηρίαν οἰκονομῶν; . . . . . Λείπει. . . . .

Uxorem præsidis ferit morbo dyssenteriæ. Et ea quidem omnes accersit, nihil autem ei prodest, sed omni ex parte auxilio deficitur. Deinde quid? Confugit ad hæreticos. Ii quoque aggrediuntur ad trium dierum usque precationem, nec quidquam proficiunt. Nescit rursus quid agat mulier: tandem statuit ad virum divinum confugere. Deinde id dicit marito suo, persuadet. Postremo venit ad Dei servum. Joannes de his disceptat cum episcopo, eis procedit obviam, ex ecclesia arcens tanquam indignos, arguit hæreseos: petunt ipsi veniam, assentiuntur veritati, maxime autem mulier. Cum sanctus aquam attulisset, rogat episcopum, ut facto signaculo mulieri aquam aspergat. Hoc cum factum esset, statim mulier accipit sanitatem, reversa suis pedibus, et pulchre effecta, reddens quæcunque erat pollicita. Hoc fuit hæreticis dedecori, probro et afflictioni; et causa cur virum divinum maledictis incesserent. Ille autem omnia quidem despiciebat, uni solum rei intentus, nempe illorum saluti. Sed non persuadebat. Dolore autem affectus propter universam civitatem, lamentabatur dicens: Si Salvator maledictis incessabatur, idque cum Deus esset, ab ingratis; qui hoc magnum in nos servos? Speró tamen fore ut illorum casu Deus universam castiget civitatem. Nondum autem nox præterierat, et terræ motu tota concutitur civitas. Tenebris involvitur concilium hæreticorum, ad solum usque dejicitur, et quævis domus hæretici; et domus eorum fiunt eorum sepulcra, nulla læsa domo orthodoxorum. Propter hoc confirmabatur civitas, et augebatur fides, et Deus laudabatur. Quid præterea? Post hanc admirabilem Omnipotentis providentiam et judicium, non longum effluxit tempus, et decessit Nectarius antistes Constantinopolitanus. Quærebat autem quilibet eum qui esset dignus. Cum alius vero ab aliis præferretur, aut etiam intruderetur, imperatori visum est post longam de re consultationem, Joannem deduci Antiochia, omnibus communiter suffragantibus et rei et litteris. Hæc cognoscit Antiochia; et quæ deinceps quidem sequuntur, aggredi veretur oratio: aggredietur tamen, quoad fieri poterit. Cum cogitaret unusquisque se sui boni facere jacturam, ad tantam excitantur seditionem, ut timore affectus antistes, dato jurejurando persuaserit omnibus se rem

[11] esse prohibiturum, sicque vix tandem sedat seditionem; ad imperatorem autem scribit de seditione. Divini itaque stimuli et miraculi desiderio feritur cor imperatoris et senatus cum hæc audivissent, et erecto tropæo, sacrum illud bellum declinantes, cum rem quæ desiderabatur plane auream ex Antiochena civitate surripuissent, donant Constantinopoli. Quomodo? Comiti Antiocheno jubet imperator, ut ignorantibus omnibus Joannem ad se accerseret. Quod cum fecisset comes, et usque ad martyria quæ sunt extra civitatem sapienter admodum traxisset Joannem, et equo impositum celeri cursu abduxisset, dedit iis qui desiderabant. Cum autem multi convenissent episcopi, imperatoris parati sollicitudine, cum episcopis erat etiam Alexandrinus ille Theophilus, qui invidia motus, conabatur Joannis gloriæ detrahere; quod nulla in eum caderet reprehensio, tabescens et eum recusans manu imposita consecrare. Vincitur tamen vel invitus; semper enim vincit Spiritus sanctus. Sic autem vincitur: multi ex iis qui divino erant zelo incensi, Theophili malorum filiadem scriptis satis pulchre mandarunt, quam quidem tunc manus tenens, qui in imperatorio primas partes obtinebat gynæceo, is autem erat Eutropius, Theophilo ostendit dicens: Alterum duorum elige, ut vel horum convincaris, vel impositis manibus Joannem consecres. Adversus eum ergo qui talia ausus fuerat, Eutropii verborum producta acies, vi expugnavit maleficum periculosi et ancipitis studii. Quo quidem cum in Theophilum acres jam fierent quæstiones, in trivio cogitationum, ut est in proverbio,

B [ια']..... τοῦ πράγματος κώλυσιν· καὶ οὕτω κατευνάζει πόλις τὸ στασιάζον, καὶ γράφει τῷ βασιλεῖ τὰ τῆς στάσεως. Βάλλεται τοίνυν τῷ τοῦ θείου κέντρου καὶ θαύματος πόθῳ τὴν καρδίαν ὁ βασιλεὺς, καὶ ἡ σύγκλητος τούτων ἀκούσαντες, καὶ τροπαίῳ τὸν ἱερὸν ἐκεῖνον ἐκκλίναντες πόλεμον, καὶ τὸ ἐπιθυμούμενον χρυσοῦν ὄντως χρῆμα τῆς Ἀντιόχου λαφυραγωγησάμενοι, τῇ Κωνσταντίνου χαρίζονται. Πῶς; Τῷ κόμητι Ἀντιοχείας ὁ βασιλεὺς ἐγκελεύεται, ἀγνοίᾳ πάντων, τὸν Ἰωάννην παρακαλέσαι καὶ ὑποδέξασθαι. Καὶ τοῦτο δράσας ὁ κόμης, καὶ μέχρι τῶν μαρτυρείων ἔξω τῆς πόλεως παρελκύσας ἄγαν συνετῶς καὶ φρονίμως τὸν Ἰωάννην, καὶ τῷ ὀξυδρόμῳ ἐφιππασάμενος, τοῖς ποθοῦσιν ἀποκαθέστηκεν. Ἐπειδὴ δὲ καὶ συνέλευσις ἦν πολλῶν ἐπισκόπων ἐκ

C βασιλικῆς φροντίδος παρασκευασθεῖσα, σὺν τοῖς ἐπισκόποις καὶ ὁ Ἀλεξανδρείας ἐκεῖνος Θεόφιλος, ὃς διασύραι τὴν Ἰωάννου δόξαν, φθόνῳ κλαπεὶς, ἠγωνίζετο, τῷ ἀνεπιλήπτῳ τοῦ ἀνδρὸς ἐκτηκόμενος, καὶ πρὸς τὴν χειροτονίαν ἀναδυόμενος· ὅμως καὶ ἄκων ἡττᾶται· νικᾷ γὰρ ἀεὶ τὸ Πνεῦμα τὸ ἅγιον· ἡττᾶται δὲ οὕτω· Πολλοὶ τῶν πυρπολουμένων τῷ θείῳ ζήλῳ τὴν Ἰλιάδα τῶν Θεοφίλου κακῶν γραφαῖς τε καὶ συγγραφαῖς οὐκ ἀγεννῶς ἐβράψῳδησαν· ἧντινα τότε χειρωσάμενος ὁ τῆς βασιλικῆς πρωτεύων γυναικωνίτιδος, Εὐτρόπιος δὲ οὗτος ἦν, τῷ Θεοφίλῳ ὑπέδειξεν, εἰπών· Δυοῖν θάτερον ἔκλεξαι· ἢ ταῦτα ἐλεγχθῆναι, ἢ Ἰωάννην χειροτονῆσαι. Τῷ τοίνυν τολμητῇ τῶν τοιούτων ἡ Εὐτροπίου τῶν λόγων ἀντιστρατευσαμένη παράταξις, αἱρεῖ κατὰ κράτος τὸν κακουργοῦντα τῷ ἀμφιῤῥήμῳ τοῦ ἐπιτηδεύματος. Ὁ Θεόφιλος σφοδρῶς ἤδη λοιδορούμενος ἐν τριόδῳ λογισμῶν, ἢ τ-

μιῶδες, ἀκροβολίζεται· καὶ πρὸς μὲν τὴν χειροτονίαν τοῦ καιροῦ παραστάντος, ἐκτείνει τὰς χεῖρας, προσεκτείνειν δὲ ταύτας κατὰ τοῦ χειροθετηθέντος ὕστερον οὐκ ἐνάρκησεν. Εἶτα μετὰ τὴν χειροτονίαν, εὐλογεῖται παρὰ τοῦ ἀρχιερέως ὁ πιστὸς βασιλεὺς, ἅμα πᾶσι τοῖς σὺν αὐτῷ, διὰ τιμῆς μεγίστης λόγοις καὶ πᾶσι τρόποις τὸν ἀρχιερέα ποιούμενος. Ὁ δὲ τὰ συνήθη τῆς οἰκείας εὐλαβείας καὶ ἐφρόνει καὶ διελέγετο, ταύτην τελευταίαν τότε τὴν παραίνεσιν ἐπιθείς· Αἱ μὲν ἄλλαι τῶν διοικήσεων, λέγω, ὦ βασιλεῦ, καὶ πάντες οἱ παρεστηκότες, ἀναλόγους ἔχουσι καὶ τοὺς κινδύνους καὶ τὰ γέρα· ἱερέων δὲ καὶ ποιμένων ὅσος κίνδυνος, ὅσα τὰ γέρα, ὧν εὖ ἢ κακῶς διῳκήσαντο, πλήρης πᾶσα, Συγγραφὴ, Καινή τε καὶ Παλαιά. Δεομένου τοίνυν τινὸς ὅσαι ἡμέραι τῆς θεραπείας, οὐ φείσομαι. Καὶ προσετίθη τούτοις τὰ κατὰ Δαβὶδ καὶ Ναθὰν, τὸ τῆς Γραφῆς, εἰς παράδειγμα. Ἀσμενίζει τούτοις ὁ πιστότατος βασιλεὺς, συμπροθυμεῖται δὲ πᾶς ὁ βασίλειος ὄμιλος, ᾧ τότε δὴ, τότε τὸν διδασκαλικὸν ἐξέτεινε λόγον, ὅπως δέοι πάντας τοῖς πᾶσιν ἐπιχειρεῖν· ἱστορίαν τε μεγάλου θαύματος, καὶ μνήμης ἀξίαν προβάλλεται, φήσας· ὡς Τίτος, ὁ Ῥώμης ἄναξ, [πολλὰ] πολλάκις τοιοῦτόν τι ἐπέλεγεν ἑαυτῷ, λέγων, Σήμερον οὐκ ἐβασιλεύσαμεν, εἴτ' οὖν οὐκ ἐζήσαμεν, μηδὲν ἄξιον βασιλέως ποιήσαντες. Ἔτι δὲ τοῦ ἀρχιερέως τὸν λόγον συνείροντος, ἰδού τις ἀνὴρ δαιμονῶν ἐκεῖνα μέσον ἁπάντων ἐποίει καὶ ἐκραζεν, ὅσα τὸ ἐνοχλοῦν δαιμόνιον φῦλον ἐξεβιάζετο. Παρακαλεῖται ὁ ἰατρὸς θεραπεῦσαι τὸ πάσχον. Καὶ μέντοι καὶ θεραπεύει σφραγῖδι τοῦ τιμίου σταυροῦ, καὶ τῇ ἐπικλήσει τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος, εἰπὼν πρὸς αὐτόν· Ἴδε ὑγιὴς γέγονας· μηκέτι βλασφήμει τὸ Θεῖον, ἵνα μὴ χεῖρόν τί σοι γένηται. Τοῦτο ἡ τελειοτέρα στερέωσις ἅπασι τῆς εἰς Χριστὸν ὁμολογίας καὶ πίστεως.

cæno atque luto omnes emergere, divinisque præceptis in cœlum tollentibus elevari difficile est : humano generi salutem etiam humana prudentia per leges suas adinvenit. Quapropter etiam nunc cum, quanquam Dominus et Servator noster misericordes esse eorumque qui inopia premuntur illos qui ipsius donis fruentes in affluenti rerum copia vivunt, angustiis succurrere jusserit, nonnulli tamen ita in Dominum ingrati, ergaque communem hominum cognationem commiserationis expertes sunt, ut non modo non benignam manum egentibus præbeant, verum etiam, tanquam solis quoque radiis tetricos thesauros suos aspicere invideant, in terram illos defodiant : de inhumano hoc invento in medium legem prodire oportuit. Quæ quidem *lex* cum olim lata fuerit, victa autem postmodum a cupiditate, quæ multas egregias res labefactat, ab eademque suo vigore privata sit : nunc ab imperatoria nostra majestate in integrum restituitur. Jubebat autem illa (41), ut qui in defossum thesaurum incidisset, si prædium in quo inventus esset, ad principem (42) pertineret, alioquive publicum esset, illum ex æquo cum fisco partiretur, si vero locus unde thesaurus in lucem prodiisset, neque ad principem pertineret, neque publicus, sed alterius cujuspiam esset, is æqualibus partibus inter inventorem prædiique dominum divideretur : denique si inventoris prædium esset, ipsi res inventa universa cederet. Atque hæc quidem lex illa sanxit. Verum (43) perversa cupiditas haud scio quomodo illa circumscripta, iniquoque lucro fisco donato, illi in hunc usque diem inventum thesaurum attribuit, legemque otiosam reddidit. At quid hinc contingit? Qui alicubi reconditos latere thesauros sciunt, dum alios laboribus suis gavisuros, se autem frustra illos subdituros, quin et interdum acerbis examinationibus subjiciendos considerant, illos investigare negligunt : itaque in perpetuum recondita manent et pereunt, quæ in lucem producta magnam hominibus erant utilitatem allatura.

Jubemus ergo, *uti* (44) *deinceps* secundum veteris legis æquitatem judicetur; et quando thesaurus aliquis inventus fuerit, si locus ubi inventus est, in publicis imperatoriisve fundis sit, inventor illum cum fisco partiatur: si vero alterius cujuspiam sit, simili modo ipsum et inventor, et loci in quo thesaurus inventus est dominus inter se dividant. Cæterum si improbus esse, neque quidquid repererit confiteri inventor omne velit, sed dolo mendaciisque ex re reperta nonnulla detineat; in

κατέστημεν. Ἀλλ' ἐπεὶ τοῦ πηλοῦ καὶ τῆς ὕλης χαλεπὸν ὑπεράνω πάντας γενέσθαι καὶ τοῖς πρὸς οὐρανὸν ἐπαίρουσι θείοις ἐντάλμασιν ἐπαρθῆναι, ἐφεῦρε καὶ ἡ ἀνθρωπίνη πρόνοια διὰ δογμάτων οἰκείων σωτηρίαν τῷ ἀνθρωπίνῳ βίῳ. Διὰ τοῦτο καὶ νῦν, τοῦ Δεσπότου καὶ Σωτῆρος ἡμῶν οἰκτίρμονας εἶναι παρεγγυωμένου, καὶ τῶν ἀπορίᾳ πιεζομένων τοὺς, ὅσοι τῶν ἐκείνου δωρεῶν ἀπολαύοντες ἐν εὐπορίᾳ διαβιοῦσι, παραμυθεῖσθαι τὴν στενοχωρίαν, ἐπεὶπερ τινὲς ἀχάριστοι μὲν περὶ τὸν δεσπότην ὄντες, ἀσυμπαθεῖς δὲ περὶ τὸ συγγενὲς, οὐ μόνον οὐκ ὀρέγουσι χεῖρα ἐλέου τοῖς χρῄζουσιν, ἀλλ' ὥσπερ φθονοῦντες καὶ αὐγαῖς ἡλίου τοὺς ἑαυτῶν σκυθρωποὺς ὀρᾷν θησαυροὺς, γῇ τούτους κατορύττουσιν, ἐδέησε καὶ περὶ ταύτης τῆς ἀπανθρώπου ἐπινοίας νόμον εἰς βίον ἐλθεῖν. Ὃς πάλαι μὲν ἐκτεθειμένος, πλεονεκτηθεὶς δὲ παρ' ἧς πολλὰ τῶν καλῶν διαλυμαίνεται πλεονεξίας καὶ ὑπ' αὐτῆς τὸ οἰκεῖον κράτος ἀφῃρημένος, νῦν παρὰ τῆς ἡμετέρας βασιλείας τοῦτο πάλιν ἀνακομίζεται. Ἐκέλευε γὰρ ὁ νόμος τὸν τῷ κατορωρυγμένῳ περιτυχόντα θησαυρῷ [41], εἰ μὲν βασιλικὸν εἴη τὸ χωρίον ἢ δημόσιον ἄλλως, διακληροῦσθαι τὸν εὑρόντα καὶ τὸ δημόσιον ἐπίσης τὸ εὕρημα· εἰ δ' ὁ τόπος, ὃς τὸν θησαυρὸν εἰς φῶς ἤνεγκεν, οὔτε βασίλειος οὔτε δημόσιος ἀλλ' ἑτέρου τινὸς προσώπου, ἀμφοτέροις ὁμοίως τῷ τε περιτυχόντι καὶ τῷ τοῦ χωρίου δεσπότῃ τοῦτο [42] ἐπίσης διανέμεσθαι· εἰ δὲ τοῦ εὑρόντος τὸ χωρίον, αὐτοῦ καὶ τὸ πᾶν εὕρημα εἶναι. Ταῦθ' ὁ νόμος ἐθέσπισεν. Ἀλλ' ἡ φαύλη πλεονεξία οὐκ οἶδ' ὅπως τοῦτον παραλογισαμένη, κέρδος ἄδικον τῷ δημοσίῳ χαριζομένη ἐκείνῳ μέχρι τοῦ νῦν τὸν εὑρισκόμενον δίδωσι θησαυρὸν εἰς ἀπραξίαν τὸν νόμον περιστήσασα. Τί οὖν ἐκ τούτου συμβαίνει; γνῶσιν ἔχοντες θησαυρῶν κατορωρυγμένων, ἐννοοῦντες, ὅτι τοῖς αὐτῶν πόνοις ἡσθήσονται ἕτεροι, αὐτοὶ δὲ μάτην ὑποστήσονται τὸν κάματον, οὐ μόνον δὲ ἀλλ' ἐνίοτε καὶ πικραῖς ἐξετάσεσιν ὑποβεβλήσονται, παρὰ φαῦλον ποιοῦνται τὴν ἔρευναν καὶ λαμβάνει οὕτως αἰώνιος ἀπόκρυψις καὶ ἀπώλεια, ὧν ἡ φανέρωσις ὠφέλειαν ἀνθρώποις ἔμελλε πραγματεύεσθαι.

Κελεύομεν τοίνυν, κατὰ τὴν δικαιοσύνην τοῦ ἀρχαίου νόμου καὶ ἀπὸ τοῦ παρόντος γίνεσθαι, καὶ θησαυροῦ εὑρεθέντος, εἰ μὲν ὁ τοῦτον ἐξαγαγὼν τόπος τῶν δημοσίων ἢ τῶν βασιλείων εἴη χωρίων, μετὰ τοῦ δημοσίου τὸν εὑρίσκοντα μερίζεσθαι, εἰ δ' ἑτέρου τινὸς προσώπου, παραπλησίῳ τρόπῳ αὐτόν τε τὸν εὑρίσκοντα [43] καὶ τὸν κύριον τοῦ τὸν θησαυρὸν ἀναδόντος χωρίου τὴν διανομὴν ποιεῖσθαι. Εἰ μέντοιγε πρὸς ἀγνωμοσύνην ἴδοι ὁ τοῦτον εὑρὼν καὶ μὴ πᾶν τὸ εὑρηθὲν ἀνομολογῆσαι

VARIÆ LECTIONES.

[41] Scrimg. τὸν κατορωρυγμένον — θησαυρόν. Zuich. et Meerm. τῷ κτλ. [42] Melius τοῦτον. [43] Zuich. et Meerm. εὑρηκότα.

NOTÆ.

(41) Lex 3, § 10, ff. De jur. fisci § 39, Inst. De rer. divis.

(42) D. § 10, dict § 9.

(43) Hoc innuit dictum § decimum, et dict. § nonum, certis temporibus non fuisse in usu.

(44) Sententia d. § 10, d. § 9, in usum revocatur a Leone.

Digitized by Google

βουλήσεται, ἀλλὰ παρακατάσχοι δόλῳ καὶ ψεύδει ἐκ τοῦ εὑρήματος, τότε κενοὺς αὐτῷ γίνεσθαι τοὺς πόνους, καὶ μηδὲν ὅλως αὐτὸν λαμβάνειν ὡς κακοῦργον καὶ τῶν ἀλλοτρίων κλέπτην, ἀλλ' εἶναι μόνου ἐκείνου τὴν εὐεργεσίαν, ὃς ἔχει τοῦ χωρίου τὴν κυριότητα.

A vanum tunc ille laborarit, et tanquam malitiosus rerumque alienarum occultator et fur, nihil omnino accipiat, et beneficium loci domino soli cedat.

ΔΙΑΤΑΞΙΣ ΝΒ'.

Περὶ τοῦ πᾶν εἶδος νομίσματος, ἀπαραποίητον ὂν καὶ ἀκίβδηλον, καὶ ὁλκὴν τελείαν ἔχον, δι' ἴσου πολιτεύεσθαι, εἴτε τινὸς τῶν προγενεστέρων, εἴτε τινὸς τῶν μεταγενεστέρων βασιλέων εἴη.

CONSTITUTIO LII.

Ut tam veterum (45) principum quam recentiorum numismata modo justi ponderis, probæque materiæ sint, valeant (46).

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Idem imperator eidem Styliano.

Εἰ νεῦρα τῶν πραγμάτων [84] αἱ τούτων εὔποροι ἀφορμαὶ, εὐστάθεια δὲ πολιτείας ἐκ τῆς τῶν πραγμάτων δυνάμεως, καλῶς ἄρα οἱ παλαιοὶ τὴν ἔνδειαν ὡς νόσον καὶ φθορὰν κάντεῦθεν ἐδίωκον, ἐκ τοῦ βούλεσθαι πᾶσαν ἰδέαν νομίσματος, κἂν εἰς τοὺς πάλαι καὶ πρόπαλαι ἀναφέροιτο βεβασιλευκότας, ὁμοίως ἐμπολιτεύεσθαι. Ἀλλὰ τούτῳ τῷ καλῷ οὐκ οἶδα τί παθόντες οἱ πρὸς τὰ σκῆπτρα ὕστερον καταστάντες οὐκ ἔδοσαν ἐπὶ τοῦ αὐτοῦ μεῖναι σχήματος, ἀλλ' ὥσπερ τῇ εὐπορίᾳ τῶν ὑπηκόων διαβασκήναντες, τὸ ἀπολίτευτον μὲν τοῖς φέρουσι τῶν πρὸ αὐτῶν ἀρξάντων νομίσμασι τὴν μορφὴν κατεψηφίσαντο, μόνοις δὲ τοῖς ἑαυτῶν ἀπένειμαν πολιτεύεσθαι, οὐ βουληθέντες συνιδεῖν τὴν ἐκ τούτου περισταμένην καινοτομίαν τὰ πράγματα, οὐδὲ τὴν βλάβην, ὅση χωρεῖ μὲν διὰ πάντων, μάλιστα δὲ κατὰ τῶν ἀπορωτέρων καὶ χρῃζόντων μείζονος βοηθείας καὶ ἀντιλήψεως. Καὶ γὰρ τὸ τῶν ἐμπόρων πλῆθος καὶ τοὺς ἄλλως ἐκ χειρῶν βιοῦντας καὶ ὅλως τὸ γεωργικὸν γένος εἰς μεγάλην ἀπορίας ἀνάγκην συνελαύνει, οὐκ ἐχόντων ἑτέρωθεν ἐρανίζεσθαι τὴν τῶν πραγμάτων εὐπορίαν, ἐκείνης καταλυθείσης τῆς ἀφορμῆς [85], ἢ τέως αὐτοῖς συναντελαμβάνετο.

Διὰ τοῦτο ἡμεῖς τῶν νεωτέρων τὴν καινοτομίαν οὐκ ἀγαπῶντες, τῇ δὲ προνοίᾳ τῶν ἀρχαίων ἑπόμενοι θεσπίζομεν, κατὰ τὴν ἐκείνων φιλάνθρωπον καὶ πολιτικωτάτην γνώμην πᾶν εἶδος νομίσματος, ἀπαραποίητον τὴν μορφὴν ἔχον καὶ τὴν ὕλην ἀκίβδηλον καὶ τὴν ὁλκὴν τέλειον, ἂν τέ τινος ἢ τῶν προγενε-

Si pecuniam nervi (47) sufficiens et copiosa illarum materia est, remque publicam pecuniarum vis stabilit; recte profecto veteres defectum, velut morbum quemdam ac tabem, inde profugarunt, dum omne genus numismatis, etsi ad veteres et priscos principes referretur, similiter valere voluerunt (48). Verum egregium hoc institutum haud scio qua de causa posteriores principes in eadem forma consistere non permiserint, ac, tanquam subditorum opulentiæ inviderent, quæ numismata superiorum principum effigiem ferrent, iis publico usu interdixerint: sua vero sola in communi commercio esse voluerint. Næ illi, quantum hinc in communibus negotiis novitatis, quantum item detrimenti, quod cum ad omnes, tum præcipue ad pauperiores, potiusque auxilio et defensione indigentes pertineat, exsisteret, intelligere noluerunt. Certe mercatorum vulgus, quique alioqui manibus victum quæritant, et demum universa rusticorum natio, dum, antiquata ea qua hactenus usi sunt pecunia, alio modo res necessarias sibi parare non possunt, in perquam angustas adiguntur angustias.

Ea propter nos novo recentiorum placito non acquiescentes, veterum autem providentiam sequentes, sancimus, *ut secundum benignum* illorum reique publicæ commodissimum judicium, numismatis omne genus quod (49) quidem formam (50) materiamque non adulteratam (51) et plenum pon-

VARIÆ LECTIONES.

[84] Agyl. χρημάτων legi vult. [85] Melius forte μορφῆς.

NOTÆ.

(45) Vid. l. 1, C. De veteris numism. pot.

(46) Nummi veterum etiam principum, modo justi ponderis, probæque materiæ sint, recipiendi, reducitur usus desuetus cui Nov. Nicephori Phocæ contraria c. 1, J.

(47) Νεῦρα τῶν πραγμάτων, Scrimger, νεῦρα τῶν χρημάτων. Agyleus, et male. Plut. in Cleomene. Ὁ πρῶτος τὰ χρήματα νεῦρα τῶν πραγμάτων προσειπών, quod Diog. Laertius Zenoni tribuit. Demosthenes ὑποτέμεναι, τὰ νεῦρα τῶν πραγμάτων. Æschines ὑποτέμηται τὰ νεῦρα τῶν πραγμάτων. Nicetas in Emmanuele Comneno, καὶ χρημάτων ἐπιῤῥώννυσι διαδόσεσιν ἃ νεῦρα τῶν πραγμάτων ἁρίστως τῶν πάλαι τις κθωνόμασε. Eustath. 2, Iliados, τὸ νεῦρα πραγμάτων εἰπεῖν τὰ χρήματα οὔτε σκληρὸν ἀλλὰ καὶ ἀστοχώτατον, εἰ ἃ οὔτε καί τις ἀκολουθῶν παλαιᾷ χρήσει νεῦρα πραγμάτων ἐρεῖ τὰ χρήματα. Sic in l. 1, § 20, ff. De quæst.

In tributis dicuntur esse nervi reipubl. et alibi: sic in pecunia robur omne patrimonii veteres posuere l. 22, vers. huic accedit C. De admin. tut. Plura vide apud Cujac. 6, obs. 19, ubi notat Portoria reipub. nervos principaliter non esse, sed per consequentiam tantum. Adde Nov. 149, c. 2. Nov. 161, c. 2.

(48) L. 1, C. De veteris numismat. potestat.

(49) Ἀπαραποίητον τὴν μορφὴν ἔχον καὶ τὴν ὕλην ἀκίβδηλον ἢ τὴν ὁλκὴν τέλειον. Scrim.

(50) Principum: quam imprimi numismatibus moris fuit, vid. l. 1, C. De vet. numism. potest.

(51) Olim lege Cornelia plectebatur qui monetam vultu principum signatum (præter adulterinam) reprobasset Paul. 5, sent. 25, § 1, Arian. 3, ad Epictetum, τὸ τοῦ Καίσαρος νόμισμα οὐκ ἔξεστιν ἀποδοκιμάσαι, etc. Adde Edictum. 11, Inst. c. 3.

Digitized by Google

dus habeat) sive vetustioris cujuspiam principis, sive recentioris sit, æqualiter et æstimetur, et in republica tractetur. Pœna vero eorum qui rebelli animo decretum hoc contemnent, fuerit, ut flagris cædantur, et cute (52) tenus tondeantur, insuperque libras auri tres dependant.

A

CONSTITUTIO LIII.

Ut cuique tam intra civitates quam extra, mortuos sepelire liceat (53).

Idem imperator eidem Styliano.

Mea quidem sententia, leges civiles non ea modo quæ communi subditorum vitæ prosint præscribere: verum de iis etiam qui jam vitam finierunt, humanæ commiserationi convenientia decernere decet. Quæ autem defunctorum corpora ignominiæ contumeliæque exponant, ac per quæ communi hominum naturæ dedecus atque turpitudo concilietur, nequaquam in leges sunt includenda. At quod lex (54) mortuos nonnisi extra civitates humari vult, quomodo id humanam naturam dedecore afficere non est? Et quidem si hoc præcipiens, de iis humandis ageret, quibus facilem elationem facultates, quas vivi habuerant, suppeditarent, fortasse lex aliquam ad id jubendum rationem habuisset. Quanquam tunc etiam ad amicorum, cognatorum, necessariorumque defuncti commiserationem respicere oportebat. Quorum dolori atque orbitati magnum sane solatium est, si amici sui sepulcrum amplexari, ac in id lacrymas profundere possint. Quæ officia extra civitatem sepulto non facile est exsequi. Attamen si illos solum extra civitatem sepeliri vellet, quibus id ipso mortis die per facultates facile esset, ad eam inclementiam aliquam lex occasionem haberet. Verum nunc, cum inclementia illa simul ad omnes se extendat, quomodo non manifesta est absurditas? quomodo legem in naturæ opprobrium ferri non est evidens? Qui enim, dum adhuc viverent, inopes et deserti erant, quomodo mortui ipso mortis die humabuntur? Quomodo item, cum propter paupertatem sepultura non accelerabitur, multis diebus insepulti non miserabile simul et horrendum spectaculum jacebunt, tabescentemque hominum naturam dedecorabunt? Extra hæc autem, cum mortui interdum famuli Dei appellentur, propterque cœlestem gloriam colantur, ipsorum corpora inhumata abjici, quomodo id vero expiationi etiam obnoxium non est?

B

C

D

Neque igitur ullo modo inter civiles leges hæc lex recenseatur, sancimus: quin potius, ut a con-

ΔΙΑΤΑΞΙΣ ΝΓ'.

Περὶ τοῦ ἀθετεῖσθαι τὸν κελεύοντα νόμον ἔξωθεν τῆς πόλεως ποιεῖσθαι τὴν ταφὴν, καὶ ἐξεῖναι τῷ βουλομένῳ εἴτε ἔξω τῶν τειχῶν, εἴτε ἐντὸς θάπτειν.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ἐμοὶ φαίνεται μὴ μόνον ὅσα τῷ βίῳ συμφέρει τῶν πολιτευομένων ταῦτα πρέπον ὁρίζειν τοὺς νόμους τῆς πολιτείας, ἀλλὰ καὶ περὶ τῶν ἤδη καταλυσάντων τὸν βίον τὰ πρέποντα ἀνθρωπίνῃ σκέπτεσθαι συμπαθείᾳ, καὶ μὴ δι' ὧν ἀτιμίᾳ μὲν καὶ ὕβρει τῶν μεθεσταμένων τὰ σώματα παραδίδοται, αἰσχύνῃ δὲ τῇ κοινῇ τῶν ἀνθρώπων φύσει περιγίνεται [86], ταῦτα νομοθετεῖν. Πῶς γὰρ οὐκ ἔστι τὴν ἀνθρωπίνην φύσιν αἰσχύνειν, ὅταν μὴ βούληται ὁ νόμος γῇ κρύπτεσθαι, εἰ μὴ ἔξω πόλεων φέροιτο τὸ βληθὲν ὑπὸ τοῦ θανάτου σῶμα; Εἰ μὲν γὰρ τοῦτο διορίζων περὶ ἐκείνων ἔλεγε τῆς ταφῆς, οἷς εὔπορον τὴν ἐκφορὰν ἐποίει ἢ ἔτι ἐν βίῳ περιόντων αὐτῶν εὐπορία, ἴσως ἂν εἶχέ τινα πρόφασιν παρακελευόμενος, καίτοιγε καὶ τότε ἐχρῆν πρὸς συμπάθειαν ὁρᾶν φίλων, συγγενῶν, οἰκείων τοῦ τεθνηκότος, οἷς μέγα εἰς παραμύθιον τοῦ ἄλγους καὶ τῆς ἀποστερήσεως τοῦ πεθουμένου τάφου περιπτύξεις καὶ ἐπ' αὐτῷ χεόμενα δάκρυα ἔξω κειμένου [87] τῆς πόλεως οὐκ εὐχερῶς ἐπιτελεῖσθαι πέφυκεν. Ἀλλ' ὅμως εἰ ἐκείνους [88] τὴν ταφὴν ἔκδημον ἐποίει τῆς πόλεως, οἷς οὐκ ἄπορον αὐθημερὸν γίνεσθαι, ἦν τις ἀφορμὴ τοῦ δόγματος τῷ ἀσυμπαθεῖ. Νῦν δὲ κατὰ πάντων ὁμοίως φερομένης τῆς ἀσυμπαθείας, πῶς οὐ πρόδηλον τὸ ἄτοπον καὶ ἡ κατὰ τῆς φύσεως νομοθεσία καὶ αἰσχύνη; ὧν γάρ ἔτι ζώντων ἄπορος ἦν ὁ βίος καὶ ἔρημος, πῶς θανόντες αὐθημερινῆς ταφῆς εὐπορήσουσι; πῶς δὲ τῆς ταφῆς ἀπόρου τυγχανούσης, οὐχὶ ἐπὶ συχναῖς ἡμέραις οὕτω διαμένοντες ἐλεεινὸν ὁμοῦ καὶ φρικτὸν κείσονται θέαμα καὶ τὴν ταπεινὴν ἀνθρώπων φύσιν αἰσχύνοντες; χωρὶς δὲ τούτων πῶς οὐκ ἔστι δίκης ὑπεύθυνον, ἐνίοτε τῶν ὁμιλησάντων τῷ θανάτῳ θεραπόντων Θεοῦ χρηματιζόντων καὶ ὑπὸ τῆς ἄνω δόξης περιεπομένων ἐρρίφθαι αὐτῶν ἄταφον τὸ σῶμα;

Οὐδαμῶς οὖν νόμοις τῆς ἡμῶν πολιτείας συγκαταλέγεσθαι τοῦτον τὸν νόμον θεσπίζομεν, ἀλλ' ὥσ-

VARIÆ LECTIONES.

[86] Scrimg. παραγίνεται. [87] Scrimg. τοῦ ἔξω κειμ. Emendarunt Steph. et Agyl. ἢ ἐπὶ τοῦ ἔξω κειμένου, Spangenb. οἷς μέγα εἰσὶ παραμ. et ἢ ἔξω κειμένου. [88] Scrimg. ἐκείνους.

NOTÆ.

(52) Pœnæ genus observa, cui simile est in Nov. 58, in fin.

(53) Sepelire etiam in civitatibus mortuos licet, et ita abrogatur lex 3, § 7, ff. De sepulcro violato. l. 12, C. De religiosis l. 6, C. Th. De sepulcro violato: Paul. 1, sent. 21, § 2, et is locus Ciceronis, hominem mortuum in urbe ne sepelito, de quo dixi ad leges XII tabularum.

(54) Vide dictas leges.

Digitized by Google

περ ὑπὸ τῆς συνηθείας καλῶς ὥρθη καταφρονούμενος, οὕτω καὶ ὑπὸ δόγματος ἡμετέρου ἔστω παντελῶς ἀθετούμενος, καὶ πᾶς, ὃς ἂν βούληται εἴτε τειχῶν ἔξωθεν εἴτε τῆς πόλεως ἐντὸς τοὺς τελευτῶντας τιμᾷν τῇ ταφῇ, ἄδειαν ἐχέτω περαίνειν τὸ βούλημα.

A suetudine recte contemnitur, sic etiam decreto nostro prorsus reprobator. *Quicunque autem sive* extra muros sive intra civitatem sepelire mortuos volet, perficiendæ voluntatis facultatem habeto.

ΔΙΑΤΑΞΙΣ ΝΔ'.

Περὶ τοῦ ἐν τῇ Κυριακῇ ἡμέρᾳ παντελῆ ἀπραξίαν εἶναι, καὶ τοὺς γεωργοὺς ἀργεῖν ἐν αὐτῇ, παραπλησίως ἅπασι τοῖς ἄλλοις ἐργάταις.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ἀρίστη μὲν ἡ σπουδὴ τῶν πρὸς ἔκθεσιν ἐπιδεδωκότων ἑαυτοὺς τῶν ὅσα τῷ βίῳ συμφέρει ἐντάλματα, καὶ ἄξιον αὐτοὺς, ἐν οἷς ὁρῶνται πρὸς τὴν ὠφέλειαν τῶν ὑποχειρίων ὅλην τὴν φροντίδα συντείνοντες, ἀποδέχεσθαι τῆς φιλοστοργίας καὶ τὰ τεθέντα τηρεῖν εὐλαβῶς. Ἄξιον δὲ πολὺ πλέον ἐκείνοις μᾶλλον τὴν τοιαύτην ἀπονέμειν εὐλάβειαν, οἳ πλέον ὤφθησαν καὶ ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας εἷα [88] πάσης τῆς γῆς νομοθέται ἀναδεξάμενοι μέριμναν, καὶ οὓς ἔθεντο νόμους τούτους ἐπίπροσθεν ἄγειν τῶν ἄλλων νόμων· οὐ μόνον δὲ δι' ὅπερ εἶπον, ὅτι πλέον εἰς τὴν τῶν ἀνθρώπων ὠφέλειαν, μᾶλλον δὲ ἀσύγκριτον ἀνεδέξαντο καὶ εἰσενέγκαντο πρόνοιαν, ἀλλ' ὅτι καὶ θείῳ ἐχάραξαν τὰ δόγματα Πνεύματι [89]. Ἐπεὶ οὖν τῷ νόμῳ τῶν κορυφαίων μαθητῶν [91], ὃς πάντας ἐπιτρέπει ἀργίᾳ τιμᾷν τὴν ἡμέραν τῆς Δεσποτικῆς ἀναστάσεως, ὁρᾶται νόμος ἀντιφθεγγόμενος, ἐνῆν [92] μὴ πάντας ὁμοίως κωλύειν ἐργάζεσθαι, ἀλλ' ἐνίοις ἄνετον τὴν ἐργασίαν δίδοσθαι. Φησὶ γάρ· *Δικασταὶ* [93] *μὲν καὶ δῆμοι τῶν πόλεων, καὶ οἱ ἐκ τεχνῶν βιοῦντες ἀργείτωσαν ἐν Κυριακῇ, μόνοι δὲ γεωργοὶ ἐργαζέσθωσαν*, καὶ ἡ αἰτία τῆς λύσεως τῆς τιμῆς τῆς ἡμέρας ἄλογος· δοκεῖ γὰρ σωτηρίας [94] εἶναι τῶν καρπῶν, ἔστι δὲ ἀληθῶς [95] οὐδέν· οὐ γὰρ τὸ σπουδαῖον τῆς γεωργίας, ἀλλὰ τοῦ καρποδότου ὁ ἔλεος, ἐπειδὰν δοκῇ, τὴν εὐθηνίαν παρέχεται τῶν καρπῶν.

CONSTITUTIO LIV.

Ut Dominicis diebus omnes (55-56) *ab operibus vacent* (57).

Idem imperator eidem Styliano

Præstantissimum illorum est studium qui se edendis quæ communi vitæ utilia sint, præceptis dedunt, dignique sunt eo quod ad subditorum utilitatem omnes suas curas intendunt, quorum prius in rempublicam amor laudibus celebretur, ac præcepta sancte observentur. Interim vero multo æquius fuerit, illis potius istiusmodi reverentiam attribuere, quos majores pro humani generis salute, tanquam universi terrarum orbis legislatores, suscepisse sollicitudines constat, quasque leges tulerint, has aliis omnibus anteferre, idque non solum propter id quod dixi, quod *videlicet* ad hominum utilitatem, incomparabiliorem susceperint atque contulerint curam : sed quod etiam divini nominis virtute subscripserint sua decreta. Quoniam itaque illorum inter discipulos procerum legi, quæ Dominicæ resurrectionis diem cessatione ab operibus omnes venerari mandat, legem aliam contradicere conspicitur, quæ non omnes simul operari prohibendos, nonnullisque uti operentur indulgendum esse censet; ait (58) enim *omnes judices urbanæque plebes et cunctarum artium officia, venerabili die solis quiescant : ruri tamen positi agrorum culturæ libere licenterque inserviant*, cujus *istius* diei dehonestationis nulla ratione nititur causa. Nam quanquam fructuum conservatio prætendi posse videatur : nullius tamen illa momenti, reque vera futilis est : cum non agriculturæ diligentia, sed solis virtus, quando frugum largitori visum sit, fructuum abundantiam suppeditet.

Ἀλλὰ γὰρ ἐπεὶ τοιοῦτός τις εἰς γένεσιν ἦλθε νόμος, ὀλιγωρῶν μὲν τῆς τοῦ Δεσπότου τιμῆς, ἀντιδογματίζων δὲ τοῖς κατὰ πάντων ἐναντίων παρὰ τοῦ ἁγίου Πνεύματος λαβοῦσι τὰ νικητήρια, ὁρίζομεν καὶ ἡμεῖς ἃ τῷ ἁγίῳ ἔδοξε Πνεύματι καὶ τοῖς ὑπ' αὐτοῦ μεμυημένοις ἀποστόλοις, ὥστε πάντας ἐν τῇ θείᾳ καὶ τὴν ἀφθαρσίαν ἡμῖν ἐγκαινισαμένῃ [97] ἡμέρᾳ σχολάζειν ἀργίᾳ [98], καὶ μήτε γεωργὸν μήτε τινὰ ἕτερον [99] ἅπτεσθαι ἔργων ἐν ταύτῃ τῶν μὴ [1] νενομισμένων.

Quoniam, inquam, istiusmodi lex in lucem prodiit, quæ Domini cultum vilipendat, diversumque ab illis, qui contra omnes adversarios a Spiritu sancto victoriam obtinuerunt, decretum præscribat : statuimus nos etiam quod Spiritui sancto, ab ipsoque institutis apostolis placuit, ut omnes in die sacro, quoque nostra integritas instaurata est, a labore vacent : neque agricolæ, neque quiquam alii in illo illicitum opus aggrediantur. Si enim, qui

VARIÆ LECTIONES.

[88] Ita emendavit Steph. codd. ol. [89] Scrimg. πατέρες. [91] Cf. Photii Nomoc. VII, 4. Apostolorum canon, qui hoc diserte præcipiat, nullus est : c. 66 vix huc quadrat. [92] Zuich. ἐν ᾧ. habet. Steph. ὃς ἔφησε emendat, Osenbruggen ἐν τῷ. [93] Ita Zuich. Scrimg. ἕκαστα. [94] Scrimg. σωτηρία. Sed rectius Zuich. σωτηρίας. [95] Scrimg. ἐστὶ δὲ ἡ ἀληθῶς [96] Ita Zuich. Scrimg. ἥλιος. [97] Ita Bals. Scrimg. ἐγκαινισμένῃ. [98] Ita Zuich. et Bals. Scrimg. ἀργήσεως. [99] Scrimg. non habet ἕτερον. [1] Negationem omittit Zuich. et deleri vult Spang.

NOTÆ.

(55-56) Dominicis diebus omnes ab operibus vacare debent, ut hic. Omnes, inquam, licet rustici, quod olim non fuit : et ita abrogatur lex 3, C. De feriis, facit hujus constitutionis mentionem Harmen. 1, tit. 4, § 7.

(57) Vid. l. ult. § 1, C. De feriis. Adde c. 1, 2, extra De feriis, ubi traditur quemadmodum etiam festis diebus haleces capere liceat. Adde quæ dixi ad leges XII tab. ibi : feriis.

(58) L. 3, C. De feriis.

Digitized by Google

umbram quamdam atque figuram observabant, tantopere Sabbati diem venerabantur, ut ab omni (59-60) prorsus opere abstinerent : quomodo qui gratiæ lucem ipsamque veritatem colunt, hos eum diem qui a Domino honore ditatus est, nosque ab exitii dedecore liberavit, non venerari par est ? aut quomodo, cum ex septem (61) diebus unus in Domini honorem consecratus sit, non aliorum ad opera usu contentos non esse, neque illum Domino eximium et inviolatum conservare : sed ipsum etiam vulgarem facere, nostrisque operibus applicandum putare, religionis non est prorsus dissolutæ ?

CONSTITUTIO LV.

Ut Judæi secundum christianismi ritus vivant (62).

Idem imperator eidem Styliano.

Qui olim sceptris potiti sunt, de Hebræorum gente (quæ quondam quoad divino patrocinio foveretur, inclyta fuit, nunc autem ob contumaciam in Christum et Deum nostrum in calamitatibus celebris est, diversas (63) promulgarunt leges, quæ de ipsorum vitæ statu tractantes, jubent, ut (64) sacras ipsi Scripturas legant, et ne a suis ritibus arceantur : quin etiam ut liberos supra sanguinis cognationem circumcisionis etiam cognatione suo instituto accommodent. Atque hæc quidem, qui olim (ut dixi) imperium obtinuerunt. Verum sacratissimus princeps, ille ex cujus semine nos nati sumus, ut qui majore quam cæteri salutis ipsorum desiderio teneretur, hos in sola superiorum legum observatione relinquere (quod ante illum alii fecerant) non contentus : sed partim sacrorum oraculorum explicatione, partim eorumdem admonitionibus ad salutarem Christianorum cultum traducens, vivifica baptismi aqua initiavit. Atque quod ipsos in novum secundum Christum hominem transformari debere persuasit ut veterem deponerent, plene effecit, et quæcunque vetustatem saperent, circumcisionem (65), Sabbatum (66), et si quid aliud est, cum illo simul exuit. Atqui cum tanto cum effectu a Judaica pertinacia ipsos deduxisset, non etiam prioribus legibus, quæ Judaico ritu vivere permittebant, silentium, et vacationem alterius legis decreto imposuit.

A Εἰ γὰρ οἱ πάλαι τὰς σκιὰς καὶ τοὺς τύπους τιμῶντες διὰ τοσαύτης ἦγον τιμῆς τὴν τοῦ Σαββάτου ἡμέραν, ὡς παντελεῖ αὐτοὺς ἀπραξίᾳ[3] διδόναι, πῶς εἰκὸς οὓς ἡ χάρις θεραπευτὰς ἔχει καὶ ἡ ἀλήθεια, τούτους μὴ τιμᾷν τὴν ἡμέραν, ἢ[3] τὸ τίμιον παρὰ τοῦ Δεσπότου ἐπλούτησε καὶ ἡμᾶς ἠλευθέρωσε τῆς ἐκ φθορᾶς ἀτιμίας; ἢ πῶς οὐ παντελῶς ἀσυνείδητον, ἑπτὰ ἡμερῶν οὐσῶν ὧν εἰς Δεσποτικὴν τιμὴν ἀνεῖται μία, μὴ[4] ἀρκεῖσθαι ἡμᾶς ταῖς ἐξ[5] ἀποκεχρημένους εἰς ἔργα, καὶ[6] ἀναφαίρετον τῷ Δεσπότῃ ἐκείνην τηρεῖν, ἀλλὰ καὶ ταύτην κοινοποιεῖσθαι[7] καὶ τῶν ἡμετέρων ἔργων νομίζειν καιρόν;

ΔΙΑΤΑΞΙΣ ΝΕ'.

Περὶ τοῦ κατὰ τὴν τῶν Χριστιανῶν πίστιν Ἑβραίους πολιτεύεσθαι,

B Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Οἱ ἔμπροσθεν εἰς τὰ σκῆπτρα καταστάντες περὶ τοῦ πάλαι μὲν διὰ τὴν πρὸς αὐτοὺς θεόθεν ἐπισκοπὴν περιωνύμου τῶν Ἑβραίων γένους, γεγονότος δὲ ἐκ τῆς πρὸς τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν ἀπονοίας περιωνύμου ἐν συμφοραῖς, διαφόρους ἐξέθεντο νόμους, οἱ περὶ καταστάσεως τῆς ἐκείνων ζωῆς διαλαμβάνοντες κελεύουσι ταῖς θείαις Γραφαῖς ἐντυγχάνειν αὐτοὺς, καὶ τῶν οἰκείων ἐθίμων μὴ εἴργεσθαι, ἀλλὰ καὶ τοὺς παῖδας πρὸς τῇ συγγενείᾳ τοῦ αἵματος καὶ τῷ ἐκ τῆς περιτομῆς συγγενεῖ προσοικειοῦσθαι αὐτούς. Ἀλλὰ ταῦτα μὲν οἱ ἔμπροσθεν, ὡς εἶπον, εἰς τὴν βασιλείαν παρελθόντες. Ὁ δὲ τῆς θείας λήξεως βασιλεὺς, οὗ τῆς σπορᾶς ἡμῖν ἡ βλάC στη, ἅτε δὴ πλέον τῶν ἄλλων σχὼν ἔρωτα τῆς αὐτῶν σωτηρίας, οὐκ ἀρκεσθεὶς[8] καταλιπεῖν τούτους καθὼς οἱ πρὸ ἐκείνου ἐν μόνῃ τῇ τῶν προλαβόντων νόμων διατάξει, ἀλλὰ τοῦτο μὲν τῶν ἱερῶν λογίων ἀναπτύξεσι, τοῦτο δὲ ἐν ταῖς αὐτῶν[10] νουθετήσεσι πρὸς τὴν σωτήριον τῶν Χριστιανῶν μεταστήσας λατρείαν τῷ ζωοποιῷ τοῦ βαπτίσματος ἐτελείωσεν ὕδατι. Καὶ ἔργῳ μὲν, δι' ὧν αὐτοὺς εἰς τὸν νέον κατὰ Χριστὸν μορφωθῆναι ἄνθρωπον ἔπεισε, τὸν παλαιὸν ἀποθέσθαι παρεσκεύασεν, καὶ ὅσα τῆς παλαιότητος ἐγνωρίζετο, περιτομὴν, Σάββατον καὶ εἴ τι ἕτερον, ἐκείνῳ συναπημφίασεν. Ἀλλ' οὕτω μὲν ἔργῳ τοῦ Ἰουδαϊκοῦ φρονήματος μετατάξας αὐτοὺς οὐκέτι καὶ νόμου ψηφίσματι τοῖς πρωτέροις D νόμοις, οἷ παρεῖχον ἄδειαν Ἰουδαϊκῶς ζῆν, καὶ τὴν ἀφωνίαν καὶ ἀργίαν ἐθέσπισεν.

VARIÆ LECTIONES.

[3] Scrimg. παντελῆ αὐτῇ ἀπραξίον. Zuich. παντ. ἑαυτῇ ἀπραξία Verior Bals. præstat. [3] Bals. ἤτις. [4] Codd. negationem non habent. [5] Ita recte Bals. Codd. ἔξω. [6] Particulam καὶ, quæ a Codd. abest, præstat Bals. [7] Ita Zuich. et Bals. Scrimg. κοινὴν ποιεῖσθαι. [8] Nov. Justiniani 146. [9] Zuich. et Meerm. ἠρκέσθη, quod fortasse præstat. [10] Iidem ἑαυτῶν.

NOTÆ.

(59-60) Juvenalis 14, loquens de Judæis : *Sed pater in causa est, cui septima quæque fuit lux Ignava*, et Satyr. 6. *Observant ubi festa mero pede Sabbata reges;* cum dicit *mero pede*, iter Sabbati intelligere videtur, de quo Actor. 1, vers. 12, quod circiter 2000 passuum erat.

(61) Unus ille ex septem diebus non est dies Sabbati, sed prima sabbati.

(62) Judæi jubentur fieri Christiani, et ita abrogatur Nov. Just. 146, et tit. Cod. De Judæis quo permissum erat Hebræis suo more vivere.

(63) Cod. De Judæis d. Nov. 146.

(64) D. Nov. 146.

(65) Vid. Nov. Justin. 37.

(66) L. 2, l. 13, Cod. De Judæis.

Digitized by Google

Ἡμεῖς οὖν ὅπερ ὁ ἡμέτερος παρῆκε πατὴρ εὔλογον κρίναντες ἀναπληρῶσαι, παντὶ νόμῳ ἀρχαιοτέρῳ τῷ περὶ Ἑβραίων νομοθετοῦντι σιγὴν ἐπιτρέπομεν, καὶ μὴ ἄλλως αὐτοὺς τολμᾶν πολιτεύεσθαι, ἢ ὡς ἡ καθαρὰ καὶ σωτήριος τῶν Χριστιανῶν πίστις βούλεται. Εἰ δέ τις ἁλοίη [11] τῶν μὲν Χριστιανικῶν θεσμῶν ἀφιστάμενος, πρὸς δὲ τὰ Ἰουδαίων ἐπαναστρεφόμενος ἔθη καὶ δόγματα, τοῦτον κατὰ τοὺς περὶ ἀποστατῶν ἐγκειμένους νόμους εἰσπράττεσθαι τὴν τιμωρίαν.

A Quod igitur pater noster prætermisit, id non adimplendum putantes, omni antiquiori, quæ de Hebræis statuit, legi silentium injungimus *et ne illi aliter* quam pura salutarisque Christianorum fides vult, vivere audeant, jubemus. Quod si quis a Christianorum ritibus defectione facta ad Judæorum mores et placita reverti deprehendatur, hic secundum leges de apostatis (67) latas pœnas luat.

ΔΙΑΤΑΞΙΣ ΝϚ' [12].

Περὶ προθύρων θαλαττίων.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Καὶ οὗτος ἡμῖν ὁ νόμος, ὃς ἀφαιρεῖται τῶν θαλαττίων χωρίων τὴν ἐξουσίαν τῶν οὗ [13] παρὰ τοῖς προθύροις θάλασσα ὁρᾶται (ἀλλὰ γὰρ οὐ μόνον τοῦτο, B ὑπάγει δὲ καὶ τῇ περὶ τῆς ὕδρεως ἀγωγῇ κωλύοντα [14] τοὺς ἐκεῖ ἀποχερῆσθαι τῇ ἁλιευτικῇ τέχνῃ προθυμουμένους), οὐ δίκαια ἐπιτρέπων ἐφάνη. Πᾶν γὰρ, ὃ μὴ ἀδίκῳ λόγῳ πρὸς ἐξουσίαν τινὶ περιῆλθεν, εἴτε γονέων κλῆρος, εἴτε πόνων ἰδίων κτῆμα, εἰθ' ἑτέρῳ τινὶ μὴ ἀπηγορευμένῳ τρόπῳ, πῶς οὐχὶ καὶ πρὸς τὴν ἐπιτροπὴν τοῦ τὴν ἐξουσίαν ἔχοντος ἀνακείσεται, κἀκείνῳ τὰς ὠφελείας πολὺ πρότερον, ἀλλ' οὐχ ἑτέρῳ παρέξει; Οὐκ ἔστιν οὖν πρὸς τὸ εὐθὺ ἀφορῶντος νόμου ἑτέρους εἰσάγειν πρὸς τὴν ὠφέλειαν οὗ μηδὲν ὑπεβάλοντο, καὶ ἀποστερεῖν ἐκείνους ταύτης, οἳ πάντως γε ἢ τίμημα ἢ συγγενείας δίκαιον ἢ ἄλλον τινὰ τρόπον οὐκ ἀπηγορευμένον εἰς τὴν τοῦ χωρίου κατεβάλοντο κτῆσιν. Τὸ δὲ καὶ τοὺς ὑπὲρ αὐτοῦ ἐτησίους φόρου; ἀπαιτεῖσθαι μὲν C ὡς αὐτῷ διαφέροντος τοῦ τόπου, ἀπελαύνειν δ' ἐκεῖθεν τὸν ἔξω τῆς ἐκείνου γνώμης βουλόμενον τῇ ὠφελείᾳ χρῆσθαι μὴ δύνασθαι, ἀλλ' εἰ τοῦτο ποιεῖν ἐθελήσοι, ταῖς περὶ ὕδρεως αἰτίαις ἐτάζεσθαι, πῶς οὐχὶ μετὰ τοῦ ἀδίκου παντελῶς καὶ παράλογον; τί δὲ, εἰ ὁ τοῦ χωρίου δεσπότης οὐκ ἀμαθὴς ἁλιευτικῆς, ἆρα καθευδεῖται μὲν αὐτὸς ἀργῶν, ἄλλοις δ' ἐπιτρέψει τὰ τῶν προθύρων κέρδη θηρᾶν; ἢ τὴν μὲν ἀργίαν οὐκ ἀσπάσεται, ἑτέρων δὲ πρόθυρα ἁλιεύων περινοστήσει, ἐν δὲ τοῖς οἰκείοις ἐργάζεσθαι αὐτῷ οὐκ ἐξέσται; Ἀλλ' οὐχ ὁρῶ τίνα τρόπον οὕτως ἔσται.

Τοιγαροῦν [15] θεσπίζομεν, τῶν ἰδίων προθύρων ἕκαστον ἀκωλύτως δεσπόζειν, καὶ κύριον εἶναι τοὺς [16], εἴ τινες βουληθεῖεν χωρὶς τῆς αὐτοῦ ἐπιτροπῆς τῆς τῶν προθύρων ἀπολαύειν ὠφελείας, ἐκδιώκειν. Ὥσπερ γὰρ ἐπὶ τῆς ξηρᾶς ἔχει, καὶ πᾶς τῆς [17] D

CONSTITUTIO LVI.

De oris (68) *maritimis.*

Idem imperator eidem Styliano.

Hæc etiam lex quæ maritimorum prædiorum jus tollit, eorum unde apud (69) oras mare conspicitur : quæque insuper illorum dominum si illic piscari volentes prohibeat, injuriarum actioni subjicit : nobis non æqua statuere visa est. Quidquid enim non iniquo titulo in cujuspiam dominium devenit, sive parentum hæreditas laborumque emolumentum, sive alio quocunque non illegitimo modo paratum sit : quæ causa est, quamobrem id non ab eo qui in dominio habet, administretur, et illi non longe potius quam alteri cuipiam utilitatem præbeat? Non est igitur legis, quæ quidem æquitatem spectet, ut alios ad utilitatem rei, in quam nihil juris habent, introducat : illos vero qui aut solutum pretium, ut cognationis jus, aut denique alium aliquem possidendæ rei non illegitimum titulum laudant, ille privet. Jam vero quod, cum ab illo tanquam loci illius domino, annuum tributum exigatur, expellere inde illum, qui præter ipsius voluntatem loci commodis uti velit, non possit : sed hoc faciat, injuriarum actionibus tentetur; quomodo id, præterquam quod iniquum est, non omnibus modis absurdum est etiam? Quid si prædii dominus piscatoriæ artis non ignarus sit, num ipsi otioso dormiendum erit, aliisque orarum (70) emolumenta venari permittere debebit? aut, si otium non amplectetur, in aliorum oris errabundus piscabitur, in suis autem id ipsi non licebit? At quare ita fieri debeat, nullam equidem rationem video.

Sancimus itaque, *ut quisque oras* suas inconcusso jure possideat, illorumque dominus sit; etsi qui sine ipsius permissu illorum emolumento frui velint, hos propellere possit. Nam quemadmodum terrenis locis juris est, ut quicunque domus domi-

VARIÆ LECTIONES.

[11] Zuich. et Meerm. ἀλλοίη. [12] Ecl. Nov. 30. [13] Melius ὧν. [14] Forte τὸν κωλ. [15] Ecl. incipit. [16] Codd. τοὺς δ'. Ecl. τοῦ. [17] Ecl. τις.

NOTÆ.

(67) Vid. tit. Cod. De apostatis.

(68) Περὶ προθύρων θαλαττίων. Scrimg. πρόθυρον vestibulum ædium l. 19, § 1, ff. com. divid. olim, qui alterum prohibebat ante Prætorium, seu prothyrum ædium suarum piscari, injuriarum tenebatur : l. 13, in fin. ff. De injuriis, adde 53, Eclog. 6, c. 3, hac Novella non tenetur, et ita abrogatur d. l. 13, in fin. adde l. 14, d. titul. Nam ut ædium, ita et prothyri sui pleno dominio quemque frui oportet. Est enim prothyrum sequela ædium d. l. 13. in fin.

(69) Παρὰ τοῖς προθύροις.

(70) Παρὰ τῶν προθύρων κέρδη θηρᾶν. Scrimg. τὰ τοῦ προθυρίου κέρδους. Cujacius 14, obs. 1. Quid esset προθυρίου κέρδος, dixi ad l. 15 in fin. ff. Qui potior.

Digitized by Google

nus sit, is præter illius usum, vestibulum (71) quoque atque atrium possideat; ut ita etiam in maritimis obtineat, rationi esse consentaneum putamus. Et sicut terrenis locis præter voluntatem domini ex alieno fructus percipere nemini conceditur; sed si quis fructus ex alieno colligit, eos vel benignitate domini percipiat, vel pro loci (72) usu vectigal solvat necesse est: sic etiam in maritimis observari præcipimus.

CONSTITUTIO LVII.

Quantum in piscatoribus remoræ (73) piscatoriæ inter se distare debeant.

Idem imperator eidem Styliano.

Quandoquidem cum plurimæ leges de piscatione statuant, illud quod ἐποχὴν (74) nominandum putarunt, adhuc lege definitum non est (quippe, quod, ut videtur, quo tempore leges illæ promulgabantur, nondum id institutum innotuisset), hoc quoque legis constitutionem auferre volumus.

Quam itaque juris rationem in hoc piscationis instituto legitimo decreto obtinere consuetudini visum est (ut nempe interstitiorum modus ad trecentos sexaginta quinque passus protendatur), hoc nos quod extra convenientem modum non feratur, legis dignitate honorantes, dehinc legem esse sancimus. Nam tametsi citra hoc privilegium, ut remoræ piscatoriæ ad hanc rationem disponantur, præsentis ævi hominibus bonum videatur: quo tamen id firmius sit, cautiusque in æternum observetur, lex esto, *remoræque illæ trecentorum* sexaginta quinque passuum intervallo a consuetudine approbato inter se distanto: idque ita, ut ab utraque parte hic intervalli modus desumatur; ut videlicet centum octoginta duo, et semis (75) ab unius partis finibus exporrigantur, residuum vero ad vicinum usque pertingat. Atquæ hæc quidem de constituendis introducendisque post hanc legem remoratoriis dicimus. Quæ vero hoc decretum prævenerunt, tametsi præstituto hoc intervallo non distent ex ejus præscripto tamen nihil novabitur; permanebuntque illa, ut initio constituta sunt.

CONSTITUTIO LVIII.

Ne (76) ex sanguine cibus conficiatur.

Idem imperator eidem Styliano.

Simul olim legislatori Mosi (77) sanguine vescen-

οἰκίας δεσπότης μετὰ τῆς χρήσεως ταύτης καὶ τῶν προθύρων ἔχει τὴν κτῆσίν τε καὶ αὐλὴν [18], οὕτως εὔλογον καὶ ἐπὶ τῆς θαλάσσης ὑπολαμβάνομεν ἔχειν, καὶ ὥσπερ ἐν τῇ ξηρᾷ ἐκ τῶν ἀλλοτρίων οὐδενὶ συγχωρεῖται παρὰ γνώμην τοῦ κεκτημένου καρπίζεσθαι, ἀλλ' εἰ καρποὺς ἐκεῖθέν τις συναγάγοι, ἢ λαμβάνων [19] τὴν χάριν τῇ τοῦ δεσπόζοντος φιλοφρονήσει ἢ τὴν ὑπὲρ τοῦ τόπου κατατιθέμενος πρόσοδον, οὕτω καὶ ἐν τῇ θαλάσσῃ εἶναι ὁρίζομεν.

ΔΙΑΤΑΞΙΣ ΝΖ'.

Περὶ τοῦ μέτρου τῆς ἀποστάσεως τῶν ἐποχῶν ἐν τῇ τῶν ἰχθύων θήρᾳ.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Ἐπειδὴ πλείστων νόμων περὶ ἰχθύων διοριζόντων θήρας ἐκεῖνο τὸ μέρος ἀδιόριστον ὁρᾶται νόμῳ, ὃ ἐποχὴν ὀνομάζειν ἐγνώκασιν (ὡς ἔοικεν οὔπω τούτου τοῦ ἐπιτηδεύματος γνωρίμου τυγχάνοντος καθ' ὃν καιρὸν εἰς γένεσιν οἱ νόμοι προήρχοντο), βουλόμεθα καὶ τοῦτο νόμου διάταξιν ἀποφέρεσθαι.

Ἥνπερ οὖν ἀντὶ νομικοῦ [20] ψηφίσματος γνώμην οὐκ ἔξω τοῦ πρέποντος φερομένην ἔδοξεν ἐν τούτῳ τῆς θήρας τῷ ἐπιτηδεύματι διαιτᾶν τῇ συνηθείᾳ, φαμὲν δὴ [21] τὸ μέχρι τριακοσίων ἑξήκοντα καὶ πέντε ὀργυιῶν παρατεινόμενον μέτρον τῶν ἀποστάσεων, τοῦτο ἡμεῖς νόμου τιμῶντες ἀξιώματι ἀπὸ τοῦ παρόντος νόμον εἶναι θεσπίζομεν. Εἰ γὰρ καὶ χωρὶς τοῦ τετιμῆσθαι τούτῳ δὴ τῷ προνομίῳ [22] καλῶς ἔχειν δοκεῖ τοῖς νῦν τὰ περὶ ἐποχῶν ταύτῃ τῇ γνώμῃ ῥυθμίζεσθαι, ἀλλ' ὅμως ἵνα μᾶλλον ἐν τῷ βεβαίῳ ᾖ καὶ ἡ περὶ αὐτὴν εὐλάβεια διηνεκῶς σώζοιτο, νόμος ἔστω, καὶ ἀλλήλων ἀφιστάσθωσαν αἱ ἐποχαὶ τὸ νενομισμένον τῇ συνηθείᾳ τῶν τριακοσίων ἑξήκοντα καὶ πέντε ὀργυιῶν διάστημα· δηλονότι ἐξ ἑκατέρου μέρους τοῦ τοιούτου μέτρου τοῦ διαστήματος λαμβανομένου, ὡς εἶναι τὰς μὲν ἑκατὸν ὀγδοήκοντα δύο καὶ ἥμισυ ἀπὸ τῶν ὁρίων τοῦ ἑνὸς διηκούσας μέρους, τὸ δὲ λοιπὸν μέτρον διήκειν μέχρι τοῦ γειτονεύοντος. Ταῦτα δέ φαμεν περὶ τῶν μεταγενεστέρων τοῦ παρόντος νόμου δεχομένων τὴν σύστασιν καὶ παραγωγήν [23]· αἱ γὰρ προφθάσασαι τὸ νῦν δεδογμένον ἐποχαὶ, κἂν μὴ τῷ διορισθέντι ἀφεστήκασι διαστήματι, οὐδὲν ἐκ τοῦ νόμου καινοτομηθήσονται, ἀλλὰ διαμενοῦσιν ἐφ' ἧς ἐξ ἀρχῆς ἔλαχον στάσεως.

ΔΙΑΤΑΞΙΣ ΝΗ'.

Περὶ τοῦ μηδένα τὸ αἷμα βρῶμα ποιεῖσθαι, οὐδ' αὐτὸ πιπράσκειν ἢ ὠνεῖσθαι.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Καὶ πάλαι τῷ νομοθέτῃ Μωσῇ Θεὸς ἐντέλλεται,

VARIÆ LECTIONES.

[18] Ecl. τὴν χρῆσιν habet pro τὴν κτ. τε καὶ αὐλήν. [19] Codd. et Ecl. λαμβάνοι. [20] Ita Ecl. Zuich. et Mecrm. νομίκου. Scrimg. νομίμου. [21] Scrimg. δὲ, Zuich. ἐπί. [22] Ecl. νόμῳ. [23] Ecl. προαγ.

NOTÆ.

(71) D. l. 13, in fin.

(72) Ὑπὲρ τοῦ τόπου, Scrimger hinc τοπιατικὸν, quod et solarium et locarium, vid. d. l. 15, in fin.

(73) Adde Novell. 102, 103, 104, inf. eod. et his quidem de rebus ante hunc Leonem nihil constitutum.

(74) In pothyris seu vestibulis ædium, de quibus superiore Nov. dictum est, maxime in angusto mari, ut in Bosphoro Thracico ut plurimum erant ἐποχαὶ aut certe ἐποχῶν inutia, quæ posteriores dixere θράναι retia in mari extensa confixis palis. Phavorinus δίκτυα ἀγρεύοντα τοὺς ἰχθύας: quam ob rem ἐποχῆς τὴν πῆξιν dixit Leo Novell. 83 et 104, j. eod. et ἐφάπλωμα interpres Novell. 102, vid. Cujac. 14, obs. 1.

(75) Jubet Leo intermitti spatium 182, ulnarum a superiore vicina epocha et totidem ab inferiore.

(76) Sanguis animalium cibus homini esse prohibetur. Ita reducitur jus Mosaicum Lev. xvii, receptum etiam temporibus primitivæ Ecclesiæ.

(77) Act. xv, vers. 19. Levit. ii, 17.

Digitized by Google

αἷμα οὐ φάγεσθαι, καὶ παρὰ τῶν κηρύκων τῆς χάριτος ἀπέχεσθαι τῆς τοιαύτης νενομοθέτηται βρώσεως. Καὶ οὕτω κἀν τῇ παλαιᾷ κἀν τῇ νέᾳ χάριτι συμφώνως ἀθεμίτου δοκοῦντος καὶ ἀποβλήτου τοῦ πράγματος, εἰς τοσοῦτον αὐθαδείας, μᾶλλον δὲ παραπληξίας ἥκουσιν ἄνθρωποι, ὡς μηδ' ἑτέρᾳ τῶν νομοθεσιῶν ὑπείκειν εὐήκοον οὖς. Ἀλλ' ἀναίδην οἱ μὲν κέρδους ἕνεκα, οἱ δὲ τὸ γαστρίμαργον θεραπεύοντες καταφρονοῦσι μὲν τοῦ παραγγέλματος, βρῶμα δὲ ποιοῦνται τὸ ἀπηγορευμένον[24] εἰς βρῶσιν αἷμα. Ἀνήνεκται[25] γὰρ ταῖς ἡμετέραις ἀκοαῖς, ὅτιπερ ὡς χιτῶσι τοῖς ἐντέροις [26] τοῦτο διαλαμβάνοντες, καθάπερ τι τῶν συνήθων βρωμάτων διδόασι τῇ γαστρί.

A dum non esse mandavit Deus, simul ab istiusmodi cibo abstineri debere a præconibus gratiæ (78) est constitutum. Et quanquam tum veteris tum novæ gratiæ tempore illa res vilis habita sit et nefaria: eo tamen contumaciæ, imo vecordiæ homines processere, ut neutri legi aurem præstent morigeram. At contra alii lucri, alii gulæ causa summa cum impudentia mandatum contemnunt, in escamque qua vesci vetitum est, sanguinem convertunt. Perlatum enim ad aures nostras est, quod intestinis tanquam tunicis illum infarcitum, velut consuetum aliquem cibum ventri præbeant.

Τοῦτο οὐκ ἀνασχετὸν ἡ βασιλεία ἡμῶν ὑπολαμβάνουσα, οὐδ' οὕτω παράνομον ἐπίνοιαν πρὸς μόνην γαστέρα κεχηνότων ἀνδρῶν[27] ὑβρίζειν μὲν θεῖα ἐντάλματα, ὑβρίζειν δὲ τῆς ἡμετέρας πολιτείας τὸ ἔντιμον ἀνεχομένη, κελεύει τὸ τοιοῦτον ἄγος μηδ' ὅλως τινὰ εἰς τόλμαν ἐκφέρεσθαι ἐπιτηδεύειν, μήτε πρὸς οἰκείαν χρῆσιν μήθ' ὥστε ἄλλους ὠνουμένους ἐναγεῖ καταμιαίνεσθαι βρώματι. Καὶ ἔστω πᾶς τις ὁ φωραθεὶς κατολιγωρήσας ἀπὸ τοῦ παρόντος καιροῦ τοῦ θείου ἐντάλματος, καὶ τὸ αἷμα βρῶμα ποιούμενος (κἄν τε πιπράσκων κἄν τε ὠνούμενος εἴη), ὡς τῶν τε προσόντων δημεύσει ὑποβληθήσεται, καὶ μετὰ τὸ εἰς τὸ σῶμα πικρῶς αἰκισθῆναι καὶ ἐν χρῷ κουρείᾳ ἀτιμασθῆναι φυγῇ τῆς πατρίδος ἀΐδίῳ ζημιωθήσεται. Ἐπὶ ταύτῃ δὲ τῇ δίκῃ καὶ τοὺς ἐν ἑκάστῃ πόλει ἐπάρχοντας μὴ ἀφεῖσθαι ἀνεγκλήτους προστάσσομεν, ἀλλὰ καὶ αὐτοὺς (οὐκ ἂν γὰρ τοῦτο παρενομεῖτο, εἰ τῷ πρέποντι δραστηρίῳ ἀρχικοῖς ἀνδράσι τὴν ἀρχὴν διεκόσμουν) δίκα λιτρῶν χρυσοῦ ζημίαν ὑπέχειν τῆς ἀμελοῦς καὶ ῥᾳθύμου τῶν ὑποχειρίων ἐπιστασίας.

Quod tolerari non debere imperatoria nostra majestas rata, neque tam impio soli gulæ inhiantium hominum invento, nunc præcepta divina, nunc reipublicæ nostræ honestatem dedecore affici sustinens, jubet, *ne quis id* scelus, neque ad suum usum, neque ut emptores detestando cibo contaminentur, ullo modo exercere audeat. At sciat, quicunque dehinc divinum mandatum contemnere, sanguinemque in cibum convertere (sive vendat, sive emat) deprehensus fuerit, se bonorum publicationi subjiciendum, et ubi acerbum in modum flagris cæsus, ac cute tenus fœde tonsus erit (79), perpetuo patriæ exsilio multandum esse. Quo quidem in judicio, neque civitatum magistratus citra criminationem dimittendos censemus: sed ut et ipsi (neque enim, si illi convenienti alacritate magistratum gessissent, id scelus commissum esset) quod negligenter socorditerque subditis præfuerint, decem librarum auri multam sustineant..

ΔΙΑΤΑΞΙΣ ΝΘ'.

Περὶ τοῦ ἐάν τις ἐλεύθερος πεφυκὼς ἑαυτὸν εἰς δουλείαν ἀπεμπολοίη, μὴ συνεστηκέναι τὴν πρᾶσιν.

Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Εἷς καὶ οὗτος νόμος ἐστὶ τῶν μὴ πρεπόντων τῇ εὐταξίᾳ τῆς ἡμῶν πολιτείας μήτε ἀποδοχῆς ἀξίων μήτε χώραν ὀφειλόντων λαβεῖν ἐνεργείας, ὃς τὸν ἐλεύθερον μὲν πεφυκότα, φαυλότητι δὲ γνώμης τὸ

CONSTITUTIO LIX.

Abrogatio legis (80) *quæ hominem liberum se vendere permittit.*

Idem imperator eidem Styliano.

Quæ lex hominem liberum, qui tam ignavi atque abjecti animi est, ut libertatis dignitatem dedecore afficiens, quo exsecrabile pro servitute persolvendi pretii lucrum participet (81), suam servitutem

VARIÆ LECTIONES.

[24] Meerm. ἀπηγορευθέν. [25] Zuich. et Meerm. ἀνηνέχθη. [26] Codd. ἑτέροις. [27] Scrimg. τῶν ἀνδρ. Agyl. conj. ἀνθρώπων.

NOTÆ.

(78) Act. xxv, vers. 29, Canon Apost. 62.

(79) Pœnæ simile genus exstat in Novell. 62, in fin.

(80) Liber homo se nullo modo vendere ad pretium sui participandum potest: et ita abrogatur l. 5, § 1, ff. De statu; l. 6, § 5, ff. De injusto; l. 14, ff. De pœnis, § 4. Instit. De jure personar.

(81) Συμμοιράσασθαι. Scrimg. ad pretium participandum; l. 5, § 1, ff. De statu; l. 6, § 5, ff. De injusto. § 4. Inst. De jur. pers. ἐπὶ τὸ μοιρίσασθαι τὸ τίμημα. Theoph. ibi. Quæri hic potest quemadmodum ea venditio (nam in pignoratione minus est dubii l. 25, § 1, De liberali causa et ministerio l. 16, C. De liberali), aut cujus tandem pretium venditionis istius acceptum fieret? an venditoris? non video, cum statim ab ipsa venditione venditor servus efficiatur, nihilque ab eo momento suum vel proprium habeat. An emptoris? ne id quidem, nam qua manu pretium numeraret, eadem statim reciperet, nulloque momento in venditoris persona constaret l. 79, s. de acq. hæred. An extranei? Non video quoque quemquam tam facilem in alium fuisse, ut se alterius locupletandi vel juvandi causa vendere velit. Itaque puto liberos et ingenuos homines eo redactos nonnunquam fuisse, quod herum a quo alerentur interdum nancisci eis expediret magis quam in perpetua mendicitate

Digitized by Google

mercetur, non castigat, neque scelus illud corrigit; profecto et illa earum una est quæ rectum reipublicæ nostræ statum dedecent, ac approbatione indignæ sunt, neque auctoritatem et efficaciam accipere debent. *Illam* itaque de eo qui res suas ita gubernat, *latam* legem, quæ dementiam firmam esse permittit, neque eversa indigna illa mercatura, hos qui per insipientiam talia faciunt, competentibus pœnis subjicit, neque legis propositum scimus servare, neque quæ convenienti legibus reverentia potiatur, dignam putamus. Si enim quod (82) pater filiis est, id idem leges civibus esse oportet, ut in hoc unum quod illis conducat ac salutare sit, colliment: quomodo hanc legem qui tantum incommodum atque damnum incumbere iis qui per dementiam in id se conjecerunt, sinit, legibus annumerari æquum est?

Hanc itaque nos legibus excerptam in exsilium mittentes, sancimus, *ut si quis* ita demens sit, ut libertatem servitute commutans se ipsum vendat, ne is contractus validus sit, sed evertatur, et simul ipse libertatis suæ proditor, simul is qui cum ipso ad facinus designavit, verberibus castigentur, nihiloque minus vesaniæ mancipio libertas in pristino suo statu servetur.

CONSTITUTIO LX (83).

Qua pœna (84) *castratores* (85) *affici debeant.*

Idem imperator eidem Styliano.

Virtutis (86) ad procreandum a Deo naturæ ineditæ exsectio non minore cum audacia identidem committitur, quam si apud Deum nulli pœnæ obnoxia esset, cum tamen vel maxime sit; et quanquam veteribus legislatoribus curæ fuerit, ut id malum ultrice lege excideretur, quo respublica ab istiusmodi invento munda esset: haud scio tamen, cum si cui alii, huic certe præscripto obtemperari, atque a naturæ mutilatione abstineri æquum sit, quamobrem non ita faciant homines: sed tanquam utilitatem quamdam, istiusmodi ad-

A τίμιον τῆς ἐλευθερίας ὑβρίζοντα καὶ τὴν οἰκείαν ἐμπορευόμενον δούλευσιν [28] ἐπὶ τῷ [29] κέρδος μιαρὸν ἀντὶ τῆς δουλείας τοῦ καταβεβλημένου τιμήματος, συμμοιράσασθαι, ἀσωφρόνιστον ἐῶν, οὐκ ἐπανορθοῖ τὴν παρανομίαν. Τοιγαροῦν τοῦ τὰ οἰκεῖα οὕτω τιθεμένου [30] τὸν νόμον ὃς παραχωρεῖ τὴν παραφροσύνην βεβαίαν ὑπάρχειν, ἀλλὰ μὴ μετὰ τοῦ ἀνατρέπειν τὴν ἄτιμον ἐμπορίαν καὶ ποιναῖς ἁρμοζούσαις καθυποβάλλει τοὺς τοιαῦτα ποιεῖν ἀφρονευομένους, οὔτε νόμου προαίρεσιν διασώζειν ἴσμεν οὔτε τῆς πρεπούσης νόμοις αἰδοῦς τε καὶ τιμῆς ἐπιτυγχάνειν νομίζομεν ἄξιον. Εἰ γὰρ ὅπερ πατὴρ τέκνοις, τοῦτο δεῖ τοῖς πολίταις εἶναι τοὺς νόμους, πρὸς ἓν [31] μόνον τὸ συμφέρον καὶ σωτήριον τῶν πολιτευομένων ὁρῶντας, ποῦ δίκαιος οὗτος νόμοις συνεξετάζεσθαι, τοιαύτην βλάβην καὶ ζημίαν συγχωρῶν ἐπικεῖσθαι τοῖς ἀνοήτως ἑαυτοὺς εἰς ταύτην ὑποβεβληκόσι;

B Τοῦτο οὖν ἐξοστρακίζοντες καὶ τῶν νόμων ἐκφυλλοφοροῦντες ἡμεῖς θεσπίζομεν, εἴ τις οὕτως ὀφθείη δυστυχῶν εἰς φρένας, καὶ δουλείαν ἐλευθερίας ἀντικαταλλαττόμενος ἑαυτὸν ἀπεμπολοίη, μὴ συνεστηκέναι, ἀλλὰ ἀνατρέπεσθαι τὴν πρᾶξιν, αὐτοῦ τε τοῦ προδότου τῆς ἰδίας ἐλευθερίας καὶ τοῦ συγκακουργοῦντος αὐτῷ πληγάς τε εἰς τὸ σῶμα σωφρονιζομένων, καὶ τῆς ἐλευθερίας ἐν τῷ οἰκείῳ τηρουμένης σχήματι τῷ τῆς ἀνοίας ἀνδραπόδῳ.

ΔΙΑΤΑΞΙΣ Ξ'.

Περὶ τῶν εὐνουχιζόντων τιμωρίας ἄλλως ἢ κατὰ τὸν πρόσθεν νόμον.

C Ὁ αὐτὸς βασιλεὺς Στυλιανῷ τῷ αὐτῷ.

Πρᾶγμα τολμώμενον μὲν ἀφειδῶς ὡς μηδεμιᾶς παρὰ Θεῷ δοκοῦν ἔνοχον δίκης, μάλιστα δὲ ὃν ἄξιον δίκης, ἡ ἐκτομὴ τῆς ἐντεθειμένης ὑπὸ Θεοῦ τῇ φύσει δυνάμεως πρὸς διαδοχὴν τοῦ γένους, πάλαι μὲν τιμωροῦντι νόμῳ διὰ προνοίας ἐγεγόνει τοῖς νομοθέταις λαβεῖν ἐκκοπήν, ὥστε τῆς τοιαύτης ἐπινοίας καθαίρειν τὴν ἡμετέραν πολιτείαν· οὐκ οἶδα δὲ ὅπως δέον εἴπερ τινὶ ἄλλῳ τούτῳ πείθεσθαι τῷ παραγγέλματι καὶ φείδεσθαι λωβᾶν τῇ φύσει, οὐχ οὕτω ποιοῦσιν, ἀλλ' ὥσπερ τι τῶν ὠφελίμων τὴν κατὰ τοῦ γένους τοιαύτην ἐπιβουλὴν λογιζόμενοι, τὰ δι' ὧν

VARIÆ LECTIONES.

[28] Zuich. δούλωσιν. [29] Scrimg. ἐπὶ τό. [30] Hæc verba τοῦ — τιθεμένου aut corrupta aut post παραφροσύνην collocanda esse videntur. [31] Zuich. om. ἕν.

NOTÆ.

vivere. Ac ne interea temere se in servitutem dedisse viderentur; utque aliquam speciem hominis ingenui semper præ se ferrent, ab emptore (Theophilus paulo aliter rem explicat. Inst. De jure personar. § οἱ δὲ δοῦλοι, eo sensu. Ego cum aliquo egi, ut me venderet viginti nummis et sibi pro lucro quinque haberet, quindecim mihi redderet) partem sui ipsius pretii, ejusque liberam perpetuamque administrationem stipulabantur. Arg. l. 2, ff. Si ingenuus; quod postea vel iniquum, mutatum est a Leone hac Novella; non immerito: cum tamen sui ipsius venditionem natura quodammodo respuat; et parum admodum intersit, mortem quis sibi naturalem vel civilem conciscat, cum nemo sit membrorum suorum dominus l. 13, s. Ad legem Aquil. quod hominis liberi nulla sit æstimatio l. ult. ff. De his qui dejecer. Quod iniquum sit minori viginti quinque annis in integrum restitutionem ad res suas alienatas revocandas concedi, nec tamen ad libertatem amissam seu venditam revocandam dari.

(82) Lex id est civibus quod pater liberis; ideo dicitur lex πόλεως συνθήκη κοινή, l. 2, ff. De legibus.

(83) Hujus Novellæ meminit Balsamon ad c. 21, 22, 23. Apost.

(84) Castratores enim ad eamdem pœnam adigebantur. J. eod. et Novell. 142, c. 1. Quod hac constitutione abrogatur.

(85) De castratoribus, adde l. 27, § 28, ff. ad l. Aquil. 3, § 4; l. 4, § 1, l. 6. ff. De sicariis; Paul. 5, sent. 23, § 2.

(86) Δυνάμεως πρὸς διαδοχὴν τοῦ γένους δύναμις, natura l. 9, ff. De iber. et posthum.

Digitized by Google

γένεσις ἀνθρώπου πρὸς φῶς ἔρχεται ἀποκείροντες ἀνθρώπους [32], ἕτερον αὐτοὶ πλάσμα καὶ οὐχ οἷον οἶδεν ἡ τοῦ Πλάστου σοφία τῷ κόσμῳ παρεισάγειν φιλονεικοῦσι. Τοῦτο οὖν ἡμεῖς οὐκ ἀνεκτὸν [33] ἡγούμεθα παριδεῖν, ἀλλὰ νόμῳ τὴν περὶ αὐτοῦ ποινὴν ὁρίζοντες πειρώμεθα σὺν Θεῷ τῆς τόλμης ἐπισχεῖν τοὺς οὕτω μὴ διευλαβουμένους τῷ θείῳ λυμαίνεσθαι πλάσματι. Ἡ μὲν οὖν τῶν προλαβόντων νομοθετῶν ψῆφος [34] τοὺς τοῦτο τολμῶντας εἰς τὴν αὐτὴν ἀντιπεριίστησι λώβην τοῖς παθοῦσι τοὺς λωβησαμένους, καὶ ὅπερ αὐτοῖς ἐπιθυμητὸν ἔδοξεν ἐν ἄλλοις ἰδεῖν, τοῦτο καὶ ἐν ἑαυτοῖς [35] ὁρᾷν κατεπράττετο, οὐ λίαν ἔμοιγε [36] ἀδίκως εἰ καὶ μὴ λίαν πρεπόντως ὁρίζουσα. Οὐδὲ γὰρ ὅτι ἐκεῖνος ἐτόλμα οἷον ἀντιπλαστουργεῖν τῷ Θεῷ, διὰ τοῦτο καὶ τὸν ἐκδικοῦντα μιμεῖσθαι καὶ ἀντιπλαστουργεῖν ἔχει καλῶς, πλὴν ἀλλὰ πρός γε τὴν ἀπόνοιαν οὐ λίαν, ὥσπερ ἔφην, ἄτοπον. Ἐπὶ τούτῳ δὲ καὶ ἄλλως ἐτιμωρεῖτο τοὺς ἀνόσιον ἔργον τολμῶντας· τά τε γὰρ προσόντα ἐδημοσίου, καὶ ἀϊδίῳ φυγῇ κατεδίκαζε, καὶ τὸν ὑποστάντα τὴν ἀδικίαν δοῦλον ὄντα ἐλευθερίᾳ ἐτίμα. Ἡ μὲν οὖν τῶν προλαβόντων νομοθεσία τοιαύτη, ἡμεῖς δὲ περὶ τοῦ πράγματος ψῆφον ἐξάγοντες, τὸ μὲν ἀντιλωβᾶσθαι τοὺς ἐπιβούλους τῆς φύσεως παραπλησίῳ λώβῃ ἀπαγορεύομεν, τοῖς δ' ἄλλοις ἐπ' αὐτῷ ὡρισμένοις, εἰ καὶ κάνταῦθα πρὸς τὸ φιλανθρωπότερον ἡ δίκη ὁρᾷ, ἀλλ' οὖν ὑποκεῖσθαι αὐτοὺς οὐκ ἀπαρέσκει [37].

Θεσπίζομεν οὖν, πρῶτον μὲν τὸν προσκαλεσάμενον τὸν ἐνεργοῦντα τὴν κατοτεχνίαν, ἐφ' ᾧ ἐνεργῆσαι [38], εἰ μὲν [39] τῷ καταλόγῳ τῶν βασιλείων ἀνθρώπων τελεῖ, ἐκκόπτεσθαι τοῦ καταλόγου, ἔπειτα δὲ καὶ δέκα λιτρῶν χρυσίου εἰς τὸ δημόσιον ἀναφερομένων ζημίαν ὑπέχειν καὶ μέχρι δέκα ἐτῶν ὑπερόριον τῆς πατρίδος γίνεσθαι, τὸν δὲ τῆς κακοτεχνίας ἐργάτην καὶ αὐτὸν πρῶτον μὲν μάστιξι ταῖς εἰς τὸ σῶμα καὶ ἐν χρῷ κουρείᾳ ἀτιμάζεσθαι, ἔπειτα δὲ καὶ τῶν ὄντων ἀποστερεῖσθαι· καὶ ἴσῳ καιροῦ μέτρῳ τῆς ἐνεγκούσης φεύγειν. Ὁ δὲ τὴν ἀδικίαν ὑποστάς, εἰ μὲν τῶν ὑπὸ δουλείαν τελούντων εἴη, τὸν ὑπόλοιπον χρόνον τῆς αὐτοῦ ζωῆς δουλικῆς τύχης

versus generandi vim insidias reputantes, membra quæ homini nascendi causam suppeditant, lancinent, et creaturam aliam quam qualis Conditoris sapientiæ placuerit, in mundum introducere contendant. Hoc igitur cum inultum relinquendum non putemus, lege in id pœnam constituentes, quibus adeo divinam creaturam deformare religio non est, eorum audaciam, auxiliante Deo, reprimere conemur, ac superiorum quidem legislatorum decretum eos qui id auderent ad (87) eamdem mutilationem quam aliis intulerint adigit, quodque ipsi in aliis videre desiderarint, id ut itidem in se videant, conficit; idque me judice, non ita præter æquitatem; quanquam non valde decore. Non enim quia ille creaturam Dei *quasi* refingere ausus est continuo vindicem id imitari, et pariter (88) refingere, æquum est. Verumtamen, quantum ad inventum attinet, non valde (quemadmodum dixi) id alienum est. Ad hoc autem alio etiam modo, qui impium hoc factum auderent, puniebat. Bona namque publicabat, perpetuoque ipsos exsilio adjudicabat; et qui injuriam sustinuisset, si servus esset, libertate honorabat (89). Atque superiorum quidem decretum istiusmodi erat. Nos vero de re illa sententiam pronuntiantes, naturæ insidiatores simili mutilatione viciissim mutilari prohibemus: aliis autem isti crimini constitutis pœnis, (tametsi hic etiam ad clementiorem sententiam respiciamus) subjacere ipsos non displicet.

In 3° capite dicit : Oportet admitti illum sic: Post testificationem et inquisitionem, præsentem fieri cum concilio tabularium et primicerio coram illustrissimo urbis præfecto, toga indutum, istis jurantibus per Deum et imperatorum salutem se non ob ullam gratiam aut favorem aut propinquitatem aut amicitiam hunc ad gradum promotere, sed ob virtutem, scientiam et prudentiam, et hunc aptum esse in omnibus; et post juramentorum affirmationem sigillo hunc admitti in præfectorali officina ab eo qui directionem habet; deinde ita collocari in concilio et adnumerari tabulariis; deinde in templum, prope quod habitationem habet, ingredi, omnibus tabulariis toga indutis, et consecrari per orationem sacerdotis toga exutum et albo vestimento opertum, et circumdatum tabulariis omnibus toga indutis, primicerio thuribulum tenente et ad hunc bonum odorem emittente, dum manibus legem præfert, ad dirigendum ejus vias per thuribulum significati, ut incensum coram Domino; ita igitur gloriose in cathedra collocari quam sortitus est; deinde domum redire cum suæ dignitatis apparatu, convi-

A τὸ τοιοῦτον ἀκίνητον· τούτου δὲ παραδραμόντος καὶ οὕτως[80] οἱ γειτνιῶντες ἀποκλείονται, προσκυρουμένης τῷ ἐξωνημένῳ τῆς νομῆς τοῦ ἀκινήτου.

ΔΙΑΤΑΞΙΣ ΡΙΕ'.

Τῶν περὶ πολιτικῶν σωματείων διατάξεων τοῦ βασιλέως κυροῦ Λέοντος πρώτη περὶ ταβουλλαρίων[81].

Ἡς ἐν τῷ α' κεφ. φησίν· Ὁ μέλλων προχειρισθῆναι ταβουλλάριος ὀφείλει ψήφῳ καὶ διαγνώσει τοῦ τε πριμμικηρίου καὶ τῶν σὺν αὐτῷ ὄντων ταβουλλαρίων ἐγγίνεσθαι, ὡσὰν καὶ γνῶσιν καὶ νόμων εἴδησιν ἔχοι, καὶ χειρὸς γραφῇ τῶν λοιπῶν πρωτερεύοι, καὶ μὴ στωμύλος ἢ αὐθάδης ἢ βίου διεφθαρμένου τυγχάνοι, ἀλλὰ μᾶλλον σεμνὸς τὸ ἦθος καὶ τῇ φρονήσει ἀκέραιος, λόγιός τε καὶ συνετὸς καὶ περὶ τὴν λέξιν B εὔστροφος καὶ περὶ τὸν λόγον εὐάρμοστος τοῦ μὴ ῥᾷστα ὧδε κἀκεῖσε περιφέρεσθαι εἴς τε[82] τὰς τῶν φαλσαμάτων γραφὰς καὶ τὰς τῶν δελεασμάτων παραγραφὰς, ὡς[83] εἴ γέ ποτε τοιαῦτά τις παρὰ τὸν νόμον καὶ τὰ συμβιβασθέντα καὶ γραφῆναι ὁρισθέντα εὑρεθείη διαπραττόμενος, ὑπ' εὐθύνην ἔσεσθαι καὶ τοὺς αὐτὸν μαρτυρήσαντας.

Ἐν δὲ τῷ β' κεφ. φησίν· Ὁ προχειρισθησόμενος ὀφείλει ἐπὶ στόματος ἔχειν τοὺς μ' τίτλους τοῦ ἐγχειριδίου νομίμου καὶ τῶν ξ' βιβλίων τὴν γνῶσιν, παιδευθῆναι δὲ καὶ τὴν ἐγκύκλιον παίδευσιν, ὡς μὴ διαμαρτάνειν ἐν ταῖς ἐκδόσεσιν ἢ διολισθαίνειν περὶ τὴν λέξιν, ἔχειν δὲ καὶ τὸν χρόνον πληρέστατον τοῦ διατρινοῦσθαι καὶ τῷ νῷ καὶ τῷ σώματι· χειρὸς δὲ γραφῇ ἐκτυπούτω ἐν τῷ συλλόγῳ, μήτι τῶν ἀδοκήτων διαπράττεσθαι· εἰ δὲ φωραθείη, ἐκπίπτειν τοῦ βαθμοῦ.

Ἐν δὲ τῷ γ' κεφ. φησίν· Δεῖ προχειρίζεσθαι τοῦτον οὑτωσί· μετὰ τὴν διαμαρτυρίαν καὶ τὴν ἔρευναν ἐμφανίζεσθαι μετὰ τοῦ συλλόγου τῶν ταβουλλαρίων καὶ τοῦ πριμμικηρίου τῷ ἐνδοξοτάτῳ ἐπάρχῳ τῆς πόλεως, ἐφεστρίδα ἠμφιεσμένον, ἐπομνυμένων ἐκείνων εἰς Θεὸν καὶ τὰς σωτηρίας τῶν βασιλέων, μὴ διά τινα χάριν ἢ παράκλησιν ἢ συγγένειαν ἢ φιλίαν τοῦτον τῷ βαθμῷ ἐντάττεσθαι, ἀλλὰ δι' ἀρετὴν καὶ γνῶσιν καὶ σύνεσιν καὶ τὸ ἱκανὸν εἶναι ἐν πᾶσι· καὶ μετὰ τὴν τῶν ὅρκων βεβαίωσιν σφραγίδι αὐτὸν προχειρίζεσθαι ἐν τῷ ἐπαρχικῷ σεκρέτῳ παρὰ τοῦ τὴν ἡγεμονίαν ἔχοντος, εἶθ' οὕτως ἐντάττεσθαι τῷ D συλλόγῳ καὶ συναριθμεῖσθαι τοῖς ταβουλλαρίοις· ἔπειτα ἐν ναῷ, οὗ πλησίον τὴν κατοίκησιν ἔχει, ἀφικνεῖσθαι, πάντων τῶν ταβουλλαρίων ἐφεστρίδας ἠμφιεσμένων, καὶ τελεῖσθαι δι' εὐχῆς τοῦ ἱερέως τὴν ἐφεστρίδα ἀποβαλλόμενον καὶ λευκὸν φελόνιαν ἐνδιδυσκόμενον, καὶ προπεμπόμενον παρὰ τῶν ταβουλλαρίων πάντων τὰς ἐφεστρίδας ἠμφιεσμένων, τοῦ πριμμικηρίου θυμιατήριον ἔχοντος καὶ πρὸς αὐτὸν τὴν εὐωδίαν ἐκπέμποντος, ἐν ταῖς χερσὶ τὸν νόμον ἐπιφερόμενον, τοῦ κατευθῦναι τὰς ὁδοὺς αὐτοῦ διὰ τοῦ θυμιατηρίου σημαινομένου, ὡς θυμίαμα

VARIÆ LECTIONES.

[80] Mal. m ὅλως. [81] Exstat in codice τῆς μονῆς τῶν Ἰβήρων in monte Athone sitæ, necnon in cod. Paris. Gr 1351 fol. 292. et 1357 A. [82] Cod. δέ. [83] ὡς delenda esse videtur.

Digitized by Google

ἐνώπιον Κυρίου. Οὕτως οὖν ἐνδόξως παραγίνεσθαι ἐν τῇ καθέδρᾳ, ἐν ᾗ ἐκληρώθη· εἶτα οἴκοι ἐπαναστρέφειν μετὰ τῆς ἑαυτοῦ δόξης, συμποσιάζειν τε τὸ τηνικαῦτα μετὰ τῶν συμπαρόντων καὶ συνευφραίνεσθαι.

A vari confestim cum adstantibus et gratulationes excipere

CONSTITUTIO CXVI.

De archiepiscopatu Patrensi bulla aurea[84].

[Non exstat.]

ΔΙΑΤΑΞΙΣ ΡΙΖ'.

Νεαρὰ νομοθεσία Λέοντος καὶ Ἀλεξάνδρου περὶ[85] *τοῦ ἀπὸ πρώτου γίνεσθαι πάσας τὰς ἐκδόσεις. Γέγονε δὲ αὕτη ἐν ἔτει ,ϛυκζ'*[86]*. Ἐναπετέθη ἐν τῷ ὀρφανοτροφείῳ*[87].

Πᾶσα κήνσευσις ἀπὸ Αὐγούστου Καίσαρος ἐκτεθεῖσα ὑποτελεῖς πάντας τοὺς ὁμογενεῖς παρεσκεύασεν, ὅθεν καὶ τὰ δημόσια τέλη ἀνεφύησαν. Ἀπὸ οὖν τῶν τελουμένων δημοσίων ἐμφυτευτικῶν τελεσμάτων ἐν ταύτῃ τῇ θεοφυλάκτῳ πόλει ὁ πρὸ ἡμῶν βασιλεὺς Ἰουστῖνος[88] ἐν τῷ τῶν κορυφαίων ἀποστόλων εὐαγεῖ σεκρέτῳ τοῖς ὀρφανοτροφείοις[89] σὺν ταῖς ἄλλαις αὐτοῦ δωρεαῖς καὶ υμγ' νομισμάτων ἐτήσιον δημόσιον τέλος προσαφιέρωσεν[90], ἐντάξας ταῖς ῥόγαις, κατὰ τὴν ἐναποκειμένην αὐτοῦ ἱερὰν νομοθεσίαν ἐν τῇ τοῦ Θεοῦ μεγάλῃ Ἐκκλησίᾳ, τὰ τοῦ ὀρφανοτροφείου δημόσια[91] ἀνεκποίητα εἶναι, καὶ ἐπὶ προσώποις τρισὶν ἐκδίδοσθαι. Ὕστερον δὲ πρὸς τὰ τῆς ζωῆς αὐτοῦ τέλη[92] καὶ τὸν τῆς δωρεᾶς τῶν υμγ' νομισμάτων χρυσόβουλλον λόγον ἐξέθετο, καὶ δι' αὐτοῦ καλῶς καὶ δικαίως τοῖς παροίκοις χρήσεως[93] καὶ νομῆς χρόνον. Ὃν καὶ εἰς χεῖρας λαβοῦσα ἡ [γαληνότης][94] ἡμῶν, τὰ παρ' ἐκείνου καλῶς διορισθέντα εἰς νόμον ἐξέθετο, καὶ κρατεῖν αὐτὸν εἰς τοὺς ἑξῆς ἅπαντας καὶ διηνεκεῖς χρόνους παρεκελεύσατο. Ἔνθεν τοι καὶ διορίζεται, ἀπὸ πρώτου προσώπου εἰς πρῶτον κατέχεσθαι τὰ ἐκδιδόμενα, καὶ δεσπόζειν ἀκωλύτως, καὶ μετὰ τὴν ἐκπλήρωσιν τῶν ἀπὸ πρώτου προσώπου εἰς πρῶτον, ἀναχάμπτειν τὸν κατέχοντα, καὶ παρέχειν διπλοῦν τὸ τελούμενον ἐμφυτευτικὸν τέλος, καὶ τὴν συνήθειαν.

B principum venerabili secreto rebus orphanotrophei præter alias suas largitiones, etiam 443 solidorum publicam pensionem annuam consecravit, atque inseruit sub tit. 170, secundum sacram ipsius legislationem, quæ sita est in magna illa Dei Ecclesia ut res orphanotrophei duntaxat alienari nequeant et ad tres personas locentur. Posterius vero sub ipsius vitæ finem, etiam de donatione illorum 443 solidorum bullam auream confecit ac per eam recte riteque possidendi ac fruendi tempus exposuit. Quæ cum ad nostræ serenitatis manus pervenisset, ab ipso recte saneita vim legis obtinere voluit, eamque deinceps in omnia perpetuo secutura tempora valere jussit. Ideoque definit, a prima persona ad primam, debere locata possideri; neminem prohibente in domino manere ac post impletionem a prima persona ad primam reflectere possessorem, duplamque pensionem emphyteuticam quæ præstari solet, et consuetudinem, præbere.

C

ΔΙΑΤΑΞΙΣ ΡΙΗ'.

Κατάκρισις ἐντεθεῖσα εἰς τοὺς κριτὰς, παρὰ Λέοντος καὶ Ἀλεξάνδρου, τῶν εὐσεβῶν βασιλέων.

Οἶμαι δὲ τῶν κρίνειν λαχόντων, οὐδένα ποτὲ πρὸς τοσαύτην ἀπονοίαν σκαιότητα, ὥστε παρὰ τοὺς ἐγκειμένους νόμους δοκιμάσαι καὶ τὰς ψήφους ἐκφέρειν. Εἰ δὲ εἰς τοσοῦτον τῆς ματαιότητος ὀλισθήσει, ἀλοὺς μὲν, τὴν ἐν νόμοις κειμένην ἀποίσεται δίκην, ἡμᾶς δὲ λαθὼν, ἥκιστα λήσεται τὸν ἀκοίμητον ὀφθαλμὸν, ὅμως καὶ ἀραῖς ἐμπεδῶσαι τοῦτο, λίαν ἀσφαλὲς εἶναι φήθημεν. Εὕροι Θεὸν μαχόμενον οὗτος, καὶ τὰς οὐρανίους καὶ ἀσωμάτους δυνάμεις, πολεμούσας αὐτῷ, ἐκπέσοι ἀόρως, καὶ τῆς παρούσης ζωῆς, καὶ προσζημιωθήσεται καὶ τὴν μέλλουσαν

D

CONSTITUTIO CXVII.

Nova legislatio Leonis et Alexandri de eo quod omnes editiones a priore sunt profectæ. Facta autem hæcce est anno 6427, *depositaque in orphanotropheo.*

Omnis præstatio census, ab Augusto Cæsare profecta, universis ejusdem generis homines tributarios reddidit. Hinc et tributa publica nata sunt. Igitur ex pensionibus publicis emphyteuticis, quæ in hac urbe divinitus custodita præstantur, decessor noster imperator Justinus in apostolorum

CONSTITUTIO CXVIII.

Condemnatoria sententia, in judices a piis orthodoxisque imperatoribus Leone et Alexandro pronuntiata.

Existimo equidem eorum neminem, qui judiciario funguntur munere, eo unquam stuporis aut inscitiæ prorupturum, ut aliter quam ex præscripto legum judicium sententiamve ferre audeat. Quod si quis in tantam evaserit dementiam, reus peractus eas dependet pœnas quæ legibus sunt irrogatæ. Sin forte nos effugerit, pervigilem tamen illum atque insomnem oculum, cui nihil non, quamlibet occultum sit, patere potest, effugere non poterit. Tamesti idipsum imprecationibus quoque, dirisque exsecrationibus stabilire ac firmare non abs re alienum

VARIÆ LECTIONES.

[84] Laudatur in Leuncl. JGR. I p. 279. [85] Cod. παρά. [86] Ita codex. Sed legendum ,ϛυιζ', quia annus a m. c. 6427 non in Leonis et Alexandri, sed in Constantini et Romani imperium incidit. [87] Leuncl. καὶ ἐναπ. τῷ ὀρφ. [88] Theophanes ad ann. VII, Justini minoris: τούτῳ τῷ ἔτει ἤρξατο κτίζειν ὁ Ἰουστῖνος τὴν ἐκκλησίαν τῶν ἁγίων ἀποστόλων Πέτρου καὶ Παύλου ἐν ὀρφανοτροφείῳ. [89] Codd. τῆς ὀρφανοτροφείου. Leuncl.: τοῖς ὀρφανοτροφείου. [90] Leuncl. προαφ. [91] Cod. τῥο. Secundum scribendi rationem librario usitatam, τ significat τὴν vel ταῖς, ῥο autem numerum CLXX significat aut per abbreviationem verbum ῥόγα indicat. Leuncl. . . . . ρο. [92] Leuncl. μόνα, quippe scripturæ compendio male intellecto. [93] Cod. τὰ — τέλει. Leuncl. τῷ — τέλει. [94] Leuncl. inde elicit τὸν περὶ τῆς κατοχῆς. [95] Lacuna in codice est, quam recte Leunclavius verbo γαληνότης explevit.

Digitized by Google

censuimus. Inveniat itaque iste et Deum et cœlestes omnes, atque incorporeas potestates sibi nunquam non adversantes, immature ex hac vita excidat potius quam excedat. Incommodis insuper officiatur perpetuis; ipsius ædium fundamenta ignis tandem devoret, et posteritas eo redigatur inopiæ, ut panem ostiatim quæritet. Atque hæc jure sane optimo, propterea quod leges quas liberrimas esse oportuit, servas quodammodo atque captivas effecit fictorum pravorumque judiciorum.

A πῦρ καταφάγεται θεμέλια οἴκων αὐτοῦ, καὶ ἔσται δι' αἰῶνος ἠτιμωμένον τὸ σπέρμα αὐτοῦ, καὶ ζητοῦν ἄρτους, ἀνθ' ὧν τὴν τῶν νόμων ἐλευθερίαν δεδλην παραπεποιημένων κρίσεων ἀπεργάσατο.

LEONIS IMPERATORIS

COGNOMENTO SAPIENTIS

OPERUM PARS TERTIA,

CONTINENS

CARMINA, SCRIPTA AD REM MILITAREM SPECTANTIA, ORACULA

—

ΑΠΟΛΟΓΙΑ ΛΕΟΝΤΟΣ ΦΙΛΟΣΟΦΟΥ

ΚΑΘ' ΗΝ

ΧΡΙΣΤΟΝ ΜΕΝ ΣΕΒΕΙ, ΤΑ ΕΛΛΗΝΩΝ ΔΕ ΦΑΥΛΙΖΕΙ.

—

APOLOGIA LEONIS PHILOSOPHI

IN QUA

CHRISTUM VENERATIONE PROSEQUITUR, GENTILIUM VERO DOCTRINAS SUGGILLAT.

(Ex Anecdotis Græcis P. Matrangæ, Romæ, 1850, tom. II.)

—

Multi me arguunt lingua maligna talia exprobrantes: Mirum sermonem! quomodo nobilem solvis lectionum mercedem! pulchra alimenta patri tuo secundo præbes, dilecte, præceptorum monumentum clamans ad æternum tempus! quod insanus, quod blasphemus, quod apostata a Christianorum fide fuerit Leo.

Alii me incusant, ignari fortasse veræ quam sequor rationem. Audent dicere mendacium esse sermonem artificiosa inimicorum arte consutum, quo me perditum dicunt temere magistrum vita functum alloqui.

Ego vero audiens tales scurrilitates, quandiu potui circonspecte sustinui; et in illos irasci nolens, Hippoclidis voce contestatus sum: loquens præsertim veritatem diligit, ut ait David, in corde suo, cujus robur, vocis organa tollens, longum tempus non consumit. Cum vero

B Πολλοί με τωθάζουσι γλώσσῃ (1) κερτόμῳ
Τοιαῦτα χλευάζοντες· Εὖγε τοῦ λόγου,
Ὡς ἐσθλὰ τίνεις τῶν μαθημάτων γέρα,
Καλὰ τροφεῖα πατρί σου (2), τῷ δευτέρῳ
Παρέσχες, ὦ βέλτιστε, τῶν διδαγμάτων
Στήλην βοῶσαν εἰς τὸν αἰῶνα χρόνον·
Ὡς μωρὸς, ὡς βλάσφημος, ὡς ἀποστάτης
Τῆς Χριστιανῶν ἐστι πίστεως Λέων.
Ἄλλοι δέ με σκώπτουσιν, ἀγνῶτες τάχα
Τῶν ἀτρεκῶν μου καὶ βεβηκότων τρόπων·
Τολμῶσί τ' εἰπεῖν ψεῦδος εἶναι τὸν λόγον
Ἐκ δυσμενῶν ῥαφέντα βασκάνῳ τρόπῳ,
Ὑφ' ὧν μ' ὑποφθαρέντα τοῦ διδασκάλου
Μάτην κατειπεῖν ἐκλιπόντος τὸν βίον.
Ἐγὼ δ' ἀκούων τῶνδε τῶν ληρημάτων,
C Ἕως ἐνῆν μὲν εὐλαβῶς ἐκαρτέρουν·
Καὶ πρός γε τούτους ἐκραγῆναι μὴ θέλων,
Τὴν Ἱπποκλείδου (3) ῥῆσιν ἀντεφθεγγόμην·
Λαλῶν μάλιστα τὴν ἀλήθειαν φίλει,
Ὡς φησι Δαβὶδ (4), ἔνδον ἐν τῇ καρδίᾳ,

NOTÆ.

(1) Constantini, discipuli sui, calumnias a se dimovet. Vide inter Prolegomena hujus voluminis, n. IV. EDIT.

(2) Photio fortasse præceptori olim favebat Leo, vide infra v. 13 seq., et seq. epigramma p. 158.

(3) Dolet quod Hippoclidis effatum non protulerit; quod si fecisset, e fragmentis Herculanensibus Polystrato tributis, aliqua fortasse ad Hippoclidem pertinere novissemus.

(4) Psal. xiv, 2.

Digitized by Google

Ὥσπερ τὰ νεῦρα τῶν λαλούντων ὀργάνων
Ῥίων ὁ μακρὸς οὐ διαφθείρει χρόνος.
Ἐπεὶ δὲ μαργαίνουσιν ἐκ πονηρίας,
Πέτρους ὀλοιτρόχους τε μεστοὺς πικρίας,
Λόγους καθ' ἡμῶν σφενδονοῦσι μακρόθεν,
Τεττιγος ἐδράξαντο τοῦ πτεροῦ (5) τάχα,
Νύξαντες ἡμᾶς, εἴ τι δεῖ καὶ κομπάσαι,
Κακὸν κακῷ μὲν ἐξιέμενος πάλαι,
Ὁ μητροραίστης (5) φησὶν Ἀτρείδου γόνος,
Ἄχρηστον εὗρεν ἐν βίῳ παροιμίαν·
Ἐγὼ δὲ καλῷ καλὸν ἐγγράφων λόγον,
Τὸν εὐσεβῆ λείπω γε μῦθον ἐν βίῳ
Ὁ πατροραίστης δυσσεβοῦς διδασκάλου,
Κἂν εἰ διαῤῥαγεῖεν Ἕλληνες μέσον,
Μανέντες ἐν λόγοισι Τελχίνων μέτα.
Καὶ πρῶτα μὲν ζήλῳ γε ῥωσθεὶς ἐνθέῳ
Χριστὸν κριτὴν τίθημι τὸν Θεὸν Λόγον,
Ὃς ὄντα πηγὴν τῆς ἀληθείας μόνον·
Καὶ τῷ Λόγῳ θρόνον τε καὶ βῆμα γράφω
Τάξεις παρεστώτων γε σεπτῶν ἀγγέλων,
Καὶ συγκαλῶ θέατρον ἀνθρώπων μέγα,
Καὶ προσκαλοῦμαι τοὺς ἐμοὺς κατηγόρους,
Μέσον παρελθὼν ὥς τις ὁπλίτης νέος,
Οὐκ εἰς ἀγῶνά φημι τῶν Ὀλυμπίων,
Ἐκκλησιῶν δὲ τῶν ἄνω καὶ τῶν κάτω,
Μέτειμι λοιπὸν ἐν κονίστρᾳ τῶν λόγων.
Ἐῤῥοιεν οἱ τὸ θεῖον ἐξηρνημένοι,
Μανεῖεν οἱ Μάγεντι συμμεμηνότες,
Φθαρεῖεν οἱ σέβοντες Ἑλλήνων θεούς,
Θεοὺς ἔρωτι καὶ πάθει συνημμένους,
Θεοὺς ὑπ' ἀνδρῶν εὐτελῶν τετρωμένους,
Θεούς τε μοιχοὺς καὶ θεὰς κασσωρίδας,
Θεὰς ὑπ' ἀνδρῶν βουκόλων γαμουμένας,
Θεούς τε χωλοὺς, καὶ παραβλῶπας θεάς.
Πέσοιεν οἱ μὴ προσκυνοῦντες ἐμφρόνως
Θεῷ προσώποις ἐν τρισὶ νοουμένῳ,
Ὑμνουμένῳ δὲ τῇ μιᾷ μόνῃ φύσει·
Θάνοιεν οἱ τὴν σάρκα τοῦ Θεοῦ Λόγου
Μὴ σὺν φόβῳ σέβοντες ἐκ ψυχῆς ὅλης·
Χριστὸς καταργήσειε τὰς βλασφημίας,
Σωτὴρ ὀλοθρεύσειε πάσας αἱρέσεις,
Χριστὸς δ' ἀμερδύνειε καὶ τῶν σχισμάτων
Βλάβην ἅπασαν καὶ πονηρίαν φθόνου·
Σωτὴρ ἀϊστώσειε τοὺς δόξης χάριν
Ἐκκλησίαν τέμνοντας εἰς διαιρέσεις.
Ταῦτα φρονῶ ζῶν, καὶ θανὼν ἐκεῖ πάλιν
Καυχώμενος λέξαιμι πρόσθεν ἀγγέλων·
Τί σοι χρεωστῶ τοῦ νοὸς κατὰ πλέον,
Ὦ παντεπόπτα, καὶ νεφροὺς (6) καὶ καρδίας,
Ὦ τοὺς λογισμοὺς ἐξερευνῶν ἐννόμως;

A Cum vero delirant ex malignitate, et cum lapidibus nocivis et acerbitate plenis, sermonibus nos impetunt longum per tempus, cicadarum sumpserunt alas fortasse, ut nos lacesserent. Si quid oportet magnum loqui, malum pro malo inferens, dicit matricida, Atridæ filius: inutile invenit in vita proverbium. Ego autem bono bonum rescribens sermonem, linquo in vita memoriam, parricida impii magistri, quamvis Græci in medio disrumpantur, furiosi facti in sermonibus cum Telchinis.

Et primum quidem zelo actus divino Christum
B judicem statuo Deum Verbum, ut est veritatis solus fons; et Verbo thronum et scabellum scribo ordines esse circumstantium sanctorum angelorum, et convoco magnum hominum cœtum, et advoco meos accusatores, in medium ingrediens, ut novus quidam miles, non in certamen dico Olympicum, sed in Ecclesias quæ supra et infra exsistunt, ingredior tandem sermonum aream.

Dispereant qui Deum negant, furiis agitentur qui
cum Mane insaniunt, pereant qui colunt Græcorum deos, deos amori et passionibus obnoxios, deos a vilibus viris vulneratos, deos adulteros et
C deas meretrices, deas quæ boum custodibus nupserunt, deos claudos et deas luscas.

Cadant qui non adoraverint prudenter Deum tribus in personis cognitum, celebratumque in una sola natura. Moriantur qui carnem Dei Verbi cum timore non coluerint ex tota mente. Christus confundat blasphemias; Salvator exterminet omnes hæreses; Christus dissipet schismatum perversitatem omnem et malignitatem invidiæ; Salvator destruat illos qui gloriæ causa Ecclesiam in factiones dividunt.

D Hæc vivens cogito, et mortuus illic iterum gaudens dicam coram angelis. Cujus rei tibi magis debitor sum, o tu qui cuncta vides, mente, renibus et corde, o tu qui cogitationes recte scrutaris?

Οἷον δὴ καὶ τοῦτο τὸ ἡρωϊκοελεγεῖον αὐτοῦ.

Tale et hocce est heroico-elegiacum ejusdem.

Ἔῤῥε μοι, ὦ τριτάλαινα Πολύμνια, ἔῤῥετε, μοῦσαι,
Αὐτὰρ ἐγὼν ἀπὸ νῦν ῥητορικῆς ἔραμαι·
Φώτιον ἀρχιερῆα γεροντοδιδάσκαλον εὑρὼν,

Ito mihi, o ter misera Polymnia, ite musæ; nam ego nunc maxime rhetoricam adamo:
Photium enim archipræsulem senum magistrum

NOTÆ.

(5) C. videtur πτέρους.
(6) Sic cod. cum simplici ρ. ut infra v. 33, ubi sane de Photio in exsilium misso loquitur, græcorum schismaticorum insania despecta.
(7) C. vid. νεφρῶν.

Digitized by Google

inveni, qui me lacte nutrivit divinorum fluenturum.

A Ὅς με (8) γάλακτι ἔθρεψε θείων ναμάτων.

Alii iambici ejusdem versus.

Destruuntur illustria tempore qui omnia consumit, perierunt utilia et præclara, interiit scientia, exstincta est ratio, evanuit mens, abiit contemplatio, fugit pietas et religio, justitia abest et jus et omne bonum. Libere loquitur nunc dolus, mendacium regnat et tyrannis et vis. Accedit ad omne divinum opus invidia, os impietatis dilatatum est. Deglutit avide errores Charybdis, et quisquis blasphemiæ dogmata vomitat.

Ἕτεροι ἰαμβεῖοι τούτου στίχοι.

Ἔρρει τὰ σεμνὰ τῷ χρόνῳ τῷ παμφάγῳ,
Διέφθορε τὰ χρηστὰ καὶ τὰ τίμια,
Ὤλωλεν ἡ παίδευσις, ἔσβη καὶ λόγος,
Φροῦδος δὲ καὶ ναῦς, οἴχεται θεωρία,
Λέλοιπεν εὐσέβεια, καὶ τελεστική·
Θέμις δ' ἀπέστη καὶ δίκη καὶ πᾶν καλόν,
Παῤῥησιάζεται δὲ νῦν πανουργία,
Καὶ ψεῦδος ἄρχει, καὶ τυραννὶς, καὶ βία·
Ἕρπει δὲ πρὸς πᾶν θεῖον ἔργον ὁ φθόνος,
Τῆς δυσσεβείας ἠνέῳκται τὸ στόμα·
Ῥοιβδεῖ δὲ χανδὸν ἡ Χάρυβδις τῆς πλάνης,
Ἐμεῖ δὲ πᾶς τις δόγματα βλασφημίας·

(8) Sic omnino habet codex et quidem mendose.

LEONIS PHILOSOPHI EPIGRAMMATA.

(Brunck, *Analecta*, t. III, p. 128, ed. 4° 1776.)

I.

In librum Mechanices.

Liber Mechanices est; hunc Cyrinus elaboravit, Marcello fratre ministrante operam.

II.

In librum Pauli astrologi.

Prophetica divinatoriæ Phœbidis artis mysteria astrologus Paulus me docuit eximius vir.

III.

In libros Procli et Theonis.

Liber Theonis et Procli sapientia illustrium, liber cœli et terræ continet mensuras. Theon cœlum, Proclus metitur terram; Proclus ergo tellurem, et Theon metitur cœlum. Ambo pariter laude digni, ambo invicem suas elucubrationes mutuati, Theon Procli quidem sumens doctas theses, his demonstrat astrorum cursus; Proclus autem demonstrationes Theonis sumens, his exponit et explicat suas theses. Verum, o sapiens par, salve mihi admodum! salve illustris Theon, sapientia præditum caput, qui nunc exornas Alexandri urbem! Salve quoque, tu, Procle, quem Sarpedonis eximium sanguinem omnes proclamant.

IV.

In librum Leucippæ.

Amorem amarum, sed castorum vitam Clitophontis quidem ostendit sermo; Leucippæ autem castissima vita omnibus admirationem injicit, quomodo cæsa, sauciata, inanimis relicta, et quod majus est, ter mortua sustinuerit. Si vero tu quoque castus esse velis, amice, ne adjectitia sermonis mireris, sed orationis prius contextum disce, nam amantes castis furiis agitat.

V.

Sermonum tuorum purpura, Porphyrie, tingis labia, et mentem ornas.

VI.

In menses Romanorum.

Mensis consulum primus, secundus sulcum secat, tertius Ausoniorum genus in bellum excitat,

B

I.

Εἰς βίβλον Μηχανικήν.

Βίβλος Μηχανική· Κυρῖνος δέ μιν ἐξεπόνησε,
Μαρκέλλου γνωτοῦ συνεργομένου κατὰ μόχθον.

II.

Εἰς βίβλον Παύλου ἀστρολόγου.

Θέσφατα μαντῶης Φοιβηΐδος ὄργια τέχνης
Ἀστρολόγων Παῦλός μ' ἐδιδάξατο κύδιμος ἀνήρ.

III.

Εἰς βίβλους Πρόκλου καὶ Θέωνος.

Βίβλος Θέωνος καὶ Πρόκλου τῶν πανσόφων,
Βίβλος πόλου τε καὶ χθονὸς φέρει μέτρα,
Θέων πόλον μὲν, καὶ Πρόκλος μετρεῖ χθόνα·
Πρόκλος μὲν οὖν γῆν, καὶ Θέων μετρεῖ πόλον.
Ἄμφω δ' ἐπίσης τῶν ἐπαίνων ἄξιοι,
Ἄμφω δ' ἀμοιβὴν τῶν λόγων τετευχατην.
Θέων Πρόκλου μὲν λαμβάνων σοφὰς θέσεις,
C Δείκνυσι ταύταις τοὺς δρόμους τῶν ἀστέρων·
Πρόκλος δὲ δείξεις τοῦ Θέωνος λαμβάνων
Ταύταις ἀναλύει καὶ προβάλλει τὰς θέσεις.
Ἀλλ' ὦ σοφὴ ξυνωρὶ, χαῖρέ μοι λίαν.
Χαίροις Θέων ἄριστε, πάνσοφον κάρα,
Ὁ νῦν πυκάζων τὴν Ἀλεξάνδρου πόλιν·
Χαίροις δὲ καὶ σὺ, Πρόκλε, τοῦ Σαρπηδόνος
Ἄριστον αἷμα τοῖς ὅλοις βοώμενον.

IV.

Εἰς τὴν βίβλον Λευκίππης.

Ἔρωτα πικρὸν, ἀλλὰ σωφρόνων βίον
Ὁ Κλειτοφῶντος μὲν παρεμφαίνει λόγος·
Ὁ Λευκίππης δὲ σωφρονέστατος βίος
Ἅπαντας ἐξίστησιν, πῶς τετυμμένη,
Κεκαρμένη τε, καὶ κατηχρειωμένη,
Τὸ δὴ μέγιστον, τρὶς θανοῦσ' ἐκαρτέρει.
Εἴπερ δὲ καὶ σὺ σωφρονεῖν θέλεις, φίλε,
Μὴ τὴν πάρεργον τῆς γραφῆς σκόπει θέαν
D Τὴν τοῦ λόγου δὲ πρώτα συνδρομὴν μάθε.
Νυμφοστολεῖ γὰρ τοὺς ποθοῦντας ἐμφρόνως.

V.

Τῇ τῶν λόγων σου κογχύλῃ, Πορφυριε,
Βάπτεις τὰ χείλη, καὶ στολίζεις τὰς φρένας.

VI.

Εἰς τοὺς Ῥωμαίων μῆνας.

Μὴν ὑπάτων ὁ πρῶτος. Ὁ δεύτερος αὔλακα τέμνει.
Ὁ τρίτος Αὐσονίων γενεὴν ἐπὶ μῶλον ἐγείρει.

Digitized by Google

Τέτρατος ἀγγέλλει ῥοδοδάκτυλος εἴαρος ὥρην·
Εἰμὶ ῥόδων γενέτης. Καὶ ἐγὼ κρίνα λευκὰ κομίζω.
Οὗτος ἀμαλλοδέτης. Τὰ δ' ἐμὰ πτερὰ Νεῖλον ἐγείρει.
Οὗτος ἐριστα φύλῳ πεφιλημένος ἔπλετο Βάκχῳ.
Τεύχω δ' οἶνον ἐγὼ μελιηδέα, χάρμα βροτοῖσι.
Δαῖτα φέρω χαρίεσσαν ἐς οὔνομα φωτὸς ἑκάστου.
Φορμίζειν δεδάηκα καὶ ὑπνώοντας ἐγείρειν.

A quartus nuntiat veris roseis digitis tempus. Sum rosarum pater; et ego lilia candida educo. Ille messor est. Meæ vero alæ Nilum excitant. Ille rixarum auctori dilectus Baccho exsistit. Vinum fingo suave, mortalium delicias. Convivium fero jucundum in nomen cujusque lucis. Lyram pulsare doceo, et dormientes excitare.

VII.

Ὢν ἥδε βίβλος ἔνδον ὠδίνω, φίλε,
Βαθὺς χαρακτὴρ καὶ περισκελὴς ἄγαν.
Δεῖται κολυμβητοῦ δὲ πάντως Δηλίου.
Εἴ δ' ἄν κυβιστήσει τις εἰς ἐμοὺς μυχούς,
Καὶ πᾶν μεταλλεύσειεν ἀκριβῶς βάθος,
Γεωμετρῶν τὰ πρῶτα λήψεται γέρα,
Σοφὸς δ' ἀναμφίλεκτος εἰς ῥηθήσεται.
Τούτων δὲ μάρτυς ἐγγυητής τε Πλάτων.

VII.

Liber iste cum sim, intus parturio, amice, amplus character est et nimium productus; Delio balneo admodum opus habet. Si quis autem injecerit se in mea profunda, et omnem foderit accurate abyssum, geometrarum prima munera excipiet, et sapiens sine contestatione unus reputabitur; horum autem testis et sponsor Plato.

VIII.

Σχῆμα παλαιοτάτων ἀνδρῶν κηρύκιον ἄθρει,
Θρινακίης οἰκιστὰ, Κορίνθιε, ὅς ποτ' ἔπινες
Ἀμφιδόητα ῥέεθρα Συρηκοσίης Ἀρεθούσης.

VIII.

B Speciem antiquissimorum virorum considera, Siciliæ incola, Corinthie, qui forte bibisti famosas undas Syracusanæ Arethusæ.

IX.

Εἰς τὸ μονημέριον, ἤγουν θεατροκυνηγίαν, ἐν ᾗ προσμάχονται ἄνδρες θηρίοις.

Τοξότα, Πιερίδων μεδέων, ἑκατηβόλε Φοῖβε,
Εἰπὲ κασιγνήτῃ κρατερούς ἵνα θῆρας ἐγείρῃ,
Ὅσσον ἐπιφαῦσαι μερόπων δέμας, ὅσσον ἀῦσαι
Λαῶν τερπομένων ἱερὸν στόμα· μηδὲ νοήσω,
Ζηνὸς μειλιχίοιο λαχὼν θρόνον, ἀνέρος οἶτον.

IX.

In unius diei theatrum, id est venationis theatrum, in quo pugnant viri cum feris.

Arcifer, qui Pieridibus præes, sagittarie Phœbe, dic sorori valentes feras excitet, ut pugnent hominum instar, ut sonent populorum lætantium ora sacra. Nihil curabo viri malam sortem, Jovis propitii thronum obtinens.

ΛΕΟΝΤΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΚΑΡΚΙΝΟΙ (9)

(Edidit Leo Allatius in *Excerptis variis Græcorum sophistarum*, pag. 398, ed. Rom. 1641.)

Σοφὸς ἔγωγε ἤδη ὢν ἄνω, χαρὰ τῶν ἄνω, γελῶ
Τὰ κάτω λέγων· ἄνω ταραχῶν ἂν ὦ, ἤδη ἔγωγε [σοφός.
Ὦ σὸν, ἄναρχε, νόμον ἔχρανα νόσῳ.
Σοὶ τῷ φωτὶ σοφὸς ἴτω Φώτιος.
Νῷ ἐλατὰ μὴ ὀνητὰ σοφὸς ἄτη νοήματα Λέων.
Νόσῳ σὺ, ὃς εἶ ἅμα Ἰησοῦ, σῶσον.
Νίψον ἀνομήματα, μὴ μόνον ὄψιν.
Ἱερὰ σὰ παρὰ χείλη, Ἥλιε, χαρὰ πᾶσα ῥεῖ.
Νόμον ὁ κοινὸς ἔχε σὸν οἰκονόμον.
Ἴτε τάφῳ, σὺ δ' ἔδυς ὦ φατὲ τί
Ἀμὼς, ἴασαι νόσον, ἴασαι σῶμα. [ἄκρας
Σάρκας ἃς εἵλες, ἄναξ, ἔσω ὡς ἔξανας ἐλιέσας
Σός εἰμι, τίμιε, σός.

C 'Αβὰ, φάγε μέγα φάβα,
Ὦ γένος ἐμὸν, ἐν ᾧ μέσον ἐγώ.
'Αναβάσατε τὰ σάβανα,
Νοσῶ, Σῶτερ, ὑπὸ πυρετῷ, σῶσον.
'Ερεῖς, ὁ ἐν Σάμῳ Θωμᾶς νέος ἱερέ.
Ἄναξ ἐτάκη ἄττα ἢ κατέξανα.
Νομικῶς ἀββᾶς ἐξέλεξε Σάββας ὤχιμον.
Εἰπὲ, σὸν αἷμα Δαμιανὸς ἔπιε.
Σοφά τε καὶ μὴ, γῇ μία καὶ τάφος.
Εἶπεν ἄφρων· 'Ορφανὲ, πῖε.
Εἰς ὅλα καλὸς εἶ, καλὸς εἶ. . . (sic)
Ὦ πόρτης πρέβετε δέρπῃ τρόπῳ.
Νοτὶς ἔβαλε σοφὸς, ἔλαβε σῖτον.
Ἔλε ἐμὲ, σοφὲ, νέφος, ἐμὲ ἔλε.

LEONIS IMP. POEMA IAMBICUM DE MARTYRIO S. CLEMENTIS

(*Episcopi Ancyrani. 23 Januar.*)

(Apud Lambecium *Biblioth. Vindobon.*, edit. Kollarii, tom. V, p. 127.)

Λέοντος, ὃς τὰ σκῆπτρα δεξιᾶς ἔχει,
Ἀεὶ κρατούσης, ὧν παρέσχε καὶ λόγον,

Δῶρον λόγον τῷ δόντι τὴν σφαγῆς χύσιν,

Λαβόντι κλῆρον ἀντίδωρον Δεσπότου,
Κλήμεντι τῷ τρέψαντι τὴν πλάνην πάλῃ,

Δέσποτα θύτα, εὐλόγει μοι τὸν λόγον.

D Leonis, qui sceptra tenet dexteræ.
Semper regnantis, de quibus sermonem quoque præbuit.
Isti sermoni qui munus offertur ei qui dedit sanguinis effusionem.
Et accepit hæreditatem Domini in retributionem,
Clementi, qui confundit errorem certamine,
Domine sacerdos, benedic huic meo sermoni.

(9) Quia auctor neque Augustus neque rex nominatur, suspicor illa carmina non a Leone Sapiente scripta fuisse, sed a philosopho ei coætaneo. Καρκῖνοι autem inscribuntur quia retro legi possunt; quod etiam in causa fuit cur Allatius Græce tantum ea ederet; Latina enim lepiditatem omnem tollerent. Edit.

Digitized by Google

Volent athleticos luctus celebrare.
Multam mihi video sermonum luctam adesse, etc.

A Ἀθλητικοὺς ἀγῶνας εὐφημεῖν θέλων,
Πολλὴν ὁρῶ μοι τῶν λόγων ἀγωνίαν, κ. τ. λ.

Alterum ejusdem poematis fragmentum.

Et jam ad ipsum Verbum sacrificatum
Libantes caput Clementis præcidunt,
Caput illud quod in perpetuum coronat,
Corona vitam dante, manu Domini implexa,
Et honoratum videns angelorum multitudo,
Vertentes se ad sonum canticorum
Ob robur certaminum jubilarunt.

Καὶ δὴ πρὸς αὐτῷ τῷ Λόγῳ τεθυμένῳ
Σπείσαντες ἐκτέμνουσι Κλήμεντος κόμην,
Κόμην ἐκείνην, ἣν ἀκηράτῳ στέφει,
Ζωαρχικῇ πλακέντι χειρὶ Δεσπότου,
Τιμωμένην ὁ δῆμος ἀγγέλων βλέπων
Ἐπιστρέφοντος τῇ βοῇ τῶν ἁσμάτων
Ἀνηλάλαξαν τῶν ἀγώνων τὸ κράτος.

LEONIS HOMILIÆ IN S. TRYPHONEM FRAGMENTA.

(Apud Leonem Allatium *contra Hottingerum*, pag. 170.)

Hæc lucta fuit athletæ coronati; hoc veritatis tropæum. Jubilavit martyrum multitudo; cœlorum portæ exceperunt cum gravi victoriæ ornamento veritatis militem. Coronarum dator præpulchrum diademate caput coronavit; fassus est ante Patrem eum regni participem, pro ea quam ille dederat coram hominibus confessionem. Induit eum veste immortalitatis propter ea quibus corruptionis texturam certaminibus in sui gratiam initis vidit discerptam.

... Sic adhuc invisibilibus pulchritudinibus, cujus oculorum aciem nihil fugit, oculum deliniens; uti amatoria munera miracula accipis. Nunc autem carnis vinculis solutis, et cum præfulgida certaminum oblatione amatori obviam factus, magnificentioribus donis remuneraris, cum primis honoribus laborum remuneratio addatur. Nunc cum choris illis, qui lumen exsistentes magno illi lumini administrant, immateriatus cum immateriatis dies festos agis; venerandus illis, quod in passiones Domini immutatus esse videris, et quam prius lutea crassitie obductam pulchritudinem considerantes, animam admirabantur, nunc pure virtutem conspicientes magis ac magis desiderii illecebris attrahuntur. Nunc dulcedine cujus arrhabone tormentorum amaritudinem excipiebas, perfrueris, et non sperata sed præsente perfruitione deliciaris. Et his quidem in superioribus gaudet divini opus inflatus beata anima.

B Αὕτη τοῦ στεφανίτου ἡ πάλη· τοιοῦτον τῆς ἀληθείας τὸ τρόπαιον· ἠλάλαξαν τῶν μαρτύρων τὰ πλήθη· πύλαι οὐρανοῦ ὑπεδέξαντο μετὰ σεμνοῦ τοῦ τῆς νίκης χρώματος τῆς ἀληθείας τὸν στρατιώτην. Ὁ στεφανοδότης τὴν καλὴν ἐστεφάνωσε διαδήματι κεφαλήν· ὡμολόγησε κοινωνὸν τῆς βασιλείας ἐνώπιον τοῦ Πατρὸς, ἀνθ' ἧς ἔδωκεν ὁμολογίαν ἐνώπιον ἀνθρώπων αὐτῷ. Ἐνέδυσεν ἔνδυμα ἀφθαρσίας, ἀνθ' ὧν τὸ τῆς φθορᾶς ὕφασμα τοῖς ὑπὲρ αὐτοῦ ἀγῶσιν εἶδε διεῤῥωγός.

C . . . Οὕτως ἔτι καλλοναῖς ἀοράτοις, τὸν οὗ μηδὲν διαφεύγει τὴν ὅρασιν καταθέλξας ὀφθαλμὸν, ὥσπερ ἐρωτικὰ δῶρα λαμβάνεις τὰ θαύματα. Νῦν δὲ λύσας τοὺς δεσμοὺς τῆς σαρκὸς, καὶ μετὰ λαμπρᾶς τῆς τῶν ἄθλων προσαγωγῆς τῷ ἐραστῇ προσιὼν, μεγαλοπρεπεστέραις τιμαῖς δωρεαῖς, προστιθεμένης τῇ προτέρᾳ φιλοτιμίᾳ τῆς ἀμοιβῆς τῶν καμάτων· νῦν μετὰ χορῶν ἐκείνων, οἳ φῶς ὄντες πληροῦσι τὴν λειτουργίαν, τῷ μεγάλῳ φωτὶ ἄϋλος ἀϋλοις συνεορτάζεις, σεβάσμιος αὐτοῖς ἐκ τοῦ μεμορφῶσθαι τὰ Δεσποτικὰ παθήματα καθορθώμενος, καὶ ἣν πρότερον τοῦ πηλίνου πάχους ἐπικειμένου τοῦ κάλλους κατανοοῦντες ψυχὴν ἀπεθαύμαζον, ἄρτι καθαρῶς τὴν ἀρετὴν ὁρῶντες ἐπιπλέον αὐτῆς τοῦ πόθου τῇ ἴυγγι ἕλκονται. Νῦν ἧς ἀῤῥαβῶνα γλυκύτητος τὸ πικρὸν τῶν βασάνων εἶδες κατατρυφᾷς, οὐκ ἐλπιζομένης, ἀλλὰ παρούσης τῆς ἀπολαύσεως. Ἀλλὰ τούτοις μὲν ἄνω χαίρει τοῦ θείου ἐμφυσήματος ἔργον ἡ μακαρία ψυχή.

LEONIS HOMILIARUM IN S. DEMETRIUM FRAGMENTA.

(Leo Allatius *contra Hottingerum*, p. 170.)

Nihil ita ad gaudendum invitat. Diem itaque festum agamus, et lætemur hoc sacro die, in quo generosus Christi miles, magnus martyr Demetrius, cum cessasset a laboribus, in beatam requiem transmigravit; in qua coram athleta adversarios rubore suffundens astitit, et præcelebre caput gloriæ corona exornatus est.

D Οὐδὲν οὕτω παρασκευάζει χαίρειν. Ἑορτάσωμεν οὖν καὶ εὐφρανθῶμεν ἐν τῇ ἱερᾷ ταύτῃ ἡμέρᾳ, καθ' ἣν ὁ γενναῖος τοῦ Χριστοῦ στρατιώτης, ὁ μέγας μάρτυρ Δημήτριος τῶν πόνων καταπαύσας εἰς τὴν μακαρίαν ἀνάπαυσιν μετεσκήνωσεν, ἐν ᾗ πρὸς τὸν ἀθλοθέτην τοὺς ἀντιπάλους καταισχύνας παρέστη, καὶ τὴν ἀοίδιμον κεφαλὴν τῷ στεφάνῳ τῆς δόξης κατεκοσμήθη.

... Deus in medio deorum gloriæ suæ cohæredem athletam excipiebat. O beatum aspectum! o dulcem perfruitionem! o gloriam et exsultationem, cujus non sunt dignæ passiones hujus seculi. Hac ratione Martyr estaceorum velaminum impedimentis diruptis ad immateriales stationes avolavit. Ibi absolute votorum compos factus est. Vidit pure, quem in ænigmatibus videns immorari non sustinebat; sed licet in inferioribus esset, tota mente ad superiora efferebatur. Hæres factus est gloriæ, ob quam humanam gloriam nihil fecerat, annumeratus est cum angelis, quorum institutum æmulatus fuerat, oblectatus est Patriarcharum choreis, quorum vestigia secutus fuerat.

. . . Θεὸς ἐν μέσῳ θεῶν τοῖς συγκληρονόμοις τῆς δόξης αὐτοῦ δεξιούμενος τὸν ἀγωνιστὴν ὑπεδέχετο. Ὦ μακαρίου θεάματος! ὦ γλυκείας ἀπολαύσεως! ὦ δόξης καὶ ἀγαλλιάσεως, ἧς οὐκ ἄξια τὰ παθήματα τοῦ παρόντος αἰῶνος. Οὕτω μὲν οὖν ὁ μάρτυς τῶν ὀστρακίνων ἐλύτρων περιῤῥηξάμενος τὰ κωλύματα πρὸς τὰς ἀϋλους ἀπέπτη μονάς. Εὗρεν ἐκεῖ τοῦ πόθου τὸ τέλος· εἶδε καθαρῶς, ὃν τοῖς ἐσόπτροις ὁρῶν οὐκ ἠνείχετο μένειν, ἀλλὰ καὶ τελῶν ἔτι κάτω, ὅλον εἶχε τὸν νοῦν τοῖς ἄνω συνεπαιρόμενον. Ἐκληρονόμησε δόξαν, δι' ἣν τὴν ἐξ ἀνθρώπων ἀπέθετο δόξαν, συνηριθμήθη μετὰ ἀγγέλων, ὧν τὴν πολιτείαν ἐμιμήσατο, εὐφράνθη Πατριαρχῶν χορείαις, ὧν ἠκολούθησεν ἴχνεσιν.

Digitized by Google

LEONIS IMPERATORIS

TACTICA

SIVE

DE RE MILITARI LIBER.

JOANNES MEURSIUS

GRÆCE PRIMUS VULGAVIT, ET NOTAS ADDIDIT.

J. LAMIUS

EX ABSOLUTISSIMO CODICE LAURENTIANO MUTILUM SUPPLEVIT ATQUE RESTITUIT.

—

ILLUSTRISSIMIS AC POTENTISSIMIS

DD. ORDINIBUS GENERALIBUS FOEDERATORUM BELGII PROVINC., PATRIÆ PATRIBUS

JOANNES MEURSIUS DEDICO CONSECROQUE.

Illustrissimi potentissimique Domini, in lucem profero Leonem imperatorem, sua nunc lingua De re militari *disserentem, cum hactenus per interpretem tantum id egerit, et vobis offero. Reprehendent fortasse nonnulli, quasi præter tempus, cum per inducias arma sileant; quibus equidem rationes suas non constare respondebo. Nam quando vel in altissima pace cogitandum esse de bello, scitum sit veterum prudentum, quis sanus sepositis duntaxat ad XII annos armis, a tam brevi induciarum tempore alienam belli cogitationem dixerit? Certe in pace arma discenda sunt, ut eorum scientia in bello prompta atque utilis esse possit. Præterea sua sponte ad vos hic Leo contendebat, vobis se deberi existimans, qui rei militaris longo usu maxime periti, honorem armis eorumque præceptoribus habere sciretis. Quis enim hodie mortalium ignorat bellum, quod gravissimum per tot annos gestum est, vestris auspiciis, ductu illustrissimi principis* Mauritii a Nassau, *cujus et virtutem laude quavis majorem, et incomparabilia in rempublicam vestram merita, nulla unquam ætas obliterabit. Evolvamus Historiarum omnium monumenta, repetamus omnium sæculorum bella, nemo quidquam inveniet, quod cum hoc vestro componere possit. Atque adeo vix habere fidem posteritas poterit, cum leget, vel optima fide in scripta relatum. Admirabitur populum imbellem, et per longissimam pacem militiæ ignarum, adversus potentissimum totius orbis Christiani regem arma unquam sumere ausum fuisse: admirabitur a tam parvis initiis, animi pleniorem, quam spei ad istam magnitudinem perrenisse,*

Per varios casus, per tot discrimina rerum.

Inter quæ eminuit semper, ut singularis vestra prudentia, ita quoque illa invicta constantia, qua armati rectum nunquam non clavum tenuistis, animumque vel rebus maxime afflictis inconcussum habuistis. Nimirum hoc semper cogitabatis; pro libertate publica ejusque tutela et agere et pati fortia, fœderatorum Belgarum esse. Ingens profecto beneficium est, quod a vobis accepere subditi vestri, neque facile æstimandum; et debet illud æterno aliquo monumento consecrari, ne posteritas ignoret. Id ut fiat, quantum in me, operam dabo; proponamque brevi omnium oculis in Historia mea: quam quod vestro jussu adorno, ut maximo mihi honori duco, ita pares quoque eo nomine vobis agendas esse gratias. Cum autem satis me id facere non posse judicarem, allegandum hunc imperatorem statui, ut quod vestro merito mea tenuitas detraheret, id ipse universum sua majestate suppleret. Atque hic desino, æternum illud Numen supplex venerans, Illustrissimi, Potentissimique Domini, ut vobis consiliisque vestris benedicat, et tam præclaro Operi benigna manu colophonem imponat, inducias hasce pace confirmans, ipsi gloriosa, reip. vestræ salutari. Lugduni Batavorum IV *Id. Februarii* 1672.

LECTOR BENIGNE.

Habes *Leonis Tactica*. Integra ea prodeunt, exceptis paucis paragraphis, e tribus codicibus imperfectis, quorum uno usus sum e bibliotheca regis Galliarum, altero electoris Palatini, tertio Joannis Pistorii, viri ad litteras juvandas promptissimi. Regius in principio et fine mutilus erat; Palatinus in medio et fine; Pistorianus tantum in medio. In Palatino erant duntaxat Constitutiones XI priores cum XIV, XV, XVI

Digitized by Google

et XIX. Itaque e Pistoriano suppeditatæ sunt XVII, XVIII, XX et XXI. Jam restabant XII et XIII, quæ in neutro comparebant; eas, simul Lutetiam advenissem, e Regio descripsi; unde et lacunas plurimas supplevi, quæ passim erant in X, XI, et posterioribus illis, quas e Pistoriano acceperam. Vellem vidisse etiam Anglicanum, e quo versionem suam adornavit *Joannes Checus*, quam hic exhibeo, ne quid desiderares. Alibi ille nostris melior fuit; alibi rursum illo nostri meliores. Ut singulatim id indicarem, non visum operæ pretium, quod facile ipse atque obiter animadversurus esses inter legendum, si contuleris. Loca item invenies nonnulla satis depravata, quæ e Checi codice certo emendari potuissent, quem quia non habebam, a divinatione incerta abstinere satius putavi. Quædam tamen, quorum correctio obvia, dum typographo operam navo, emendavi, et ad calcem subjeci. His tu utere, ac fruere, eo candore, quo tecum a me communicantur, si alia, quæ habeo, publicare me postulas. Vale, et quisquis es, *Æternitatem cogita.*

TACTICORUM INDEX.

De re militari et imperatore.	Constitutio I.
Qualem esse oporteat imperatorem.	II.
Quomodo consilium capiendum sit.	III.
De divisione exercitus, et præfectis constituendis.	IV.
De apparatu armorum.	V.
De armatura equestri et pedestri.	VI.
De exercitatione equestri et pedestri.	VII.
De multis militaribus.	VIII.
De itinere exercitus.	IX.
De tuldo, id est, impedimentis.	X.
De aplicto, id est, castris.	XI.
De apparatu belli.	XII.
De die ante bellum.	XIII.
De die belli.	XIV.
De obsidione.	XV.
De incursionibus post bellum.	XVI.
De incursionibus nec opinatis.	XVII.
De diversarum gentium et Romanorum studio in aciebus instruendis.	XVIII.
De navali prælio.	XIX.
Diversarum sententiarum militarium summa.	XX.
Argumentum in Epilogo.	XXI.

A ΤΩΝ ΠΟΛΕΜΙΚΩΝ ΠΑΡΑΣΚΕΥΩΝ ΠΙΝΑΞ.

Περὶ ταχτικῆς καὶ στρατηγοῦ. Διάταξις	Α'.
Περὶ τοῦ οἷον δεῖ εἶναι τὸν στρατηγόν.	Β'.
Περὶ τοῦ πῶς χρὴ βουλεύεσθαι.	Δ'.
Περὶ διαιρέσεως στρατοῦ, καὶ καταστάσεως ἄρχοντος.	Γ'.
Περὶ ὅπλων.	Ε'.
Περὶ ὁπλίσεως καβαλλαρικῶν καὶ πεζικῶν.	Ϛ'.
Περὶ γυμνασίας καβαλλαρικῆς καὶ πεζικῆς.	Ζ'.
Περὶ στρατιωτικῶν ἐπιτιμίων.	Η'.
Περὶ ὁδοιπορίας.	Θ'.
Περὶ τοῦ λεγομένου τούλδου.	Ι'.
Περὶ ἀπλήκτων.	ΙΑ'.
* (1) Περὶ προκατασκευῆς καὶ παραγγελίας.	ΙΒ'.
* Τί δεῖ γενέσθαι πρὸ τῆς τοῦ πολέμου ἡμέρας.	ΙΓ'.
B *Ὅσα ἐν τῇ τοῦ πολέμου ἡμέρᾳ ἐποφείλεται.	ΙΔ'.
Περὶ πολιορκίας.	ΙΕ'.
Περὶ τῶν μετὰ τὸν πόλεμον.	ΙϚ'.
* Περὶ ἐφόδων ἀδοκήτων.	ΙΖ'.
* Περὶ μελέτης διαφόρων ἐθνικῶν τε καὶ Ῥωμαίων παρατάξεων.	ΙΗ'.
* Περὶ ναυμαχίας.	ΙΘ'.
* Περὶ διαφόρων γνωμικῶν κεφαλαίων.	Κ'.
* Ὑπόθεσις περὶ ἐπαγγελμάτων.	ΚΑ'.

NOTÆ.

(1) Constitutiones asterico notatæ desiderabantur in codice Palatino, quarum XII, XIII suffectæ sunt ex manuscripto Regio, XVII, XVIII, XX, XXI, e Pistoriano.

LEONIS IMPERATORIS

TACTICA.

Leonis in Christo Deo imperatoris Tacticorum brevis disciplina. In nomine Patris et Filii et Spiritus sancti et sanctæ et consubstantialis et adorandæ Trinitatis, unius ac veracissimi Dei nostri, Leo pacificus in Christo imperator, fidelis, pius, semper augustus Cæsar.

C Λέοντος ἐν Χριστῷ τῷ Θεῷ (2) αὐτοκράτορος τῶν ἐν πολέμοις ταχτικῶν σύντομος παράδοσις. Ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, τῆς ἁγίας καὶ ὁμοουσίου καὶ προσκυνητῆς Τριάδος, τοῦ ἑνὸς καὶ παναληθινοῦ Θεοῦ ἡμῶν, Λέων ὁ εἰρηνικὸς ἐν Χριστῷ αὐτοκράτωρ πιστὸς, εὐσεβὴς, ἀεισέβαστος Αὔγουστος.

PROŒMIUM.

Neque regium satellitium nostrum et potentia, neque potentiæ nostræ dignitas et amplitudo, neque

ΠΡΟΟΙΜΙΟΝ.

Οὐ βασιλικὴ δορυφορία καὶ ἐξουσία, οὐ τῆς ἐξουσίας δυναστεία καὶ περιουσία, οὐ τῆς περιουσίας

NOTÆ.

(2) In codice Laurentiano deest τῷ Θεῷ.

Digitized by Google

ἐπίδειξις καὶ ἀπόλαυσις, οὐδὲν ὅσα τῶν ἐν ἀνθρώποις ἐφετῶν καὶ τιμίων, τὴν ἡμετέραν οὕτως εὐφραίνει βασιλείαν, ὡς ἡ τῶν ὑπηκόων εἰρήνη καὶ εὐημερία, καὶ τῶν πολιτικῶν πραγμάτων ἡ δι' αὐτῶν ἐπὶ τὸ κρεῖττον κατάστασις καὶ ἐπανόρθωσις· ὥσπερ τὸ ἐναντίον οὐδὲν οὕτως τὴν ἡμῶν καρδίαν ἀνιᾷ καὶ λυπεῖ, ὡς ἡ τῶν ὑπὸ χεῖρα δυσπραγία, καὶ τῶν περὶ αὐτοὺς ἀγαθῶν ἡ δι' ἀμελείας ἐλάττωσις καὶ κατάπτωσις. Εἰ γὰρ ἑνὸς ἀνδρὸς τῆς ἡμῶν ἠξιωμένου προνοίας, ἡ μὲν ἐπὶ τὸ κρεῖττον ἀνένευσις ἄφατον ἡμῖν εὐφροσύνην ἐργάζεται, ἡ δὲ ἐπὶ τὸ χεῖρον ἀπόνευσις ἀλγηδόνα ψυχῆς ἀνυπερβλητον, τί οὐκ ἂν πάθωμεν τοσούτων μυριάδων τῆς ἡμῶν μετὰ Θεὸν ἠρτημένων προνοίας, ὧν τὴν φροντίδα καὶ τὴν ἐπιμέλειαν χρεωστοῦντες νύκτωρ μὲν ἐπαγρυπνοῦμεν, ἡμέρας δὲ διαρελετῶμεν, πάσης μὲν ἀηδίας καὶ βλάβης ἐλευθέρους διατηρεῖσθαι, πάσης δὲ χαρᾶς καὶ εὐημερίας προσηκόντως ἐπαπολαύειν;

A amplitudinis nostræ splendor atque fructus, neque quidquam ex iis, quæ in hominibus expetenda et honorata sunt, Majestatem nostram perinde oblectat, ut eorum, qui sub dominatum nostrum subjecti sunt, pax atque tranquillitas, et reipublicæ nostræ firma constitutio, atque ad optimum rerum statum traductio; nihilque contrà est, quod nostrum mentem de salute regni cogitantem ita vexet et sollicitet, ac eorum, qui nostro imperio obedientes sunt, perturbatio, et rerum meliorum, vel propter negligentiam amissio, vel propter imperitiam labefactio. Si enim unius alicujus viri, cujus nos procurationem, provisionemque suscepimus, progressio ad melius, incredibilem nobis voluptatem affert, et ad deteriorem partem applicatio, permagnum nobis dolorem apportat; quid nunc efficere debemus, tanta hominum, et tam frequenti ac pene infinita multitudine sub nostram providentiam secundum Deum statim subjecta, quorum curam provisionemque nocturnis vigiliis, et diurna sollicitudine, non deponimus, ut ab omni molestia et offensione liberi conserventur, et omni rerum affluentia lætitiaque expleantur?

B

Ἀλλὰ τῶν μὲν ἄλλων περὶ τὴν πολιτείαν πραγμάτων μικράν τινα δεξαμένων ἴσως ἐλάττωσιν οὐ τοσαύτην κατανοοῦμεν τὴν βλάβην. Τῆς δὲ στρατηγικῆς μεθόδου διαπεσούσης, τοσοῦτον τὰ Ῥωμαίων συνελάθη πράγματα, ὅσον ἡ πεῖρα τοῦ νῦν χρόνου πᾶσιν ἅπαντα κατὰ ὀφθαλμοὺς ὁρώμενα παρίστησι πρόδηλα. Ἔδει μὲν γὰρ ἀνθρώπους ἅπαντας εἰκόνι Θεοῦ καὶ λόγῳ τετιμημένους τὴν εἰρήνην ἀσπάζεσθαι, καὶ τὴν εἰς ἀλλήλους περιβάλλειν ἀγάπην, καὶ μὴ χεῖρας φονίους κατὰ τῶν ὁμογενῶν καθοπλίζειν.

At si cætera, quæ ad rempublicam pace et consilio gubernandam spectant, non recte administrantur, haud magnum inde detrimentum oriri, non graves rerum perturbationes ac mutationes effici videmus; disciplina autem militari jacente, tam miseras rerum offensiones, ac lamentabiles conversiones Romani acceperunt, quantas quotidiana rerum experientia ante oculos nostros conspectumque proponit. Ac homines quidem, qui ratione, et Dei ipsius imagine, insigniti sunt pacem amplecti, mutuaque se dilectione prosequi oportuit, neque manus cruentas et consceleratas contra genus suum, et miseros mortales armare.

C

Ἐπειδὴ δὲ ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος διάβολος, καὶ τοῦ γένους ἡμῶν ἐχθρὸς, διὰ τῆς ἁμαρτίας ἰσχυρᾶς (3) κατὰ τῆς ἰδίας φύσεως ἀντιστρατεύεσθαι τοὺς ἀνθρώπους παρεσκεύασεν, πᾶσα ἀνάγκη ταῖς αὐτοῦ γινομέναις διὰ τῶν ἀνθρώπων μηχαναῖς ἀνθρώπους ἀντιστρατεύεσθαι, καὶ τοῖς ἐθέλουσι πολέμους ἔθνεσι μὴ εὐχειρώτους καθίστασθαι, ἀλλὰ ταῖς στρατηγικαῖς μεθόδοις τὴν σωτηρίαν πορίζεσθαι, καὶ δι' αὐτῶν φυλάττεσθαι μὲν ἀπὸ τῶν ἐπερχομένων πολεμίων, πράττειν δὲ κατὰ αὐτῶν ὅσα παθεῖν ἐκεῖνοι ἂν εἶεν ἄξιοι. Ὡς ἂν ἐκκοπέντος τοῦ διὰ τῶν πονηρῶν ἐγχειρουμένου κακοῦ, καὶ πάντων τὴν οἰκείαν σωτηρίαν ἀσπαζομένων ἡ εἰρήνη παρὰ πᾶσι στερχθεῖη καὶ πολιτεύοιτο.

Quoniam autem ab initio parricida diabolus, generis nostri hostis, peccato potens, sua ipsorum natura homines expugnare cogitat, pernecessarium est, ut homines illius machinationibus per homines adhibitis occurrant, neque seipsos aliis nationibus bellum inferentibus tradant, sed militaris disciplinæ scientiæ salutem sibi quærant, et se ab hostium incursionibus tutos conservent, et illis inferant, quæ pati illos dignum est, ut omni nefariorum hominum improbitate deleta, et sua ipsorum salute comparata, pax ab omnibus diligatur atque suscipiatur.

D

Ἕως μὲν γὰρ, ὡς ἔοικε, τὰ κατὰ πολέμους Ῥωμαίοις ἐν εὐταξίᾳ ὄντα ἐτύγχανε τῆς τε ἐπ' οὐκ ὀλίγους χρόνους θείας ἀπέλαβε (4) βοηθείας τὸ κράτος, καὶ τῇ εὐταξίᾳ ἡρμοσμένος τῶν ἀριστείων ὁ πόνος τὸ λαμπρὸν τῆς νίκης ἐπιπλέον ἐβεβαιοῦτο. Νῦν δὲ τῆς τακτικῆς καὶ στρατηγικῆς καταστάσεως ἐπ' οὐκ ὀλίγους χρόνους ἀμελουμένης, ἵνα μὴ λέγω καὶ εἰς παντελῆ περιελθούσης λήθην, ὡς μηδὲ αὐτὰ τὰ πρόχειρα τοὺς στρατηγεῖν ἐγχειροῦντας ἐπίστασθαι,

Quandiu enim Romanis in bello ordinis conservatio fuit, tandiu et divino præsidio imperium non destitutebatur, et cum ordinis conservatione junctus optimorum labor, splendorem victoriæ majorem adhibebat; nunc vero cum et acierum instruendarum ratio, et imperatoria ars longo jam tempore neglecta jaceant, ut ne addam, quod in altam oblivionem penitus venerint, ne ipso quidem imperatore ea quæ in promptu sunt, addiscente, ma-

NOTÆ

(3) Ἰσχυρᾶς. Scribe ἰσχυρός.

(4) Ἀπέλαβε. Scribe, ἀπέλαυε.

Digitized by Google

gnas et varias perturbationes videmus invectas esse. Nam cum hæc ars, quæ multorum bonorum et magnorum parens atque effectrix fuit, quibus antiqua Romanorum respublica floruit, semel collapsa de gradu cecidit, divinam quoque benevolentiam abiisse, et consuetam apud eos militum victoriam e manibus excidisse, videmus. Paulatim enim relanguescente militari disciplina atque industria, omnis ille vigor animi atque alacritas optimatum consenuit. Itaque interdum quidem segnitiem atque ignaviam accusamus militum, interdum inscitiam atque timiditatem ducum culpamus, interdum antiquarum acierum rationem ad cognoscendum perobscuram negligimus. Cum igitur hanc utilissimam scientiam recuperare, et e republica nostra quasi ejectam revocare studeamus, in tantis occupationibus nostris haud prætermisimus, quin omnem laborem nobis ipsis assumeremus, ut utilitas inde communis omnibus afferretur.

A πολλὰ δυσχερῆ διαφόρως ὁρῶμεν συμβαίνοντα. Τῆς γὰρ πολλῶν ἀγαθῶν πρὸ ξένου (5) ἐπιστήμης διαπεσούσης, ὅσον δι' αὐτῆς ἡ Ῥωμαίων πάλαι πολιτεία εὐμοίρησε, τοὐναντίον ὁρῶμεν τὴν θείαν ἀποῦσαν εὐμένειαν, καὶ τὴν συνήθη τῆς Ῥωμαίων πολιτείας νίκην τῶν ἀγωνιζομένων ἀφιπταμένην. Κατὰ μικρὸν γὰρ ἀμελουμένης τῆς κατὰ πολέμους εὐταξίας καὶ γυμνασίας συνημελήθη, ὡς ἔοικε, καὶ τῶν ἀριστέων ἡ εὐψυχία. Εἶτα ποτὲ μὲν ἀγυμνασίαν ἢ ἀνανδρίαν αἰτιώμεθα στρατιωτῶν, ποτὲ δὲ ἀπειρίαν ἢ δειλίαν καταμεμφόμεθα στρατηγῶν. Ἐνίοτε ἀσαφὲς τῆς τῶν ἀρχαίων διαγνώσεως ἀμελοῦμεν. Ταύτην οὖν τὴν ὠφελιμωτάτην ἐπιστήμην ἀνασώσασθαι σὺν Θεῷ, καὶ οἷον ἀπωσθεῖσαν ἐκ τῆς Ῥωμαϊκῆς ἡμῶν πολιτείας ἀνακαλέσασθαι βουλόμενοι, οὐκ ὀκνήσαμεν
B σπουδῇ τοσαύτῃ ἀναδέξασθαι μὲν ἰδίως πόνον, κοινὴν δὲ τοῖς ὑπηκόοις χαρίσασθαι τὴν ὠφέλειαν.

Nam cum in antiquis et recentioribus rei militaris atque imperatoriæ scriptoribus diligenter versati simus, atque aliis historiis soluta oratione res gestas memoriæ mandantibus diligenter navaverimus operam, et si quid præterea in manibus hominum est ad bellicos usus idoneum, et quæcunque mediocri rerum usu hac nostra ætate, ad statum rerum nostrarum aliquid momenti afferre videbantur, ea in omnibus actionibus suscipiendis, rebusque nostris gerendis examinavimus, et quod in iis optimum fuit quasi delibavimus; et quæ manifestam quamdam atque evidentem utilitatem
C afferebant, quam paucissimis potui complexus sum, et promulgatæ legis vice trado, rerum magis ornamenta, quam verborum persequens, ut compendiariam quamdam rei militaris disciplinam nostris præfectis, atque iis quibus cura rerum bellicarum commissa est, præscribens, facile perspiciant factu esse iis, qui volunt et cupiunt, ad majora atque altiora ordine quodam et gradu procedere. In qua omni rerum tractatione, dicendi elegantiam et verborum ornatum nullum adhibuimus; rerum pondus, dicendi perspicuitatem, orationis simplicitatem, quantum fieri potuerat, secuti sumus. Unde et verba rei militaris interdum Græca adjunximus, interdum Latinis vocabulis usi sumus,
D et alias quoque dictiones usu jam militari receptas non repudiavimus, ut omnes manifeste ac perspicue ista cognoscerent. Tractationes rerum minime necessarias, quæcunque aut supervacaneæ, aut inutiles fuerant, omnes detraximus, ut compendiariam quamdam et expeditam rerum bellicarum expeditionumque rationem, non verbo solum utilem, sed re ipsa factisque majorum approbatum, et ad nostra usque tempora, quanquam rebus gestis minime transmissum, quibus Romanum olim florebat imperium, oratione tamen ac litte-

Ταῖς γὰρ ἀρχαίαις καὶ ταῖς νεωτέραις στρατηγικαῖς τε καὶ τακτικαῖς ἐμφιλοχωρήσαντες μεθόδοις, καὶ ταῖς ἄλλαις καταλογάδην ἐντυχόντες ἱστορίαις, καὶ εἴ τι κατὰ χεῖρας ἔδοξε χρήσιμον τῶν ἐν πολέμοις ἀναγκαίων ἐκεῖθεν ἀναλεξάμενοι, καὶ οἷον ἐρανισάμενοι καὶ διὰ μετρίας πείρας ἐπὶ τῶν ἔργων αὐτῶν ἀνεμάθομεν τῷ καθ' ἡμᾶς καιρῷ καὶ τῇ νῦν καταστάσει πρόσφορά τε καὶ ἁρμόδια, ταῦτα ἡμῖν κατὰ τὸ δυνατὸν σύντομόν τε καὶ ἁπλῆν τὴν ὠφέλειαν ἐπὶ τῶν πραγμάτων ἔχοντα προχείρου τάξιν νόμου παραδιδόαμεν, ἐν πράξεσι μᾶλλον ἢ λέξεσι τὸ σεμνὸν καὶ χρειῶδες παρεχόμενοι, οἷον εἰσαγωγήν τινα τακτικὴν τοῖς ἡμετέροις ὑποστρατήγοις, καὶ τὰς πολιτικὰς ἐμπεπιστευμένοις χρείας, δι' ὑμῶν ὑπαγορεύοντες, ὡς εὔκολον ἐντεῦθεν εἶναι τοῖς βουλομένοις καὶ ἐπὶ τὰ μείζονα τῶν παλαιῶν ἐκείνων τακτικῶν καὶ ἀρχαίων τάξει τινὶ καὶ βαθμῷ προϊέναι, φράσεως μὲν ἀκριβοῦς ἢ κόμπου ῥημάτων οὐδεμίαν ποιησάμενοι φροντίδα, πραγμάτων δὲ μᾶλλον καὶ σαφηνείας λόγου καὶ λέξεως ἁπλῆς πεφροντικότες. Ὅθεν ταύτας παλαιὰς τῆς τακτικῆς πολλάκις Ἑλληνικὰς μὲν ἐσαφηνίσαμεν λέξεις, Ῥωμαϊκὰς δὲ διηρμηνεύσαμεν, καί τισιν ἑτέραις στρατιωτικῇ συνηθείᾳ λεγομέναις ἐχρησάμεθα λέξεσιν, ἕνεκεν τῆς σαφοῦς καταλήψεως τῶν ἐντυγχανόντων, μόνον τῶν οὐκ ἀναγκαίων διατάξεων ἐξῃρημένων διά τε τὸ περιττοῦ (6) τινα χρησταίαν καὶ τὴν τῶν συγγραμμάτων ἀσάφειαν ἵν' ἔχοιεν εὐσύνοπτον οἱ βουλόμενοι στρατηγεῖν πολλὴν τῶν κατὰ πολέμους καὶ ἐκστρατείας ἀναγκαίων τὴν πεῖραν, οὐ λόγῳ μόνον τὸ χρήσιμον ἔχουσαν, ἀλλὰ δὴ καὶ αὐτοῖς ἔργοις παρὰ τῶν παλαιῶν ἐγγυμνασθεῖσαν, καὶ ἄχρις ἡμῶν, εἰ καὶ μὴ ἔργοις αὐτοῖς, οἷς τὰ Ῥωμαίων ἐπὶ μέγα ἦρθη δυνάμεως, παραπεμφθεῖσαν, ἀλλ' οὖν τοῖς λόγοις, δι' ὧν ἀναλαμβάνεται καὶ ἀναμιμνήσκεται δὲ λήθῃ παραπεμφθέντα, καὶ εἰς τὴν ἀρχαίαν πάλιν ἀποκαθίστατα τάξιν. Ἀλλ' ἐφ' ὅσῳ μὲν ἐν τοῖς ῥηθησομένοις τὸ

NOTÆ.

(5) *Πρὸ ξένου.* Scribe, προξένου.
(6) Ita habet codex Laurentianus, sed nescio quo sensu ; forte, τὴν περιττοῦ legendum.

Digitized by Google

εὔχρηστον ἀνεδείχθη, χάρις ἢ τῷ πάντων ἀγαθῶν δοτῆρι Χριστῷ τῷ βασιλεῖ τοῦ παντὸς καὶ Θεῷ ἡμῶν, τῷ καὶ τοῖς ἡμετέροις λόγοις δωρησαμένῳ τὴν χάριν. Εἰ δέ τις καὶ ἕτερος δι' αὐτῆς τῆς ἐπιμελείας καὶ πείρας κρείττονα τούτων ἐφεύρῃ, χάρις καὶ οὕτω τῷ παναγάθῳ Θεῷ, συγγνώμη δὲ ἡμῖν τῆς προθυμίας ἕνεκεν.

A ris, quibus res oblivione pene deletæ revocantur, et recuperantur, et ad pristinam iterum dignitatem restituuntur, mandatum habeant, qui ad disciplinam militarem atque imperatoriam cognoscendam se totos tradunt. Quod si aliquid boni oratione nostra effectum est, gratiæ habendæ sunt omnium bonorum largitori Christo, universitatis Regi, Deoque nostro, qui et orationi nostræ affundit gratiam. Sin diversa ab istis, et cura cogitationeque sua meliora quis invenerit, gratias etiam ille omnis bonitatis auctori Deo agat; nobis venia propter studium conatumque nostrum tribuenda est.

Πάντως χρὴ, εἴτε ἐπὶ πλέον, εἴτε ἐπ' ἔλαττον τοὺς βουλομένους στρατηγεῖν ταῖς τακτικαῖς τε καὶ στρατηγικαῖς ἐνδιατρίβειν μελέταις. Οὐδὲ γὰρ, ὥς τινες τῶν ἀπείρων ἔχουσι, διὰ πλήθους ἀνδρῶν καὶ θράσους οἱ πόλεμοι κρίνονται, ἀλλὰ διὰ εὐμενείας B Θεοῦ καὶ στρατηγίας καὶ τάξεως, ἧς μᾶλλον ἐπιμελητέον, ἢ συλλογῆς πλήθους ἀκαίρου· ἡ μὲν γὰρ καὶ ἀσφάλειαν καὶ ὠφέλειαν ἄγει τοῖς καλῶς αὐτῇ κεχρημένοις· ἡ δὲ συντριβὴν καὶ ἐπιζήμιον δαπάνην.

Omnino autem, qui se ad imperium administrandum vel magna, vel aliqua ex parte dediderunt, in scientia militari atque imperatoria se diligenter exerceant. Neque enim, quemadmodum imperiti quidam existimarunt, multitudine ac numero hominum, sed benignitate ac favore Dei bella conficiuntur, et rei militaris imperatoriæque scientia, in quæ potius, quam in importunæ multitudinis coitionem intuendum est; altera enim res tum utilitatem, tum incolumitatem, iis qui ea bene utuntur, apportat; altera vero perturbationem et sumptus multos infructuosos affert.

Ὥσπερ γὰρ οὐκ ἔστιν ὁλκάδι πελάγη διαπορθμεύεσθαι κυβερνητικῆς ἐπιστήμης χωρὶς, οὕτως οὐδὲ πολεμίους καταγωνίζεσθαι τάξεως καὶ στρατηγίας ἐκτὸς, δι' ἧς οὐ μόνον τοῦ ἰσορροποῦντος τῶν πολεμίων περιγίνεσθαι σὺν Θεῷ δυνατόν ἐστιν, ἀλλὰ καὶ τοῦ πολλῷ πλέον τῷ ἀριθμῷ ὑπερβάλλοντος. Ὥσπερ οὖν ἄλλον τινὰ πρόχειρον νόμον ὑμῖν, ὡς εἴρηται, στρατηγικὸν τὴν παροῦσαν πραγματείαν C ὑπαγορεύοντες προσεχῶς τε καὶ ἐπιπόνως ἀκούειν ὑμῶν παρακελευόμεθα.

Quemadmodum enim navem onerariam per maria trajicere non possumus sine arte gubernatoria, sic neque bella nostra honeste suscipere, neque suscepta conficere possumus sine arte militari atque imperatoria, qua non solum æqualem et parem numero multitudinem hostium propitio Deo superamus, sed etiam longe multo majorem hostium numerum, instructioresque copias fundimus et dissipamus. Quasi igitur legi alicui militari promulgatæ, ut dictum est, sic huic tractationi vos parere atque obedire volumus atque imperamus.

Χρεὼν τοίνυν πρότερον μὲν ὑπογράψαι τὴν ἐν πολέμοις τακτικήν. Καὶ τί ἐστι στρατηγὸς, εἶτα τίνα καὶ ὁποῖον στρατηγὸν εἶναι δεῖ, καὶ ὅπως δέον βουλεύεσθαι. Ἐξῆς δὲ τὴν εἰς ἄρχοντας καὶ ἀρχομένους τοῦ στρατοῦ διαθεῖναι διαίρεσιν, τήν τε ἄλλην ἀποσκευὴν, καὶ τῶν ὅπλων κατασκευὴν, καὶ τὴν ἑκάστου μαχομένων ὅπλισιν. Πρὸς τούτοις τὴν πρὸς τῶν (7) ἀληθινῶν ἀγώνων τοῦ στρατηγοῦ γυμνασίαν. Ἔπειτα δὲ καὶ τὰ κείμενα ὑπαναγνωσθῆναι ἐπιτίμια, εἶτα περὶ ὁδοιπορίας εἰπεῖν τῆς τε ἐν τῇ ἰδίᾳ καὶ τῆς ἐν τῇ πολεμίᾳ, περί τε τοῦ λεγομένου τούλδου, καὶ δὴ καὶ περὶ ἀπλήκτων. Τῆς τε προκατασκευῆς καὶ D παραγγελίας, καὶ τί δεῖ γίνεσθαι πρὸ τῆς τοῦ πολέμου ἡμέρας, καὶ ὅσα ἐν τῇ τοῦ πολέμου ἡμέρᾳ ἐποφείλεται. Καὶ ἔτι περὶ πολιορκίας· εἶτα καὶ τὰ μετὰ τὸν πόλεμον ὀφειλόμενα, καὶ τὰς δι' ἐνεδρῶν ἀδοκήτους ἐφόδους τῶν τε ἡμετέρων καὶ τῶν πολεμίων. Καὶ ἐπὶ τούτοις διαφόρων παρατάξεων μελέτας ἐθνικῶν τε καὶ Ῥωμαϊκῶν. Εἶτα ἐπὶ τοῖς εἰρημένοις καὶ περὶ ναυμαχίας διατάξαι μετρίως. Καὶ ἐπὶ τούτοις ἅπασι γνώμας τινὰς τακτικάς τε καὶ στρατηγικὰς ἰδίως ἐντεύξουσι συναγαγεῖν ὅσας δῆλον ὅτι κατὰ χώραν ἐντάξαι τὸ εὐσύνοπτον καὶ πρόχειρον τῶν διατάξεων οὐ συγχωρεῖ ἐκθεῖναι. Ἀφ'

Primum igitur nobis describendum est, quidnam res militaris, quidque imperator sit; deinde, qualem esse oportet exercitum, et quemadmodum consilium capiendum sit; tum in præfectos omnis generis, et milites dividere exercitum, reliquumque apparatum omnem militum adhibere, et uniuscujusque militis armaturam. Ad hæc, quemadmodum ante vera certamina imperator singulos exercere debeat. Deinceps, quemadmodum singulis rebus propositæ multæ in exercitu legantur. Tum de itinere verba facienda sunt, tum in sua, tum in hostili terra. Postea de impedimentis et castris; de apparatu, et præceptis, quidque faciendum ante diem belli sit, quidque ipso die agendum. De obsidione etiam, atque de iis, quæ post bellum gerenda sunt. Tum nec opinatas ex insidiis, tum nostras, tum hostium incursiones, et diversimode apud varias gentes acies instructas. De navali pugna pauca adjungemus. Post hæc omnia, sententiarum quarumdam militarium atque imperatoriarum descriptionem separatim colligemus, quas in suis locis propter brevitatem et expeditam rationem capitum non posuimus. His rebus instructus, qui sapientia et celeritate ingenii imperator abun-

NOTÆ.

(7) *Πρὸς τῶν*. Scribe πρὸ τῶν.

Digitized by Google

det, longe perfectior, ut, spero, absolutiorque erit. Ac primo hinc incipiendum esse putamus.

ὧν ὁρμώμενον σοφὸν ὄντα καὶ ὀξὺν τῇ διανοίᾳ τὸν στρατηγὸν σοφώτερον γενέσθαι ἐλπίζομεν. Καὶ πρῶτον μὲν ἀρκτέον ἐντεῦθεν.

CONSTITUTIO PRIMA.

De re militari et imperatore.

1. Res militaris est scientia bellicorum motuum. Motus autem belli duplices sunt : alii enim terra, alii mari fiunt.

2. Res militaris est ars quædam imperatoria acierum instruendarum, et armorum et motuum militarium.

3. Ars imperatoria est in quibus exercitatio, vel studium aut industria ponitur, cum στρατηγημάτων, id est consiliorum imperatoriorum et tropæorum collectione.

4. Propositum rei militari est, ut opportunis commoditatibus et rebus gestis vincat hostes.

5. Utilitas rei militaris est, ordinata quadam ac disposita acie cum hostibus confligere.

6. Finis rei militaris est, quoad ejus fieri potest, sine ulla offensione exercitum instruere.

7. Bellicus apparatus perfectus duplex est, alter quidem terra terrestris, alter vero mari navalis. De re navali postea dicemus. Hominum autem qui ad bellum confluunt multitudo, altera quidem prælians est, hoc est bellatrix, altera vero ad usus belli veniens imbellis. Et bellatores, milites sunt qui adversus hostes instruuntur. Imbelles reliqui sunt, medici, administri, mercatores, et alii qui ad necessarios usus consequuntur. Pugnantis partis seu bellatricis alia est pedestris, alia equestris. Pedestris est quæ humi consistit. Equestris est, quæ equis vehitur, et quæ olim curribus falcatis et elephantis turres hominibus refertas gestantibus vehebatur, de quibus nunc propter hujusmodi apparatuum inutilitatem et tarditatem nulla mentio fiet.

8. Re militari leviter ad hunc modum descripta, oportet etiam constituere, quinam imperator sit, et quisnam hujus rei susceptione dignus sit.

9. Imperator est qui universo exercitui præest, et maximam secundum regem habet potestatem.

10. Imperator est universæ militiæ præcipuus dux a rege designatus, qui alios sub se duces partim a rege missos suffragio suo approbat, partim sua ipsius auctoritate designat.

11. Proprium imperatoris munus est, subjectos suos prudentia, fortitudine, justitia, temperantia anteire.

12. Universæ provinciæ quam accepit, tum militaris tum privatæ tum publicæ administrationem in se recipere.

ΔΙΑΤΑΞΙΣ ΠΡΩΤΗ.

Περὶ τακτικῆς καὶ στρατηγοῦ.

α'. Τακτικὴ ἐστιν ἐπιστήμη πολεμικῶν κινήσεων. Κινήσεις δὲ πολεμικαὶ δίτταί · αἱ μὲν κατὰ γῆν, αἱ δὲ κατὰ θάλατταν.

β'. Τακτικὴ ἐστι τέχνη στρατηγικὴ παρατάξεων καὶ ὁπλισμῶν καὶ κινήσεων στρατιωτικῶν.

γ'. Στρατηγικὴ δέ ἐστιν στρατηγῶν ἀγαθῶν συνάσκησις ἤγουν μελέτη καὶ γυμνασία μετὰ *στρατηγημάτων* ἤτοι τροπαίων συναθροισμοῦ.

δ'. Σκοπὸς τῇ τακτικῇ διὰ τῶν ἐνδεχομένων ἐπιβουλῶν καὶ πράξεων κινῆσαι τοὺς πολεμίους.

ε'. Χρήσιμον δέ ἐστιν ἡ τακτική, τὸ δι' εὐτάκτου θέσεως συμπλέκεσθαι τοῖς πολεμίοις.

ς'. Τέλος τῇ τακτικῇ κατὰ τὸ ἐνδεχόμενον ἀμέμπτως διατάξαι τὸ στράτευμα.

ζ'. Αἱ δὲ εἰς τοὺς πολεμίους τέλειαι παρετοιμασίαι δύο εἰσίν · ἡ μὲν κατὰ γῆν πεζική, ἡ δὲ κατὰ θάλασσαν ναυτική. Περὶ μὲν οὖν τῆς ναυτικῆς ὕστερον ἐροῦμεν. Τῶν δὲ κατὰ γῆν ἐπὶ πολέμιους ἀθροιζομένων ἀνδρῶν τὸ πλῆθος τὸ μέν ἐστι μάχιμον, ἤγουν πολεμικόν · τὸ δὲ διὰ τὰς τούτου χρείας συνερχόμενον ἄμαχον. Καὶ πολεμικὸν μέν, τὸ παρατασσόμενον πρὸς τοὺς πολεμίους στρατιωτικόν. Ἄμαχον δὲ τὸ λοιπόν, οἷοι ἰατροὶ, δοῦλοι, ἔμποροι, καὶ ἄλλοι ὅσοι διὰ τὰς ὑπηρεσίας ἐπακολουθοῦσι. Τοῦ δὲ μαχίμου μέρους, ἤγουν πολεμικοῦ στρατοῦ, τὸ μέν ἐστι πεζικὸν, τὸ δὲ καβαλλαρικόν. Καὶ τὸ μὲν ἰδίως πεζικὸν τὸ ἐπὶ γῆς ἱστάμενον, τὸ δὲ καβαλλαρικὸν τὸ ἐπὶ τῶν ἵππων ὀχούμενον. Ἦν δέ ποτε καὶ ἐπὶ ἁρμάτων δρεπανηφόρων, καὶ ἐπὶ ἐλεφάντων πύργους φερόντων πλήρεις ἀνδρῶν. Ἀλλὰ τούτων οὐδεὶς ἡμῖν λόγος νῦν διά τε τὴν ἀχρηστίαν, καὶ τὴν παντελῆ ἀργίαν τῶν τοιούτων παρασκευῶν.

η'. Τῆς οὖν τακτικῆς μερίως πως οὕτως ὑπογραφείσης, δεῖ καὶ τὸν στρατηγὸν ἀναδειθῆναι (8), τί τέ ἐστιν, καὶ τίς ὁ τῆς τοιαύτης ἐγχειρήσεως ἄξιος.

θ'. Στρατηγὸς τοίνυν ἐστὶν ὁ τῆς ὑπ' αὐτὸν ἁπάσης ὑπαρχίας μείζονα πάντων ἐξουσίαν ἔχων μετὰ τὸν βασιλέα.

ι'. Στρατηγός ἐστιν ὁ τοῦ ὑπὸ χεῖρα στρατιωτικοῦ θέματος κορυφαῖος ἄρχων, ἐκ βασιλέως μὲν προχειριζόμενος, τοὺς δὲ ὑπ' αὐτὸν ἄρχοντας τοὺς μὲν ψήφῳ τῇ αὐτοῦ ἐκ βασιλέως δὲ καταπεμπόμενος, τοὺς δὲ ἐξουσίᾳ ἰδίᾳ προβαλλόμενος.

ια'. Ἴδιον δὲ στρατηγοῦ τὸ κρείττω πάντων εἶναι τῶν ὑπὸ χεῖρα φρονήσει, καὶ ἀνδρείᾳ, καὶ δικαιοσύνῃ, καὶ σωφροσύνῃ.

ιβ'. Τὸ εἰς αὐτὸν ἀναφέρεσθαι τῆς κατὰ αὐτὸν ἐπαρχίας τὰς διοικήσεις, ὅσαι τε στρατιωτικαὶ, καὶ ὅσαι ἰδιωτικαὶ, καὶ δημόσιοι.

NOTÆ.

(8) *Ἀναδειθῆναι.* Scribe, ἀναδειχθῆναι.

Digitized by Google

ιγ'. Τὸ παραλαβόντα στρατὸν ἄτακτον ἐκτάξαι δεόντως κατὰ τὴν ἁρμόζουσαν τῷ καιρῷ τακτικὴν διάταξιν.

ιδ'. Σκοπὸς τῷ στρατηγῷ τὸ μὲν ὑπ' αὐτὸν θέμα αὐξῆσαι, καὶ ἀβλαβὲς ἀπό τε πολεμίων καὶ τῶν ἄλλων ἀδικημάτων καὶ ἀταξιῶν καὶ στάσεων διαφυλάξαι. Τοὺς δὲ πολεμίους παντὶ τρόπῳ ἢ πολέμῳ ἢ ἐφόδοις ἀδοκήτοις ταπεινῶσαι, καὶ ἅπερ ποιήσει κατὰ τῶν ἐχθρῶν, ταῦτα φυλάξασθαι μὴ παθεῖν ἀπ' αὐτῶν.

ιε'. Τέλος τῷ στρατηγῷ τῷ εὐδοκιμήσαντα (9) διὰ πάντων τῆς τε θείας καὶ βασιλικῆς ἀπολαύειν εὐνοίας, ἢ κατολιγωρήσαντα τῶν πρεπόντων καὶ ἁρμοζόντων πραγμάτων τάξασθαι τῶν ἐναντίων. Οὕτως τοίνυν καὶ τῆς τοῦ στρατηγοῦ προτυπωθείσης εἰκόνος, δεῖ καθάπερ διὰ χρημάτων (10) ἡμᾶς ἀναζωγραφῆσαι τὴν τούτου ποιότητα, καὶ δεῖξαι φανερῶς τίς καὶ ποταπὸς εἶναι ὀφείλει εἰς τὴν τοιαύτην ἐξουσίαν προχειριζόμενος ἀρχῶν.

13. Exercitum inordinatum idonea atque opportuna in acie collocare.

14. Propositum hoc est imperatori, ut multitudinem suam amplificet, et sine omni offensione, ab hostibus reliquisque injuriis, a perturbationibus et seditionibus solutos conservet, hostes omnibus modis vel bello vel incursionibus inopinatis labefactet, et quæ inferre hostibus molitur, circumspiciat ne eadem ab illis patiatur.

15. Finis imperatoris est maximam gloriam habere, in omnibus Dei et regis benevolentiam consequi : sin quod idoneum officioque suo conjunctum est neglexerit, ut e contrario illi accidat. Ita igitur imperatoris imagine informata, quasi coloribus quibusdam exprimendæ dotes ejus sunt, demonstrandumque est quis et qualis esse debeat qui in hoc dignitatis gradu collocandus sit.

ΔΙΑΤΑΞΙΣ Β'.

Περὶ τοῦ οἷον εἶναι δεῖ τὸν στρατηγόν.

α'. Κελεύομεν τοίνυν εἶναι τὸν στρατηγὸν σώφρονα περὶ τὸ σῶμα, περὶ τὴν δίαιταν ἐγκρατῆ, νηφάλιον καὶ ἐγρήγορον, λιτὸν καὶ ἀπέριττον περὶ τὰς χρείας, ὑπομένοντα τοὺς πόνους, νοήμονα καὶ φρόνιμον, μισοῦντα φιλαργυρίαν, ἔνδοξον, μήτε νέον, μήτε γέροντα, ἱκανὸν δὲ καὶ πρὸς τὸ λέγειν ἀπὸ στόματος ἐν μέσῳ λαοῦ, ἂν τύχῃ δὲ καὶ πρωταιδον (11), μὴ ἐμποριαν φιλοῦντα, ἢ τοιοῦτον, μηδὲ μικρόψυχον, ὡς καὶ τῶν μικρῶν πραγμάτων ἐπιθυμεῖν, καὶ ἁπλῶς εὐγενῆ τὴν ψυχὴν, εἰ δυνατὸν, καὶ τὸ σῶμα, καὶ ἐν πᾶσι μεγαλόψυχον.

CONSTITUTIO II.

Qualem esse oporteat imperatorem.

1. Mandamus igitur ut imperator sit corpore continens, victu temperans, sobrius, vigilans, frugi et in rebus necessariis minime profusus, in laboriosis negotiis assiduus, circumspectus et prudens, pecuniæ despiciens, famæ commendatione honestus, neque juvenis, neque ætate ingravescens, habilis ad dicendum ex tempore in media frequentia hominum, liberorum, si ita usus ferat, parens, non ad mercaturam faciendam, aut ad hujusmodi lucrum intentus, non parvi animi, et minutas res expetens, denique generoso tum animo tum corpore, quoad ejus fieri potest, et in omnibus magnanimus.

β'. Σώφρονα, ἵνα μὴ ταῖς τῆς φύσεως κατασυρόμενος ἡδοναῖς ἀπολείπῃ τὴν περὶ τῶν ἀναγκαίων φροντίδα καὶ ἐπιμέλειαν.

2. Continentem esse imperatorem oportet, ne voluptatibus nimis diffluens, rerum necessariarum curam ac provisionem abjiciat.

γ'. Ἐγκρατῆ δὲ, ἐπειδὴ τηλικαύτης ἀρχῆς μέλλει τυγχάνειν. Αἱ γὰρ ἀκρατεῖς καὶ ἀκόλαστοι ὁρμαὶ, ὅταν προσλάβωσι δύναμιν κατὰ ἐξουσίαν τοῦ ποιεῖν ἃ βούλονται, ἀκράτητοι γίνονται πρὸς τὰς ἐπιθυμίας.

3. Temperantem vero, quoniam tale imperium susceperus est. Intemperantes enim et libidinosæ animi appetitiones, siquando vires ceperint, propter quidvis agendi licentiam in omnes cupiditates infrenate ruunt.

δ'. Νηφάλιον δὲ καὶ ἐγρήγορον, ὅπως ἐπαγρυπνῇ ἐν ταῖς μεγίσταις πράξεσιν. Ἐν νυκτὶ γὰρ, ὅταν ἡ ψυχὴ ἥρεμῇ μάλιστα, πολλάκις ἡ τοῦ στρατηγοῦ γνώμη καὶ ἀπευθύνεται καὶ τελειοῦται.

4. Sobrium autem et vigilantem ut in maximis acierum apparatu animo quasi excubet. Nocte enim quando animus maxime requiescit, imperatoris sæpe sententia versando mutatur, sæpe cogitando confirmatur.

ε'. Λιτὸν δὲ, ἀπέριττον περὶ τὰς χρείας· καὶ γὰρ καταδαπανῶσιν αἱ πολυτελεῖς καὶ πολλαὶ θεραπεῖαι, καὶ χρόνον ἄπρακτον καὶ ἀναγκαίας ἐξόδους εἰς τὴν τῶν ἀρχόντων τρυφήν.

5. Frugi et in usibus necessariis non nimis profusum. Sumptuosi enim et ingentes famulatus, tempus ut inaniter transigatur faciunt, et quod ad necessarias expeditionum expensas conferendum fuit, ad delicias luxumque præfectorum assumunt.

ς'. Ὑπομένοντα τοὺς πόνους, ἵνα μὴ πρῶτος τῶν στρατευομένων τὰς ἀναπαύσεις ἐπιζητῇ, ἀλλὰ γίνηται αὐτοῖς μᾶλλον εἰκὼν πρὸς τὸ γενναίως ὑποφέρειν τοὺς πόνους.

6. Industrium autem, ut ne primus militum otium sectetur, sed exemplum potius fiat ad labores alacriter suscipiendos.

NOTÆ.

(9) *Τῷ εὐδοκιμήσαντα.* Scribe τὸ εὐδ.

(10) *Χρημάτων.* Scribe χρωμάτων.

(11) *Πρωταιδον.* Scribe πατέρα παίδων.

Digitized by Google

7. Circumspectum et prudentem. Solertem enim oportet esse imperatorem, in omnes partes cogitationem animi quadam celeritate versantem : perturbationes enim inopinatæ cum incidunt, confestim præsentis auxilii excogitationem requirunt.

A ζ'. Νοήμονα δὲ καὶ φρόνιμον. Ὀξὺν γὰρ εἶναι δεῖ τὸν στρατηγὸν πανταχοῦ περιφέροντα τὸν σκοπὸν διὰ ταχύτητα ψυχῆς· πολλάκις γὰρ ἀνυπονόητοι ταραχαὶ προσπεσοῦσαι παρ' εὐθὺ τὸ συμφέρον ἐπινοεῖν ἀναγκάζουσιν.

8. Pecuniæ despicientem. Etenim pecuniæ despicientia in imperatore cernitur, quando abstinenter et magnifice rebus gerendis præest, et honores bellicos virtutis mercedem suis proponit. Multi enim et animo forti sunt, et corpore adversus hostes robusto : sed quando in aurum intuentur, mentem occæcatam cupiditate atque obscuratam habent : gravia enim arma sunt hæ pecuniarum cupiditates, et ad oppugnandos atque evertendos homines efficacia.

η'. Ἀφιλάργυρον δέ. Καὶ γὰρ ἡ ἀφιλαργυρία τοῦ στρατηγοῦ δοκιμάζεται, ὅταν ἀδωροδοκήτως καὶ μεγαλοφρόνως προΐσταται τῶν πραγμάτων, καὶ δι' ἀρετὴν μόνην δωρεὰν προβάλλεται τὰς ἀρχὰς τοῦ ὑπ' αὐτὸν θέματος. Πολλοὶ γὰρ καὶ ἀνδρεῖοί εἰσι τῇ ψυχῇ, καὶ ῥωμαλέοι τῷ σώματι κατὰ τῶν ἐχθρῶν, ἀλλ' ὅταν ἀντιβλέψωσι πρὸς χρυσὸν, ἀμαυροῦνται καὶ σκοτίζονται. Δεινὸν γὰρ ὅπλον στρατηγοῦ φιλαργυρία, καὶ ἐνεργέστατον εἰς τὸ νικῆσαι τοῦτον καὶ καταβαλεῖν.

9. Neque juvenem neque ætate ingravescentem ; quoniam juvenis propter ætatem, inconstantem et flexibilem habet mentem : senex autem imbecillo est corpore, et nullus ex illis pene firmus exsistit : et ille quidem ut ne propter inconsideratam temeritatem quasi audax labatur, hic vero ne propter naturalem imbecillitatem corporis, quæ facto opus sunt prætermittere cogatur. Optime igitur electio est constantis et mediæ ætatis, non juvenis aut ætatis ingravescentis.

B θ'. Οὔτε δὲ νέον εἶναι, οὔτε γέροντα· ἐπειδὴ ὁ μὲν νέος ἄπιστον ἔχει καὶ ἄστατον φρόνημα διὰ τὴν νεότητα, ὁ δὲ γέρων ἀσθενής ἐστι τῷ σώματι καὶ οὐδεὶς αὐτῶν ἀσφαλής· ὁ μὲν, ἵνα μὴ πταίσῃ διὰ τὴν ἀλόγιστον τόλμαν ὥσπερ θρασὺς, ὁ δὲ γέρων, ἵνα μὴ διὰ τὴν φυσικὴν ἀσθένειαν ἐλλείπῃ εἰς τὰ δέοντα τῶν πραγμάτων. Καλλίστη δὲ ἐκλογὴ τοῦ μέσου, μήτε νέου ὄντος, μήτε γέροντος.

10. Etenim vis et robur est in eo, qui nondum consenuit, prudentia autem et stabilitas in eo, qui ex adolescentia excessit. Namque qui robur corporis sine prudentia animi admirantur, vel contra animam prudentem absque corporis viribus extollunt, ad nullum bonum exitum perveniunt. Prudentia enim si viribus deficiatur, nihil pulchrum ; vires vero prudentia destitutæ nihil prorsus efficiunt.

ι'. Καὶ γὰρ τὸ δυνατὸν καὶ ῥωμαλέον ἐν τῷ μήπω γεγηρακότι, τὸ δὲ φρόνιμον καὶ σταθηρὸν ἐν τῷ μὴ πάνυ νεάζοντι. Καὶ μέντοι οἵτινες ἰσχὺν σώματος ἄνευ φρονήσεως θαυμάζουσι ψυχικῆς, ἢ πάλιν ψυχὴν C φρόνιμον ἄνευ σωματικῆς δυνάμεως, οὐδὲν ἐνόησαν τέλος ἀγαθόν. Καὶ γὰρ ἡ φρόνησις ὑστερήσασα δυνάμεως οὐδὲν ὠφέλησεν, δύναμις στερηθεῖσα φρονήσεως οὐδὲν ἐτελείωσε.

11. Charum subjectis suis imperatorem, longe nobiliorem scimus esse, hocque magnopere subjectis adjumento est. Quem homines diligunt, illi imperanti facile obtemperant, dicenti et paciscenti non resistunt, periclitanti succurrunt. Tanta res est amor, ut pro eo, quem charum quis habet, vitam profundat.

ια'. Ἀγαπώμενον δὲ παρὰ τῶν ὑπηκόων τὸν στρατηγὸν εὐδοκιμώτερον ἴσμεν γίνεσθαι· καὶ γὰρ μεγάλα τοὺς ἀρχομένους ὠφελήσει. Ὄντινα γὰρ ἄνθρωποι φιλοῦσι, τούτῳ ἐπιτάττοντι μὲν ταχὺ πείθονται, λέγοντι δὲ καὶ ὑπισχνουμένῳ οὐκ ἀπιστοῦσι, κινδυνεύοντι δὲ συναγωνίζονται. Τοιοῦτον γὰρ ἡ ἀγάπη, τὸ τιθέναι τὴν ψυχὴν ὑπὲρ τοῦ φιλουμένου.

12. Pater liberorum anteponendus est effeto atque orbo. Neque vero orbum liberis repudiamus, si bonus sit. Nam qui liberos habet imperator, si infantes fuerint, longe ardentior propter liberorum D amorem ad studium rerum agendarum suscipiendum erit. Si vero constanti jam et matura ætate fuerint, consiliarii, et laboris imperatorii participes et fideles administri, res pro communi salute susceptas promovebunt. Itaque hac de causa pater orbo videtur anteponendus.

ιβ'. Πατέρα δὲ παίδων προκρίνομεν μᾶλλον, ἢ ἄπαιδα, οὐδὲ τὸν μὴ ἔχοντα παῖδας παραιτούμενοι, ἐάν ἐστι ἀγαθός. Καὶ γὰρ ὁ παῖδας ἔχων στρατηγὸς, εἰ μὲν νηπίους, θερμότερος γίνεται περὶ τὴν σπουδὴν τῶν ἐν τῷ βίῳ πραγμάτων, ὑπὲρ τῆς τῶν παίδων φιλίας καὶ εὐπραγίας ἀγωνιζόμενος. Εἰ δὲ τέλειοι τὴν ἡλικίαν, σύμβουλοι καὶ συστρατηγοὶ καὶ πιστοὶ ὑπηρέται γενόμενοι συγκατορθοῦσι τῷ πατρὶ τὰ μεταχειριζόμενα ὑπὲρ κοινῆς σωτηρίας πράγματα. Αἱ δ μᾶλλον δοκεῖ τοῦ ἄπαιδος ὁ παῖδας ἔχων προσημότερος εἶναι.

13. Ad dicendum et perorandum habilem : puto enim hoc maxime exercitum adjuvare. Nam instructum ad pugnam exercitum imperator cohortatione sua ad periculorum mortisque contemptionem, et ad rerum honestarum suaviumque

ιγ'. Λέγειν δὲ καὶ δημηγορεῖν ἱκανόν· ἡγοῦμαι γὰρ τὰ μέγιστα ὠφελεῖν διὰ τούτου τὸ στράτευμα. Ἐάν τε γὰρ παρατάσσηται πρὸς μάχην στρατηγὸς διὰ τῆς τοῦ πύργου παρακελεύσεως, τῶν μὲν γὰρ δεινῶν (12), πολλάκις καὶ αὐτοῦ τοῦ θανάτου ποιεῖ καταφρονεῖν,

NOTÆ.

(12) *Δειvον*. Scribe δεινῶν.

Digitized by Google

τῶν δὲ καλῶν καὶ γλυκέων ἐπιθυμεῖν. Οὐχ οὕτως γὰρ ἐνηχοῦσα σάλπιγξ ταῖς ἀκοαῖς ἐξεγείρει τὰς ψυχὰς εἰς μάχην, ὡς λόγος μετὰ φρονήσεως λεγόμενος προτρέπεται εἰς ἀρετὴν, καὶ ἐναγωνίους ποιεῖ τοὺς ἀκούοντας, καὶ ἐξανιστᾷ πρὸς τὰ δεινὰ τὴν ἔννοιαν.

ιδ'. Ἐὰν δὲ συμβῇ πταῖσμα περὶ τὸ στρατόπεδον, ἡ τοῦ λόγου παρηγορία τὰς ψυχὰς ἀναῤῥωννύει. Καὶ πολὺ χρησιμώτερός ἐστι στρατηγοῦ λόγος δυνατὸς ὥστε παραμυθήσασθαι στρατοπέδου συμφοράς, μᾶλλον τῶν ἐπιμελουμένων τὰ πράγματα (13) ἰατρῶν. Οἱ μὲν γὰρ ἐκείνους μόνους τοὺς τραυματισθέντας θεραπεύουσι ταῖς ἰατρείαις, καὶ διὰ χρόνου τάχα πλείονος, ὁ δὲ παρ' εὐθὺ καὶ τοὺς πονοῦντας καὶ τοὺς καμόντας εὐθυμοτέρους ποιεῖ, καὶ τοὺς ἰσχυροὺς ἀνιστᾷ πρὸς ἀνδρείαν καὶ εὐψυχίαν.

ιε'. Ἔνδοξον δὲ λέγομεν, ἐπειδὴ ἀγανακτεῖ τὸ πλῆθος τοῖς ἀδόξοις ὑποτασσόμενον. Οὐδεὶς γὰρ θέλων ὑπομένει τὸν χείρονα κύριον αὐτοῦ ἀναδέχεσθαι καὶ ἡγεμόνα.

ις'. Δοκεῖ δέ μοι ὅτι πᾶσα ἀνάγκη τὸν τοῦτον εὑρισκόμενον στρατηγὸν, ὥστε ἔχειν ἀρετὰς ὅσας εἰρήκαμεν, καὶ ἔνδοξον εἶναι. Ἡ γὰρ τοσαύτη ἀρετὴ ἄγνωστον τὸν ἄνθρωπον διαμένειν ἐπιπολὺ οὐ καταλαμβάνει.

ιζ'. Λέγομεν δὲ μήτε πλούσιον προχειρίζεσθαι στρατηγὸν διὰ τὰ χρήματα, ἐὰν μὴ ἔχῃ ταύτας τὰς ἀρετὰς, μήτε πένητα παρατηρεῖσθαι (14) διὰ τὴν πενίαν, ἐὰν ᾖ ἀγαθός. Οὐκ ἀποβαλλόμεθα δὲ οὔτε τὸν πλούσιον ἕνεκεν τοῦ πλούτου αὐτοῦ, ἀλλ' ἐὰν τὰς τῷ στρατηγῷ πρεπούσας μὴ κέκτηται ἀρετάς. Οὐδὲ τὸν πένητα προκρίνομεν ὅτι ἐστὶ πένης, ἀλλ' ὅτι στρατιωτικήν τε καὶ γενναίαν ἔχει ψυχήν. Οὐδένα γὰρ διὰ τὴν τύχην ἀποδοκιμάζομεν, ἀλλὰ μᾶλλον διὰ τῶν τρόπων ἀμφοτέρους προβαλλόμεθα.

ιη'. Ὁ δὲ πλούσιος ἀγαθὸς ὢν τοσοῦτον διαφέρει γενναίου πένητος, ὅσον αἱ ἐπάργυροι καὶ κατάχρυσοι πανοπλίαι τῶν καταχάλκων καὶ σιδηρῶν· αἱ μὲν γὰρ τῷ λαμπρῷ κόσμῳ πλεονεκτοῦσιν, αἱ δὲ ἐν αὐτῷ τῷ δραστηρίῳ διαγωνίζονται.

ιθ'. Πένητα δὲ λέγω γενναῖον, ἐὰν μὴ χρηματιστής ἐστι καὶ δωρολήπτης· τὸν γὰρ χρηματιστὴν, οὐδ' ἂν πλουσιώτατος ὢν τύχῃ συμφέρει ποτὲ προχειρίζεσθαι στρατηγόν.

κ'. Ἀλλὰ μηδὲ μικρολόγον τινὰ καὶ ὁμολόγον περὶ τὰ κέρδη, ἢ ἔμπορον, ἢ παραπλήσιόν τι τοιοῦτον πράττοντα· ἀνάγκη γὰρ τοὺς τοιούτους μικρόφρονας εἶναι, καὶ περὶ τὸ κέρδος ἐπτοημένους, καὶ μεμεριμνημένους περὶ τὴν συλλογὴν τῶν χρημάτων, καὶ μηδὲν ἔχοντας τῶν καλῶν ἐπιτηδευμάτων.

κα'. Ἐὰν δὲ προγόνων ἐστὶ λαμπρῶν καὶ περιδόξων ἀπόγονος, ἀγαπᾶν μὲν δεῖ τοῦτο, οὗ μὲν δὲ πάντως ἐπιζητεῖν τὴν τοιαύτην εὐγένειαν, ἀποῦσαν, οὐδὲ διὰ ταύτην κρίνειν ἄξιον τὸν στρατηγὸν, ἐὰν τὸ στρατηγεῖν καλῶς κέκτηται.

A studium adducet. Tuba enim in auribus hominum personans non tantum animos nostros ad motus bellicos excitat, quantum oratio sapientia quadam adjuncta ad virtutem vocat, et paratos ad dimicandum auditores facit, et ad pericula suscipienda animos impellit.

14. Si vero ulla in exercitu contingat offensio, aliqua tum illos cohortatio permulcet, et longe utilior est imperatoris oratio, ad res afflictas exercitus levandas, quam medici vulnera curantes: illi enim saucios solos die ac tempore tandem fortasse sanant, hic autem confestim fessos ac lassatos alacriores facit, et ad omnem animi magnitudinem præstantiamque satis robustos.

B

15. Nobilem et celebrem virum diximus esse oportere, quia semper hæsitat animo et excruciatur vulgus, cum obscuris viris atque ignobilibus subjectum est. Nemo enim libens patitur eum imperatorem eligi, quem deteriorem seipso putat.

16. Mihi pernecessarium sane videtur, ut imperator designatus si has, quas nuper commemoravi virtutes imperatorias habeat, nobilis statim sit: talis enim virtus obscurum diu hominem manere non sinit.

17. Dicimus autem ne divitem quidem, nisi virtutes imperatorias habeat, pecuniarum causa imperatorem designari debere: nec pauperem contra, si bonus fuerit, paupertatis ac tenuitatis C causa repellendum. Nec vero divitem divitiarum gratia repellimus, sed si virtutes imperatore dignas non habeat: nec pauperem, quia pauper est, designamus, sed quia fortem atque imperatorium habeat animum. Neutrum propter fortunam repudiamus, sed utrosque propter mores asciscimus.

18. Dives bonus tantum præstat generoso pauperi, quantum aurea atque argentea arma æreis ferreisque antecedunt: hæc enim in bello æque efficacia sunt, illa vero præter efficacitatem etiam ornamentum afferunt.

19. Pauperem generosum voco, qui munerum abstinens est, et minime quæstuosus: quæstuosum enim virum, ne si ditissimus quidem fuerit, D utile est imperatorem eligi.

20. Imo vero neque parcum aliquem aut sordidum, ad rem faciendam venalitium, aut aliquid ejus generis molientem: necesse est enim tales perparcos esse, et ad aviditatem pecuniarum inexplebiles, et ad cumulandas opes nimium intentos, et ab honestis actionibus longe abhorrentes.

21. Si claris et nobilibus majoribus fuerit, aliquam hoc commendationem habeat: hanc tamen generis nobilitatem, si absit, non admodum requiremus, neque tantummodo propter hanc unam, si alias laudabiliter artem imperatoriam teneat, dignus hoc munere habeatur

NOTÆ.

(13) *Τὰ πράγματα.* Scribe. τὰ τραύματα.

(14) *Παρατηρεῖσθαι.* Scribe παραιτεῖσθαι.

Digitized by Google

22. Quemadmodum enim animantia omnia ex moribus illorum et actionibus exquirimus utrum generosa an inertia sint, sic et hominum nobilitatem non ex majorum laude, sed ex suis ipsorum actionibus et rebus gestis æstimare oportet. Iniquum enim atque indignum est humiles atque obscuros quosque milites sua ipsorum virtute ac militari laude, et non majorum splendore, emergere, imperatores autem propter majorum suorum præclara facta elegi, cum ipsi imperiti atque inertes sint.

23. Neque vero illos, qui cum obscuro loco nati sunt, tamen sua ipsorum facta nimis vendilari. Nam si virtuti suæ majorum quoque splendor accedat, fortunatus imperator est : sin virtus abfuerit, ne hæc quidem illum clarum efficient.

24. Fortassis autem existimare quis posset, meliores futuros imperatores qui nulla majorum suorum laude commendantur. Nam qui majorum factis clari sunt, et illorum gloria illustres sunt, sæpe negligentiores et remissiores sunt : qui autem nihil a majoribus acceperunt, isti majorum obscuritatem sua virtute illustrant, et ad res alacriori suscipiendas omni animi contentione impelluntur. Et quemadmodum qui haud magna cum re sunt, ad vitæ cultum et affluentiam rerum comparandam diligentius contendunt, sic quibus nulla a majoribus gloria relicta est, iidem sua ipsorum virtute strenui esse laborant.

25. Iis de causis eligatur imperator bonus, nobilis, dives : non repellatur autem pauper si eum virtute sit, quamquam claris ac illustribus majoribus ortus non sit.

26. Ad summam autem dicere oportet imperatorem, si fieri potest, corpore gratioso, robusto et laborioso, mente autem celeri ac strenua, honoris expetentem, promptum, periculorum despicientem, et rerum divinarum veræque religionis sanctissimum cultorem esse debere.

27. In voluptatibus corporis temperantem, consilio et laude vera in rebus honestis suscipiendis inexplebilem atque insatiabilem.

28. Ad perspiciendum in dubiis rebus quid maxime opus facto sit, acrem et solertem.

29. Ex iis quæ in promptu sunt, ad res abstrusas conjiciendas felicem.

30. In instruendo et armando et ornando exercitu peritum.

31. Ad jacentes militum animos oratione excitandos, et in spem bonam adducendos habilem, et ad periculum suscipiendum paratos efficientem.

32. Eorum quæ constituta et decreta sunt, constantissimum custodem.

33. In sermone certum, ne ab astutis et disertis viris, quæ illi ad deteriorem partem applicabunt, capiatur.

κβ'. Ὥσπερ γὰρ τὰ ζῶα ἀπὸ τῶν ἰδίων πράξεων καὶ ἠθῶν ἐξετάζομεν εὐγενῆ ἢ δυσγενῆ, οὕτω; χρὴ σκοπεῖν καὶ τὴν τῶν ἀνθρώπων εὐγένειαν, οὐκ ἀπὸ τῶν προγόνων, ἀλλ' ἐκ τῶν ἰδίων πράξεων καὶ κατορθωμάτων. Καὶ πῶς γὰρ οὐκ ἀπρεπὲς καὶ ἀπαίδευτον, τοὺς μὲν λιτοὺς στρατιώτας διὰ τὰς ἰδίας ἀρετὰς καὶ τοὺς ἀγῶνας τιμᾶν, οὐ τοὺς ἐκ προγόνων λαμπροὺς, ἀλλὰ τοὺς αὐτοχειρίᾳ τι λαμπρὸν ἔργον πεποιηκότας· τοὺς δὲ στρατηγοὺς διὰ τοὺς προγόνους ἐπιλέγεσθαι, κἂν εἶεν ἄχρηστοι ;

κγ'. Ἀλλὰ μὴν διὰ τὴν ἰδίαν αὐτῶν ἀρετὴν, κἂν μὴ ἀπὸ τοῦ γένους λαμπρύνωνται. Προσόντων μὲν δὴ τούτων καὶ προγόνων λαμπρῶν εὐτυχὴς ὁ στρατηγὸς, ἀπόντων δὲ τῶν ἀρετῶν, κἂν παρῇ ταῦτα, ἄπρακτος.

κδ'. Τάχα δέ τις ἐλπίσει καὶ κρείττονας ἔσεσθαι στρατηγοὺς τοὺς οὐκ ἔχοντας ἀπὸ τῶν προγόνων σεμνύνεσθαι. Οἱ μὲν γὰρ ἐπὶ γενεῖσι δοξαζόμενοι, καὶ τὴν ἀπ' ἐκείνων ἔχοντες εὐκλειαν, πολλάκις ῥᾳθυμότερον καὶ ἀμελέστερον διάκεινται· οἱ δὲ μηδεμίαν δόξαν προγόνων ἔχοντες, οὗτοι τὴν τῶν πατέρων ἀδοξίαν ἀναπληροῦσθαι θέλοντες τῇ ἰδίᾳ προθυμίᾳ φιλοκινδυνότεροι ἐπὶ τὰς πράξεις ἔρχονται. Καθάπερ οἱ πένητες ἐπιπονώτερον μᾶλλον τῶν ἐπιεικεστέρων (15) ἐπὶ τὴν τοῦ βίου κτῆσιν ὁρμῶνται, τὸ ἐλλεῖπον ἀναπληρῶσαι τῆς τύχης σπουδάζοντες· οὕτω οἱ μὴ ἐκ πατέρων κληρονομήσαντες δόξαν διὰ τῶν ἰδίων πράξεων σπουδάζουσιν οἰκειοῦν αὑτοῖς δόξαν.

κε'. Διὰ ταῦτα μὲν οὖν προχειριζέσθω στρατηγὸς ἀγαθὸς, εὐγενὴς, πλούσιος. Μὴ ἀποβαλλέσθω δὲ πένης μετὰ ἀρετῆς, εἰ καὶ μὴ ἀπὸ λαμπρῶν καὶ ἐνδόξων προγόνων κατάγει τὸ γένος.

κς'. Κεφάλαιον δὲ εἰπεῖν, χρὴ τὸν στρατηγὸν, εἰ δυνατόν ἐστιν, καὶ τὸ σῶμα εὔπρεπῆ, καὶ ἀνδρεῖον, καὶ φιλόπονον, καὶ ὀξύμετον τὴν γνώμην, καὶ γενναῖον, καὶ σπουδαῖον, καὶ φιλοκίνδυνον, καὶ μάλιστα θεοσεβῆ, καὶ περὶ τὰ θεῖα πράγματα ἐπιμελέστατον,

κζ'. Ἡδονῶν δὲ τοῦ σώματος ἐγκρατῆ, τῆς δὲ γνώμης ἄπληστόν τε καὶ ἀκόρεστον ἐπὶ τῷ ἐπαίνῳ πράξεσιν ἀγαθοῖς [ἀπλησθόν τε καὶ ἀκόρεστον].

κη'. Συνιέντα δὲ τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινόν τε καὶ ὀξύ.

κθ'. Ἐκ τῶν φαινομένων τὰ κεκρυμμένα στοχάζεσθαι ἐπιτυχέστατον.

λ'. Τάξαι δὲ στρατὸν, καὶ ὁπλίσαι, καὶ κοσμῆσαι ἔμπειρον.

λα'. Λόγοις δὲ ἀνιστᾷν τὰ πεπτωκότα φρονήματα στρατοῦ, καὶ ἐλπίδων ἐμπλῆσαι ἀγαθῶν, καὶ ἑτοίμους πρὸς τοὺς κινδύνους παρασκευάσαι δυνατόν.

λβ'. Καὶ τὰ συντιθέμενα δὲ ἢ ὁμολογούμενα φυλάξαι βεβαιότερον.

λγ'. Μὴ παρασύρεσθαι δὲ ὑπὸ τῶν ἐν λόγοις δυνατῶν, οἷς ἐκεῖνοι παρέχειν τοῦ καθήκοντος ἐθέλουσιν, εἶναι δὲ ἀσφαλῆ.

NOTÆ.

(15) Ἐπιεικεστέρων. Scrib. εὐπορωτέρων.

Digitized by Google

λδ'. Χρημάτων δὲ, εἰς μὲν ἡδονὰς τὰς ἑαυτοῦ, φει- A δόμενον, καὶ ὀλίγοις ἀρκούμενον, εἰς δὲ τὸ εὐεργετεῖν τοὺς ὑπ' αὐτὸν, καὶ μάλιστα εἰς τὴν ὑπὲρ τοῦ κοινοῦ δαπάνην, ἄφθονόν τε καὶ ἡπλωμένον.

34. In pecunia consumenda ad conquirendas sibi voluptates, parcissimum ac frugalissimum : ad consensionem vicinorum, et præcipue in sumptibus pro republica faciendis, largum et liberalem.

λε'. Τοιοῦτον τοίνυν ὄντα τὸν προχειριζόμενον στρατηγὸν, οἷον ὁ λόγος ὑπέγραψε τῇ φύσει, καὶ τοῖς ἤθεσι, καὶ ἐπιτηδεύμασι, δεῖ εἰς τὴν ἀρχὴν προχειρισθέντα καὶ ἔτι ἀγαθὸν εἶναι, εὐπροσήγορον, ἕτοιμον, ἀτάραχον.

35. Is igitur imperator designatus, qualem oratio nostra descripsit, natura, moribus et institutis ubi jam præest benignus, affabilis, promptus facilisque sit.

λς'. Μὴ οὕτως ἐπιεικῆ καὶ πρᾶον, ὥστε καταφρονεῖσθαι, μηδὲ οὕτως φοβερὸν, ὥστε μισεῖσθαι. Ἵνα μήτε διὰ τὴν ἀμέλειαν ἐκλύσῃ τὸ στράτευμα, [καὶ] εἰς καταφράνησιν ἀγάγῃ, μήτε διὰ τὸν φόβον τῆς αὐτοῦ ἀγάπης ἀλλοτριώσῃ.

36. Nec vero tam clemens et mitis sit ut contemnatur, nec tam severus, ut odio habeatur, ne propter negligentiam exercitum et omnem sub imperio suo subjectam corrumpat plebem, nec contra propter timorem ab amore sui alienet.

λζ'. Τὰ δ' ἄλλα ὅσα χρὴ τοῦτον ἐπιτηδεύειν ἐν ταῖς B παρεμπιπτούσαις ἐπικαίροις διαικήσεσι, καὶ ὅσα παραφυλάττεσθαι χρὴ, νῦν μὲν διὰ τὸ πλῆθος συνεστείλαμεν, ἐν δὲ τῷ πλάτει τῆς παρ' ἡμῶν ἐκτιθεμένης τακτικῆς καθέκαστα μνημονεύσομεν, ὅση δύναμις.

37. Reliqua quæcunque oportet eum in quotidianis et singulis rerum administrationibus suscipere, nunc propter longitudinem in angustum contraximus, sed ea in ipso quasi salo orationis nostræ de re militari habito, seorsim quantum possumus repetemus.

λη'. Τοιοῦτον δὲ ὄντα καὶ οὕτως διατηρούμενον τὸν παρὰ τῆς βασιλείας ἡμῶν (16) προχειριζόμενον στρατηγὸν ἐλπίζομεν αὐτὸν καὶ τῆς τοῦ Θεοῦ ἀπολαύειν εὐμενείας, καὶ τῆς ἡμετέρας εὐνοίας, καὶ τῆς τοῦ κοινοῦ σωτηρίας, καὶ τῆς παρὰ πάντων εὐφημίας, καὶ τῆς κατὰ τὸν βίον εὐημερίας ἐν Χριστῷ τῷ μόνῳ αἰωνίῳ καὶ ἀδιαδόχῳ βασιλεῖ. Ἀλλ' οὕτως μὲν καὶ τὴν τοῦ στρατηγοῦ κατάστασιν ἀπαρτίσαντες, φέρε, τοῦτον οἱονεὶ κατ' ὀφθαλμοὺς τῆς ἡμετέρας παραστησάμενοι βασιλείας, τὰ πρέποντα καὶ πρόσφορα τῇ στρατηγικῇ τε καὶ τακτικῇ ἐπιστήμῃ διὰ τῆς ἑφεξῆς ἡμῶν παρακελεύσεως παραινέσωμεν.

38. Talis si sit et permaneat qui a regno nostro imperator eligitur, speramus eum Dei bonitatem, nostram benevolentiam, et reipublicæ salutem, et magnam apud omnes existimationem, et vitæ tranquillitatem in Christo Deo solo universitatis perenni et sempiterno Rege comparaturum. Itaque ad hunc modum imperatoris forma descripta, age quasi ante oculos regni nostri conspectumque ponamus, et hac sequenti nostra exhortatione, quæ in militari atque imperatoria arte maxime necessaria idoneaque sunt, explicemus.

μθ'. Πρὸ μὲν τῶν ἄλλων ἁπάντων, ὦ στρατηγὲ, πρώτην σοι ταύτην παρακέλευσίν τε καὶ παραίνεσιν ποιούμεθα, ὥστε θεοφιλίας καὶ δικαιοσύνης ἐπιμελεῖσθαι, καὶ οἷον ὁρᾷν διηνεκῶς πρὸ ὀφθαλμῶν τὸν Θεὸν καὶ φοβεῖσθαι αὐτὸν, καὶ ἀγαπᾷν ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ μετ' ἐκεῖνον ἡμᾶς, καὶ τὰς αὐτοῦ ἐκτελεῖν ἐντολὰς, καὶ τὴν ἐκείνου εὐμένειαν ἐκ τούτου προσλαμβάνεσθαι, ἵνα εἰ καὶ τολμηρότερον εἰπὼν καιρῷ περιστάσεως ὡς φίλος φίλῳ, τῷ καινῷ Δεσπότῃ θαῤῥῶν πεποιθότως προσεύχῃ, καὶ τῆς σωτηρίας τὰς ἐλπίδας ἔχων ταύτην αὐτοῦ φιλίως ἐξαιτῇς. Ἀψευδὴς γάρ ἐστιν ὁ εἰπών· Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς.

39. Principio igitur ante omnia, o imperator, tibi hanc cohortationem et præceptum trado, ut pietatem et justitiam colas, et assidue ante oculos Deum habeas, illum reverearis, omnique corde et mente tua illum diligas, et secundum illum nos, et illius imperata facias, et illius benevolentiam inde acquiras, ut (audacter sane videbor loqui) ingravescentibus temporibus, quasi amico Deo omnium dominatore fretus, cum fiducia illum deprecaris, et spem salutis in illo ponens amice ab illo quidvis contendas. Fidelissimus est enim qui dixit : Voluntatem timentium eum faciet, preces eorum audiet, et servabit eos.

μ'. Ἴσθι γάρ σι θείας εὐμενείας ἐκτὸς οὐκ ἔστι καλῶς κατορθωθῆναι βουλὴν, κἂν φρόνιμος εἶναι δόξῃς, οὔτε ἔστι πολεμίων περιγίνεσθαι, κἂν ἀσθενεῖς ἐκείνοι νομίζωνται, διὰ τὸ πάντα ἐν τῇ προνοίᾳ τοῦ Θεοῦ κεῖσθαι, καὶ αὐτὰ τὰ ἐλάχιστα δοκοῦντα τὴν αὐτοῦ πρόνοιαν διοικεῖν.

40. Certo enim scias, absque divina benevolentia, quanquam magna prudentia esse videaris, te quod cupis minime præstiturum, neque hostes quamvis imbelles superaturum : quia omnia divina providentia continentur, et quæ minutissima sunt, illius tamen providentia administrantur.

μα'. Ὥσπερ γὰρ κυβερνήτης πλοίου, κἂν πάνυ ἄριστός ἐστι, τῶν ἀνέμων καλῶς μὴ πνεόντων ἄπρα-

41. Quemadmodum enim gubernator navis, quanquam valde peritus sit, si venti minus secundi

NOTÆ.

(16) *Παρὰ τῆς βασιλείας ἡμῶν.* Vertendum erat: *A majestate nostra.* Ut etiam paulo post : Ὥσπερ πρὸ τῶν ὀφθαλμῶν τῆς ἡμετέρας παραστησάμενοι βασιλείας. Videndum Glossarium nostrum in βασιλεία.

Digitized by Google

fuerint, artem habet pene inanem, sin ventum nactus fuerit et artem suam quoque adjunxerit, celeritate cursum feliciter duplicat : sic imperator bonus, si benevolentiam Dei collegerit, copias suas munusque imperatorium cum vigilantia industriaque bene administrabit, et commendatum sibi exercitum sine offensione reget, et magnitudine sapientiæ suæ hostes oppugnabit. Dei enim providentia omnia partim ad utilitatem docebit, partim ad bonum exitum traducet. Hic igitur fide religiosus, in rebus agendis justus, quasi fundamento bono et stabili jacto, reliqua bona exstruet.

42. Mitis ac sedatus fias adversus eos qui te conveniunt : efferati enim mores odiosi atque intolerabiles fiunt.

43. In vitæ vestitusque cultu simplex fias et frugalis : luxus enim necessarios sumptus ad nihilum exhaurit.

44. Vigilanter et industrie, non negligenter aut solute negotia suscipe : diligentia enim et assiduitas res asperas et molestas facile conficit : qui autem in re agenda negligens est, ab ipsa re neglectus erit.

45. In rebus magnis et necessariis nihil facias sine consilio : sin serius consilium ceperis, quod consultum est sine ulla dilatione aut hæsitatione perficias, quemadmodum in ægritudinibus medici faciunt

46. Subjectis tuis te in omnibus æquum exhibeas : nihil ulla cum iniquitate aut studio partium, quam personarum acceptionem vocant, sed secundum justitiæ naturam ex æquo et bono omnia pertractes.

47. Nec dissolutus aut negligens sis in vindicandis flagitiis a negligentia aut improbitate ortis, ut modestus videaris esse : neque enim modestiæ est, in rebus potissimum necessariis, improbitati aut nequitiæ aliquid concedere, neque contra ad severitatis ostentationem temerarie et indicta causa supplicium de aliquo sumere : illud enim contemptum atque contumaciam parit, hoc autem justum odium et fructus eo dignos. Perbona autem res est timor cum justitia : et post crimen propositum justa animadversio, quæ non supplicium, sed castigatio quædam a sapientibus nominatur.

48. In primis ad bellum armatus, hoc cogita, bellum esse justum quod susceperis, nec violentas aut injustas manus hostibus afferas, nisi priores illi propter consuetam illorum impietatem expeditionem facientes, nostram ditionem invadant.

49. Nam cum nos semper pacem, tum erga subjectos, tum erga externos, propter Christum universitatis Regem et Deum complectamur, si gentes suis inclusæ finibus contentæ sint, nullamque injuriam inferre studeant, tum tu manus ab illis abstineas, neque sanguine intestino aut externo terram polluas : quæ enim tu illis exprobraveris, quod ho-

κτον ἔχει τὴν τέχνην· ἐὰν δὲ τούτους προσλάβηται, ἔχῃ δὲ καὶ τὴν τέχνην συμπράττουσαν, διπλοῦν τὸν δρόμον τοῦ πλοίου σὺν ἀσφαλείᾳ ποιεῖται· οὕτω καὶ ἄριστος στρατηγὸς, ἐὰν τὴν εὐμένειαν τοῦ Θεοῦ ἐνδύσηται, καὶ τῇ τάξει, τῇ στρατηγίᾳ, συναγρυπνίᾳ, καὶ ἐπιμελείᾳ χρήσηται καλῶς, καὶ τὸν πιστευόμενον αὐτῷ στρατὸν ἀσφαλῶς διοικήσῃ, καὶ τῇ ποικίλῃ γνώμῃ τῶν ἐχθρῶν ἀντιστρατεύσασθαι δύναται. Ἡ γὰρ τοῦ Θεοῦ πρόνοια τὰ μὲν διδάξει πρὸς συμφέρον, τὰ δὲ πρὸς ἀγαθὸν τέλος ἀποτελειώσει. Τοιοῦτος τοίνυν, εὐσεβὴς μὲν περὶ τὴν πίστιν, δίκαιος δὲ περὶ τὰς πράξεις ὑπάρχων, ὥσπερ θεμελίῳ ἀγαθῷ καὶ ἀσαλεύτῳ καὶ τὰ ἄλλα ἀγαθὰ ἐποικοδομεῖ.

μϐ'. Πρᾶος γενοῦ, καὶ ἀτάραχος τοῖς ἐντυγχάνουσι. Τὸ γὰρ ἄγριον τοῦ ἤθους μισητὸν καὶ φευκτόν.

μγ'. Λιτός τε καὶ ἁπλοῦς περὶ τὴν δίαιταν καὶ τὸ ἔνδυμα, τὰς ἀναγκαίας δαπάνας εἰς μάταιον ἐξαντλᾷ.

μδ'. Ἀγρύπνως δὲ καὶ ἐπιμελῶς τοῖς ἀναγκαίοις πράγμασιν ἐγχειρῶν, καὶ μὴ ῥᾳθύμως καὶ ἀμελῶς. Ἡ γὰρ ἐπιμέλεια καὶ ἐπιμονὴ καὶ τὰ πάνυ δυσχερῆ τῶν πραγμάτων εὐκόλως κατορθοῖ, καὶ ὁ καταφρονῶν πράγματος καταφρονηθήσεται ὑπ' αὐτοῦ.

με'. Ἐπὶ δὲ τοῖς μεγάλοις καὶ ἀναγκαίοις τῶν πραγμάτων μηδὲν χωρὶς βουλῆς διαπράττου· εἰ τάχα δὲ καὶ βραδυτέρως βουλεύσῃ, ἀλλὰ τὸ βουλευθὲν συντόμως καὶ ἀσφαλῶς, ὡς δυνατὸν ἐπιτέλει, ὥσπερ ἐπὶ τῶν νοσημάτων οἱ ἰατροί.

μς'. Ἀλλὰ καὶ τοῖς ἀρχομένοις ἴσως προσφέρου, μηδὲν κατὰ προσωποληψίαν ἐργαζόμενος, ἀλλὰ πᾶσιν ἴσως κατὰ τὴν τοῦ δικαίου φύσιν ὑπεξερχόμενος.

μζ'. Μηδὲ χαύνως καὶ ῥᾳθύμως διοίκησον ἐπὶ τοῖς ἀπὸ κακίας ἢ ἀμελείας ἁμαρτανομένοις, διὰ τὸ δοκεῖν εἶναι καλόν· οὐδὲ γὰρ καλὸν ἐπὶ τῷ συνεργεῖν κακίᾳ, καὶ ῥᾳθυμίᾳ, μάλιστα ἐπὶ τῶν καιρῶν, καὶ ἀναγκαίων πραγμάτων· μηδὲ πάλιν δι' ἔνδειξιν αὐστηρίας προπετῶς καὶ ἀδιακρίτως τὰς ἐπεξελεύσεις ποιοῦ· ἐκεῖνο μὲν γὰρ περιφρόνησιν καὶ ἀπείθειαν φέρει, τοῦτο δὲ μῖσος εὔλογον, καὶ τοὺς ἐξ αὐτοῦ καρπούς. Κρεῖττον γὰρ ὁ μετὰ δικαιοσύνης φόβος, καὶ ἡ μετὰ φανέρωσιν τῆς αἰτίας εὔλογος ἐπεξέλευσις, ἤ τις οὐ κόλασις, ἀλλὰ σωφρονισμὸς εὐφρονοῦσι λογίζεται.

μη'. Πρὸ πάντων δὲ ἐπὶ πολέμους ὁπλιζόμενος, ἀποσκόπου δικαίαν εἶναι τὴν ἀρχὴν τοῦ τοιούτου πολέμου, καὶ μὴ χεῖρας ἀδίκους ἐπίβαλλέ ποτε κατὰ πολεμίων, εἰ μὴ πρότερον ἐκεῖνοι διὰ τῆς συνήθους αὐτῶν ἀσεβείας ἐκστρατεύειν ἀπαρξάμενοι τὴν ἡμετέραν χώραν καταδράμωσιν.

μθ'. Ἡμῶν γὰρ ἀεὶ τὴν εἰρήνην καὶ πρὸς τοὺς ὑπηκόους καὶ πρὸς τοὺς βαρβάρους διὰ Χριστὸν τὸν καθ' ὅλου Βασιλέα καὶ Θεὸν ἀσπαζομένων, ἐὰν καὶ τὰ ἔθνη τοῦτο φιλοῦσι τοῖς ἰδίοις ἐγκλειόμενα ὅροις, καὶ μηδὲν ἀδικεῖν ἐπαγγελλόμενα, καὶ αὐτὸς σὺ κατὰ αὐτῶν τὰς χεῖρας σύστειλον, καὶ αἵμασι τὴν γῆν μήτε ἐμφυλίοις μήτε βαρβαρικοῖς καταχραίνῃ. Ἃ

Digitized by Google

γὰρ ἐγκαλέσεις τοῖς ἐχθροῖς ἦγουν ἀπάρχεσθαι χειρῶν ἀδίκων οὐδὲν ὑπὸ σοῦ ἀδικουμένους, ταῦτα ἄρα καὶ αὐτοὶ μηδὲν ἐναντίον δρῶντες κατὰ τῶν ὑπηκόων τῆς ἡμῶν βασιλείας εἰρηνεύοντας ἐγκαλέσουσι. Δεῖ γὰρ ἡμᾶς ἀεὶ τοὺς εἰ δυνατὸν τὸ ἐξ ἡμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντας, τοῖς εἰρηνεύειν βουλομένοις ἔθνεσι, καὶ μηδὲν ἀδικεῖν τοὺς ὑποχειρίους ἡμῶν, ὡς τὴν εἰρήνην τῶν ἄλλων προτιμῶντας ἁπάντων, συνειρηνεύειν ἐκείνοις, καὶ πολέμων ἀπέχεσθαι.

ν'. Εἰ δέ γε μὴ σωφρονεῖ τὸ ἀντίπαλον, ἀλλ' αὐτοὶ τῆς ἀδικίας ἀπάρξονται, τὴν ἡμετέραν κατατρέχοντες γῆν, τότε ἄρα δικαίως αἰτίας προκειμένης, ὡς καὶ ἀδίκου πολέμου παρὰ τῶν ἐναντίων, ἀπαρχομένου θαρσαλέως καὶ σὺν προθυμίᾳ τοῦ κατὰ αὐτῶν ἐγχείρει πολέμου, ὡς ἐκείνων τὰς αἰτίας παρασχομένων, καὶ ἀδίκου χεῖρας κατὰ τῶν ὑποχειρίων ἡμῶν ἀραμένων, καὶ θάρρει τότε ὡς καὶ τὸν τῆς δικαιοσύνης Θεὸν ἕξεις βοηθὸν, καὶ τοὺς ὑπὲρ ἀδελφῶν ἀναδεχόμενος ἀγῶνας πανστρατιᾷ τὴν νίκην ἕξεις. Διὰ τοῦτο οὖν προτρεπόμεθα τὴν σὴν ἐνδοξότητα διὰ πάντων ἀποσκοπεῖν δικαίας ποιεῖσθαι τὰς ἀρχὰς τοῦ πολέμου, καὶ τότε τὰς χεῖρας ὁπλίζειν κατὰ τῶν ἀδικούντων.

να'. Διὰ πάντων δὲ καὶ ἐν ἅπασι κρείττονα σεαυτὸν τῶν ὑποχειρίων ἀναδεῖξαι διαγωνίζου, καὶ κατὰ ἐξαίρετον, εἴς τε τὴν εἰς Θεὸν πίστιν, καὶ τὴν εὐσέβειαν, καὶ τὰς λοιπὰς ἀρετάς. Τοῖς γὰρ τῶν ἀρχόντων φρονήμασι φιλεῖ πως συνδιατίθεσθαι τὸ ἀρχόμενον, ὡς ἂν κατὰ τὴν παροιμίαν μὴ ἔλαφοι λεόντων ἄρχωσιν, ἀλλὰ λέοντες ἐλάφων.

νβ'. Καὶ ταῦτα μέν τοι, ὦ στρατηγὲ, ὡς ἐν συνόψει τῆς βασιλικῆς ἡμῶν διατάξεως παραγγέλματα, ἅπερ τὸ τῆς συντομίας χρειῶδες ἐπὶ πλείονος οὐκ ἐᾷ παρεκτείνασθαι. Ἔξεστι δέ σοι ταῖς τε παρ' ἡμῶν ἰδίᾳ ἐκτεθείσαις γνώμαις ἐν τούτῳ τῷ συντάγματι, καὶ προσέτι ταῖς κατὰ πλάτος συνηθροισμέναις ἡμῖν ἐν τῇ παραλλήλῳ τῶν τακτικῶν μονοβίβλῳ (17) τὴν ἐκεῖθεν τῶν ζητουμένων πλείονα καὶ ἀρκοῦσαν πορίσασθαι ὠφέλειαν.

νγ'. Τούτων οὖν ἐχόμενος αὔξειν, καὶ προστιθέναι τοῖς ἀγαθοῖς ἔργοις προθυμήθητι, ὡς ἂν πολλαπλασιάζων τῇ σπουδαίᾳ σου γνώμῃ τὰ κελευόμενα, πρῶτα μὲν Θεὸν ἕξῃς ἐπαινέτην τῶν πράξεων, ἔπειτα δὲ καὶ τὸ ἡμέτερον κράτος, γέρα τῶν πόνων ἐπάξια δ' ἀμφοῖν κομιζόμενος.

A minibus innocentibus et nullam injuriam inferentibus manus attulerint, eadem illa ipsi, si nihil adversum regni nostri subjectos patrarint, sed pacati fuerint, tibi inferenti bellum exprobrabunt. Par est enim nos, qui cum omnibus hominibus, quantum in nobis est, pacem facimus, cum iis qui tranquilli esse volunt, et nullam injuriam nobis nec subjectis nostris inferre conantur (quia pacem cæteris rebus omnibus anteponimus), pacem constituere, et a bello abstinere.

50. Sin immodesti hostes et injuriarum auctores fuerint, nostram populantes terram, tum cum justa defendendi causa nobis proponitur, et injustum bellum ab adversariis infertur, confidenter et animose suscipe bellum contra eos hujus injustitiæ B auctores, et violentas manus subjectis nostris afferentes : bonum tum habe animum, et adjutorem justum habebis Deum, et pro fratribus tuis pericula subiens omnino splendidam victoriam habebis. Itaque hoc dignitatem tuam imperatoriam precamur, ut diligenter consideres causam belli, et ex justis initiis bellum moveto, et contra nefarios homines aciem tuam teque armato.

51. Omnino igitur in omnibus teipsum subjectis tuis meliorem demonstrare contendas, et fide in Deum, pietate ac reliquis virtutibus eximium. Nam ad principum virorum cogitationes solet se subjectorum multitudo accommodare, ut, juxta vetus proverbium, non cervi leonibus imperent, sed leoC nes cervis.

52. Hæc tibi, imperator, paucis uno sub aspectu regii nostri instituti præcepta conclusimus, quæ hæc nostra brevitatis institutio fusius dilatari non patitur. Licebit autem inquirenti tibi ex iis quæ hoc nostro libro clausulis tractantur, et præterea ex iis quæ diffuse a nobis in libro qui de comparatione factorum militarium inter se conscriptus est, majorem et uberiorem utilitatem percipere.

53. In eas res diligenter incumbe, et conare ista amplificare, et ad res gestas tuas adjungere, ut cum animi promptitudine præceptorum magnitudinem superaveris, primum Deum optimum maximum, deinde meipsum quoque laudatorem rerum gestaD rum habeas, et mercedem laboribus tuis dignam ab utroque reportes.

ΔΙΑΤΑΞΙΣ Γ' (18).

Περὶ τοῦ πῶς χρὴ βουλεύεσθαι (19).

Ἐπειδὴ δὲ πρὸ πάσης πράξεως βουλὴν ἡγεῖσθαι χρεών· διοίκησις γὰρ ἀπροβούλευτος οὐκ ἀσφαλὴς, κἂν ἐκ τοῦ παραχρῆμά τις αὐχῇ πολλάκις κατορ-

CONSTITUTIO III.

Quomodo consilium capiendum sit.

1. Omnem actionem consilium anteeat : inconsulta enim rerum tractatio haud satis tuta est. Nam quanquam interdum quis glorietur se, quasi simul

NOTÆ

(17) *Ἐν τῇ παραλλήλῳ τῶν τακτικῶν μονοβίβλῳ.* Ergo alium adhuc singularem Tacticorum librum Leo hic conscripsit, qui nondum inventus.

(18) Hoc caput quartum est in codice Laurentiano ; sed hoc ordine esse sivimus, ob rationes, quas *Meursius* affert, licet non plurimi faciendas.

(19) *Περὶ τοῦ πῶς χρὴ βουλεύεσθαι.* Hic titulus hactenus quartus fuit, et quartus item tertius. Manifesta confusio. Nos in ordinem restituimus utrumque, præeunte ipso Leone in proœmio, ubi titulorum hujus sui operis catalogum ponit. Et facile nos recte atque ordine fecisse judicabit lector, cui aliquid cerebri.

Digitized by Google

et deliberaverit et res suas gesserit, res multas prospere atque ex tempore gessisse, tamen perraro aliquid tale usu venire fortunate solet.

2. Propterea in primis præcipimus tibi, ut ante omnes res suscipiendas, maxime autem bellicas, consilium cum iis præfectis capias, qui tibi ad hoc idonei videbuntur : cujus generis turmarchæ reliquique sunt. Ubi vero firmitatem aliquam habere consilium videbitur, rem ipsam de qua deliberasti omni studio ac diligentia contendas ad exitum perducere, nisi si (quod persæpe solet accidere) aliquid interim adversum et contrarium consilio contingat. Consilium autem quidnam tandem sit, et quemadmodum consilium tuto expedire possis, explanabo.

3. Consilium est deliberatio quædam de re agenda vel non agenda. Si res agenda non sit, statim sistendum tibi est : sin agenda sit, modum agendi vel quomodo, tempus, vel quando, ubi, vel locum, quid, vel rem agendam, virum deinde qui hoc susceperus et ad exitum perducturus est, propter quid vel causam cujus gratia res suscipitur, considerare oportet.

4. Qui deliberaturus secum est, ante omnia suam ipsius mentem ab omnibus perturbationibus liberam habeat, maxime autem ab amore vel odio atque omni alia perturbatione, quæ rei, de qua liberatur, damnosa esse potest.

5. Deinde non solum quid facile sit eligito, et in hoc incumbito, sed etiam omnia, quæ usu venire possunt, animo prospice : fortassis enim post rem inceptam aliquid se tibi, quod in primis conducibile est, obferet, quod antea prætermisisti.

6. Quod si tecum ipse non solum capere consilium, verum etiam alios assumere volueris, teipsum tamen perinde ab omni perturbatione vacuum præbe, ac si solus deliberares. Consultores autem adhibe experientes rerum, providos, perspicaces, ærumnarum ac prosperitatis tuæ socios, ad excogitandum solertes, fideles, qui neque tibi ad gratiam obtemperabunt, neque illi, qui rei susceptor exsistit, neque sibi mutuo, sed qui quod cogitant dicunt, qui simplici animo et incorrupto sunt, nullumque ex iis rebus lucrum quærunt, sed eo ipso tempore quid maxime utile sit explorant.

7. Sunt enim, qui cum lucrum aliquod, aut eos, quos charos habent atque diligunt, pertinere posse vident, totam judicationem rei eo transferunt; et quia pertinaces sunt, universum consilium ab utilitate communi ad id, quod ipsi volunt, deducunt.

8. In rebus occultis et abditis fideles adhibe tibi et temperantes viros, et taciturnos, et qui in sua, et non aliorum potestate sunt, cum secretæ res istæ, ut secretiores fiant, minime ad cognoscendum multitudine indigent.

9. Delibera tarde, nisi aliqua necessitas celeritatem requirit; ubi consulueris, si nullum impedimentum sit, mature facito.

10. Tempus et locum, quemadmodum prædictum

A θῶσαί τι ὡς ἅμα καὶ βουλευσάμενος καὶ πράξας, ἀλλ' οὐ νόμος τὸ σπάνιον.

β'. Διὰ τοῦτο καὶ πρὸ τῶν ἄλλων παρακελευόμεθά σοι πάσης πράξεως ἀναγκαίας καὶ μάλιστα πολεμικῆς βουλεύεσθαί σε πρότερον μετὰ τῶν δοκούντων σοι ἱκανῶν περὶ ταύτην ἀρχόντων, οἷον τουρμάρχων, καὶ τῶν ἐφεξῆς. Ἐπὰν δὲ δοκοῦν ἐπιβεβαιωθῇ λόγῳ, τῇ τότε τὸ ἔργον δι' ὅπερ ἐβουλεύσω σπουδῇ καὶ ἐπιμελείᾳ μεταχειρισάμενος εἰς πέρας ἀγαγεῖν, εἴγε μηδὲν ἀπαντῇ σοι ἐναντίον, ὡς τὰ πολλὰ εἰώθε, προθυμηθέντι. Τῆς δὲ βουλῆς τὸ εἶδος τί τέ ἐστιν, καὶ ὡς κατορθώσεις ταύτην ἀσφαλῶς, ἤδη σοι διατάξομαι.

γ'. Βουλή ἐστι διάσκεψις περὶ τοῦ πρᾶξαί τι B ἢ μὴ πρᾶξαι· καὶ εἰ μὲν μὴ πρᾶξαι, σιγὴ τὸ ἐντεῦθεν· εἰ δὲ πρᾶξαι, πῶς πράξαι, ἤγουν τὸν τρόπον τῆς πράξεως, ποῦ πρᾶξαι, ἤγουν τὸν τόπον τῆς πράξεως, πότε πρᾶξαι, ἤγουν τὸν καιρὸν τῆς πράξεως, τί πρᾶξαι, ἤγουν τὸ πρᾶγμα τὸ πραττόμενον, τί πρᾶξαι, ἤγουν τὸ πρόσωπον τὸ μέλλον τὴν βουλὴν εἰς πέρας πράξεως ἀγαγεῖν, διὰ τί πρᾶξαι, ἤγουν τὴν αἰτίαν δι' ἣν ἡ πρᾶξις ὀφείλει γενέσθαι.

δ'. Ὁ δὲ βουλευόμενος καθ' ἑαυτὸν, ἐξ ἀνάγκης πρῶτον τὴν διάνοιαν ἐλευθέραν ἐχέτω τῶν ἄλλων ἁπάντων, μάλιστα δὲ τῶν ἀνηκόντων εἰς τὸ πρᾶγμα περὶ οὗ βουλεύεται, εἴτε ἔχθρας, ἢ φιλίας, ἤ τινος ἄλλου πάθους.

ε'. Εἶτα μηδὲ μόνον τὸ εὔκολον δοκοῦν ἐκλέγου, καὶ τούτῳ πρόσεχε, ἀλλὰ πάντα τὰ δυνατὰ γενέσθαι C πρόβλεπε, ἴσως τῶν πραγμάτων αὐτῶν μετὰ τὴν ἔναρξιν ὑποβαλλόντων καὶ ἄλλο τι συμφορώτερον ὅπερ παρέλιπες.

ς'. Εἰ δὲ μὴ ἰδίως βουλεύσασθαι, ἀλλὰ καὶ ἑτέρους παραλαβεῖν πρὸς τὴν διάσκεψιν βουληθείης, σεαυτὸν ὁμοίως ἑτοίμασον ἀπαθῆ, ὥσπερ εἴρηται, ὡς εἰ καθ' ἑαυτὸν ἐβουλεύσω. Τοὺς δὲ συμβούλους περιλάμβανε ἐμπείρους τοῦ πράγματος, προορατικοὺς καὶ στοχαστικοὺς, συμπαθεῖς καὶ ὀξεῖς εἰς τὸ νοῆσαι καὶ ἀσφαλεῖς, οὔτε σοὶ τῷ βουλευομένῳ ὑπήκοντας κατὰ χάριν, οὔτε τῷ κυρίῳ τοῦ πράγματος, οὔτε ἀλλήλοις, λέγοντας δὲ τὸ φαινόμενον, ἀκεραίους τε τὰς γνώμας, καὶ ἀπροσκλινεῖς, καὶ μηδεμίαν ἐξ ἑαυτῶν παρέχοντας ἐπιβολὴν, ἀλλὰ τῇ αὐτῇ ὥρᾳ τὸ συμφορώτερον δοκιμάσαντας. D

ζ'. Εἰσὶ γάρ τινές τι ἐν ἑαυτοῖς ὁρῶντες ἴδιον συμφέρον ἑτέροις οὓς ἀγαπῶσιν, ἢ κήδονται καὶ ἐπισκέπτονται τὴν κρίσιν ταῦ πράγματος, καὶ πολλάκις οὐκ ἐνδιδόντες παρατρέπουσι τὴν γνώμην ὃ βούλονται.

η'. Ἐπὶ δὲ τῶν ἀποῤῥήτων καὶ κρυπτῶν πραγμάτων καὶ πιστοὺς παραλάμβανε, καὶ ἐγκρατεῖς, καὶ μυστηρίων φύλακας, καὶ μὴ ὑπὸ τὴν ἑτέρων ἐξουσίαν ὄντας, ἄλλοτε μηδὲ τῆς χρείας ταύτης πλείστους δεομένης διὰ τὸ μυστικώτερον.

θ'. Καὶ βουλεύου μὲν βραδέως, εἰ μή τις χρεία τὸ τάχος ἀπαιτεῖ· τὰ δὲ βουλευθέντα σοι, εἰ μηδὲν ἐμποδίζῃ, ταχέως ἐπιτέλει.

ι'. Καιρὸν δὲ, ὡς εἴρηται, καὶ τόπον ὁμοίως ἐκλέ-

Digitized by Google

γου καὶ κατασκεύαζε τῷ πράγματι οἰκεῖον, πλὴν μὴ ἐπὶ σοὶ μόνῳ ἀνάφερε τὴν περὶ τούτων κρίσιν, ἀλλ' ἐπὶ πάντας τοὺς κοινωνοῦντας τῷ πράγματι ἅμα σοι. Καὶ τί μὲν δέον σε πρᾶξαι σκέπτου, καὶ μετὰ πλειόνων βουλεύου, ἃ δὲ πρᾶξαι βουλεύσῃ, σὺν ὀλίγοις. Τὴν δὲ καλλίονα γνώμην ἐπιλεξάμενος κάτεχε παρὰ σεαυτῷ, ἵνα μὴ τοῖς ἐναντίοις καταφανὴς καὶ εὖ ἐπιβούλευτος γενέσθαι.

ια'. Τὰ δὲ πράγματα πλείονας χορηγοῦσι τοὺς σκοπούς ἴσως. Τίς περίστασις ἐκ πάντων τῶν μερῶν φανερὰ γέγηται τοῖς συνκεκλημένοις ἐν τῇ βουλῇ συμβαλλομένη τῇ γνώμῃ τῆς συμβουλῆς.

ιβ'. Πάντας δὲ χρὴ ῥέπειν καὶ συντρέχειν εἰς φιλαλήθη καὶ ἀπαθῆ συζήτησιν, καὶ κηδεμονίαν, καὶ πρόνοιαν τοῦ συγκαλέσαντος.

ιγ'. Τέλος δὲ τῆς βουλῆς ἔστω σοι τὸ εὑρεθῆναι εἰς πράξεις καὶ πῶς πράξεις, καὶ ποῦ, καὶ πότε, εἰ μὴ πράξῃς, καὶ διὰ τί ἄρα οὐ πράξεις.

ιδ'. Ἐν οἷς δὲ βουλεύῃ καὶ ἐν τοῖς ἐμπίπτουσι τῇ βουλῇ σκοποῖς συντρέχειν δεῖ ἅμα καὶ τὸ δυνατὸν καὶ τὸ συμφέρον· τούτων γὰρ εἶναι μὴ δυναμένων ἀσθενὴς ἡ βουλὴ καὶ ματαία αὐτόθεν οὖσα κατανοεῖται, καὶ ὥσπερ ἐν ὄψει ἡ αὐτῆς ἀλογία βλέπεται.

ιε'. Εἰ γὰρ μὴ συμφέρει σοι ὅπερ ἂν βουλεύσῃ, οὐ μόνον οὐκ ὠφελήσεις, ἀλλὰ μᾶλλον καὶ βλάψεις. Εἰ δ' αὖ πάλιν οὐ δύνασαι τὰ βουλευθέντα πρᾶξαι, ματαία ἡ διάσκεψις εἰς ἀνόητον τέλος διὰ τὴν ἀδυναμίαν καταντῶσα. Μάλιστα δὲ χρὴ φυλάττεσθαι τὰς προχείρως ἐμφερομένας ἐν τοῖς πράγμασι βλάβας, καὶ γὰρ οἱ πολλοὶ ἕτοιμοί εἰσι ταῖς μὲν φροντίσιν εὐφραίνειν ἑαυτούς, τὸ δὲ ἐμπίπτον τῆς βλάβης μὴ προβλέπειν.

ις'. Χρησιμωτάτη οὖν ἐστιν ἐνταῦθα ἡ πανταχόθεν περίσκεψις, καὶ πάντων τῶν δυνατῶν γενέσθαι ὁ περὶ τὴν σκέψιν ἀναλογισμός· οὐ γὰρ προδώσεις ἑαυτὸν προπετείᾳ τυφλῇ, οὐδὲ ταῖς ἐπιθυμίαις τῶν πράξεων γλυκόμενος εἰς προδήλους κινδύνους ἐμπέσῃς.

ιζ'. Πάλιν δὲ τὸ δειλὸν καὶ θάρσους χωρὶς οὐκ ἔστιν ἀβλαβές· φοβούμενος γὰρ τὰ ἄλογα παραπτώματα, καὶ τὰ ἐναντία σοι δοκοῦντα παραλόγως πραγματευόμενος, πολλάκις τῶν συμφερόντων σοι πραγμάτων κατημέλησας, καὶ τῆς αὐτῶν ἀπίστης πράξεως.

3. Arcus cum corytis suis, sagittas cum cucuris, spathas acutas, et samiatas. Scuta, nempe scuta majora, quæ thurei appellantur, et scuta minora peditum, quæ peltæ, id est, cetræ nominantur; et scuta quædam ferro rotundo signata; hastas parvas præterea octo cubitorum. Erant autem Romanis et Macedonibus hastæ sedecim cubitorum longitudine, quas nunc usus noster non requirit, sed singula jam pro utentis virjbus ac robore arma apta atque idonea fiunt, rhictaria, tzicuria bidentia, altera ex parte habentia aciem quasi spathæ, altera ex parte quasi hastæ cuspidem, cum thecis ex pellibus, et bastagia, femoralia, id est, gladios magnos unam solum aciem habentes.

δ'. Λωρίκια μέχρι[ς ἀ]στραγάλων, ἀνασυρόμενα διὰ λωρίων καὶ κρικελλίων, μετὰ τῶν θηκαρίων αὐτῶν δερματίνων, καὶ εἰ δυνατὸν πάντα ἁλυσίδετα. Εἰ δὲ μή γε, τινὰ αὐτῶν καὶ διὰ κερατίνης ὕλης ἢ βουβαλικῶν δερμάτων καταξήρων, ἐπιλωρικὰ ἱμάτια, κλιβάνια σιδηρᾶ, ἢ καὶ ἐξ ἑτέρας ὕλης, ὡς εἴρηται, κασσίδας τελείας· ποδόψελλα, χειρόψελλα σιδηρᾶ, ἢ καὶ ἐξ ἑτέρας ὕλης, διὰ τοὺς μὴ ἔχοντας περιτραχήλια ἁλυσίδετα, σιδηρᾶ, ἐνδεδυμένα, ἔσωθεν ἀπὸ ἐρίου καὶ ἔξωθεν λίνου. Νευρικὰ τὰ ἀπὸ κενδούκλων γινόμενα, καὶ αὐτὰ ἀντὶ λωρικίων τοῖς μὴ ἔχουσι σιδηρᾶ. Κένδουκλα φαρδέα ἐνδύοντα τὸν στρατιώτην μετὰ τῶν ὅπλων. Σωληνάρια μετὰ μικρῶν σαγιττῶν καὶ κουκούρων αὐτῶν σφενδοβόλα· σελλοπούγγια μεγάλα· πυρέκβολα καὶ ὕσκας (51)· λωρόσκα· πέδιλα σεληναῖα σιδηρᾶ μετὰ καρφίων αὐτῶν· ῥινία, σουβλία (52)· προμετώπια ἵππων, στηθάρια ἵππων ἢ σιδηρᾶ, ἀπὸ κενδούκων· περιτραχήλια ἵππων ὁμοίως. D

4. Lorica, id est, galeæ usque ad jugulum demissæ loris et annulis cum thecis coriaceis; et si fieri potest, omnia sint catenata; sin minus, quædam ex illis cornea aliqua materia, vel siccatis bubalorum pellibus junctis; superloricas vestes, clibania ferrea, vel ex alia quapiam, ut dictum est, materia. Cassides integras, manicas, ocreas ferreas, vel ex alia quapiam, ut dictum est, materia, propter eos, qui non habent collaria catenata ferrea, tecta intus lana, foris lino; nervos et lora a cenduclis, quæ et ipsa sint galearum vice, iis qui ferrea cenducla non habent. Fardea induat miles cum armis, solenaria cum parvis sagittis, et cucuris ipsis; fundas, sellopungia magna, pyrecbola, id est, ignem jacentia, iscas, lorosacca, pedila, id est, calceos lunatos ferreos cum ipsis carphiis; rhinia, suglia, frontalia, equorum pectoralia ferrea, vel a cenduclis facta, et equorum collaria similiter.

NOTÆ.

(50) *Ῥιπτάρια.* In codice Checi videtur fuisse ῥικτάρια. Sed ῥιπτάρια melius est. Vide *Glossarium* Rigaltii, et nostrum.

(51) *Πυρέκβολα, καὶ ὕσκας.* Scribebatur, παρέκβολα, καὶ ἴσακας. Constantinus in *Tacticis*: Σφενδοβόλα μεγάλα, πυρέκβολα, καὶ ὕσκαι. Jam ὕσκα, est *fomes, ignitabulum.* Suidas: ὕσκα, ὀφάριον, καὶ ξύλον ἐν ᾧ ἅπτεται πῦρ.

(52) *Σουβλία.* In codice Checi videtur fuisse σουγλία, et sic semper scribitur in Glossis Græcobarbaris.

Digitized by Google

5. Flamula magna, et flamula parva bastarum, banda varie tincta, cucina parva, falces magnas, secures, phalcia, bipennes, ascias, tribulas fascils quibusdam astrictas, quæ clavis quibusdam appendantur.

6. Carros leves, atque ad omnem necessarium usum et commeatum expeditos, ad omnia nempe opera, ad molas manuarias, prionia orygas, malleos, ptyaria, cophinos, cilicia, et si quid aliud ad fossati seu castrorum externam custodiam, et ad ambitum conservandum leviori alique materia confectum a duce excogitari potest.

7. Alios currus habentes sagittarios, manganica alacatia utrinque conversa, balistarios peritos quos maganarios appellant, cælatores, fabros ærarios cum officinis suis ; alios currus armamenti plenos, alios currus commeatum ferentes, et alios præterea superfluos currus quot opus est ; jumenta præterea sagmaria, id est, sarcinaria, et equos sagmarios, et alia instrumenta iis similia, quæ fossatum, id est castra, ad usum suum requirit.

8. Ad obsidiones manganica diversa habere oportet, et scalas ligneas contractas, et alias permultas machinationes quascunque excogitare possis.

9. Ad fluvios et lacus naviculas, id est, navigia parva, vel ex coriis confecta, vel naturæ vi quadam fabricata. Excogitabis etiam ac præparabis tentas et ategias, id est, integumenta cum suo ipsorum apparatu, quibus pluviarum et æstuum vim possis depellere.

10. Rei navalis præfectum oportet naves parare, partim bellatrices, partim equorum vectrices, partim sarcinarias, ad omnia arma bellica et omnem apparatum nauticum vehendum.

11. Cum hic apparatus omnis, qui superius a me memoratus est, partim ab te ipso, partim ab aliis sub tuo dominatu præfectis suppeditatus et suffectus sit, arma partim ad propulsandos hostes, partim ad prœliantium militum defensionem, partim aliarum rerum usum atque occupationem paranda sunt.

12. Maxime autem armorum bellicorum curam geres, ut splendida et acuta ad hostes perterrefaciendos conserventur. Hæc omnia diligenter præparabis, ut, in promptu esse possint ad usum belli iis, qui se pro virtute armant contra hostes ; et nequaquam illud tempus, in quo acies instrui debet, tempus præparandorum armorum facias. Hæc et si qua alia a nobis propter oblivionem prætermissa sunt, necessario debes præparare ; si vero aliquid excogitare possis, Deo gratiæ agendæ et solertiæ tuæ sunt.

13. Ante omnia autem Dei timorem, ingenium

ε'. Φλάμουλα μεγάλα, φλαμουλίσκια τῶν καντηρίων, βάνδα διαφόρως βεβαμμένα, γούνινα (53) μικρὰ καὶ μεγάλα, δρέπανα, ἀξίνας, φαλιδίσια, τριδόλια, σκέπαρνα, τριβόλους ἀναδεδεμένας σφηκώμασι δεδεμένοις εἰς ἥλους τελείους.

ς'. Ἁμάξας εὐσταλεῖς φερούσας ἑτοίμως τὴν ἀναγκαίαν εἰς χρείαν ἀποσκευήν, οἷον τά τε εἰρημένα ἔργα· καὶ χειρόμυλα, καὶ πριόνια, καὶ ὀρύγια, καὶ σφῦρας, πτυάρια, κοφίνους, κιλίκια, καὶ εἴ τι ἄλλο πρὸς φοσσάτου ἔξωθεν φυλακὴν καὶ περιβολὴν ἐπινοηθῇ τῷ στρατηγῷ δι' ἐλαφροτέρας ὕλης μεμηχανημένον.

ζ'. Ἑτέρας ἁμάξας ἐχούσας τοξοβαλλίστρας, μαγγανικὰ ἀλαχάτια ἑκατέρωθεν στρεφόμενα, βαλλισταρίους ἐμπείρους ἤτοι μαγγαναρίους, λεπτουργούς, χαλκεῖς μετὰ τῶν ἐργαλείων αὐτῶν, ἑτέρας ἁμάξας λόγου ἁρμαμέντου, ἑτέρας ἁμάξας τὰς φερούσας διατροφάς (54). Καὶ τὰ ἐκ περισσοῦ ἅρματα ὅσα ἡ χρεία καλεῖ, καὶ ἔστι ὑποζύγια, καὶ ἵππους σαγμάρια, σκευοφόρια, καὶ αὐτὰ δὲ τὰ ἄλλα πάντα ὄργανα, ὅσα ἡ συνήθεια τοῦ φοσσάτου παρακελεύεται.

η'. Πρὸς δὲ πολιορκίας καὶ μαγγανικὰ διάφορα, καὶ σκάλας ξυλίνας συστελλόμενας, καὶ ἕτερα μηχανικὰ ὄργανα ἐπινοήσεις.

θ'. Εἰ δὲ πρὸς ποταμοὺς ἢ λίμνας, καὶ ναυκλία, ἤγουν πλοῖα μικρά, ἢ ἀπὸ βυρσῶν κατασκευασμένα, ἢ κατὰ φύσιν. Φροντίσεις δὲ καὶ ἑτοιμάσεις καὶ τὰς λεγομένας τέντας καὶ ἀτεγείας (55), μετὰ τῆς αὐτῶν ἐξοπλίσεως, ἐν αἷς καὶ ὑετῶν καὶ καυμάτων, ὅτε χρεία, ἔξεις ἐλευθερίαν.

ι'. Τοῖς δὲ ναυμάχοις στρατηγοῖς καὶ ναῦς παρασκευάζειν ἐξωπλισμένας, τὰς μὲν μαχίμους, τὰς δὲ ἱππαγωγούς, τὰς δὲ σκευοφόρους, ἅμα τῇ περὶ αὐτὸς ἁπάσῃ χρεώδει πανοπλίᾳ καὶ ἀποσκευῇ παρακελευόμεθα.

ια'. Τῶν δὲ ἀπαριθμημένων σοι παρασκευῶν ἀνωτέρω τῶν καὶ ὀφειλουσῶν τινῶν μὲν παρὰ σοῦ, τινῶν δὲ παρὰ τῶν ὑπὸ σὲ ἀρχόντων καὶ στρατιωτῶν πορίζεσθαι, τὰ μὲν ὅπλα ἕξεις εἰς ἄμυναν τῶν πολεμίων, τὰ δὲ εἰς φυλακὴν τῶν μαχομένων στρατιωτῶν, τὰ δὲ εἰς τὴν ἄλλην χρείαν αὐτῶν καὶ ὑπηρεσίαν.

ιβ'. Καὶ μάλιστα τῶν πολεμικῶν ὅπλων ἐπιμελήσῃ, ὡς ἂν διαφυλάττωνται πάντοτε λαμπρὰ καὶ τεταγμένα πρὸς κατάπληξιν τῶν πολεμίων. Ταῦτα πάντα προευτρεπίσεις, ἵνα ἐν ἑτοίμῳ ὦσιν τοῖς ὑπὲρ ἀρετῆς χεῖρας ὁπλίζουσι κατὰ τῶν πολεμίων καὶ μὴ τὸν παρατάξεως καιρὸν παρασκευῆς καιρὸν ἀναγκάζῃ ποιεῖσθαι. Ταῦτα δὲ καὶ ἄλλα, ὅσα ἡμῖν παραλέλειπται διὰ λήθην, ἐξ ἀνάγκης ὀφείλεις παρασκευάζειν. Εἰ δέ τι πλέον εἰς ὅπλων παρασκευὴν ἐπινοήσεις, τῷ Θεῷ χάρις καὶ τῇ σῇ ἀγχινοίᾳ.

ιγ'. Πρὸ δὲ πάντων καὶ μετὰ πάντων φόβον Θεοῦ,

NOTÆ.

(53) *Γούνινα*. Male in Checi codice κούνινα, qui etiam non agnoscit ista, καὶ μεγάλα.

(54) *Διατροφάς*. Scribe διατροφάς.

(55) *Καὶ ἀτεγείας*. Perperam erat in codice Palatino, καὶ ἀτελγείας. Vide Glossarium doctissimi Rigaltii.

Digitized by Google

καὶ διάνοιαν ὀξεῖαν, καὶ σπουδαίαν γνώμην ἐν παντὶ ἔχειν καιρῷ, καὶ τόπῳ, καὶ πράγματι, καὶ πρὸς ἅπαντα ἕτοιμον εἶναι παρακελευόμεθα.

ιδ'. Περὶ μὲν οὖν τῆς τῶν ὅπλων παρασκευῆς, ὧν στρατηγὲ, καθόσον ἡμῖν τέως ἐχωρήγησεν ἡ μνήμη ὑπεθέμεθα τῇ σῇ ἐνδοξότητι. Ἑξῆς δὲ περὶ μὲν πεζικῆς καὶ συμμίκτου τάξεως ὕστερον ἐροῦμεν. Νῦν δὲ ὅπως ὁπλίσεις τὸν ἕκαστον ἄνδρα καβαλλάριον (56) στρατιώτην ἔν τε ταῖς γυμνασίαις, καὶ τὸ τέλειον ἐν καιρῷ πολέμου, καὶ ὁποῖα κατὰ τὸ ἀναγκαῖον δεῖ φέρειν παρασκευάσεις, ἤδη ἐροῦμεν.

A celere, mentem honestam in omni tempore, et loco et in omni re habeas, et ad omnia teipsum paratum esse præcipimus.

14. De armorum igitur apparatu, quantum hucusque nostra suppetit memoria, tuæ dignitati explicuimus. De pedestri autem et mista acie postea dicemus. Nunc vero quemadmodum unumquemque separatim virum equestrem in exercitationibus, et omnino in ipso belli tempore, et qualia necessario tecum ad bellum asportare oportet, dicemus.

ΔΙΑΤΑΞΙΣ Ϛ'.

Περὶ ὁπλίσεων καβαλλαρίων καὶ πεζῶν.

α'. Δεῖ τοίνυν ὁπλισθῆναι τοὺς στρατιώτας διὰ τῶν ἰδίων αὐτῶν ἀρχόντων, καὶ τὰ ἐπιτήδεια τῷ καιρῷ εἴτε παρὰ χειμαδίου, εἴτε φοσσάτου, παρασκευάζεσθαι τὰ πρὸς ἀναγκαίας χρείας τῆς ἐκστρατείας, καὶ ἔχειν ἅπαντας ἀναλόγως ἄρχοντάς τε καὶ ἀρχομένους πρὸς τὴν ἑκάστου ποιότητά τε καὶ δύναμιν, καὶ μάλιστα τοὺς ἄρχοντας αὐτῶν ἀπό τε τουρμάρχου, καὶ μέχρι κεντάρχου καὶ τετράρχου, καὶ κατὰ ἐξαίρετον σεαυτὸν, καὶ τὴν ὑπὸ σὲ προέλευσιν.

B 1. Oportet igitur armari milites a suis ipsorum præfectis, et quæ idonea sunt, et ad usum castrensem accommodata, sive hibernis, sive æstivis parari, ut unusquisque tum præfectus tum miles, pro virtute ac dotibus suis æqua proportione habeant, potissimum autem præfecti a turmarcha incipientes usque ad centurionem et quartanum. Tu vero in primis, atque etiam copiæ præterea tuæ, aliquid habeatis præ cæteris eximium.

β'. Ἔχειν δὲ αὐτοὺς δεῖ τὸν ἕκαστον ἄνδρα ὅπλισιν τοιαύτην· Ζάβας (57) τελείας μέχρι τοῦ ἀστραγάλου, ἀνεσυρομένας δὲ διὰ λωρίων καὶ κρικελλίων, μετὰ τῶν θηκαρίων αὐτῶν. Ἔχειν δὲ καὶ κασσίδας ἀσιδηρᾶς στιλπνὰς διὰ παντὸς ἐχούσας ἄνωθεν εἰς τὰς κορυφὰς τουφία μικρά. Τοξάρια δὲ ἕκαστον κατὰ τὴν ἰδίαν ἰσχὺν καὶ οὐχ ὑπὲρ αὐτὴν, μᾶλλον δὲ καὶ ἀπαλώτερα, ἔχοντα θηκάρια πλατέα, ἵνα ἐν καιρῷ τεταγμένα (58) χωρεῖν τὰ τοξάρια εἰ δυνατόν ἐστιν αὐτοῖς, ἔχειν δὲ καὶ χορδὰς ἐκ περισσοῦ ἐν τοῖς τουγγίοις αὐτῶν. Κούκουρα μετὰ σαγιττῶν καὶ σκεπασμάτων αὐτῶν ἐπιτήδεια χωροῦντα ἀπὸ τριάκοντα ἢ τεσσαράκοντα σαγιττῶν. Ἐν δὲ ταῖς τοξοζωνίοις (59) ῥινία καὶ σουβλία. Ἔχειν δὲ καὶ κοντάρια καβαλλαρικὰ, μακρὰ, ἔχοντα λωρία κατὰ τὸ μέσον μετὰ φλαμούλων. Ἔχειν δὲ καὶ σπαθία ἀποκρεμάμενα τῶν ὤμων αὐτῶν κατὰ τὴν Ῥωμαϊκὴν τάξιν, καὶ ἕτερα παραμήρια, ἤτοι μαχαίρας διεζωσμένας.

C 2. Habere autem eos oportet sigillatim armaturam talem : Zabas integras, et talares revolutas iterum per lora et annulos cum thecis suis ; habeant et cassides ferreas splendidas, quæ omnino in vertice habeant tuphia quædam parva. Arcus etiam singulorum viribus idoneos, non supra vires, sed potius infra vires utentium, corythos, id est, thecas arcuarias habentes latas, ut opportune cum usus fert educere e corythis arcus possint. Habeant etiam chordas, sive nervos multos in pungiis suis. Cucura sagittarum in tegumentum idonea, quæ capiant triginta, vel quadraginta sagittas. In toxozonalis, id est, in zonis arcuariis, rhinia et zuglia. Habeant autem contaria, id est, hastas equestres longas, in medio habentes lora quædam cum flamulis ; habeant præterea spathas Romano more ab humeris illorum pendentes, et parameria, id est, gladios sibi accinctos.

γ'. Ὅσοι δὲ μὴ οἴδασι τοξεύειν νεώτεροι, ἐχέτωσαν κοντάρια μετὰ σκουταρίων τελείων. Εἰ δὲ καὶ χειρομάνικα σιδηρᾶ, ἃ λέγεται χειρόψελλα, τινὲς κτήσωνται, λίαν χρήσιμον. Ἔχειν δὲ καὶ μικρὰ τουφία κατὰ τῶν (60) ὀπισθελλίνων τῶν ἵππων, καὶ φλάμουλα μικρὰ ἐπάνω τῶν ζαβῶν κατὰ τῶν νώμων (61). Ὅσον γάρ ἐστιν εὔσχημος ἐν τῇ ὁπλίσει αὐτοῦ ὁ στρατιώτης, τοσοῦτον καὶ αὐτῷ προθυμία προσγίνεται, καὶ τοῖς ἐχθροῖς δειλία.

D 3. Quicunque autem adolescentes sagittarum jaciendarum imperiti sunt, habeant contaria, id est, hastas cum scutis integris. Non inutile autem erit, si chiromanica, et chiropsella, id est, manicas ferreas habeant. Habeant etiam et parva tuphia in opisthelinis equorum, et flamula parva supra zabas in humeris. Quanto enim decentior in armatura sua miles est, tanto major illi alacritas, et hostibus formido vehementior aderit.

NOTÆ.

(56) *Καβαλλάριον.* Hæc vox notatur. Nam agit sequenti titulo non minus de pedestri armatura, quam de equestri. Et in Proœmio, ubi huc respicit, promittit, τὴν ἑκάστου μαχομένων ὅπλισιν. Ergo legendum simpliciter, ἕκαστον ἄνδρα στρατιώτην.

(57) *Ζάβας.* Scribebatur, ζώβας', Vide *Glossarium nostrum.*

(58) *Τεταγμένα.* Scribe, τεταμένα.

(59) *Τοξοζωνίοις.* Sic in Checi codice videtur fuisse, ἐν οἷς ταῖς τοξοζωνίοις. Recte. Legebatur τοξαρίοις. Constantinus : Βασταζέτωσαν δὲ εἰς τὰ ζωνάρια τῶν τοξαρίων ῥινία καὶ σουβλία.

(60) *Κατὰ τῶν.* Scribebatur, καὶ τὰ τῶν.

(61) *Τῶν νώμων.* Scribe, τῶν ὤμων.

Digitized by Google

4. Si fieri potest, habeant clibania, quos thoraces vocant, eosque illustres ac splendidos; et ποδόψελλα, et πτερνιστῆρας, quæ ocreæ nominantur, et superloricas, si quando opus illis, induant.

A

5. Omnes autem adolescentiores Romanos usque ad quadraginta annorum ætatem, quanquam parum vel nihil sciant sagittarum jaciendarum, coges, arcum et pharetram gestare: postquam enim ars sagittaria contempta spretaque esse cœpit, permultæ Romanis offensiones accedebant.

6. Habeas etiam hastas duas, ut altera deficiente, altera statim uti possis. Imperitioribus arcus imbecilliores dato; quanquam enim sagittas jacere nesciunt, tempore tamen discere conabuntur, quod in primis conducibile est.

7. Si id commode fieri potest, rhictaria, id est, jacula in hostes conjiciant. Equitem igitur ad hunc modum armabis.

B

8. Equi autem, sed præfectorum potissimum, reliquorumque lectorum virorum, pectoralia, et frontalia vel ferrea, vel ex cenduclis facta habeant, vel quæ ex nervis efficiuntur, et tegantur pectora illorum, et colla, si fieri possit, et ventres per parva quædam apocremasmata eorum, quæ feletra sellarum dicuntur; a magnis enim sæpe periculis equos liberant, atque adeo ipsos equites. Hæc in primis habeant illi, qui cæteros in bello anteeunt.

9. Et sellæ habeant episelia hirsuta et magna. Frena autem illorum idonea sint et fortia.

C

10. Ad sellas duas ferreas scalas et lorosocum, et pedilum, et sellopungium, ut quo tempore advocetur aliquis sufficere sumptum duorum aut trium dierum possit; et tuphia ad opisthelinas quatuor, et verticalia, equi tuphium, et similiter ὑπογήνειον, id est, summentum.

11. Omnino autem equitem habere oportet tzicurem ancipitem, unam aciem instar cuspidis hastæ longam, et acutam in sella cum theca coriacea pendentem.

12. Vestes militum, sive sint lineæ, sive laneæ, sive ex alia materia, latas esse oportet, ut ad equitandum non impediantur, et tegant præterea genua illorum, et magis decori fiant.

D

13. Oportet vero cenducla habere lata admodum, quæ habeant etiam manicia lata, ut cum armantur illi, et gestant zabas atque arcus, si, quemadmodum sæpe fit, contingat pluviam esse, aut aerem humidiorem, currum suum conservent, et non impediantur, sive arcubus, sive scutis uti voluerint. Sunt vero etiam cenducla in explorationibus et vigiliis pernecessaria; non apparent enim zabæ

δ'. Εἰ δυνατὸν δὲ καὶ θώρακας ἔχειν, οἵτινες καλοῦνται νῦν κλιβάνια, καὶ αὐτὰ στιλπνὰ καὶ λαμπρά. Καὶ περικνημίδας, ἅτινα λέγεται νῦν ποδόψελλα, καὶ πτερνιστῆρας ἐνίοτε· ἔχειν δὲ καὶ ἐπιλώρικα ὅτε χρεία ἐπενδυόμενα.

ε'. Πάντας δὲ τοὺς νεωτέρους Ῥωμαίους ἄχρι τεσσαράκοντα ἐτῶν ἀναγκάζεσθαι, εἴτε [κατὰ] λόγον οἴδασι τοξεῦσαι εἴτε καὶ μετρίως, τοῦ πάντως τοξοφάρετρα φορεῖν. Τῆς γὰρ τοξείας παντελῶς ἀμεληθείσης καὶ διαπεσούσης ἐν τοῖς Ῥωμαίοις τὰ πολλὰ νῦν εἰωθε σφάλματα γίνεσθαι.

ς'. Ἔχειν δὲ καὶ κοντάρια δύο, ἵνα τοῦ ἑνὸς, ὡς εἰκὸς, ἀστοχοῦντος ἔχῃ τὸ ἄλλο εἰς χρῆσιν, τοὺς δὲ ἀπειροτέρους ἀπαλώτερα ἔχειν τοξάρια. Κἂν γὰρ οὐκ οἴδασι τοξεύειν, τῷ χρόνῳ ἐπιτηδεύουσι μαθεῖν, ὅπερ τῶν ἀναγκαίων.

ζ'. Εἰ δὲ δυνατὸν καὶ ἀκόντια ἤτοι ῥικτάρια ἔχειν ἕως δύο, ἵνα ἐν καιρῷ καὶ ἀκοντίσῃ κατὰ τοῦ πολεμίου. Καὶ τὸν μὲν ἱππέα στρατιώτην οὕτως ἐπλίσεις.

η'. Τοὺς δὲ ἵππους καὶ μάλιστα τῶν ἀρχόντων, καὶ τῶν λοιπῶν ἐπιλέκτων, προμετώπια ἔχειν, καὶ στηθάρια, ἢ σιδηρᾶ, ἢ ἀπὸ κενδούκλων, οἷον νευρικά. Καὶ σκέπεσθαι τὰ στήθη καὶ τοὺς τραχήλους αὐτῶν, εἰ δυνατὸν, καὶ τὰς κοιλίας διὰ μικρῶν ἀποκρεμασμάτων ἀπὸ τῶν λεγομένων ἀφελέτρων τῆς σέλλας. Μεγάλων γὰρ ταῦτα κινδύνων πολλάκις τοὺς ἵππους διασώζουσι, καὶ δι' αὐτῶν τοὺς ἐπ' αὐτῶν ὀχουμένους. Ταῦτα δὲ ἔχειν καὶ μάλιστα τοὺς προτασσομένους ἐν τῇ μάχῃ.

θ'. Καὶ αἱ σέλλαι δὲ ἐχέτωσαν ἐπισέλλια δασέα καὶ μεγάλα, καὶ τὰ χαλινάρια αὐτῶν ἐπιτήδεια ἑστωσαν, καὶ ἰσχυρά.

ι'. Εἰς δὲ τὰς σέλλας τὰς δύο σιδηρᾶς σκάλας, καὶ λωρόσακον (62), καὶ πέδικλον, καὶ σελλοπούγγην, ἐν ᾧ καιρῷ καλοῦντος δυνατόν ἐστι καὶ τριῶν ἢ τεσσάρων ἡμερῶν δαπάνην χωρῆσαι. Καὶ τουφία δὲ εἰς τὰς ὀπισθελλίνας τέσσαρα. Καὶ κορυφάδην τοῦ ἵππου τουφίν (63), καὶ ὑπογήνειον ὁμοίως.

ια'. Πάντως δὲ ἔχειν δεῖ τὸν καβαλλάριον στρατιώτην καὶ τζικοῦριν δίστομον, τὸ ἓν στόμα τάξιν ξίφους κονταρίου μακρὸν καὶ ὀξὺ, ἀποκρεμάμενον μετὰ θηκαρίου δερματίνου ἐν τῇ σέλλᾳ.

ιβ'. Τὰ δὲ ἱμάτια τῶν στρατιωτῶν, εἴτε λινᾶ εἰσὶν, εἴτε ἐξ ἐρίου, ἢ ἑτέρας ὕλης, πλατέα δεῖ εἶναι, ἵνα ἐν τῷ καβαλλικεύειν μὴ ἐμποδίζωνται, ἀλλὰ καὶ σκέπωνται δι' αὐτῶν τὰ γόνατα αὐτῶν, καὶ εὔσχημοι φαίνωνται.

ιγ'. Χρὴ δὲ καὶ κένδουκλα ἔχειν πλατέα πάνυ ἔχοντα μανίκια πλατέα, ἵνα ἐν τῷ ὁπλισθῆναι αὐτοὺς καὶ φορεῖν τὰς ζώνας καὶ τὰ τοξάρια, ἐὰν, ὡς εἰκὸς, συμβῇ βροχὴν γενέσθαι, ἢ ὑγρότερον τὸν ἀέρα ἐκ τῆς δρόσου, φοροῦντες αὐτὰ ἐπάνω τῶν ζαβῶν καὶ τῶν τοξαρίων φυλάττωσι τὸ ἅρμα αὐτῶν, καὶ οὐκ ἐμποδίζωνται, εἴτε τοῖς τοξαρίοις, εἴτε τοῖς σκουταρίοις αὐτῶν βουληθῶσι χρήσασθαι. Ἔστιν δὲ καὶ ἄλλως

NOTÆ.

(62) *Λωρόσακον*. Scribe, Λωρόσοκον, vel λωρόσοκκον.
(63) *Τουφίν*. Scribebatur, τουρόν.

Digitized by Google

πως ἀναγκαῖα τὰ κένδουκλα ἐν ταῖς σκούλκαις (64) ἤγουν ταῖς βίγλαις. Οὐ διαφαίνονται γὰρ μήκοθεν τοῖς πολεμίοις αἱ ζάβαι ὑπ' αὐτῶν σκεπόμεναι, ἀντέχουσι δὲ καὶ πρὸς τὰς βολὰς τῶν σαγιττῶν.

A hostibus, ipsis cenduclis tectæ. Resistunt etiam impetui sagittarum.

ιδ'. Προστάσσομεν δὲ καθ' ἕκαστον κοντουβέρνιν καὶ δρέπανα καὶ ἀξίνας ἔχειν αὐτοὺς διὰ τὸ ἀναγκαῖον τῆς χρείας.

14. Mandamus etiam ut in unoquoque contubernio et falces et secures habeant ad necessarios usus.

ιε'. Τοὺς δὲ τῶν ταγμάτων ἄρχοντας, ἢ στρατιώτας, καὶ τῶν θεματικῶν βάνδων τοὺς δυνατωτέρους ἀναγκάζεσθαι χρὴ, παῖδας ἑαυτοῖς ἐπινοεῖν δούλους, ἢ ἐλευθέρους, καὶ ἐπιμελῶς ἐν τῷ καιρῷ τῆς τε ῥόγας, καὶ τοῦ ἀδνουμίου, καὶ τοὺς παῖδας αὐτῶν καὶ τὸ ἅρμα ἀπογράφεσθαι καὶ καταζητεῖσθαι, ἵνα μὴ περιφρονοῦντες παλλήκων (65) τῶν δουλευόντων ἐν καιρῷ πολέμου ἀναγκάζωνται ἐξ αὐτῶν τῶν στρατιωτῶν ἀφορίζεσθαι εἰς τὸ τοῦλδον, καὶ ὀλίγοι γίνωνται οἱ κοπιῶντες ἐν τῇ μάχῃ.

15. Cohortium autem præfectos, sive milites, qui potentiores sunt, cogere oportet pueros sibi conquirere sive servos, sive liberos, et diligenter in tempore rogæ et adnomii, id est, descriptionis nominum, pueri illorum et currus describantur, et conquirantur, ut ne contemptis iis adolescentibus administris ipso belli tempore ex ipsis militibus ad tuldum, id est, impedimenta conservanda cogantur separare, et pauciores fiant, qui in ipso prœlio dimicent.

ις'. Εἰ δέ τινες, ὡς εἰκὸς, μὴ εὐποροῦσι κτήσασθαι παῖδας, ἀναγκαῖόν ἐστιν εἰς τοὺς κατωτέρους στρατιώτας τρεῖς ἢ τέσσαρας ἕνα παῖδα τὸν ὑπηρετεῖν αὐτοῖς μέλλοντα ἐπινοεῖν.

16. Si vero quidam, quemadmodum verisimile est, non adeo locupletes sunt, ut sibi sufficere pueros administros possint, necesse est tribus aut quatuor militibus tenuioribus unum aliquem administrum, qui illis operam det, tribuere.

ιζ'. Τὸν ὅμοιον δὲ τρόπον ποιεῖν καὶ εἰς τὰ σαγμάρια, ὧν χρεία κατὰ τὸ ἀναγκαῖον διὰ τὰς ζάβας καὶ τὰς πέλτας αὐτῶν.

17. Pari modo pro sagmariis, id est, sarciniis facere oportet, quorum magnus est usus propter zabas et tentas illorum.

ιη'. Προστάσσομεν δὲ καὶ τὰς κεφαλὰς τῶν βάνδων ἑκάστου τάγματος ὁμοχρόους γίνεσθαι, καὶ τὰ φλάμουλα ἑκάστης τούρμας ἢ δρόγγου ἰδιόχροα εἶναι.

18. Mandamus ut capita uniuscujusque bandi, id est, cohortis, unius coloris sint; et flamula uniuscujusque turmæ, et uniuscujusque drungi, id est, cohortis milliariæ, unius quoque coloris sint.

ιθ'. Ἵνα δὲ καὶ τὸ καθέκαστον τάγμα εὐκόλως ἐπιγινώσκῃ τὸ ἴδιον βάνδον, δεῖ ἕτερα εἴδη καὶ σημεῖα προστιθέναι ταῖς κεφαλαῖς τῶν βάνδων ἐγνωσμένα τοῖς στρατιώταις., ὥστε ἐκ τούτου ἐπιγενώσκεσθαι αὐτὰ καὶ κατὰ τὰς τούρμας, καὶ κατὰ τοὺς δρούγγους, καὶ κατὰ τὰ βάνδα (66).

19. Ut vero unaquæque cohors suam ipsius cohortem, id est, bandum facile agnoscat, oportet alia quædam privata signa capitibus adjungere, ut ex illis tum per turmas, tum per drungos, tum per banda cognosci possint.

κ'. Πάντα δὲ τὰ τῶν τουρμαρχῶν ἐνηλλαγμένα δεῖ εἶναι καὶ πρόδηλα, ἵνα ἐκ πολλοῦ διαστήματος ἐπιγινώ[σκω]νται τοῖς ὑπ' αὐτοῖς τεταγμένοις.

20. Omnia autem turmarcharum signa tum diversa esse oportet, tum manifesta, ut longo intervallo cognoscere suos possint.

κα'. Κελεύομεν δέ σοι, ὦ στρατηγὲ, καὶ ἅρμα ἐπιφέρεσθαι ἐκ περισσοῦ διὰ βασταγῆς καὶ μάλιστα τοξάρια καὶ σαγίττας. Ἵνα τοῖς, ὡς εἰκὸς, ἀστοχοῦσιν ὅπλοις ἐξ αὐτῶν ἀντεισάγηται.

21. Mandamus etiam, ut currus quidam superflui adhibeantur propter bastagen, id est, vecturam, et maxime arcuum sagittarumque, ut iis, qui armis destituuntur, inde suffici arma possint.

κβ'. Ἔξωθεν δὲ τῶν βοΐνων θηκαρίων τῶν ζαβῶν ἔχειν τοὺς στρατιώτας ἀπὸ δερμάτων θηκάρια ἕτερα ἐλαφρὰ, ὅπως ἢ ἐν καιρῷ πολέμου, ἢ ἐν καιρῷ κούρσου, ὀπισθεν τῶν ὀπισθοκουρβίων κατὰ τὰς ψύας τῶν ἵππων βαστάζονται (67), καὶ ἂν συμβῇ, ὡς πολλάκις, ὃ μὴ γένοιτο, τροπῆς γινομένης *πρὸς μίαν ἡμέραν ἀφανεῖς γενέσθαι τοὺς τὴν παρασκευὴν ἔχοντας, μὴ εἶσι γυμναὶ αἱ ζάβαι καὶ φθείρονται. Εἶτα καὶ σκέπωσι τοὺς στρατιώτας διηνεκῶς ἐπικείμεναι αὐτοῖς.*

22. Præter bubulas zabarum thecas, habere oportet milites ex pellibus thecas quasdam expeditas, ut vel belli tempore, vel excursionum, post opisthocurbia in lumbis equorum, et si (quod absit) contingat sæpenumero in fugam converti, *et ad unam diem disparere eos, qui commeatum habent, non sint nudæ zabæ, et corrumpantur. Deinde et tegant milites assidue ipsis impositæ.*

κγ'. *Οὐδὲ τοῦτο παραλείψομεν ἐν τῇδε τῇ διατάξει, ἵνα οἱ ἄρχοντες ἑκάστου τάγματος διαγνώσεις ποιῶσιν ἐν τῷ καιρῷ τοῦ παραχειμαδίου,*

23. *Neque hoc præteribimus in hac ordinatione, ut præfecti cujusvis cohortis recognoscant tempore hiberno, vel alio otii tempore, an abundent milites in*

NOTÆ.

(64) *Ἐν ταῖς σκούλκαις.* Scribebatur, ἐν ταῖς σκούραις.

(65) *Περιφρονοῦντες παλλήκων.* Scribebatur, περιφρονῶνται πάρλικον.

(66) *Τὰ βάνδα.* Scribebatur, τὰς βάνδας.

(67) *Βαστάζονται.* Scribebatur, βαστάζοντα.

Digitized by Google

regione, ut necessaria emant, et liqueat quot equis, qua specie, et quo cultu indigeat militum quilibet. Ut præparet, imperator, quo hæc opportuno tempore præstentur ipsis compàranda ab aliquibus mercatoribus. Neque inde indigenæ habitatores lædantur, neque milites necessariis speciebus, et armis, si forte ita res se habeat, privati indigeant. Postquam igitur equestrem militem armavimus, deinde et quomodo te oporteat necessariam pedestrium militum armaturam facere jam dicemus.

ἢ ἐν ἑτέρῳ ἀργίας καιρῷ ὥστε ἐὰν μὴ εὑπορῶσιν οἱ στρατιῶται κατὰ τὴν χώραν ἀγοράσαι τὰ ἐπιτήδεια, φανερὸν γίνεσθαι πόσων ἵππων, καὶ ποίου εἴδους, καὶ ποίου ὁπλισμοῦ δέονται τῶν στρατιωτῶν ἕκαστος. Ἵνα παρασκευάζῃς, ὦ στρατηγέ, ταῦτα ἐν τῷ δέοντι καιρῷ εὐτρεπίζεσθαι πρὸς ἀγορασίαν αὐτοῖς ἀπὸ ἐμπόρων τινῶν, καὶ μήτε ἐντεῦθεν οἱ ἐντόπιοι οἰκήτορες βλάπτωνται, μήτε οἱ στρατιῶται τῶν ἀναγκαίων εἰδῶν καὶ ὅπλων, εἰ οὕτω τύχοι, ὑστερούμενοι ἀπορῶσιν. Ἐπεὶ οὖν τὸν καβαλλάριον στρατιώτην ἐξωπλίσαμεν, ἐξῆς καὶ ὅπως χρὴ σε καὶ τῶν πεζῇ μαχομένων στρατιωτῶν τὴν δέουσαν ποιήσασθαι ὅπλισιν ἤδη λέξομεν.

24. *Cum igitur pedestris exercitus acies antiquitus in tria dividerentur apud veteres tacticos, hoc est, in armatos quos recentiores scutatos appellaverunt, in levis armaturæ milites quos et in præsens eodem nomine vocant, et in peltas, quorum modo ne appellationem quidem novimus; videtur mihi levis armaturæ militibus hos accensenti duos solos ordines pedestris exercitus commemorare, armatorum et levis armaturæ militum. De his igitur ordinibus nos definire suscepimus.*

κδ'. Τῆς πεζικῆς τοίνυν τοῦ στρατοῦ τάξεως πάλαι μὲν εἰς τρία διῃρημένης παρὰ τοῖς ἀρχαίοις τακτικοῖς, οἷον εἰς ὁπλίτας, οὓς οἱ νεώτεροι σκουτάτους ἐκάλεσαν, εἰς ψιλούς, οὓς καὶ νῦν ψιλοὺς τῷ αὐτῷ καλοῦσιν ὀνόματι, καὶ εἰς πέλτας, ὧν οἱ καθ' ἡμᾶς οὐ γινώσκουσι μὲν τὴν κλῆσιν, δοκεῖ μοι δὲ τοῖς ψιλοῖς αὐτοὺς συγκαταλέξαντες δύο μόνας (68) τάξεις πεζικοῦ μνημονεῦσαι στρατοῦ, ὁπλιτῶν τε καὶ ψιλῶν. Περὶ τούτων οὖν ἡμεῖς διαλαβόντες τῶν τάξεων διορισώμεθα.

25. *Armabis igitur scutatos pedestres, qui antiquitus armati vocabantur, ita ut habeant spatham, hastile et scutum, cum quidem utilitas exposcet, longum magnum, quod vocatur thyreos, omnino vere rotundum perfectum. Scuta vero omnium eodem colore vel secundum numerum, vel secundum ordinem; habeant vero etiam cassidem crista exigua superne instructam, fundibula, secures ancipites, quarum quidem acies una veluti spatha, altera vero, ut mucro hastæ, quæ portentur cum thecis pelliceis, vel alias secures habentes quidem aciem unam præcisam, alteram vero rotundam, vel alias secures ancipites ritu pelecum. Electi autem aciei habeant etiam zabas, hoc est loricas, si possibile est, universi; sin minus, duo primi acierum. Contra vero membra, hoc est humeros zabæ flamulas exiguas habeant, et manicas, quæ manicellæ et chiropsella dicuntur, ferreas, vel ligneas, et ocreas similiter, quæ dicuntur podopsella vel chalcotuba, maxime vero ii, qui in capitibus et caudis acierum collocati sunt.*

κε'. Ὁπλίσεις μὲν οὖν τὸν πεζὸν σκουτάτον, τὸν πάλαι καλούμενον ὁπλίτην, ὥστε ἔχειν σπάθην, κοντάριν, σκουτάριν, ὅτε μὲν χρεία καλεῖ, ἐπίμηκες, μέγα, ὃ καλεῖται θυρεός, πάντως δὲ στρογγύλον τέλειον. Τὰ δὲ σκουτάρια ὁμόχροα πάντων, ἢ κατὰ ἀριθμόν, ἢ κατὰ τάγμα, ἔχειν δὲ καὶ κασσίδα τουφὶν μικρὸν ἔχουσαν ἄνωθεν, σφενδοβόλα, τζικούρια δίστομα, τὸ μὲν ἓν στόμα ὡς σπάθην, τὸ δὲ ἕτερον ὡς κονταρίου ξίφος, ἀναβασταζόμενα μετὰ θηκαρίων δερματίνων, ἢ τζικούρια ἕτερα, ἔχοντα τὸ μὲν ἓν στόμα (69) κόπτον, τὸ δὲ ἕτερον στρογγύλον. Ἢ ἕτερα τζικούρια δίστομα τάξιν πελεκίων. Τοὺς δὲ ἐπιλέκτους τῆς ἀκίας (70) ἔχειν καὶ ζάβας, ἤτοι λωρίκια, εἰ μὲν δυνατὸν, ὅλους, ἐπὶ (71) κἂν δύο τοὺς πρώτους τῶν ἀκιῶν. Κατὰ δὲ τῶν μήλων ἤτοι τῶν ὤμων τῆς ζάβας φλαμουλίσκια μικρὰ, ἔχειν δὲ καὶ χειρομάνικα (72), τὰ λεγόμενα μανικέλλια, ἢ καὶ χειρόψελλα σιδηρᾶ, ἢ ξύλινα, καὶ περικνημίδας ὁμοίως, ἃ λέγεται ποδόψελλα ἢ χαλκότουβα, μάλιστα τοὺς ἐν ταῖς κεφαλαῖς καὶ οὐραῖς τῶν ἀκιῶν τεταγμένους.

26. *Et scutatos ita armabis, ut dictum est: eos vero, qui levis armaturæ appellantur hoc modo: Toxophoretra, quæ in humeris gestantur habentia cucura magna, quæ singula triginta, vel quadraginta sagittas capiant. Solenaria lignea cum parvis sagittis, et cucuris exiguis, quæ ad magnam distantiam jaciuntur ab arcubus* (73), *et inimicis inutilia sunt. Bu-*

κς'. Καὶ τοὺς μὲν σκουτάτους οὕτως ὁπλίσεις, ὡς εἴρηται, τοὺς δὲ λεγομένους ψιλοὺς τὸν τρόπον τοῦτον· Τοξοφάρετρα ἐπὶ τῶν ὤμων ἀναβασταζόμενα ἔχοντα κούκουρα μεγάλα χωροῦντα, ἀνὰ λ' ἢ μ' σαγιττῶν. Σωληνάρια (74) ξύλινα μετὰ μικρῶν σαγιττῶν, καὶ κουκούρων μικρῶν, ἅπερ ἐπὶ πολὺ διάστημα ῥίπτονται διὰ τῶν τοξαρίων,

NOTÆ.

(68) *Δύο μόνας.* Scribebatur, δύο μῆνας.
(69) *Τὸ μὲν ἕν.* Scribebatur τὸ μέν.
(70) *Τῆς ἀκίας.* Scribebatur, ἀξίας.
(71) Cod. Laurent. habet, οὐλῶς ἐστι.
(72) *Καὶ χειρομάνικα.* Scribebatur, καὶ χειρομανία.
(73) Hæc usque, quæ diverso charactere notantur, in Chesi codice deerant, nec a Meursio suppleta fuerant.

(74) *Τοὺς δὲ λεγομένους ψιλοὺς ἀναβασταζόμενα ἔχοντα κουκούρια μεγάλα χοροῦντα ἀνὰ λ' ἢ μ' τόξον φαρέτραν ἐπὶ τὸν νῶμον ἀναβασταζόμενα ἔχοντα κούκουρα μεγάλα χωροῦντα ἀνὰ λ' ἢ μ' σαγιττῶν σωληνάρια*, etc. Locus hic valde corruptus erat, et voces transpositæ, ac male repetitæ. Restitutio: Τοὺς δὲ λεγομένους ψιλοὺς ἔχοντας τόξον, φαρέτραν, καὶ κούκουρα μεγάλα χωροῦντα ἀνὰ

Digitized by Google

καὶ τοῖς ἐχθροῖς ἄχρηστά εἰσι· βιρίττας (75), ἃ λέγεται ρικτάρια, τοὺς ἀπείρως πρὸς τὴν τοξείαν ἔχοντας, ἢ καὶ λειπομένους, ὡς εἰκός, τόξων. Ἔχειν δὲ καὶ σκουτάρια μικρά, στρογγύλα, σφενδοβόλα, καὶ τζικούρια ὅμοια τῶν εἰρημένων ἀναβασταζόμενα καὶ αὐτὰ εἰς θηκάρια δερμάτινα. Τὰ δὲ ἱμάτια τῶν πεζῶν ἁπάντων ἔστωσαν κονδὰ μέχρι τῶν γονάτων αὐτῶν, ἐὰν δυνατὸν αὐτοὺς ἔχειν καὶ ἐπιλώρικα. Τὰ δὲ ὑποδήματα αὐτῶν (76) μὴ ἔχειν ὀξείας ἔμπροσθεν. Ἀναγκαῖον δὲ (77) καὶ ὀλίγοις μικροῖς ἥλοις καθηλοῦσθαι αὐτά, ἤγουν καρφίοις (78), πρὸς πλείονα ὑπουργίαν· χρήσιμα γὰρ ταῦτα, καὶ ἐν ταῖς ἐδοιπορίαις μάλιστα. Καὶ τὰς κουρὰς δὲ αὐτῶν κοντὰς γίνεσθαι, καὶ μὴ ἀφεῖναι αὐτοῖς τελείας· τρίχας χρήσιμόν ἐστιν.

A rittas autem, quæ rhictaria, id est, tela dicuntur eos habere oportet, qui rei sagittariæ imperiti sunt, atque etiam eos, qui arcubus deficiuntur. Habeant etiam scutula parva rotunda, fundibula, et tzicuria prædictis formis similia, qua etiam thecis coriaceis gestentur. Vestes peditum omnium sint condæ, id est, attonsæ usque ad genua illorum, et si id fieri potest, superlorica habeant. Calcei illorum fastigia ante acuminata ne habeant. Necessarium vero est paucis quibusdam clavulis firmari calceos, quos carphia appellant; ad varios enim usus illud utile est, et in primis ad itinera facienda. Et cæsaries illorum condæ, id est, attonsæ fiant, aut etiam permittere, ut nullo modo crinem habeant, fortasse non inutile est.

κζ'. Ἀλλ' οὕτω μὲν τοὺς πεζοὺς στρατιώτας ἐνδύσεις καὶ περιφράξεις δι' ὅπλων· πρὸς δὲ τὴν ὑπηρεσίαν αὐτῶν καὶ φυλακὴν ἁμάξας παρασκευάσεις εὐσταλεῖς ἤγουν ἐλαφρὰς καὶ γοργὰς κατὰ δεκαρχίαν, ἤτοι κοντουβέρνιν, μίαν καὶ μὴ πλέον, ἵνα μὴ πολλοὶ εἰς αὐτὰ ἀσχολούμενοι ἀργῶσιν. Ἐχέτω δὲ ἑκάστη τῶν ἁμαξῶν χειρόμυλον, ἀξίνην, πέλεκιν, σκέπαρνον, πριόνιν, ὀρυγας δύο, σφύραν, πτυάρια δύο, κοφίνιν, κιλίκια, φαλκίαν, τζικούρια, βαρδούκια, ματζούκια (ἴσως καὶ τούτων χρεία γένηται τοῖς στρατιώταις), τριβόλους ἀναδεδεμένας (79) διὰ λεπτῶν σφηκωμάτων, καὶ ἐν ἥλωσι σιδηρῷ (80) ἀποκρατουμένας, διὰ τὸ ἑτοίμως συναγαγέσθαι αὐτάς. Ἑτέρας ἁμάξας ἐχούσας τοξοβολίστρας καὶ σαγίττας αὐτῶν, καὶ βαλίστρας, ἤτοι μαγγανικὰ τὰ λεγόμενα ἀλακάτια στρεφόμενα κύκλωθεν, καὶ μαγγαναρίους, λεπτουργοὺς, χαλκεῖς, καὶ τούτοις ἴδιον ἄρχοντα ἐπιστῆσαι.

B 27. Et pedites quidem ad hunc modum apparabis, et armis teges. Ad usum illorum et conservationem carros habebis expeditos, agiles et firmos, unicuique decuriæ sive contubernio unum, et non plures, ut ne multi in illis occupati otientur. Habeat autem unusquisque carrus molam manuariam, securim, asciam, prionim, id est, serram, orugas duas, malleum, ptyaria, sive vannos duos, cophinam ciliciam, phalciam, tzicuria, barducia, matzuchia, fortassis etiam (nam horum usus militibus interdum est), tribulas parvis quibusdam fasciis ligatas, et clavo ferreo appendentes, ut facile adduci possint; alios currus sagittarios, qui sagittas ferant, et manganica, sive balistas, quæ alacatia nominantur, orbiculam, et manganarios, cælatores, C fabros ærarios, et istis peculiarem aliquem præfectum eligere.

κη'. Ἑτέρας ἁμάξας φερούσας τὸ ἁρμαμέντον ἑκάστου ἀριθμοῦ τῶν στρατιωτῶν. Ἑτέρας ἁμάξας ὡς δέκα ἢ καὶ εἴκοσι (81) βασταζούσας πιστὸν, καὶ παξιμάδιον, καὶ σαγίττας, καὶ τοξάρια ἐκ περισσοῦ.

28. Alios carros, qui uniuscujusque armamentum ferant pro numero militum, alios carros decem, vel viginti, qui ferant pictum, paximadium, id est, panem biscoctum, sagittas, et arcus complures.

κθ'. Ἵππους σαγματαρίους, ἢ ὑποζύγια, εἰ μὲν ἐνδέχεται, καθ' ἕκαστον κοντουβέρνιν, εἰ δὲ μήγε, εἰς τὰ δύο κοντουβέρνια ἕνα, ἵνα εἰ γένηται καιρὸς χωρισθῆναι τοὺς πεζοὺς ἐκ τῶν ἁμαξῶν, καὶ προκαταλαβεῖν τόπον, βαστάζειν ὀκτὼ ἢ δέκα ἡμερῶν δαπάνην, καὶ ἀκολουθεῖν μέχρις οὗ ἐπιφθάσωσιν αἱ ἅμαξαι ἀργότερον περιπατοῦσαι.

29. Ex equis, vel jumentis sagmatariis, id est sarcinariis, si fieri potest, in unoquoque contubernio unum, sin minus, duobus contuberniis unum, ut si occasio quævis fiat separandorum peditum a curribus, et anticipandi loci, vehant secum octo vel decem dierum idoneum commeatum, donec eo D currus, qui tardius procedere solent, postea ad eos perveniant.

λ'. Οὐκ ἄχρηστον δέ μοι δοκεῖ μνημονεῦσαι, κἂν ἐν μικρῷ, καὶ τῆς ἀρχαίας ὁπλίσεως τῶν πεζῶν καὶ τῶν καβαλλαρίων, καθὼς Αἰλιανός τε καὶ οἱ λοιποὶ τῶν τακτικῶν συγγραφεῖς ὑπηγόρευσαν. Παρὰ γὰρ τοῖς ἀρχαίοις τὴν μὲν ἱππικὴν τάξιν εἰς δύο διαφορὰς ὁπλίσεων ἐποίουν οἱ στρατηγοὶ, μίαν μὲν

30. Non inutile vero mihi videtur paucis antiquæ armaturæ formam, quod ad equites et pedites pertinet, memorare, quemadmodum Ælianus, et reliqui rei militaris scriptores memoriæ prodiderunt. Apud antiquos enim equestrem aciem duabus diversis armaturis muniebant; alteram autem cata-

NOTÆ.

λ' ἢ μ' σαγιττῶν, ἐπὶ τῶν ὤμων ἀναβασταζόμενα, σωληνάρια, etc.

(75) *Βιρίττας*. Scribe, βηρύττας.

(76) *Ὑποδήματα*. Scribebatur, ὑποδείγματα.

(77) *Ἀναγκαῖν*. Scribebatur, ἀναγκαίοις.

(78) *Καρφία*. Scribebatur, καρφία.

(79) *Ἀναδεδεμένας*. Scribebatur, ἀναδεδειγμένοι.

(80) *Ἐν ἥλωσι σιδηρῷ*. Scribe, ἐν ἥλῳ σιδηρῷ.

(81) *Ὡς δέκα ἢ καὶ εἴκοσι*. Scribebatur, ὡς δὲ καὶ εἴκοσι.

Digitized by Google

phractum, id est, loricatum appellabant, alteram autem non cataphractum, id est, non loricatum dicebant.

31. Armabant autem cataphractum equitem undique tum ipsum, tum equum etiam loriciis, id est, galeis; clibaneis, id est, thoracibus: parameriis, id est machæris, vel ferreis, vel ex cornibus intextis. Equos muniebant lateralibus et frontalibus, id est, latera, et capita, et cervices equorum, thoracibus et loricis et alia certa materia tegebant.

32. Ex iis omnibus, qui vel cataphracti, vel non cataphracti sunt, alii quidem habebant contaria, id est, hastas, quas nunc menaula vocant, quæ olim antiqui lonchas nominabant, qui cataphracti manus cum hoste conserebant, alii autem eminus jaculantes, quos vocant acrobolistas, id est, jaculatores velitares. Qui vero hastas habebant, illi certe, quemadmodum dictum est, cum hostibus confligebant, cominus hastis pugnantes. Ex iis autem qui prœlio confligebant, alii thureos, id est, scuta oblonga magna habebant, alii sine scutis solis hastis prœliabantur, et illi quidem thureophori, id est, scutati nominabantur, hi vero hastati: nam contarium hastam appellabant

33. Equites acrobolistas, id est, jaculatores velitares, qui eminus feriunt et prœliantur, alii rhictariis, id est, jaculis utebantur, alii arcubus: et alii ex illis eminus conjiciebant hastas, alii directe procedentes, alii circumcursando, quos hippacontistas, id est, equestres jaculatores dixerunt, alii arcubus feriebant, quos ἱπποτοξότας, id est, equestres sagittarios. Quidam ex illis expeditis et velitaribus jaculis utebantur, et cum semel atque iterum jaculati fuerint, de cætero confligunt cum hostibus, vel hastis, quas habebant relictis, vel expeditis jaculis, vel spathis suis utentes: et istos vocabant velites. Quidam ex illis secures parvas ferebant, aciem undique acutam, quasi dentes cum exacuuntur habentes. Et equestrem aciem (quemadmodum paucis complecti potui) ad hunc modum armabant antiqui.

34. Pedestrem aciem ab antiquis sic invenimus descriptam esse. In tres enim partes copias suas dividebant, quemadmodum a nobis superius memoratum est: et primam, gravem armaturam, alteram peltastas sive cetratos, tertiam levem armaturam vocabant. Et gravis armaturæ Macedonico more ponderosissima arma fecere, quemadmodum Alexander Macedo facere solebat.

35. Etenim scuta illis faciebant rotunda, magna, oblonga, quæ thureos appellabant, et machaeras quas parameria appellabant, et loricia, id est galeas, et clibania, id est thoraces, et cassides, et

κατάφρακτον λεγομένην, καὶ τὴν ἑτέραν οὐ κατάφρακτον.

λα'. Ὥπλιζον δὲ τὸν μὲν κατάφρακτον καβαλλάριον πανταχόθεν, αὐτόν τε καὶ τὸν ἵππον αὐτοῦ. Καὶ τὸν μὲν ἄνδρα λωρικίοις, καὶ κλιβανίοις ἢ σιδηροῖς, ἢ ἐκ κεράτων ἐπιπλεγμένοις, καὶ παραμικρίοις (82). Τοὺς δὲ ἵππους κατέφραττον παραπλευριδίοις καὶ προμετωπιδίοις, ἦγουν τὰ πλευρὰ, καὶ τὰς κεφαλὰς, καὶ τοὺς τραχήλους τῶν ἵππων διὰ κλιβανίων ἢ λωρικίων, ἢ ἄλλης ὕλης κατέσκεπον.

λβ'. Τούτων δὲ πάντων τῶν τε καταφράκτων καβαλλαρίων καὶ τῶν μὴ καταφράκτων οἱ μὲν εἶχον κοντάρια, οἱ δὲ τὰ λεγόμενα νῦν μέναυλα, ἅπερ οἱ ἀρχαῖοι λόγχας ἐκάλουν. Οἵτινες καὶ κατάφρακτοι ὄντες χεῖρας συνέβαλλον τοῖς πολεμίοις, οἱ δὲ μακρόθεν ἦσαν ἀκοντίζοντες, οὓς καὶ ἔλεγον ἀκροβολιστάς. Τῶν δὲ τὰ κοντάρια, ἢ τὰς λόγχας ἐχόντων, οἱ μὲν, ὡς εἴρηται, ἦσαν οἱ τοῖς πολεμίοις συμπλεκόμενοι, καὶ πλησίον διὰ τῶν δοράτων ἤτοι τῶν κονταρίων μαχόμενοι. Τούτων δὲ τῶν συμπλεκομένων τῇ μάχῃ οἱ μὲν θυρεοὺς εἶχον, ἤτοι σκουτάρια ἐπιμήκη μεγάλα, οἱ δὲ χωρὶς τῶν θυρεῶν μόνοις τοῖς κονταρίοις (83) ἐμάχοντο. Καὶ οἱ μὲν ἐκαλοῦντο θυρεοφόροι, οἱ δὲ ἰδίως δορατοφόροι· δόρυ γὰρ τὸ κοντάριον ἔλεγον.

λγ'. Ἀκροβολιστὰς δὲ τῶν καβαλλαρίων ἐκάλουν, ἦγουν τοὺς μακρόθεν βάλλοντάς τε καὶ μαχομένους. Τούτων δὲ οἱ μὲν δορατίοις ἦγουν ρικταρίοις ἐκέχρηντο, οἱ δὲ τόξοις. Καὶ οἱ μὲν αὐτῶν μακρόθεν ἐρρίπτων τὰ ρικτάρια, ἢ ἐπ' εὐθείας (84) ἐρχόμενοι, ἢ κύκλῳ περιτρέχοντες. Οὓς ἐκάλουν ἱπποκοντιστάς. Οἱ δὲ τοῖς τόξοις ἔβαλλον, οὓς ἐκάλουν ἱπποτοξότας. Τινὲς δὲ αὐτῶν ἐλαφροῖς κονταρίοις ἐχρῶντο, καὶ μίαν ἢ δευτέραν προεξακοντίσαντες τὸ λοιπὸν συνεπλέκοντο τοῖς πολεμίοις, ἢ τοῖς δορατίοις οἷς εἶχον ἀπολειπομένοις, ἦγουν τοῖς ἐλαφροῖς κονταρίοις, ἢ τοῖς σπαθίοις αὐτῶν διαχρώμενοι, καὶ τούτους ἐκάλουν ἐλαφρούς. Τινὲς δὲ αὐτῶν καὶ πελέκεις μικροὺς ἔφερον πανταχόθεν ἐχούσας ἀκωκὰς ὀξείας ὡς ὀδόντας ἠκονημένους. Καὶ τὴν καβαλλαρικὴν τάξιν οὕτως ὥπλιζον οἱ παλαιοὶ, ὅσον ἐν συντόμῳ εἰπεῖν.

λδ'. Τὴν δὲ πεζικὴν παρὰ τὴν τῶν ἀρχαίων τάξιν οὕτως εὕρομεν. Τριχῶς μὲν γὰρ αὐτῆς διεμέριζον τὴν ὅπλισιν, ὡς ἀνωτέρω εἴρηται ἡμῖν. Καὶ τὴν μὲν ἐκάλουν ὁπλίτας, τὴν δὲ πελταστὰς, τὴν δὲ ψιλούς. Καὶ τὴν μὲν τῶν λεγομένων ὁπλιτῶν βαρυτάτην παρὰ πάντας τοὺς πεζοὺς ἐποίουν, κατὰ τὸν Μακεδονικὸν τρόπον, ἦγουν καθ' ὃν Ἀλέξανδρος ὁ τῶν Μακεδόνων ἐχρήσατο.

λε'. Καὶ γὰρ σκουτάρια ἐποίουν αὐτοῖς στρογγύλα μεγάλα παραμήκη, ἃ ἔλεγον θυρεοὺς, καὶ μαχαίρας, ἦγουν παραμήρια, καὶ θώρακας, καὶ κράνη, ἦγουν λωρίκια, καὶ κλιβάνια (85), καὶ

NOTÆ.

(82) *Παραμικρίοις*. Scribe, παραμηρίοις.

(83) *Μόνοις τοῖς κονταρίοις*. Scribebatur, μ. σκουταρίοις.

(84) *Ἢ ἐκ' εὐθείας*. Scribebatur, ἢ εὐπαθείας.

(85) *Καὶ θώρακας, καὶ κράνη, ἦγουν λωρίκια, καὶ κλιβάνια*. Locus corruptus est. Restituo, ac lego: θώρακας, ἦγουν λωρίκια, καὶ κράνη, καὶ κλιβάνια.

Digitized by Google

κάσσιδας, καὶ μανικέλια, καὶ χαλκότουβα, ἅπερ οἱ παλαιοὶ περικνημίδας ἐκάλουν· καὶ κοντάρια μακρότερα. Τοὺς μὲν οὖν ὁπλίτας λεγομένους οὕτως ὥπλιζον.

λς'. Τοὺς δὲ ψιλοὺς πάντων ἐλαφροτάτῃ ὥπλιζον τῇ παρασκευῇ· οὔτε γὰρ θώρακας, ἦγουν κλιβάνια, ἢ λωρίκια, οὔτε περικνημίδας, ἦγουν ποδόψελλα, ἢ χαλκότουβα, οὔτε θυρεοὺς, ἢ ἀσπίδας βαρείας, ἦγουν τὰ μεγάλα σκουτάρια, ἀλλὰ διὰ τῶν μακρόθεν βαλλομένων ὅπλων ἐμάχοντο, οἷον οἱ τοξεύοντες, ἢ ῥικτάρια ῥίπτοντες, ἢ λίθους βάλλοντες τοὺς μὲν διὰ χειρὸς, τοὺς δὲ διὰ σφενδόνης. Στολὰς δὲ εἶχον στερεὰς, καὶ πηκτὰς ἀνεὶ λωρικίων, καὶ κλιβανίων, καὶ τῶν ἄλλων.

λζ'. Τὸ δὲ τῶν πελταστῶν λεγόμενον εἶδος, ὅπερ οἱ νεώτεροι τῶν τακτικῶν οὐκ ἐδήλωσαν (οἶμαι δὲ, ὡς ἄνω μοι εἴρηται, τοῖς ψιλοῖς αὐτὸ συμμίξαντες), καὶ αὐτὸ μὲν εἶχεν ὁπλισμὸν, ἐλαφρότερον δὲ τῶν ἄλλων. Εἶχε γὰρ πέλτην, ὅ ἐστι σκουτάριον μικρὸν, καὶ τὰ δόρατα αὐτῶν, ἦγουν τὰ κοντάρια πολὺ τῶν λεγομένων σαρισσῶν παρὰ τοῖς παλαιοῖς κοντότερα. Αἱ δὲ σάρισσαι ἦσαν κοντάρια μακρὰ ἕως πηχῶν ιδ', καὶ ἄχρι πηχῶν ις'. Ταῦτα δὲ ἦσαν μάλιστα τῆς Μακεδονικῆς ὁπλίσεως. Ἐδόκει δὲ ἡ τῶν πελταστῶν ὅπλισις μέσην ἔχειν τάξιν τῶν τε ψιλῶν καὶ τῶν ἰδίως λεγομένων ὁπλιτῶν, βαρυτέρα μὲν οὖσα τῶν ψιλῶν, ἐλαφροτέρα δὲ τῶν ὁπλιτῶν.

λη'. Ἦν δὲ παρὰ τοῖς ὁπλίταις καὶ ἀσπὶς Μακεδονικὴ χαλκῆ οὐ λίαν κοίλη (86), ἦγουν σκουτάριον στρογγύλον μέγα, ἁπλωτέραν ἔχον τὴν κοιλότητα, τὸ δὲ μέτρον αὐτῆς σπιθαμῶν γ'. Ἦν δὲ καὶ κοντάριον οὐ μικρότερον πηχῶν ἡ'. Τὸ δὲ μακρότερον, μέχρι τοῦ δύνασθαι ἄνδρα κρατοῦντα κινεῖν αὐτὸ εὐκόλως.

λθ'. Ἡ δὲ Μακεδονικὴ φάλαγξ ἐκείνη, ἦγουν ἡ παραταγὴ, ἐδόκει τοῖς πολεμίοις ἀνυπόστατος εἶναι, διὰ τὴν ἐν ταῖς τάξεσι κατασκευήν. Ἵστατο γὰρ ὁ ἀνὴρ ἐξωπλισμένος ἐν τῷ τοῦ ἀγῶνος τῆς συμβολῆς καιρῷ καταπυκνουμένης τῆς παραταγῆς ἐν τῇ ἑκάστου ἀτάσει εἰς πήχεις δύο κατέχων τὴν σάρισσαν, ἦγουν τὸ μακρὸν κοντάριον, ὅπερ, ὡς μέν τινες ἔφασαν, πηχῶν ἑξκαίδεκα, κατὰ δὲ τὴν ἀλήθειαν, πηχῶν ιδ'. Τούτων δὲ τέσσαρες μὲν πήχεις ἀφαιρεῖ τὸ μεταξὺ τῶν χειρῶν εἰς τὸ ὀπίσω. Οἱ δὲ λοιποὶ δέκα πήχεις εἰς τὸ ἔμπροσθεν ἐκτείνονται πρὸ τῶν σωμάτων. Τοσαῦτα μὲν οὖν καὶ περὶ τῆς καθ' ἕνα ἄνδρα στρατιώτην ὁπλίσεως ἔκ τε τῶν παλαιῶν καὶ τῶν νεωτέρων τακτικῶν ἀναλεξάμενοι διεταξάμεθά τε καὶ διωρισάμεθα, ἵνα ἔχων αὐτῶν τὴν γνῶσιν ἐκλέγῃ τὸ χρήσιμον.

ΔΙΑΤΑΞΙΣ Ζ'.

Περὶ γυμνασίας καβαλλαρικῆς καὶ πεζικῆς.

α' Ἑξῆς δὲ καὶ περὶ τῆς αὐτῶν γυμνασίας πρὸ τῶν πολεμικῶν ἀγώνων ὀφειλούσης γίνεσθαι μετρίως σοι καὶ συντόμως ὑπαγορεύσομεν, ὦ στρατηγὲ, ἵνα προπαρασκευάζῃς αὐτοὺς ἐθίζεσθαι πρὸς

A manicellia, et chalcotuba, quæ antiqui pericnemidas, id est, ocreas æneas nominabant, et hastas longas. Et gravem armaturam sic armabant.

36. Levem armaturam levissimo omnium apparatu tegebant : neque enim clibania, id est, thoraces, neque loricia, id est, galeas, neque chalcotuba, id est, ocreas æneas, neque thureos, id est, scuta magna habebant, sed eminus conjectis telis pugnabant, ut sagittas, vel rhictaria, id est, jacula vel saxa projicientes alia manu, alia fundis. Vestes habebant firmas vice loriciorum et thoracum et hujusmodi.

37. Peltastarum seu cetratorum agmen, quod B recentiores rei militaris scriptores prætermiserunt : arbitror enim cum levi armatura ab iis scriptoribus confusos esse. Habebant autem hi armaturam, sed leviorem aliis : habebant autem peltam, id est, scutum parvum, et hastas, quæ ab antiquioribus sarissæ dictæ sunt : sarissæ autem hastæ erant longæ interdum quatuordecim cubitorum, interdum sedecim cubitorum. Hæc erat forma armandi Macedonica. Peltastarum armatura medium quoddam inter gravem et levem armaturam tenebat, gravior levi, et levior gravi armatura.

38. Gravi armaturæ adfuit quoque et aspis Macedonica ærata non admodum concava, id est, scutum rotundum magnum, simpliciorem habens cavitatem, mensuram trium spithamarum, id est, dodrantium. C Erat autem hasta non minor octo cubitis. Hasta longior eo usque ducebatur, quo homo viribus suis expedite eam tractare potuerat.

39. Macedonica phalanx, id est, acies, videbatur hostibus propter aciei instruendæ modum inexpugnabilis esse. Stabat enim unusquisque vir armatus ipso confligendi tempore, densata acie ad uniuscujusque stationem, cubitorum duorum locum occupans, sarissam, id est, longam hastam manu tenens, sedecim ut quidam putant cubitorum, revera autem quatuordecim cubitorum. Ex iis, quatuor cubitorum spatium, manus in posteriorem partem occupant, reliqui decem cubiti in anteriorem D partem ante corpora protenduntur. Atque hæc de separata uniuscujusque singularis viri armatura, ex antiquis et recentioribus rei militaris scriptoribus collegimus et descripsimus, ut istorum notitiam cum habeas, quod conducibile tibi fuerit eligas.

CONSTITUTIO VII.

De exercitatione equestri et pedestri.

1. Deinceps jam de exercitatione quæ bellica certamina debet anteire, numero et paucis, o imperator, verba faciam, ut per istas exercitationum periclitationes ad vera pericula eos assuefacias.

NOTÆ.

(86) *Λίαν κοίλη.* In Checi codice videtur fuisse, οὐ λίαν κοίλη. Recte. Sic Constantinus. Εἶχον καὶ σκουτάρια Μακεδονικὰ χαλκᾶ, στρογγύλα, μεγάλα, καὶ οὐ πολὺ βαθέα.

Digitized by Google

Imperitia enim ad subitas et irruentes rerum aggressiones cæca et inscia esse solet.

2. Hieme aut alio quovis tempore, quando intermissio belli est, aut excursionum in hostili terra relaxatio, assuefaciendi ad patientiam laborum sunt milites, et bellicosi operosique assiduitate reddendi sunt, neque in otio et desidia esse sinendi. Etenim otium languida et soluta facit corpora, desidia timidas et effeminatas reddit mentes. Voluptates enim quotidie inescantes fortissimum quemque corrumpunt. Quando autem longo tempore interposito ad labores veniunt, neque libenter sustinent, neque diu durant, sed statim refugiunt priusquam periculum laborum bellicorum fecerint: sin in periculum venerint, facile iterum discedunt, neque ad perferendos labores, neque ad suscipienda pericula idonei sunt. Quare bonum ego judico imperatorem, qui tum præparat, tum disponit omnes res, omniaque negotia ad usus bellicos spectantia, quando rei bellicæ nulla necessitas urget. Exerceto autem eos his moribus et institutis:

3. Primum, unusquisque miles in aliquo negotio sit. Graves autem, id est scutatos pedites, vel qui universam armaturam gestant ad singulare certamen cum scutis et virgis inter se exerceas.

4. Ad conjicienda eminus jacula, et matzumarbulum, quod nunc dicitur saliba, vel tzicurim.

5. Levem armaturam exercebis, ad sagittas celeriter jaciendas, in hastam aliquam altam eminus defixam.

6. Ad jacula eminus conjicienda, et fundas.

7. Equites exercebis ad sagittas celeriter jaciendas: celeritas enim præparat sagittam, ut facile et cum impetu ex arcu excutiatur: quod necessarium est, et iis qui equis vehuntur in primis conducibile.

8. Atque etiam ut pedites similiter eminus jaciant sagittas, sive in hastam, sive in quodvis aliud signum.

9. Ut sagittas in omnes partes equo currente jaciant, ante, retro, dextrorsum, sinistrorsum. In equum ut exsilire possint.

10. Ut sagittas contente jaciant ex equo currente, unam, atque item alteram, et intentum arcum confestim in corytum ponant, si latus satis corytus fuerit: sin minus in semicorytum ad hoc ipsum opportune factum ponant, et hastam humeris suis gestatam statim in manus sumant. Postea quam autem arcum in coryto intentum habuerit, et sumpserit hastam, in humero iterum hastam statim ponat, et arcum sine mora assumat.

A τοὺς ἀληθεῖς κινδύνους διὰ τῶν ἐν γυμνασίᾳ κινδύνων. Τὸ γὰρ ἀγύμναστον παντελῶς ἀμαθὲς καὶ τυφλὸν πρὸς τὰς ἀθρόας καὶ ἀμελετήτους ἐγχειρήσεις εὑρίσκεται.

β'. Ἢ γὰρ ἐν καιρῷ χειμῶνος, ἢ ἐν ἑτέρῳ καιρῷ ἐν ᾧ ἐστιν ἀνοχὴ πολέμου, ἢ τινων ἐπελεύσεων κατὰ πολεμίας γῆς ἄνεσις, γυμνάζειν σε χρὴ τὰ στρατόπεδα, καὶ ποιεῖν τοὺς στρατιώτας πολεμικοὺς, καὶ ὥσπερ συντρόφους τῶν πόνων διὰ τοῦ ἐθισμοῦ, καὶ μὴ ἀφίης αὐτοὺς ἀργεῖν, μήτε ῥᾳθυμεῖν. Καὶ γὰρ ἡ ἀργία μαλακὰ καὶ ἀσθενῆ ποιεῖ τὰ σώματα, ἡ δὲ ῥᾳθυμία δειλὰς καὶ ἀνάνδρους τὰς ψυχὰς (87) παρασκευάζει. Αἱ γὰρ ἡδοναὶ τὸ καθ' ἡμέραν διελεάζουσιν καὶ ἐντολμότατον διαφθείρουσι. Καὶ ὅταν ἐπὶ μακρὸν χρόνον ἀνειθέντες πάλιν ἐπὶ τοὺς πόνους B ἔλθωσιν, οὔτε ἡδέως ἔξουσιν, οὔτε ἐπὶ πολὺ καρτερήσουσιν, ἀλλ' εὐθέως φεύγουσιν πρὶν ἢ καὶ πεῖραν λαβεῖν τῶν πολεμικῶν πόνων. Εἰ δὲ καὶ εἰς πεῖραν ἐπὶ μικρὸν ἔλθωσιν, ταχέως ἀποχωρίζονται, φέρειν τοὺς πόνους καὶ κινδύνους οὐ δυνάμενοι. Διότερ καὶ ἀγαθὸν ἐγὼ κρίνω στρατηγὸν, ὅταν τὰ χρήσιμα τότε σκευάζει καὶ διατάττει καὶ ἔργα καὶ πράγματα, ὅταν οὐ κατεπείγουσιν αἱ τῶν πολεμικῶν πόνων ἀνάγκαι. Γύμναζε δὲ τὸν στρατὸν τοιούτοις πόνοις καὶ ἐπιτηδεύμασιν·

γ'. Πρῶτον μὲν τὸν καθ' ἕνα στρατιώτην ὡς ἐν μελέτῃ, τοὺς μὲν ὁπλίτας σκουτάτους πεζῇ, ἤγουν τοὺς φοροῦντας τὴν πανοπλίαν, εἰς μονομαχίας μετὰ σκουταρίων καὶ βεργίων ἀντισαλλήλων,

δ'. Εἰς τὸ ῥίψαι μήκοθεν ῥικτάρια, καὶ ματζουμάρβουλον, ὃ λέγεται νῦν σαλίβα, καὶ τζικούριν. C

ε'. Τοὺς δὲ λεγομένους ψιλοὺς οὕτω γυμνάσεις, εἰς τοξείαν σύντομον κατὰ κονταρίου ὑψηλοῦ ἀπὸ διαστήματος.

ς'. Εἰς τὸ ῥίπτειν μήκοθεν ῥικτάριν καὶ σφενδόβολον.

ζ'. Εἰς πηδήσεις καὶ δρόμους κατά τε ὁμαλῶν τόπων καὶ ἀνωμάλων. Τοὺς δὲ καβαλλαρίους γυμνάσεις εἰς τὸ τοξεύειν συντόμως. Ἡ γὰρ ταχύτης καὶ ἐκτινάσσεσθαι παρασκευάζει τὴν σαγίτταν καὶ ἰσχυρῶς βάλλεσθαι. Ὅπερ τῶν ἀναγκαίων ἐστὶ, καὶ τοῖς ἐπὶ ἵπποις ὀχουμένοις χρήσιμον.

η'. Καὶ ἔτι εἰς τὸ τοξεύειν πεζῇ ἀπὸ διαστήματος συντόμως, εἴτε κατὰ κονταρίου, εἴτε κατὰ ἑτέρου D σημείου.

θ'. Εἰς τὸ τοξεύειν ἐπάνω ἵππου τρέχοντος συντόμως ἔμπροσθεν, ὄπισθεν, δεξιὰ, ἀριστερά. Εἰς τὸ πηδᾶν ἐφ' ἵππους.

ι'. Εἰς τὸ τοξεύειν συντόμως ἐπάνω ἵππου τρέχοντος μίαν ἢ καὶ δευτέραν σαγίτταν, καὶ ἀποτίθεσθαι τὸ τόξον τεταγμένον ἐν τῷ θηκαρίῳ, ἐὰν πλατὺ [ᾖ.] ἢ ἐν ἄλλῳ ἡμιθηκίῳ ἐπὶ τούτῳ γινομένῳ εὐκαίρως. Καὶ ἐπιλαμβάνεσθαι τοῦ κονταρίου ἐπὶ τοῦ ὤμου βασταζόμενον, καὶ εἶτα τὸ τόξον, τεταγμένον ἐν τῷ θηκαρίῳ, κρατεῖν δὲ τὸ κοντάριν, καὶ συντόμως ἀποτίθεσθαι αὐτὸ ἐν τῷ ὤμῳ, ἐπιλαμβάνεσθαι δὲ τοῦ τόξου.

NOTÆ.

(87) *Καὶ ἀνάνδρους τὰς ψυχάς.* Scribebatur, καὶ ἄνδρας τας ψυχικάς.

Digitized by Google

ια'. Εἰς τὸ ἐπέρχεσθαι ἀλλήλοις ἄνδρας δύο, καὶ ὑποχωρεῖν καὶ πάλιν ἐπελαύνειν, καὶ ἐξελίσσειν, κατὰ τὸν τύπον τοῦ λεγομένου παρακονταρίου. A

11. Ut invadant se mutuo duo viri, et recedant, et rursus ingruant, et evolvant se ad modum paracontarii.

ιβ'. Τινὰς δὲ αὐτῶν καλόν ἐστι καὶ ἐν τῷ ὁδοιπορεῖν τοὺς στρατιώτας γυμνάζεσθαι ἐν τῇ ἰδίᾳ χώρᾳ, καὶ ἐπιτηδεύειν αὐτὰ ἐπάνω τῶν ἵππων ποιεῖν. Ἐκ τούτου γὰρ καὶ ἡ ὁδὸς ἀνεμπόδιστος ἐκτελεῖται, καὶ οἱ ἵπποι οὐ συντρίβονται.

12. Utile vero est in ipso itinere faciendo, ut quidam ex illis suis locis se exerceant, et conentur hæc ex equis facere. Hoc modo ipsum iter expeditum erit, et equi minus atterentur

ιγ'. Ἐὰν δὲ συμβῇ καὶ χρονίσαι τὸ στράτευμα ἐν ἐξπεδίτῳ, ἤγουν ἔνθα συνάγεται κατὰ τὸν ἴδιον καιρὸν ὅλος ὁ στρατὸς, μὴ ἀργοὺς εἶναι τὸν καθένα, ἀλλ' ἐθίζεσθαι αὐτοὺς, ὡς εἴρηται, πονεῖν. Καὶ ποτὲ μὲν γυμνάζεσθαι πονεῖν κατὰ τὸν εἰρημένον τρόπον, ποτὲ δὲ ὡς ἐν παρατάξει καὶ ἐν ἀλλήλοις· ποτὲ δὲ εἰς ὅπλων ἐργασίας ἀπασχολεῖσθαι. Ἡ γὰρ ἀργία οὐ μόνον νωθροὺς καὶ ἀνάνδρους ποιεῖ, ἀλλὰ καὶ κενά τινα καὶ στασιώδη μελετᾷν αὐτοὺς παρασκευάζει καὶ παρεξάγει. Γυμναζόμενοι δὲ πρὸς τοὺς ἑκουσίους πόνους, εὐκόλως ἄρα καὶ τοὺς ἀκουσίους ὑπενείκωσι, καὶ πρὸς τὰ παραγγελλόμενα αὐτοῖς ὑπακούειν ἐθισθῶσιν. B

μβ'. Τοὺς δὲ στενοὺς καὶ δυσβάτους τόπους ἐπὶ
πολὺ διάστημα ἐκτεταμένους ἐν χώρᾳ ἐχθρῶν κατ' C
ἐξαίρετον οἱ πεζοὶ διαβαίνειν οὐ δυσχερῶς ἔχουσι.
Περὶ τούτων δὲ μετὰ ὀλίγον ἐροῦμεν.

μγ'. Τοὺς δὲ καβαλλαρίους ἐν τῇ χώρᾳ τῶν πολε-
μίων, ἐν καιρῷ θέρους μάλιστα, ἀπερισκέπτως καὶ
ὡς ἔτυχεν διαβαίνειν οὐκ ἐπιτρέπομεν χωρὶς ἀνάγ-
κης. Ἐὰν δέ ἐστιν τόπος ἐπ' ὀλίγον ἄχρι ἑνὸς μιλίου
ἐκτεταμένος, καὶ δύνανται καὶ πεζοὶ διαβαίνειν
ἐκεῖ, δυνατόν ἐστι καὶ καβαλλαρίους πεζεύειν ἐν
αὐτοῖς ἀσφαλῶς.

μδ'. Στενοὺς δὲ καὶ δυσκόλους ἐκείνους λέγω τό-
πους τοὺς μίαν καὶ μόνην πάροδον ἔχοντας. Εἰ γὰρ
καὶ ἄλλαι εἰσὶ πάροδοι, καὶ ἐπινοηθῆναι δύνανται,
ἀνεμποδίστως ἡ πάροδος δύναται γενέσθαι.

με'. Ἐὰν οὖν γένηται καιρὸς στενῶν διαβάσεων,
καὶ διὰ τῶν αὐτῶν πάλιν τόπων μέλλει ὑποστρέφειν D
ὁ στρατὸς, εἰ μὲν δασεῖς εἰσι, καὶ ἐπ' ὀλίγον διά-
στημα, ὡς εἴρηται, κρατοῦσι, τούτους κατὰ τὸν
καιρὸν τῆς ὁδοῦ ἔκκοπτε, καὶ πλάτυνε, καὶ καθά-
ριζε κατὰ τὸν ἐνδεχόμενον τρόπον. Εἰ δὲ στενοὶ καὶ
κρημνώδεις, ὥστε μὴ πλατύνεσθαι δύνανται, ὡς
ἀνωτέρω ἡμῖν εἴρηται, προκαταλάμβανε αὐτοὺς διά
τινος πεζικῆς δυνάμεως, καὶ ἐν τοῖς ὑψηλοτέροις
αὐτῶν τόποις τὴν ἀρκοῦσαν καταλίμπανε ἀσφαλῶς
βοήθειαν, ἢ τυχὸν καὶ διὰ καβαλλαρίων μέχρι τῆς
ὑποστροφῆς, ἢ καὶ τοῦτο κἀκεῖνο ποιεῖν ἐν τοῖς ἀναγ-
καιοτέροις τόποις, τουτέστιν ἐκκόπτειν, ἥγουν καθα-
ρίζειν, καὶ βοήθειαν καταλιμπάνειν κατὰ τὸ ἐνδεχόμενον.

37. Si a tergo aliquam hostium incursionem vel videas, vel metuas, eos qui a tergo sunt æque firmos et paratos facito, atque eos, qui in fronte collocati antegrediuntur, atque ad ea, quæ usuvenire possunt, æque instructos.

38. Præmittes etiam ad loca exploranda equites quosdam, præsertim si silvosa sint, aut collibus, aut montibus inclusa, per quæ transeundum est. Sæpe enim hostium latentes insidiæ summam rerum labefactant et dejiciunt.

39. Nam campestribus et planis locis, oculis omnia lustrare possunt. Et pulvis magnus interdiu excitatus, aut ignes et faces noctu accensæ, hostium sæpe adventum produnt.

40. Si ad pugnam milites tuos producere volueris, duc eos interdiu solum; sin celeriter contendere et hostium exspectationem antevertere cupias, noctu quoque eos ducas, si id fieri tuto posse videbitur.

41. Ante belli tempus remisse ac pedetentim incedito; ubi hostes in conspectum prope venerint, cum celeritate quadam instructis copiis in illos irruito; longa enim sæpe ante pugnam de bello cogitatio fortium virorum animos languescere facit, et animi sollicitudo vires corporis plerumque absumit.

42. Angustas et difficiles in hostium regionibus vias, si longæ admodum fuerint, tamen pedites facile transire sine molestia possunt; de qua re paulo post loquemur.

43. Equites in hostili regione, messis potissimum tempore, incircumspecte temereque vagari latius, nisi id necessitas requirat, minime permittimus. Quod si locus aliquis fuerit ad unius milliaris longitudinem, in quo pedites ire possunt, descendant tum equites, et libere pedibus eant.

44. Angusta et difficilia loca ea nomino, quæ unam tantum viam et transitum habent. Sin plures sint, aut fieri poterunt, transitus satis bonus esse putandus est.

45. Si opportune difficilia quædam atque angusta loca transiisti, per quæ tibi iterum redeundum est, si condensa et silvosa fuerint, et non immensæ alicujus longitudinis, primo transitûs tui, quoad ejus fieri potest, cæde, purga, dilata locum; sin arduus præcepsque locus fuerit, quique latior reddi non potest, præmitte aliquos, quemadmodum ante dictum est, ex peditibus, qui eum locum occupent, homines satis multos atque idoneos, aut si usus ferat, equites qui ad reditum tuum ea loca reservent et custodiant. Vel si quando necessitas exigit, utrumque facias, id est, cæde, purga, et subsidia ibi idonea relinquito.

NOTÆ.

(49) *Ἐπίγεσε*. Scribe, ἐπείγῃς.

Digitized by Google

46. Qui iter per angusta loca cum tuldo, id est, impedimentis, vel aliqua cum præda faciunt, in duas partes sive acies se dividant, et in alterum cornu acuminata deductione procedant. Acuminata autem deductio, id est, ὀρθία παραγωγὴ dicitur, cum in fronte exilis parvaque multitudo sit, dein latius ac latius se ad extremum agmen fundat, atque ibi latissime pateat. Hoc autem faciant maxime, cum præda in manibus illorum est. Si pedites fuerint, facilius illis iter, transitusque expeditior per ea loca erit. Sin equites, ex equis descendant, et medium tuldum, id est, impedimenta, reliquumque apparatum in medio habeant.

μς'. Τοὺς δὲ τὴν πάροδον διὰ τῶν στενῶν ποιουμένους, ἢ μετὰ τούλδου, ἢ μετὰ πραΐδας, εἰς δύο φάλαγγας ἤτοι παρατάξεις γίνεσθαι, καὶ ἐπὶ κέρας ἐν ὀρθίᾳ παραγωγῇ περιπατεῖν πεζῇ. Ὀρθία δέ ἐστι παραγωγὴ ἡ κατὰ μέτωπον μὲν στενὴ, κατὰ δὲ τὸ βάθος εἰς μῆκος ἐκτεινομένη. Τοῦτο δὲ ποιεῖν πραΐδας μάλιστα ἐν χερσὶν οὔσης, εἴτε πεζοί εἰσιν, οἷς μᾶλλον εὐχερὴς ἡ τῶν δασέων καὶ δυσβάτων τόπων διέξοδος, εἴτε καβαλλάριοι ἐκ τῶν ἵππων καταβαίνοντες, καὶ μέσον τὸ τοῦλδον καὶ τὴν ἀποσκευὴν ἔχοντες.

47. Talibus in temporibus et locis diphalangia, id est, duplicata acie ex justo hominum numero, tum ante, tum retro quasi ancipitis gladii acie instructa, si qui supersint, ii ad tuldum, sive impedimenta, et ad prædam, si quam habent, conservandam deligantur, iique multi, et boni aplicti, id est, rerum castrensium custodes quatuor in partibus duplicatæ aciei, quemadmodum locus postulat, collocentur, et sequantur ea, ut repellant atque abigant eos, qui ad auferenda vadunt, ut integra minimeque perturbata ad custodiam prædæ atque impedimentorum collocata acies conservetur, neque ab incursoribus istis perfringatur. Fieri enim non potest, ut qui in diphalangia, id est, duplicata acie instructi sunt, simul ordine conservato, impedimenta et prædam custodiant, et cum hostibus dimicent. Quocirca quatuor in partibus collocare oportet homines, præter hanc diphalangiam, et a tergo potissimum, qui fortissimi sunt. Sic enim facile aspera quævis atque avia loca transiri possunt.

μζ'. Ἐν δὲ τοῖς τοιούτοις καιροῖς καὶ τόποις μετὰ τὴν διφαλαγγίαν, ἥτις ἔχει δυνατὸν λαὸν ἔμπροσθεν καὶ ὄπισθεν, ὥσπερ στομώματα μαχαίρας, ἦν δέον σε ἀφορίζειν εἰς φυλακὴν τοῦ τούλδου καὶ τῆς πραΐδας τῆς, ὡς εἰκὸς, ἐνούσης αὐτοῖς πάντως, καὶ ἄλλους ἐξαπλήκτους, ἡγοῦν ἐπὶ τούτῳ μόνῳ ὄντας, τοὺς καλλίω καὶ πλείους ποιεῖν ἐκ περισσοῦ κατὰ τῶν τεσσάρων μερῶν τῆς διφαλαγγίας, ὡς ὁ τόπος παραδέχεται, παρακολουθοῦντας καὶ ἀποσοβοῦντας τοὺς βουλομένους, ὡς εἰκὸς, ἐκ τῶν ἐχθρῶν ἐπέρχεσθαι, καὶ διαταράσσειν αὐτήν· ἵνα ἀδιάσπαστος καὶ ἀσύγχυτος ᾖ πρὸς παραφυλακὴν τοῦ τούλδου, καὶ τῆς πραΐδας τοῖς διαφυλάττεται, καὶ μηδὲ περισπῶνται οἱ ἐν αὐτῇ διὰ τοὺς ἐπερχομένους. Οὐ γὰρ δυνατὸν τοὺς εἰς τὴν διφαλαγγίαν τασσομένους καὶ τὴν πραΐδαν μετὰ τάξεως φυλάττειν, καὶ τοῖς, ὡς εἰκὸς, ἐπερχομένοις τῶν ἐχθρῶν ἁρμόζεσθαι. Διὰ τοῦτο ἐκ περισσοῦ δεῖ ἔξωθεν τῆς διφαλαγγίας ἔχειν κατὰ τῶν τεσσάρων μερῶν, καὶ κατὰ ἐξαίρετον ὄπισθεν τοὺς κρείττονας ἀφορίζεσθαι. Οὕτως γὰρ ἄν τις δυνήσεται ἐν παντὶ καιρῷ τοὺς δυσκόλους καὶ τραχεῖς τόπους διαβαίνειν εὐκόλως.

48. Equitum, ubi descenderint et pedibus ambulaverint, equos, si pediles alii prope non adfuerint, longe ab illis in medio quodam loco separa, ne si prope essent, et inopinatus quidam timor subito impenderet, ad equos ibi statim, qui in acie jam sunt accurrerent; quæ res sine magna certe offensione fieri non posset.

μη'. Τοὺς δὲ ἵππους τῶν ἀποβαινόντων καὶ πεζευόντων στρατιωτῶν, ἐὰν πεζοὶ οὐ σύνεισι στρατιῶται, μὴ πλησίον τῶν πεζευόντων ἔχε, ἀλλὰ ἐν μέσῳ τόπῳ αὐτοὺς ἀσφαλῶς ἄγε· ὥστε μὴ, ὡς εἰκὸς, παραλόγου δειλίας γενομένης, ταρασσόμενοι οἱ πεζεύοντες, ἐὰν πλησίον αὐτοὺς εὕρωσι, προχείρως ἐπιλαμβανόμενοι τῶν ἵππων καταλιμπάνουσι τὴν τάξιν, καὶ ἐντεῦθεν βλάβη μεγίστη γίνεται.

49. Sin captivos aut prædam aliquam abigant, et hostes eos persequantur, captivos vinctos reliquamque prædam illigatam in unam, aut duas partes divides, et ante te hostibus objicies, qua incursionem hostium fore putas, ut quasi scuto, aut propugnaculo usus, aut disturbanda impedimenta in hostes jaculando abstineant, aut si id facere nolint, tamen captivos et prædam potius feriant, quam milites.

μθ'. Εἰ δὲ συμβῇ αἰχμαλωσίαν αὐτοὺς ἢ πραΐδαν ἐπιφέρεσθαι, καὶ μέλλουσιν οἱ ἐχθροὶ, ἐπιτηδεύειν δέον ταῦτα, ἢ κατὰ τῶν ἑνὸς μέρους ἢ κατὰ τῶν δύο, ἔνθα ἡ πάροδος γίνεται, τοὺς αἰχμαλώτους δεδεμένους ἐξωτέρω τῆς τάξεως παράγειν, καὶ ὑπ' αὐτῶν ὡσανεὶ σκουτεύεσθαι, ἵνα αὐτῶν φειδόμενοι οἱ ἐχθροὶ μὴ ἐπιτηδεύωσιν ἀκοντίζειν· εἰ δὲ καὶ ἀκοντίσωσιν, αὐτοὺς μᾶλλον ἀφανίζουσιν, καὶ μὴ τὸν στρατιώτην.

50. Si necessitate aliqua, aut improviso aliquo casu vel angustiis inclusus, vel aliqua perturbatione implicitus fueris, unde teipsum sine aliquo ingenti periculo expedire non possis, melius est communi consensione, vel partem prædæ, vel totam etiam prædam hostibus dimittere, et secure sine damno discedere potius quam prædæ causa ad majus periculum venire.

ν'. Εἰ δὲ ἄρα ἐν ἀνάγκῃ, ὡς εἰκὸς, καὶ περιστάσει ἀδοκήτῳ ὁ στρατὸς γένηται, καὶ ἐν στενώμασι καταληφθῇ, καὶ οὐκ ἔστιν ἀκινδύνως τὴν ἀναχώρησιν ἐκεῖθεν ποιήσασθαι, τότε κρεῖττόν ἐστιν ἐκ συμφώνου ἢ μέρος τῆς πραΐδας ἢ πᾶσαν παραχωρεῖν τοῖς ἐχθροῖς, καὶ ἀβλαβῶς ἐξέρχεσθαι, ἀλλὰ μὴ δι' αὐτὴν κινδυνεύειν.

Digitized by Google

να'. Εἰ δὲ μὴ οὕτω συμβιβασθῆναι βούλονται, διαχρῆσθαι τούτους ἐπ' ὄψεσι τῶν ἐχθρῶν, καὶ ἐπιμένειν τῇ χώρᾳ αὐτῶν, καὶ λυμαίνεσθαι αὐτὴν ἀφειδῶς, ἢ, ὡς δυνατόν ἐστιν, ἑαυτοὺς μετὰ τάξεως περισώζειν, καὶ τῆς ἐξελεύσεως φροντίζειν. A

51. Sin hoc modo tecum ad pactionem venire noluerint, tum captivos ipsos in hostium conspectu trucidabis, atque adeo vel in eo loco tibi permanendum, et regio undique populanda vastandaque est, vel saluti tuæ consulendum, et acie instructa de exitu et evasione cogitandum est.

νβ'. Καὶ παντοίως σοι, ὦ στρατηγέ, σκοπὸς ἔστω ἐν τοῖς τοιούτοις στενώμασι, καὶ μάλιστα τοῖς ἐπὶ πολὺ διάστημα κρατοῦσι, μὴ ἐπιτηδεύειν βιάζεσθαι στρατοῦ πάροδον, ἐξαιρέτως ἐν καιρῷ θέρους, διὰ τὴν τῆς ὕλης δασύτητα πολεμίων μάλιστα ἐνοχλούντων, πρὶν ἂν οἱ αὐτοὶ ἀποσοβηθῶσι φαινόμενοι, ἢ οἱ ὑψηλότεροι τόποι τῆς παρόδου ὑπὸ σοῦ προκαταληφθῶσι.

52. Omnino hoc consilium in primis tibi sequendum est, ne exercitu aliquo admirabili, atque inopinato labore in iis angustiis, quæ potissimum aliquam longitudinem viæ habent, messis tempore propter silvæ densitatem exerceas, si hostes tum te perturbent, nisi si forte prius vel illos repuleris, vel summa illius loci juga milites tui occupaverint.

νγ'. Καὶ ταῦτα μὲν ἐπὶ τῆς καβαλλαρικῆς στρατείας· ἐπὶ δὲ τῆς πεζικῆς ὁδοιπορίας εἰς μὲν ἐπιπέδους τόπους δέον σε καὶ ὄπισθεν αὐτῶν καὶ ἔμπροσθεν καβαλλαρίους καθιστᾷν εἰς βίγλας, καὶ ἐξωτέρω τῆς βίγλας μηδένα τῶν πεζῶν φαίνεσθαι. B

53. Hæc de equestri itinere : in pedestri itinere, et planis campestribusque locis, ante et post equites ad speculandum constituendi sunt, atque extra eos nullus peditum sit.

νδ'. Τὰ δὲ ἄπληκτα ἐκ τοῦ πλησίον γίνεσθαι· ἵνα μὴ σκοποῦνται οἱ πεζοὶ περιπατοῦντες πολὺ διάστημα.

54. Castra, id est, aplicta prope illos sint, ne longum spatium, si discesserint, pedites conspiciantur.

νε'. Τὰς δὲ μετὰ τῶν πεζῶν ἁμάξας κατὰ τὰ μέρη τῆς παρατάξεως περιπατεῖν δέον, εἴτε ἐν ὀρδίνῳ, εἴτε ἐν παρατάξει, πρὸς τὸν τόπον πρῶτον τοῦ δεξιοῦ κέρατος, εἶτα τοῦ ἀριστεροῦ, μετὰ ἐκείνας δὲ τοῦ μέσου ἀριστεροῦ, καὶ τότε τοῦ μέσου δεξιοῦ, καὶ μήτε πεφυρμέναι καὶ ἀναμεμιγμέναι περιπατοῦσιν.

55. Currus peditum ordine quodam procedant, sive post singulas contubernias post dextrum cornu primo, deinde post sinistrum, tum post sinistrum medium, et deinceps post dextrum medium ; neque confusi, aut permixti currus ambulent.

νς'. Ἐὰν δὲ οἱ ἐχθροὶ πλησίον εἰσὶν, δέον τοὺς ὁπλίτας ἕκαστον τὰ ὅπλα αὐτοῦ βαστάζοντα περιπατεῖν, καὶ μὴ εἰς τὰς ἁμάξας ταῦτα καταλιμπάνειν, ἵνα ὦσιν ἕτοιμοι πρὸς τὴν μάχην. Ἐν δὲ τοῖς ἀναγκαίοις καιροῖς, καθὼς ἐν τῇ παρατάξει τάττονται τὰ τάγματα, οὕτως αὐτὰ δεῖ περιπατεῖν καὶ μὴ συγκεχυμένως (50) ἢ διεσπασμένως· ἵνα, ἐὰν γένηται χρεία τοῦ παρατάξεσθαι, ἑτοίμως εἰς τοῦτο καταστῶσιν. C

56. Si prope hostes fuerint, singuli armati arma gestent, neque ea in curribus relinquant, ut sint ad prœlium parati : et in periculosis temporibus omnes res ita instructæ sint, ac si in ipsa acie essent, ut si nec confuse, nec inordinate prodeant, ubi acies instruenda sit, in promptu atque in procinctu sint.

νζ'. Ἐὰν δὲ πολλοί εἰσιν οἱ τῶν ἐχθρῶν καβαλλάριοι, ἐγγιζόντων αὐτῶν, τὸν στρατὸν μὴ ἐπιτηδεύειν συνεχῶς τὰ ἄπληκτα ἀλλάσσειν ἢ τὰς ὁδοιπορίας ποιεῖσθαι πρὸ τῆς τοῦ πολέμου ἐκτάσεως, ἀλλὰ πρὸ δύο ἢ τριῶν ἡμερῶν προκαταλαμβάνειν τὸν τόπον, ἔνθα ἡ συμβολὴ μέλλει γίνεσθαι, κἀκεῖσε ἀσφαλῶς ἀπληκεύειν.

57. Si multi nostium fuerint equites, et ii prope ad te accedant, ne propterea castra transferas, et novum iter ante bellum commissum suscipias, sed tres aut quatuor dies ante conflictationem ipsam, castra in eo loco pone, ubi pugnaturus es, et ibi tuto te ad illud tempus collocato.

νη'. Ἐὰν δὲ μέλλῃς ἔφοδον ποιεῖν κατὰ χώρας ἐχθρῶν μετὰ πεζικοῦ στρατοῦ διὰ δασέων καὶ δυσβάτων καὶ στενῶν τόπων, ἢ καὶ ἐν αὐτοῖς ἐγχειρήσεις κατ' αὐτῶν ποιεῖσθαι, οὐ δεῖ σε πολλοὺς καβαλλαρίους ἔχειν, μήτε ἁμάξας ἔχειν, ἢ τοὔλδον πολὺν, ἢ ὅπλα πολλά, οἷον λωρίκια, καὶ κασσίδας, ἢ κλιβάνια, ἢ τι τοιοῦτον, ἀλλὰ σκουτάρια μόνον ἔχειν τοὺς σκουτάτους, μείζονα δὲ κοντάρια· τοὺς δὲ λεγομένους ψιλοὺς, σκουτάρια κοντὰ καὶ τὰ σπαθία, καὶ τζικούρια μικρὰ, καὶ ἐλαφρότερα τοξοφάρετρα, ῥικτάρια, ἀκόντια μικρὰ, τζικοῦρια, καὶ εἴ τι τοιοῦτον ἐλαφρὸν καὶ χρήσιμον. Ἀξίνας δὲ πάντως περισσὰς χρὴ ἔχειν, καὶ ἐν τοῖς σαγμαρίοις ἐπιφέρεσθαι, διὰ τὰς χρείας. D

58. Si incursionem in hostilem terram cum peditatu facturus es, idque per condensa atque angusta loca, quamvis in eo loco pugna gravis futura sit, neque magnum equitatum, neque multa impedimenta, neque multa arma tecum feras, ut loricia, id est, galeas, cassides, clibania, id est, thoraces ; sed scuta scutati solum habeant, et contaria, id est, hastas longas, et spathas, et tzicuria. Leves autem habeant scuta parva, rhictaria, jacula, tzicuria parva, et si quid aliud tale leve atque expeditum est. Secures multas habere in sagmariis, id est, sarciniis, ad omnem usum paratas oportet.

NOTÆ.

(50) *Καὶ μὴ συγκεχυμένως.* Desiderabatur, μή.

Digitized by Google

59. Pedestrem scutatorum aciem non directe solum in fronte collocabis, quemadmodum in planis expositisque locis, sed in duas aut quatuor partes divides eos, id est, unumquodque contubernium ad duorum vel quatuor hominum altitudinem, pro ratione multitudinis tuæ, et pro usu præsente; partes autem istæ divisæ, et a se separatæ, procedant ad unum lapidis jactum.

νθ'. Τὴν δὲ πεζικὴν τῶν σκουτάτων τάξιν μηδ' ἐπ' εὐθείας ἤτοι κατὰ τὸ μέτωπον τάσσειν χρὴ, ὡς ἐν τοῖς ὁμαλοῖς καὶ γυμνοῖς τόποις, ἀλλ' εἰς δύο ἢ δ' μέρη, ἐπὶ β' ἢ δ' τὸ βάθος τῶν ἀκιῶν πρὸς τὸ ποσὸν τοῦ στρατοῦ, ἢ ὡς ἡ χρεία ἅπαντᾷ. τὰ δὲ μέρη ἴσως κινεῖν καὶ περιπατεῖν ἀφεστῶτα ἀπ' ἀλλήλων ὡς ἀπὸ λίθου βολῆς.

60. Sin equites, et tuldum, sive impedimenta quoque ibi abfuerint, impedimenta statim post pedites locabis, deinde equites post impedimenta; a tergo equitum quidam scutati leves collocabuntur, ad extremas partes defendendas, adversus omnes nec opinatas incursiones.

ξ'. Ἐὰν δὲ σύνεισι καβαλλάριοι (51), ἢ τοῦλδον, ὄπισθεν αὐτῶν τὸν τοῦλδον ποιεῖν, καὶ μετὰ αὐτὸν τοὺς καβαλλαρίους, καὶ μετὰ αὐτοὺς ὀλίγους σκουτάτους ψιλοὺς νωτοφύλακας, διὰ τὰς ἀπὸ ὄπισθεν, ὡς εἰκὸς, ἐπιγινομένας ἀδοκήτους (52) ἐφόδους.

61. Leves alios emittes ex acie usque ad unius signi numerum, cum paucis equitibus; alios ad latera hinc atque illinc collocabis, ad pervidendum et explorandum, num aliquæ ibi insidiæ sint positæ, et ad arbores circumcirca tam idonee cædendas, ut manibus, si quando tum usus tulerit, in transitum hostium dejectæ, aditu in angustiis, atque itinere prohibuit, aut et magnum negotium transgredi festinantibus facessant.

ξα'. Τοὺς δὲ ψιλοὺς τοὺς μὲν ἐκπορεύεσθαι τῆς παρατάξεως μέχρι ἑνὸς σημείου μετὰ ὀλίγων καβαλλαρίων, τοὺς δὲ ἐκ πλαγίων ἔνθεν κἀκεῖθεν ἀνάγκη περιπατεῖν, ἵνα καὶ σκουλκεύωσι καὶ γινώσκωσι (53) μή ποτε ἐγκρύμματά εἰσιν ἐχθρῶν, ἢ δένδρα ἱστάμενα τὰ ὄπισθεν αὐτῶν περιπρισμένα ἔχοντα, καὶ σχηματικῶς ἱστάμενα, ἅτινα ἀπὸ χειρῶν ὠθούμενα, καὶ πίπτοντα κατὰ τῶν παρόδων ἐμφράξεις ποιοῦσιν ἐν τοῖς στενώμασι, καὶ ἀγῶνα τοῖς αἰφνιδιαζομένοις παρέχουσιν.

62. Ad hæc perlustrare cum levibus et paucis equitibus, et hostium insidias, si quæ in via collocatæ sint, repellere, et tum aciem instructam illac deducere oportet.

ξβ'. Καὶ ταῦτα προερευνᾶν δεῖ διά τε ψιλῶν στρατιωτῶν καὶ ὀλίγων καβαλλαρίων, ἅμα δὲ καὶ ἀποσοβεῖν τοὺς κεκρυμμένους ἐχθροὺς, εἶθ' οὕτως παρέρχεσθαι τὴν παράταξιν.

63. Ubi rariora et laxiora loca fuerint, equites et speculatores anticipent, ubi condensa et aspera, tum pedites ea occupent.

ξγ'. Καὶ ὅπου μὲν ἀραιότεροί εἰσι τόποι, τοὺς καβαλλαρίους προλαμβάνειν καὶ τὰς βίγλας ποιεῖν· ὅπου δὲ δασεῖς καὶ δυσχερεῖς τόποι, τοὺς ψιλούς.

64. Leves non in frontem directe, quemadmodum scutatos, sed per duos, aut tres, aut quatuor leves jaculatores cum scutis suis locabis, ut tempore hoc desiderante, tum protegere scutis, tum jaculari etiam possint, unumque sagittarium singuli bi minuti manipuli habeant, quibus cæteri bene conservabuntur.

ξδ'. Τοὺς δὲ ψιλοὺς μὴ τάττε ἐπ' εὐθείας καθὼς τοὺς σκουτάτους, ἀλλὰ κατὰ δύο ἢ τρεῖς ἢ τέσσαρας ψιλοὺς ἀκοντιστὰς τάξεις ἐπιφερομένους καὶ τὰ σκουτάρια αὐτῶν, ἵνα ἐὰν χρεία γένηται, καὶ σκουτεύσωσι καὶ ἀκοντίσωσιν οἱ αὐτοί· καὶ ἵνα δὲ τοξότην ἔχειν, ὅστις καὶ ὑπ' αὐτῶν φυλαχθήσεται.

65. Tales drungos, id est, cohortes milliarias non una in acie, vel directe duces, sed ordine altius atque altius incedent, ut tergora antegredientium sequentes defendant. Quod si contingant anterioribus, ut ab hostibus retardentur, et propter difficultatem loci admodum vexentur, tum isti a tergo de improviso intervenientes, altiore in loco, quam hostes sunt positi, suis succurrant. Necesse enim levibus semper est, ut adversum inimicos altiora loca anticipent.

ξε'. Τοὺς δὲ τοιούτους τοὺς δρούγγους (54) μὴ ἐπὶ μιᾶς παρατάξεως ἢ ἐπ' εὐθείας τὴν ὁδοιπορίαν ποιεῖσθαι, ἀλλ' ἐφεξῆς ἐπαρμένους, ἵνα καὶ τοὺς νώτους ἀλλήλων φυλάττωσιν, καὶ ἐὰν συμβῇ τοῖς ἔμπροσθεν αὐτῶν ἀντιτάσσειν ἐχθρῶν ὑπομεῖναι, καὶ βαρεῖσθαι ὑπὸ δυσχερείας τόπου, ὄπισθεν ἀγνώστως ὑψηλότεροι γινόμενοι κατὰ τοῦ νώτου τῶν ἐχθρῶν ἔρχονται. [Διὸ] ὅπερ ἀναγκαῖόν ἐστιν ἀεὶ σπεύδειν τοὺς ψιλοὺς, ἵνα τοὺς ὑψηλοτέρους τόπους κατὰ τῶν ἐχθρῶν προκαταλαμβάνωσιν.

66. Levibus etiam præcipies, ut longius ab acie, quam buccina exaudiri potest, ne discedant; auxilio enim destituti admodum prementur.

ξς'. Παραγγελῇς δὲ καὶ τοὺς ψιλοὺς, ἵνα πλέον τοῦ δύνασθαι αὐτοὺς κἀκείνων (55) ἀκούειν βυκίνου· μὴ χωρίζωνται τῆς παρατάξεως, ἵνα μὴ γυμνούμενοι βοηθείας, ὡς εἰκὸς, βαρύνωνται.

NOTÆ.

(51) *Καβαλλάριοι.* Et sic erat in codice Palatino. Scribebatur, καβάριοι.

(52) *Ἀδοκήτους.* Scribebatur, ἀδικητους.

(53) *Ἵνα καὶ σκουλκεύωσι καὶ γινώσκωσιν.* Legebatur ἵνα καὶ εὖ βουλεύονται καὶ γινώσκουσιν. In codice Pistoriano erat, ἵνα ἐκουλκεύσονται. Recentioribus Græcis, σκοῦλκαι, sunt *excubiæ*, et σκουλκεύειν significat, *excubare, explorare.* Ut docemus in nostro *Glossario.*

(54) *Τοὺς δὲ τοιούτους δρούγγους.* Scribebatur, τοὺς δὲ τούτους τοὺς δρούγγους.

(55) *Αὐτοὺς κἀκείνων.* In Pistorii codice erat, αὐτοὺς κοκίνων. Scribe, ἀκεύειν βουκίνων.

Digitized by Google

ξζ'. Τῶν δὲ τεσσάρων μερῶν ἐπὶ τὸ ἔμπροσθεν κέρας A πορευομένων ἐν στενῷ εὑρεθῇ τόπος, ὥστε μὴ δύνασθαι τὰ τέσσαρα μέρη καθ' ἑαυτὰ παρέρχεσθαι, δύο μέρη ποιεῖν εἰς διφαλαγγίαν.

ξη'. Εἰ δὲ μηδὲ δύο χωροῦσι, κατὰ ἓν μέρος παράγειν ἐπὶ κέρας ὡς μίαν παράταξιν, καὶ τοὺς λοιποὺς ἐφεξῆς τῶν ψιλῶν, ὡς εἴρηται, ἀεὶ προλαμβανόντων.

ξθ'. Μετὰ δὲ τὸ παρελθεῖν τὸν στενὸν τόπον πάλιν εἰς τέσσαρας ἀρχὰς ἥγουν μέρη, ὡς ἐτάγησαν ἐπὶ κέρας, ἥγουν πρὸς τὰ ἔμπροσθεν, φέρειν αὐτούς.

ο'. Εἰ δὲ πλῆθος ἐχθρῶν ἐπιφανῇ ἢ ἔμπροσθεν, ἢ ἐκ πλαγίων, οἷον ἂν σὺ ἴδῃς μέρος ὅτι πρέπει μετὰ ἐκεῖνο, ποιήσεις ἐπὶ μέτωπον, ἥγουν ἐπὶ τὰ ἔμπροσθεν τὴν παράταξιν· τουτέστιν, εἰ μὲν ἀριστερᾷ τῆς παρατάξεως φανῶσιν, αὐτοῦ τοῦ ἄκρου μέρους τῆς B παρατάξεως ἐν τάξει ἱσταμένου, ἔρχωνται τὰ ἄλλα τρία μέρη, καὶ παρατάσσωνται αὐτῷ ἐν τοῖς ἰδίοις τόποις.

οα'. Εἰ δὲ δεξιᾷ φανῶσι, τὸν ὅμοιον τρόπον μεταβαλλόμενοι ποιοῦσι τὰς ὄψεις καὶ ἐκεῖνοι.

οβ'. Εἰ δὲ ἔμπροσθεν φανῶσι τῶν μέσων μερῶν, ἢ τοῦ ἑνός, ἢ τῶν δύο, καὶ τῶν τόπων δὲ δεξιᾷ ἐκκλινομένων, καὶ εἰς μέτωπον ἀποκαθισταμένων, τὰ ἄλλα δύο μέρη ἐρχόμενα ὁμοίως παρατάσσονται, καὶ γίνεται ἡ τάξις πλαγία ἐπὶ μέτωπον.

ογ'. Καὶ εἰ μὲν ὁ τόπος ἔχει, συντεταγμένως ἐπέρχεσθαι τοὺς ψιλοὺς τοῖς ἐχθροῖς, ἵνα μετὰ αὐτῶν καὶ καβαλλάριοι κατακυκλῶσι τοὺς ἐναντίους· εἰ δὲ οὐ χωρεῖ, συντεταγμένην αὐτὴν καὶ πεπυκνωμένην C διέρχεσθαι.

οδ'. Τὰς δὲ τῶν ὁπλιτῶν, ἥγουν τῶν σκουτάτων ἀκίας βαθείας (56) καὶ ἀραιὰς τάσσεσθαι, ἵνα καὶ τὰς διαβάσεις εὐκόλως διὰ τῶν δένδρων ποιῶνται, καὶ ἐὰν χρεία οὕτως γένηται, πυκνῶνται.

οε'. Ἐὰν δὲ οὐ χωροῦνται, δεῖ ἵστασθαι τὴν παράταξιν, τοὺς δὲ ψιλοὺς ἀφιέναι εἰς τοὺς ἐχθρούς, καὶ ἐκ τῶν πλησίον ἐπιβοηθεῖν αὐτοῖς διά τε ὀλίγων σκουτάτων καὶ διὰ καβαλλαρίων.

ος'. Παραγγελῆς δὲ πάντως, ἵνα ὅταν, ὡς εἰκὸς, κραυγὴ γένηται ἐν τῷ ὁδοιπορεῖν, ὡς πολεμίων ἐπιφαινομένων, μὴ πάντως φύρεσθαι, καὶ κατὰ ἐκεῖνου τρέχειν τοῦ μέρους, ἀλλὰ τοὺς μὲν σκουτάτους τῆς τάξεως αὐτῶν ἔχεσθαι, τοὺς δὲ ψιλοὺς ἑκάστου μέρους ἐπὶ τὸν κράζοντα συντρέχειν, καὶ μὴ τοὺς D ἔμπροσθεν εἰς τὰ πλάγια προχείρως ἔρχεσθαι, ἢ τοὺς τῶν πλαγίων ἐπὶ τὸ ἔμπροσθεν μέρος ἄνευ τῆς τοῦ ἄρχοντος ἐπιτροπῆς, ἀλλ' ἕκαστον μέρος τοῖς ἰδίοις ἐπιβοηθεῖν ἐν καιρῷ κραυγῆς ᾧ ἢ χρεία, καὶ ἵνα ἐὰν βαροῦνται, ὡς εἰκὸς, εἰς τὴν τῶν σκουτάτων παράταξιν τρέχωσι, καὶ μὴ βιάζωνται ὑπὸ τῶν ἐχθρῶν.

οζ'. Ἀσφαλῶς οὖν αἱ ὁδοιπορίαι τῶν πεζῶν καὶ ἁρμοδίως γίνεσθαι δύνανται, ἵνα, ὡς εἴπομεν, ἐν μὲν τοῖς βασυτέροις τόποις καὶ δυσβάτοις ἐπὶ κέρας, ἥγουν στενο (57) ἐπιμήκη τάσσωνται τάξιν, εἴτε εἰς τέσσαρα μέρη, εἴτε εἰς δύο, ὡς οἱ τόποι δέχονται. Ἐν δὲ

67. Quatuor partibus in fronte ad eumdum collocatis, si locus tam angustus sit, ut per eum ita transire nequeant, duas partes in diphalangiam conferes.

68. Sin ne duas quidem partes spatium loci capiat, tum unam partem quasi integram aciem ad cornu procedere facies, reliquis levibus ita uti ante dixi collocatis.

69. Postquam angustias loci transierint, tum quemadmodum ante fecerunt, in quatuor partes ad cornu, id est, anteriorem frontem procedant.

70. Si multitudo hostium adventaverit vel ante, vel ad latus, in quam partem videris hostes se velle convertere, eam partem ad frontem, ad aciei initium deducito; hoc est, si ad lævam aciei appareant, hac summa parte aciei in ipsa acie consistente, moveant se reliquæ tres partes, et suis in locis ordinate juxta hanc partem semper instruantur.

71. Sin ad dextram venerint, eædem reliquæ partes vultus suos vertentes consistant.

72. Si ante medias partes sive unam, sive duas hostes venerint, vel in dextram partem declinantium, vel ad frontem venientium, reliquæ tum duæ partes venientes similiter instruantur, et acies in frontem obliquata fiet.

73. Si magnitudo loci permittat pedites sic hostes suos invadere, ut equites quoque hostes suos circumdare possint, recte est; sin minus, hæc acies instructa densataque eat.

74. Armatorum, sive scutatorum contubernia rata et alta facere oportet, ut objectas arbores facile transeant, et si opus fuerit densari possint.

75. Si locus eos non capiet, universa tum acies instructa consistet, et leves quidam adversus hostes procedent, et adjumento illis erunt scutati aliquot atque equites, qui proxime fuerint.

76. Præcipies autem, quando adventantibus, quemadmodum fere fit, clamor fieri solet, ne tum misceant se milites, et ad illam occurrant partem, sed scutati suam teneant stationem, leves autem contra clamantem hostem excurrant. Neque tamen, qui in anteriore parte sunt, ad latera decurrant, neque, qui in lateribus sunt, ad cornua contendant, sine præfectorum imperio; sed unumquodque latus suis, hoc clamoris tempore, si usus sic ferat, succurrat, ut si premantur, ad scutatorum aciem se referant, ne ab hostibus lædantur.

77. Tuta igitur peditum et idonea itinera esse possunt, si, ut prædiximus, in condensis asperisque locis ad cornu, id est, ad longitudinem quamdam angustiorem instruantur, sive quatuor partes, sive duas solas loci amplitudo capiat; in laxiori-

NOTÆ.

(56) Ἀκίας βαθείας. Scribebatur, ἀκίας θείας.

(57) Στενο. Scribe, εἰς τὴν

bus autem et magis spatiosis locis, ad frontem acie in latum porrecta, et laxioribus latitudine contuberniis, altitudine densioribus.

78. Illud pro certo teneas, in condensis locis eos, qui rhictaria, sive menaula, id est, jacula longiora manu conjiciunt, magis necessarios esse sagittariis aut funditoribus, atque ideo multi leves exercendi ad hæc tela sive jacula manu conjicienda sunt.

79. Sagittarii in acie instructa præstabiliores sunt, et in asperis, arduis, angustis atque expositis in locis.

80. Jaculatores extra aciem instructam in condensis locis utilissimi sunt. Atque hæc in itineribus faciendis observanda sunt.

81. Priusquam omnes castra posuerint, aciem neque pedestrem, neque equestrem dissolvas, neque priusquam fossatum undique munitum sit, et speculatores exierint.

82. Præcipies autem, ut perfecte cognoscant buccinæ sonum, ut ubi consistere eos jubet consistant, et ubi alia buccina procedere eos imperat, procedant. Ad hunc igitur modum de itinere exercitus faciendo disputatum sit. Restat ut de tuldo, sive impedimentis pauca disseramus.

CONSTITUTIO X.

De tuldo, id est, impedimentis.

1. Tuldi, sive impedimentorum cura tibi suscipienda est : neque enim temere aut fortuito disjicienda sunt, sed ubicunque relinquuntur, in tuto sunt collocanda.

2. Neque rursum in bello incircumspecte ducatur; persæpe enim militum administri, persæpe liberi atque cognati, quos charos habent, cum tuldo sunt. Quod nisi in tuto sit, anxietate animorum sæpe vexantur milites, et sollicitudine in diversas partes distrahuntur.

3. Unicuique enim prudenti viro, præter suum ipsius damnum, dolori est etiam inimici prosperitas. Itaque cum suum ipsius damnum oculis intuetur, vel omnino bello abstinet, vel ad pugnandum languidior fit.

4. Imprimis autem congregato tuldo, et publico jam prœlio imminente, multitudinem palicariorum, id est, eorum qui præfectis et militibus operam dant, eo deducere non consulo, neque in sua terra bello exspectato, neque in aliena; sed pauci sunt, iique quantum fieri potest firmiter muniti.

5. Totidem autem retineas, quot ad singula contubernia administranda et jumenta gubernanda satis sint. Id fiet tum ad varietatem illorum cognoscendam, tum ad acierum rationem percipien-

τοῖς ἀραιοτέροις ἐπὶ μέτωπον ἐν πλαγίᾳ τάξει εἰς πλάτος, ἐν ἀραιοτέραις μὲν κατὰ τὸ πλάτος ἀκίαις, βαθυτέραις δὲ κατὰ τὸ πάχος.

οη'. Γίνωσκε δέ, ὅτι ἐν ταῖς δασείαις ὕλαις (58) οἱ ἐκ χειρὸς ἀκοντίζοντες διὰ ῥικταρίων ἢ μεναύλων ἀναγκαιότεροί εἰσι καὶ τῶν τοξοτῶν καὶ τῶν σφενδονιστῶν. Διὰ τοῦτο πρέπον ἐστὶ τοὺς πολλοὺς τῶν ψιλῶν εἰς ῥικτάρια καὶ ἀκόντια ἐκ χειρὸς βαλλόμενα γυμνάζεσθαι.

οθ'. Οἱ δὲ τοξόται ἀναγκαῖοί εἰσι τῇ παρατάξει μᾶλλον ὑποτασσόμενοι καὶ εἰς τραχεῖς καὶ εἰς κρημνώδεις καὶ εἰς στενοὺς καὶ γυμνοὺς τόπους.

π'. Οἱ μέντοι ἀκοντισταὶ καὶ ἔξωθεν τῆς παρατάξεως εἰς τὰς ὕλας τὰς δασείας μάλιστα ἀναγκαῖοί εἰσιν. Τοσαῦτα μὲν οὖν καὶ ἐν ταῖς ὁδοιπορίαις παραφυλάττειν σε ἀναγκαῖον, ὦ στρατηγέ.

πα'. Πρὶν ἢ δὲ πάντας ἀπληκεῦσαι τὴν παράταξιν μηδέποτε διάλυε, μήτε ἐπὶ πεζῆς στρατείας, μήτε ἐπὶ καβαλλαρικῆς, ἕως ἂν καὶ τὸ φοσσάτον ὀχυρωθῇ, καὶ αἱ βίγλαι ἐξέλθωσιν.

πβ'. Εἰδέναι δὲ πάντας προστάξεις, ἵνα τῇ φωνῇ τοῦ κατὰ συνήθειαν βουκίνου γνωρίζοντες αὐτὰ ἵστανται, καὶ πάλιν τῇ συνήθει (59) φωνῇ τοῦ ἑτέρου βουκίνου, ἤγουν τοῦ κινήματος κινῶσιν. Οὕτως οὖν ἡμῖν διατετυπωμένων τῶν περὶ ὁδοιπορίας στρατοῦ, ἐφεξῆς σοι καὶ τὸν περὶ τοῦ λεγομένου τούλδου διαταξώμεθα τύπον.

ΔΙΑΤΑΞΙΣ Ι'.

Περὶ τοῦ λεγομένου τούλδου.

α'. Δεῖ οὖν καὶ τοῦ τούλδου ἀναγκαίως σε φροντίζειν, καὶ μὴ ὡς ἔτυχε καταλιμπάνειν αὐτὸ, ἀλλ' ἀσφαλίζεσθαι ὅπου ἂν καταλειφθῇ.

β'. Μηδὲ πάλιν ἀπροσηκόντως ἐπιφέρεσθαι αὐτὸ ἐν τῇ μάχῃ· συμβαίνει γὰρ καὶ παλλικάρια εἶναι ἐν αὐτῷ χρήσιμα τοῖς στρατιώταις, καὶ τέκνα, ἢ συγγενεῖς αὐτῶν. Καὶ εἰ μὴ ἐν ἀσφαλείᾳ τυγχάνει, τῷ περισπασμῷ αὐτοῦ οἱ στρατιῶται συνεχόμενοι ἀμφίβολοι καὶ μεριζόμενοι τὰς γνώμας ἐν ταῖς μάχαις γίνονται.

γ'. Καὶ γὰρ ἑκάστῳ συνετῷ ἀνδρὶ σπουδή ἐστι, χωρὶς ἰδίας βλάβης τὰ τοῦ ἐχθροῦ κερδῆσαι. Ἐὰν δὲ οἰκείαν ὑφορᾶται βλάβην, ἢ ἀπέχεται, ἢ ὀκνηρότερος γίνεται.

δ'. Καὶ πρωτοτύπως μὲν συνεπαγομένου τοῦ τούλδου, καὶ συμβολῆς δημοσίας προσδοκωμένης, πλῆθος τῶν λεγομένων παλλικαρίων, ἤγουν τῶν δουλευόντων τοῖς τε ἄρχουσι καὶ τοῖς στρατιώταις, ἐπιφέρεσθαι οὐ συμβουλεύομεν, οὔτε ἐν τῇ ἰδίᾳ γῇ ἡμῶν τῆς μάχης ἐλπιζομένης, οὔτε ἐν τῇ ἀλλοτρίᾳ ἐπερχομένων, ἀλλὰ συμμέτρους εἶναι καὶ τοὺς ἐν δυνάμει ὄντας.

ε'. Τοσούτους δὲ, ἤγουν τοὺς ἐπαρκοῦντας, κατὰ τὸ κοντουβέρνια ἀντέχεσθαι, καὶ διοικεῖν τὰ ἄλογα αὐτῶν πρὸς τὴν διαφορὰν καὶ τὴν ποιότητα καὶ διάγνωσιν τῶν ταγμάτων, ἤτοι τὸ πλῆθος τῶν ἀλόγων· διὰ

NOTÆ.

(58) *Ταῖς δασείαις ὕλαις.* Scribebatur, ταῖς δυσὶν ὕλαις.
(59) *Τῇ συνήθει.* Scribebatur, τῇ συνηθείᾳ.

Digitized by Google

τὸ μὴ πολλὴν φύρσιν καὶ δαπάνην ἄκαιρον καὶ περισπασμὸν γίνεσθαι.

ς'. Τούτους δὲ ἐν τῷ καιρῷ τῆς μάχης, εἰ μὲν σύνεστι πεζικὸς στρατὸς, δηλονότι σὺν αὐτῷ, μετὰ τῶν ἐπὶ τούτῳ ἀφοριζομένων καταλιμπάνειν αὐτούς, εἴτε ἐν τῇ ἰδίᾳ, εἴτε ἐν τῇ ἀλλοτρίᾳ ὁ πόλεμος κρίνεται. Ἀσφαλῶς δὲ αὐτοὺς εἶναι ἐν τῷ φοσσάτῳ, καθὼς ἐν τῷ περὶ ἀπλήκτων δηλώσομέν σοι τόπῳ.

ζ'. Καὶ αὐτὰ δὲ τὰ σαγμάρια, καὶ τὴν λοιπὴν ἀποσκευὴν, ἅπερ καλεῖται ἀδέστρατα (60) μετὰ τοῦ τούλδου καταλιμπάνειν.

η'. Καὶ ἐν μὲν τοῖς κούρσοις (61), ἢ ταῖς ἄλλαις ἐφόδοις, ἔχειν αὐτὰ τοὺς στρατιώτας τάχα καὶ μέχρι καὶ αὐτῆς τῆς ἡμέρας τῆς συμβολῆς πεφραγμένα καὶ ἐν δυνάμει.

θ'. Ἐν αὐτῇ δὲ τῇ συμβολῇ ἐγγὺς ἔχειν τῆς παρατάξεως ἀδέστρατον (62) οὐκ ἀναγκαῖον κρίνομεν (63), ἀλλ' ἐν τῷ φοσσάτῳ καταλιμπάνεσθαι. Καὶ γὰρ συμβαίνει πολλάκις, καὶ ταραχῆς γινομένης εὐκόλως παραπίπτουσι, διὰ τὸ (64) ὑπὸ μικρῶν παλλικαρίων κρατεῖσθαι.

ι'. Εἰ δὲ σύνεστι πεζικὸς στρατὸς, εἰ μὲν ἐν τῇ ἰδίᾳ χώρᾳ, ἢ ἐν αὐτοῖς τοῖς μεθορίοις ἀμφοτέρων τῶν χωρῶν τῆς τε ἡμετέρας καὶ τῆς πολεμίας προσδοκᾶται ἡ μάχη εὐθέως γίνεσθαι, καὶ οὐκ ἔχει ὑπέρθεσιν, τότε ἐν ὀχυρῷ τόπῳ, ἔνθα καὶ βοσκαὶ καὶ ὕδατα ἀρκοῦντα εὑρίσκονται, ὡς ἀπὸ τριάκοντα καὶ πεντήκοντα μιλίων καταλιμπάνειν τὸν πλίονα (65) καὶ ἄχρηστον τοῦλδον· καὶ τὰ περισσὰ ἅλογα καὶ ἐργαλεῖα καὶ ἕτερα εἴδη, ὧν χρεία οὐκ ἔστι κατὰ τὴν ἡμέραν τοῦ πολέμου.

ια'. Ἀφόριζε δὲ καί τινας ἐν τῷ μέσῳ διαστήματι τοῦ τε τούλδου καὶ τῆς μάχης ἐγνωσμένους πᾶσι καὶ μὴ πονηροὺς καὶ φαύλους ἀνθρώπους, καὶ κατάστησον αὐτοὺς εἰς διάστατα (66), καὶ ὑπόδειξον τόπους (67) τῷ ἄρχοντι τοῦ τούλδου (δεῖ γὰρ αὐτὸ πάντως ἄρχοντα ἴδιον ἔχειν), ὥστε πρὸς τὴν τοῦ πολέμου ἔκβασιν ὀφείλειν αὐτοὺς μηνῦσαι τοῖς ἐν τῷ τούλδῳ, ἢ μεῖναι ἐν τῷ αὐτῷ τόπῳ ἐν ᾧ καταλιμπάνονται, ἢ ἐν ἑτέρῳ ἀπελθεῖν τῷ δοκοῦντι τόπῳ, ἢ καὶ ἐνέγκαι αὐτοὺς πρὸς τὸν στρατόν.

ιβ'. Ἐκ δὲ τοῦ τούλδου κινοῦντας ἐπὶ τὴν μάχην παραλαβεῖν τὰ ἀδρέστατα (68) ἤγουν σαγμάρια, καὶ ἢ τέντας διπλᾶς ἢ σαγία διπλᾶ εἰς τὸ μὲν ἐν σκέπεσθαι, εἴπερ χρεία καλέσει, τὸ δὲ ἕτερον εἰς τένταν ἤτοι τὸ λεγόμενον καμάρδην ἔχειν.

ιγ'. Ἀλλὰ καὶ δαπάνην ἢ παξαματίου, ἢ πίστου, ἢ ἄλλου τινὸς εἴδους ἁλφροῦ εἴκοσι ἢ καὶ τριάκοντα λίτρας, καὶ τότε ἀπληκεῦσαι ἐν τῷ φοσσάτῳ, ἐνῷ ἂν

A dam, ne jumenta perturbate confusa sumptus importunos et perturbationes varias afferant.

6. Hos tempore prœlii, si pedestris acies non adfuerit, ac reliquos, qui ad tuldi custodiam constituuntur, cum ea oportet relinquere, sive in sua, sive in aliena terra bellum geratur. Tutissimum autem est hos in bello esse, quemadmodum postea dicemus, ubi de aplicto, id est, castris, verba facimus.

7. Ipsa autem sagmaria, id est, sarcinas, reliquosque apparatus, quæ andresta vocant, cum ipso tuldo relinques.

8. In incursionibus hæc teneant secum milites, et usque ad diem ipsum belli committendi bene munita habeant ac roborata.

B

9. Ipso conflictationis tempore andrestum, id est, apparatum prope habere minime necessarium est, sed in fossato sive castris relinquatur. Persæpe enim tumultu aliquo facto, animis concidunt, si pauca palicaria, id est, pauci ex administris capti fuerint.

10. Sin pedestris acies adfuerit sive in regione tua, sive in intercapedine inter tuam et hostilem terram, ubi bellum sine ulla dilatione aut intermissione futurum est, ad aliquem firmum locum, ubi et pastiones et aquæ futuræ sunt, triginta aut quinquaginta millibus ab eo loco inutile tuldum et superfluum relinquito, et supervacanea jumenta reliquaque arma, quæ ipso belli tempore utilia non C erunt, omnia traduces.

11. Quosdam in medio intervallo tuldi et prœlii collocabis, homines notos omnibus, neque obscuros, neque sceleratos, eosque in media via instrues. Illos præfecto tuldi (semper enim peculiarem aliquem præfectum habere debent) ostendes qui sint, ut in belli exitu significari illi possint, utrumne manendum in illo loco, an ad aliquem munitiorem locum procedendum, an potius ad exercitum commigrandum illis sit.

12. Proficiscentes ad prœlium a tuldo sagmaria auferant, et sagmam duplicem, aut duplicem tentam, id est, duplex tentorium, alterum pro integumento, si usus ferat, alterum pro tenta, sive camarda habeant. D

13. Commeatus paxamadii, sive biscocti, aut alterius cujusquam expeditæ rei habeas viginti aut triginta libras, et tum castra ponas quocunque

NOTÆ.

(60) *Ἀδέστρατα.* Legebatur Δίστρατα. Apud Constantinum scribitur, διάστρατα. Apud Mauritium, *ἀδέστρατα*. Pro impedimentis sumi hanc vocem clarum est, sed ejusorigo obscura. Amplius investigemus.

(61) *Καὶ ἐν μὲν τοῖς κούρσοις.* Legebatur, μεθόδοις, κουρσοις. Jam κοῦρσα, sunt *cursus*. Excursiones. Vide *Glossarium* nostrum.

(62) *Ἀδέστρατον.* Scribebatur, ἀδεῶς στρατόν. Correxi e codice Regio ac Pistoriano.

(63) *Οὐκ ἀναγκαῖον κρίνομεν.* Scribebatur, οὐκ ἀναγκαίως κρίνεσθαι.

(64) *Διὰ τό.* Scribebatur, διὰ τῶν.

(65) *Τὸν πλίονα.* Scribe, τὰ πλείονα.

(66) *Εἰς διάστατα.* Scribe, εἰς ἀδέστρατα.

(67) *Καὶ ὑπόδειξον τόπους.* Scribe, καὶ ὑ. τούτους.

(68) *Ἀδρέστατα.* Scribe, ἀδέστρατα.

Digitized by Google

voluctis loco, et fossato, quando ad prœliandum cum hostibus contendunt.

14. Fossatum vel lapidum, vel laterum aggere, etiam munias, quanquam ad unum solum diem ibi commoraturus es.

15. Unumquodque bandum, id est, cohors, fenum aut paleas unius diei secum circumferant, ut si, quod usu venire potest, aliqua offensio belli contingat, si vel ibi permaneant, habeat tamen jumentis suis unius diei pabulum, neque in tanto belli ardore vel ad pastionem ire, vel fenum secare, quibus rebus lædi ab hostibus possent, vel vagari et circumcursare ad pabulum comparandum, hostibus jam imminentibus, vel discedere jam, in tanta hominum jumentorumque fame et miseria, atque adeo interire cogantur.

16. Si discedat exercitus tuus, nulliusque rei indigeat, exures fenum omnesque fruges agrorum, et sic proficisceris, propter hostes, qui post te venturi timentur.

17. In omni itinere, hostibus imminentibus, in medio exercitus tui tuldum habeas, ne si aliquo rejiciuntur, ab hostibus invadantur.

18. In itinere, quemadmodum supra præscripsimus, non confuse milites et permiste cum tuldo ambulent, sed distincte et separatim, ut post turmam suam tuldum cum viris ad id constitutis, quos euplictos nominant, seorsim procedat.

19. Habeat autem tuldum, quemadmodum ante memoravimus, separatum aliquem præfectum, qui universum illud gubernet et dirigat in omnes partes; ante universum exercitum, si ex hostili terra discedis; post universas copias, si hostilem regionem invadis; hinc aut illinc, si alicui e lateribus times; in medio, si omnia tibi æque suspecta sint. Atque hæc de tuldo, sive impedimentis, paucis tibi explicavimus, sive in curribus inter pedites, sive in sarcinis inter equites, sive aliqua quapiam præparatione in permista turba, ut nulla ex parte, quoad ejus fieri potuit, aliquid abesset. Restat jam, ut de aplictorum, id est, castrorum forma disputemus.

CONSTITUTIO XI.

De aplictis, id est castris.

1. Aplicta igitur, sive fossatum (nam aplictum proprie fossatum totius exercitus est) valide quantum potes munies. Si in locis spatiosis laxisque commode castra ponere potueris, ita facias: sin minus, non negligenter, sed sedulo et firmiter et dense castra pones. Illa autem loca in primis fugies, quæ aliquid prope celsius ac eminentius habeat, ne illud inimici noctu et confertim anticipantes, multa mala vobis ex eo loco inferant.

δόξῃ γίνεσθαι τόπῳ, ὅτε πρὸς τὴν τῶν ἐχθρῶν μάχην ἀποκινήσωσιν.

ιθ'. Τοῦτο δὲ τὸ φοσσάτον ἢ ἀπὸ οἰκοδομῆς λίθων, ἢ πλίνθων, ὀχυρῶσαι, κἂν πρὸς μίαν ἡμέραν συμβῇ μένειν ἐκεῖσε.

ιε'. Ἕκαστον δὲ βάνδον ἀποτίθεσθαι χόρτον ἢ ἄχυρον μιᾶς ἡμέρας, ἵνα ἐὰν, ὡς εἰκὸς, ἐναντίως τὰ τοῦ πολέμου ἐξέλθῃ, ἐν τῷ ὑποστρέφειν τὸν στρατὸν μετὰ σπουδῆς ἐν αὐτῷ ἢ μεῖναι ἐν αὐτῷ τῷ φοσσάτῳ, ἔχειν τὴν τῶν ἀλόγων ἀποτροφὴν μιᾶς ἡμέρας, καὶ μὴ ἀναγκάζεσθαι ἐν τοιούτῳ θορύβῳ ἢ βόσκειν, ἢ χορτολογεῖν ποιεῖν (69), καὶ βλάπτεσθαι ἑτοίμως ὑπὸ τῶν ἐχθρῶν, ἢ γυρεύειν ἐγχωρίοις διὰ δαπάνας τῶν ἐχθρῶν ἐπικειμένων, ἢ καὶ παρελθεῖν ἐν τοιαύτῃ ἐνδείᾳ αὐτῶν τε καὶ τῶν ἀλόγων, καὶ ἐκλυθῆναι.

ις'. Εἰ δὲ ἄρα καὶ παρέρχονται, καὶ οὐκ ἔχουσί τινος χρείαν, ἀφορίσεις τινὰς ὥστε καίειν τὸν χόρτον καὶ οὕτως ἐπὶ τὰ ἔμπροσθεν περιπατεῖν διὰ τοὺς ἐλπιζομένους ὀπίσω ἐπέρχεσθαι πολεμίους.

ιζ'. Ἐν δὲ ταῖς ὁδοιπορίαις πολεμίων ἐγγιζόντων ἀναγκαῖόν ἐστιν ἀεὶ μέσον ἔχειν τὸ τοῦλδον, ἵνα μὴ ἀφύλακτον ὂν ἐπηρεάζηται.

ιη'. Τὰς δὲ ὁδοιπορίας, ὡς ἤδη καὶ ἄνω που εἴπομεν, μὴ ποιεῖσθαι μεμιγμένας μετὰ τούλδου, ἀλλὰ διακεκριμένας καὶ κεχωρισμένας, ὥστε ἰδίως τὸ τοῦλδον ὄπισθεν τοῦ ἰδίου μέρους ὁδοιπορεῖν, καὶ ἰδίως στρατιώτας εὐπλήκτους.

ιθ'. Ἀεὶ δὲ τὸ τοῦλδον, ὡς εἴρηται ἡμῖν ἀνωτέρω, καὶ ἡγεμόνα ἔχειν ἴδιον, ὥστε αὐτὸ καὶ διατάξαι, καὶ διευθύνειν, καὶ ἄγειν αὐτὸν οὕτως, ἢ πρὸ τῆς παρατάξεως, ἐὰν ἐκ πολεμίας γῆς ὑποστρέφῃς· ὀπίσω δὲ τῆς παρατάξεως, ἐὰν εἰς πολεμίαν γῆν ἐμβάλλῃς, ἔνθεν δὲ ἢ ἐκεῖθεν, ἐὰν τὰ πλάγια τῆς παρατάξεως φοβούμενος πορεύῃ, ἐντὸς δὲ τῆς φάλαγγος, ἐὰν τὰ πανταχόθεν ὕποπτα ἔχῃς. Τοσαῦτα μὲν οὖν καὶ περὶ τοῦ τούλδου διὰ βραχέων σοι διεξήλθομεν, ὦ στρατηγέ, εἴτε ἐν ἁμάξαις μετὰ πεζικοῦ στρατοῦ, εἴτε ἐν σαγμαρίοις μετὰ καβαλλαρίων, εἴτε ἄλλης ἀποσκευῆς τοιαύτης μετὰ συμμίκτου, ὡς ἂν ἐν μηδενὶ, ὅσον ἐστὶ τὸ δυνατὸν ἡμῖν, ἐλλείπῃ σοι κεφαλαίῳ ἡ ἡμετέρα παρακέλευσις. Ἐχόμενον δὲ τούτων καὶ τὰ περὶ τῶν λεγομένων ἀπλίκτων διασαφήσομεν τῇ σῇ ἐνδοξότητι.

ΔΙΑΤΑΞΙΣ ΙΑ'.

Περὶ ἀπλίκτων.

α'. Δεῖ οὖν τὰ ἄπλικτα, ἤτοι τὰ φοσσάτα (κυρίως γὰρ φοσσάτον τὸ ἄπλικτον τοῦ ὅλου στρατοῦ καλεῖται), ταῦτα οὖν ἀσφαλῶς σε ποιεῖν. Καὶ ἡ μὲν (70) ἐνδέχεται, εἰς ἀραιοτέρους τόπους κατασκηνοῦν τὰ στρατιωτικὰ, εἰ δὲ οὐ κατὰ πάντα, μὴ ἀμελῶς, ἀλλὰ σφιγκτῶς καὶ ὀχυρῶς ἀπλικεύειν, καὶ ἀποφεύγειν τοὺς τόπους (71) ἐκείνους ὅσοι ἔχουσιν ἐκ τοῦ πλησίον ὑψηλοτέρους αὐτῶν, ἵνα μὴ ἐκείνους οἱ ἐχθροὶ ἀθρόον ἢ ἐν νυκτὶ προκαταλαβόντες κακά τινα διαθήσουσι τῷ φοσσάτῳ.

NOTÆ

69) *Ἢ χορτολογεῖν ποιεῖν.* Scribe, ἢ χορτολογῆν π.

(70) *Καὶ ἡ μέν.* Scribe, καὶ εἰ μεν.

(71) *Τοὺς τόπους.* Scribebatur, τοὺς τύπους.

Digitized by Google

β'. Ὅταν τοίνυν ἐν τῇ τῶν ἐχθρῶν χώρᾳ στρατοπεδεύῃς, περιβάλλου τάφρον βαθεῖαν (72), κἂν εἰς μίαν μόνην, ὡς εἴρηται, ἡμέραν μέλλῃς ἀπλικεύειν. Ἀμετανόητος γὰρ ἡ τοιαύτη στρατοπεδεία, καὶ ἀσφαλὴς, διὰ τὰς αἰφνιδίους καὶ ἀοράτους ἐπιβουλάς (73). Καταστήσεις δὲ καὶ φύλακας, κἂν μακρὰν εἶναι νομίζῃς τοὺς πολεμίους, ὡς ἐγγὺς ὄντων.

2. Quando hostili in terra castra ponis, circumda tuos taphro, id est, fossa, quanquam ad unum diem ibi solum permansurus es. Secura enim hujusmodi castra sunt, et adversus omnes nec opinatas et subitas hostium incursiones tuta. Custodias etiam adhibebis, quasi hostes prope adsint, quanquam longe eos abesse noveris.

γ'. Ὅπου δὲ μέλλεις ποιεῖσθαι χρόνιον τὸ ἄπλικτον, μὴ ἐχθρῶν ἔφοδον δηλονότι ὑφορώμενος, καὶ φθείρειν χώραν ἐναντίαν βουλόμενος, ἐκλέγου χωρία χρήσιμα, μὴ ὑλώδη, ἕλεσιν ὕλας καὶ πηλὸν καὶ βάλτας ἔχοντα, καὶ ὕδατα σεσημμένα. Τὰ γὰρ τοιαῦτα διὰ τὰς ἀναθυμιάσεις καὶ τὰς ἀπὸ τῶν τόπων δυσωδίας νοσερά εἰσι, καὶ λοιμοὺς καὶ νόσους φθαρτικὰς ἐμβάλλει εἰς τὰ στρατεύματα, καὶ πολλοὺς μὲν πολλάκις ἐκάκωσε τῇ νόσῳ, πολλοὺς δὲ καὶ ἀπώλεσεν· ὥστε μὴ μόνον ὀλίγον ἐκ τούτου γενέσθαι, ἀλλὰ καὶ ἀσθενὲς τὸ στράτευμα.

3. Ubi diuturna castra uno aliquo in loco positurus es, non hostium incursionem timens, sed illorum regionem populaturus, loca eliges non condensa, cœnosa, paludosa, aut stagnis abundantia : hujusmodi enim halitum emittunt insalubrem, et odores graves ad gignendum morbos idoneos : multas enim ægritudines et ardentes pestes inferunt, et sæpe exercitum graviter vexant, sæpe etiam universum delent, ut non solum parvus ex eo, et debilis, sed etiam consumptus et nullus fiat.

δ'. Χρήσιμον δὲ καὶ σωτήριον τῷ στρατῷ γίνεσθαι, ἐὰν μὴ ἐπὶ τοῦ αὐτοῦ μένῃ ἀπλίκτου πολὺν χρόνον, εἰ μὴ ἄρα χειμάζει, καὶ διὰ τὸν καιρὸν ὥσπερ πεπολισμένα ἔχει τὰ ἄπλικτα τὸ στράτευμα. Καὶ γὰρ καὶ αἱ σωτηριώδεις ἐκκρίσεις ἐπὶ τῶν αὐτῶν γινόμενα τόπων ἀτμοὺς διεφθαρμένους ἀναπέμπουσι, καὶ συμμεταβάλλουσιν εἰς νόσον καὶ τὴν τοῦ περιέχοντος ἀέρος εὐεξίαν.

4. Utile et salutare exercitui est, in eodem loco diu non consistere, nisi si hiberna faciant : atque ea tum ad civitatis formam muniant. Nam excretiones fæculentæ corporum in eisdem semper locis factæ, depravatos halitus exspirant, et omnem aeris salubritatem in insalubritatem transferunt.

ε'. Ἐν δὲ ταῖς παραχειμασίαις πάντως, ὡς ἄνωθεν εἴρηται, γύμναζε τὰ στρατόπεδα, καὶ πολεμικὰ ποίει, καὶ ἵνα συνεθίζωνται τοῖς πόνοις, ἵνα μήτε ἀργῶσι, μήτε ῥαθυμῶσιν.

5. Hibernis in omnibus, copias tuas ad contentiones bellicas et militares labores exerce, ut iis assuefacti, otium ac desidiam, pestem ac labem exercitus, devitent.

ς'. Οὐ μόνον [οὐ]δὲ ὑγιεινῶν σε δεῖ φροντίζειν ἀπλίκτων, ὅταν ἄδειαν ἔχῃς ἀπὸ τῶν πολεμίων, ἀλλὰ καὶ πολλὰς καὶ διαφόρους ἔχειν αὐτὰ τὰς χορηγίας, καὶ μάλιστα ἐν τῷ ἐξπεδίτῳ, ἤγουν ἐν τῇ κατὰ καιρὸν τοῦ ὅλου στρατοῦ συναγωγῇ, ἔνθα μάλιστα καὶ χρονίζειν δέον.

6. Neque vero castrorum salubrium solum suscipienda cura est, cum securus ab hostibus es, sed etiam ut omnium rerum necessariarum affluentiam habeant, idque potissimum in expedito, id est, eo tempore quo omnes milites in unum conveniunt, ubi diutius commorandum est.

ζ'. Φροντίζειν δὲ καὶ τῶν ἐμπόρων, ἵνα μὴ ἀδικούμενοι λυποῦνται, καὶ οὐ φέρουσι τὰς χορηγίας τῶν ἐπιτηδείων.

7. Providebis etiam mercatoribus, ne illi injuriosius tractati, rerum necessariarum invectionem praetermittant.

η'. Εἰ δέ τις καὶ ἐλπὶς ἐναντία ἐνοχλεῖ, ἀσφαλίζεσθαι ἢ ὀρύγμασιν, ἢ πάλοις (74), ἢ ὁλοκλήρῳ τάφρῳ, ὃ λέγουσι φόσσα, ἢ τριβόλοις ἢ οἰκοδομαῖς, ἢ ἀπὸ ξύλων ἢ ἀπὸ λίθων, ἢ ἄλλως, ὡς δύνασαι ἐπινοῆσαι.

8. Sin vero aliquis metus hostium impendeat, muniantur castra vel fossis, vel palis, vel integris fossis, vel tribulis, id est, muricibus, vel ædificiis, sive ex ligno, sive ex lapide, aut alia quavis materia confectis, quemadmodum excogitare poteris.

θ'. Ἔχειν δὲ καὶ βίγλας ἔξωθεν, ἀλλὰ καὶ ἀμάξας, εἰς χαρακώσεις, ἐὰν εἶσι, λίαν δυνατόν. Ἡ χάρακα πήξεις, ὃ λέγεται σταβαρῶσαι, εἴτε ἀραιῶς, εἴτε πυκνότερον, ὡς ἡ δύναμις ἔχει, ἤτε διὰ ξύλων τελείων, ἢ δένδρων κοπέντων.

9. Speculatores foris collocandi sunt, et currus omnes ad vallum faciendum congregabis. Vallabis autem castra pro copiarum ratione, vel laxius, vel densius, ex lignis integris, aut ex cæsis arboribus.

ι'. Δεῖ γὰρ πάντως ἀσφάλειαν ἔχειν τὸ ἄπλικτον, εἰ μὴ ἄρα ἐν τῇ ἡμετέρᾳ ἐστὶν χώρᾳ, ἢ γυμνασίας χάριν γίνεται, ἢ ἄλλου τινὸς χρειώδους τρόπου ἡ τοῦ στρατηγοῦ (75) κίνησις.

10. Tuta et munita castra semper esse oportet, nisi in nostra regione vel exercitationis causa, vel alterius alicujus necessitatis gratia castra moventur.

ια'. Μάλιστα δὲ φροντίσεις καὶ τῶν πλησιοχώρων

11. Procurabis etiam, ne vicinæ regiones quæ

NOTÆ.

(72) *Τάφρον βαθεῖαν*. Scribebatur, ταῦρον βαθ.

(73) *Ἐπιβουλάς*. Scribe, ἐπιβολάς.

(74) *Ἢ πάλοις*. Legebatur, ἢ πάλιν. In codice Pistoriano erat, παλης.

(75) *Τοῦ στρατηγοῦ*. Scribe, τοῦ στρατοῦ.

Digitized by Google

sub nostro imperio sunt, aliquod damnum acciant, in primis autem ut agricolæ sine offensione conserventur. Duæ enim hæ artes maxime utiles esse videntur ad reipublicæ constitutionem et conservationem. Agricultura, quæ nutrit ac promovet milites, et ars militaris, quæ defendit et propugnat agricolas : reliquæ vero artes istis inferiores esse videntur, atque ideo necesse est istis providere, et illarum curam non abjicere, ut milites juste ab illis nutriti strenue se gerant, et agricolæ honeste tractati bonis votis illos prosequantur.

A ὑποτελῶν τῆς βασιλείας ἡμῶν, ἵνα μὴ ἀδικοῦνται παρὰ τῶν στρατιωτῶν, καὶ κατ' ἐξαίρετον τῶν γεωργῶν. Δύο γὰρ ταῦτά μοι δοκοῦσιν ἐπιτηδεύματα λίαν ἀναγκαῖα πρὸς ἔθνους σύστασιν καὶ διαμονήν· γεωργικὴ μὲν τρέφουσα καὶ αὔξουσα τοὺς στρατιώτας, στρατιωτικὴ δὲ ἐκδικοῦσα καὶ περιφυλάττουσα τοὺς γεωργούς· αἱ δ' ἄλλαι ἐπιτηδεύσεις δεύτερα τούτων ἐμοὶ κατασφίνονται. Διὰ τοῦτο καὶ ἀναγκαῖον ἀεὶ τούτων ἐπιμελεῖσθαι, καὶ τὰ ὑπὲρ αὐτῶν φροντίζειν ἑκάστοτε, ὡς ἂν καὶ οἱ στρατιῶται δικαίως τρεφόμενοι ἀνδραγαθῶσι, καὶ οἱ γεωργοὶ μὴ ἀδικούμενοι εὐχαῖς αὐτοὺς ταῖς ἁρμοζούσαις προπέμπωσιν.

12. Hostibus imminentibus, et exspectato jam bello, si anticipatis hostibus castra feceris, duorum aut trium dierum pabulum, sive paleam, sive hordeum, pro jumentis tuis præ manu habeas, quemadmodum tibi in capite *De itinere exercitus* explicavi. Sin illinc ad alia castra transire volueris, unius saltem diei commeatum eo tecum paleam aut fenum feras, et in castris reponas, ne forte pueri administri vi ab hostibus detineantur, et eo die prohibeantur vel pabulum colligere, vel jumenta ad pastum ducere.

B ιβ'. Πολεμίων δὲ ἐγγιζόντων, καὶ προσδοκωμένου πολέμου, ἐὰν προλαβὼν ἐν φοσσάτῳ διάγῃς, στρατηγὰ, καὶ τοὺς ἐχθροὺς ἀναμένῃς, ἐκεῖσε δεῖ εὐτρεπίζειν καὶ ἀποτιθέναι χόρτον, ἢ ἄχυρον, ἢ κριθὴν μιᾶς ἢ δευτέρας ἡμέρας τῶν ἀλόγων, ὡς ἤδη σοι καὶ ἐν τῷ *Περὶ ὁδοιπορίας* κεφαλαίῳ προδιεθέμεθα. Καὶ πάλιν ἐὰν ἐκεῖθεν βουληθῇς εἰς ἕτερον ἄπλικτον ἀπελθεῖν καὶ ἐκεῖθεν παρατάξασθαι, ἀναγκαῖον χόρτον καὶ ἄχυρον κἂν μιᾶς ἡμέρας βαστάζειν, καὶ οὕτως ἐν τῳ γινομένῳ φοσσάτῳ ἀποτίθεσθαι τοῦτον· ἴσως γὰρ οὐ συγχωροῦνται ὑπὸ τῶν ἐχθρῶν οἱ εἰς δουλείαν ἀφωρισμένοι παῖδες αὐτῇ τῇ ἡμέρᾳ ἐξελθεῖν καὶ χορτολογῆσαι, οὔτε δὲ τὰ ἄλογα εἰς βοσκὴν ἐκβαλεῖν.

13. Si admodum prope hostes fuerint, non absurdum erit singulos milites inter eundum pabulum colligere, quia castris jam positis, si multi ex hostibus equites fuerint, pueri administri exitu et feni pabulique sectione prohibebuntur.

ιγ'. Εἰ δὲ καὶ πολὺ ἐγγίζουσιν οἱ ἐχθροὶ, οὐκ ἄτοπον ἐν τῷ περιπατεῖν, ὡς εἴρηται, ἕκαστον συνάγειν τὸν χόρτον τὸν ὀφείλοντα ἀποτεθῆναι· οὐδὲ γὰρ μετὰ τὸ ἁπλικεῦσαι πολλάκις συγχωροῦνται οἱ παῖδες ἐξελθεῖν καὶ χορτολογῆσαι, πλειόνων μάλιστα καβαλλαρίων τῶν ἐχθρῶν εὑρισκομένων.

14. Par est in casus adversos sæpe intueri, et quæ inde perturbationes oriri possunt considerare, ne postea te horum pœniteat : maximeque de commeatu et pabulo militum et jumentorum laborabis, et castra munita pones idoneis in locis, ubi si quando res id exigat, vel aqua fluvii, aut locus arduus, aut alia firma munitio, defendere fossatum temporibus necessariis possit.

C ιδ'. Καὶ πῶς γὰρ οὐ δίκαιον καὶ τὰ εἰς δευτεραν τύχην ἀφορᾷν πολλάκις, καὶ τὰς ἐκεῖθεν ἐναντιώσεις σκοπεῖν, καὶ προασφαλίζεσθαι τὰ μέλλοντα, μὴ μεταμέλεσθαι ὕστερον, καὶ μάλιστα τὰς ἀποτροφὰς (76) ἡμερῶν ὀλίγων τῶν τε στρατιωτῶν (77) καὶ τῶν ἀλόγων, καὶ φοσσάτα ὀχυρὰ ποιεῖν ἐπιτηδείοις τόποις ἔνθα δυνατὸν, εἴτε ὕδωρ ποταμοῦ, εἴτε τόπος δυσχερὴς, εἴτε ἄλλο τι ὀχύρωμα διεκδικεῖν τὸ φοσσάτον ἐν καιρῷ ἀνάγκης;

15. Difficultas temporis si quæ pedestri aciei contingat, carris et plaustris eorum castra circumcirca quasi vallo defendes, sive pedestri aciei, sive equestri, sive permistæ contingat, et circum exædificabis pro loci ratione, quemadmodum a me supra est dictum ; et exterius fossam ducere ad latitudinem quinque pedum aut sex, ad altitudinem D autem septem aut octo pedum, et aggerem fossæ interius conjicies, et extra hanc fossam tribulos et foveas parvas palis infixis facies, quæ ab exercitu universo cognoscendæ sunt, ne illorum ignoratione lædantur.

ιε'. Ἐν δὲ τοῖς ἀναγκαίοις τοῦ πεζικοῦ ἁπλίκτου καὶ τὰς ἁμάξας, ὡς εἴρηται, περικύκλῳ καθίστα τοῦ ἁπλίκτου, εἴτε ἐν πεζικῷ στρατῷ, ἢ καὶ ἐάν εἰσι καὶ ἐν καβαλλαρικῷ, ἢ συμμίκτῳ, καὶ οἰκοδομεῖν, ὡς μοι εἴρηται, ἐὰν ὁ τόπος ἔχῃ, καὶ ἔξωθεν τάφρον ποιεῖν, πλάτους μὲν ποδῶν ε' ἢ ς'· ἔξωθεν βάθους δὲ ζ' ἢ η', καὶ τὸ χῶμα ἐν τῇ ἐσωτέρᾳ ὄψει τεθῆναι· ἔξωθεν δὲ ταύτης τριβόλους καὶ λάκκους μικροὺς ἔχοντας πάλους ἐντὸς πεπηγμένους, οὓς δεῖ ἐν γνώσει ποιεῖν τοῖς τοῦ στρατοῦ, διὰ τὸ μὴ ἀγνοοῦντας ὑπ' αὐτῶν βλάπτεσθαι.

16. Ambitus fossati, sive castrorum, quatuor portas majores et publicas habeat, portulas autem parvas præterea complures. Juxta unamquamque portam, id est, egressum, præfectus aliquis castra ponat ad ejus custodiam. Interius autem juxta ipsos

ις'. Ἔχειν δὲ καὶ τὴν περίμετρον τοῦ φοσσάτου τέσσαρας μὲν παρὰ τὰς (78) μεγαλοτέρας καὶ δημοσίας, παραπόρτια δὲ μικρὰ πλείονα, καὶ καθ' ἑκάστην πόρταν ἡγοῦν ἔξοδον ἔχειν ἄρχοντα τὸν πλησίον ἁπλικεύοντα πρὸς παραφυλακὴν αὐτῆς. Ἔσω δὲ

NOTÆ.

(76) *Τὰς ἀποτροφάς*. Scribebatur, τὰς ἀποστροφάς.

(77) *Τῶν τε στρατιωτῶν*. Scribebatur, τόν τε στρατόν.

(78) *Παρὰ τάς*. Scribe, πόρτας.

Digitized by Google

παρ' αὐτὰς τὰς ἁμάξας τὰς τῶν ψιλῶν τέντας ἁπλᾶς παρακειμένας, ἤγουν τῶν τε ἀκοντιστῶν καὶ τῶν τοξοτῶν, καὶ ἀπ' ἐκείνων εὔκαιρον διάστημα (79), ὡς ποδῶν τ', ἢ υ', καὶ τότε τὰς λοιπὰς ταγῆναι τέντας, ὥστε ἐν ταῖς τῶν ἐχθρῶν τοξείαις μὴ πλήττεσθαι τὰς ἐν τῷ μέσῳ, ἀλλ' ἐν τῷ εὐκαίρῳ τόπῳ πίπτειν τὰς σαγίττας.

ιζ'. Ἐν τῷ μέσῳ δὲ τοῦ φοσσάτου σταυροειδῆ πλατεῖαν εἶναι στράτων, τὸ πλάτος μ' ἢ ν' ποδῶν, καὶ ἔνθεν κἀκεῖθεν παρακεῖσθαι αὐτῇ τὰς τέντας ῥυμοειδῶς κατ' ὄρδινον ἐχούσας αὐτὰς ὀλίγον ἀπ' ἀλλήλων διάστημα, καὶ ἕκαστον τουρμάρχην μέσον τῶν ὑπ' αὐτὸν ἁπλικεύειν.

ιη'. Σὲ δὲ τὸν στρατηγὸν εἰς ἓν μέρος, καὶ μὴ ἐν τῷ μέσῳ τῆς πλατείας, ἵνα μὴ καὶ τῇ μέσῃ ἐμποδίζῃς πρὸς πάροδον καὶ ὑπὸ τῶν παρερχομένων ὀχλῆσαι. Τοὺς δὲ καβαλλαρίους, ἐὰν γένηται καιρὸς εἰσελθεῖν, ἐν τῷ μέσῳ τοῦ φοσσάτου ἁπλικεύειν, καὶ μὴ ἐν τοῖς ἄκροις.

μ'. Τὸ δὲ βάθος ἦγουν τὸ πάχος τῶν παρατάξεων, καθὼς οἱ ἀρχαῖοι διετάξαντο, ἥρκει μὲν ἑκάστῳ τάγματι εἰς τέσσαρας καὶ μόνους καβαλλαρίους γίνεσθαι, ἐπειδὴ τὸ πλέον τούτων ἀργὸν καὶ ἀνωφελὲς δείκνυται ἐπὶ τῶν καβαλλαρίων. Οὔτε γὰρ δύνανται, ὡς ἐπὶ τῆς πεζικῆς τάξεως, ἀπὸ ὄπισθεν διὰ τοῦ πάχους προωθισμὸν ποιεῖν. Τότε γὰρ καὶ μὴ βουλόμενοι οἱ ἔμπροσθεν ἐκ τῶν ὄπισθεν προωθούμενοι τὴν ὁρμὴν ἐπὶ τὰ ἔμπροσθεν ποιοῦσι. Τοῦτο γὰρ ἐπὶ τῶν πεζῶν γίνεται. Οἱ δὲ ἵπποι οὐ δύνανται προωθεῖν τοὺς ἔμπροσθεν αὐτῶν, ὡς οἱ πεζοί. Οὐδὲ βοήθειά τις γίνεται ἐκ τῶν περισσοτέρων εἰς τοὺς προστάτας, τοῦτ' ἔστιν τοὺς εἰς τὸ μέτωπον τασσομένους, κἂν τε τοξόται εἰσὶ, κἂν κονταράτοι.

μα'. Οἱ μὲν γὰρ κονταράτοι οἱ ὀπίσω τοῦ τετάρτου οὐ δύνανται φθάζειν εἰς τὸ ἔμπροσθεν· οἱ δὲ τοξόται εἰς τὸ ἄνω ἀναγκάζονται τοξεύειν διὰ τοὺς ἔμπροσθεν αὐτῶν, καὶ διὰ τοῦτο ἄπρακτοι κατὰ τῶν ἐχθρῶν ἐν ταῖς συμβολαῖς τῆς μάχης γίνονται, ὡς αἱ σαγίττται αὐτῶν, ὡς ἡ πεῖρα διδάσκει καὶ τοὺς ἀμφιβάλλοντας, ἐὰν βούλωνται.

μβ'. Ἥρκει οὖν, καθὼς εἴπομεν, τὸ πάχος τῶν τεσσάρων καβαλλαρίων. Ἀλλ' ἐπειδὴ συμβαίνει τοὺς ἀνδρείους στρατιώτας ὀλιγωτέρους κατὰ τάγμα εὑρίσκεσθαι, τοῦτ' ἔστι τοὺς ἔμπροσθεν ἱσταμένους τοὺς καὶ τὰς χεῖρας μιγνύειν πρὸς πόλεμον ὀφείλοντας, διὰ τοῦτο πρέπον ἐστὶ πρὸς τὴν δύναμιν τῶν ταγμάτων οὕτως ὁρίζειν καὶ τὸ πάχος τῆς παρατάξεως αὐτῶν, οἷον·

μγ'. Εἰς τὰ ἀνδρειότερα τὰ καὶ μέσαν τασσόμενα τάγματα εἰς τὴν τάξιν τὴν πρόμαχον ἀπὸ ἑπτὰ καβαλλαρίων ποιεῖν καὶ ἑνὸς παιδὸς ὑπηρέτου αὐτῶν, ἐν δὲ τῇ ἀριστερᾷ τάξει, ἐν ᾗ καὶ ἐκεῖ δεύτεροι κατὰ τὴν ἀνδρείαν τῆς προμάχου τάξεως ὀφείλουσι τάσσεσθαι ἀπὸ ἑπτὰ ἀνδρῶν ἑκάστην δεκαρχίαν.

μδ'. Πάλιν ἐν δεξιᾷ ἐν ᾗ καὶ ἐκεῖ ἰσοδύναμοι ἄνδρες τῆς ἀριστερᾶς ὀφείλουσιν ἀπὸ ἀνδρῶν ε', τὰ δὲ λοιπὰ καὶ ὑποδεέστερα τάγματα, ἀπὸ ε' ἢ δέκα ἀνδρῶν γίνεσθαι πρὸς τὰς δεκαρχίας τασσόμενα.

με'. Ἐὰν μέντοι συμβῇ ἵνα ἐκ τῶν ὑποδεεστέρων τούτων ταγμάτων εἰς τὴν πρώτην παράταξιν ἐκτάξεις, ἢ ἀπὸ η', ἢ ἀπὸ ι', ποιήσεις ἀνδρῶν, ὡς ἀσθενεστέρων. Τὰ δὲ τάγματα τὰ ἐν δευτέρᾳ τάξει τασσόμενα, καὶ ἐπίλεκτα ὄντα ἀπὸ πέντε μὲν στρατιωτῶν καὶ ἑτέρων ὑπηρετῶν εἰς τὰ ἅρματα ποιήσεις, ὥστε δέκα ἄνδρας ἑκάστην δεκαρχίαν ἔχειν. Οὗτοι δὲ οἱ, ὡς εἴρηται, τεταγμένοι ἵνα κατασταθῶσιν ἐπιτηδείως εἴς τε κούρσορας καὶ ἐγκρύμματα.

μ5'. Οὐκ ἔστιν οὖν πρέπον τῶν η', ἢ τὸ πολὺ τῶν δέκα, ἀνδρῶν πλείω τὸ πάχος ποιεῖν τῆς παρατάξεως, κἂν πάνυ εἰσὶν ἀσθενῆ τὰ τάγματα, οὐδὲ τῶν

39. Si ingentem habueris exercitum, et poteris eum in duas, aut tres acies, aut etiam plures dividere, ut comparatæ ad illos hostium copiæ, pauciores atque imbecilliores videantur, si simul et confertim in unam ex aciebus tuis irruant, cæteræ acies, vel ad insequendos eos, vel ad circumveniendos instituantur.

40. Altitudo aciei equestris, quemadmodum antiqui descripserunt, ad quatuor solum equitum altitudinem constitui debet: plures enim si fuerint, nullam utilitatem apportabunt. Neque enim si quid accidat, possunt quemadmodum pedites, aliquam impressionem facere: hi enim etiam inviti a sequentibus incitati impetum in hostes faciunt: equi autem equos anteriores, sicut pedites faciunt, impellere non possunt. Neque præsidium aliquod majus erit præstitibus, id est iis qui in fronte collocantur, sive hi sagittarii, sive hastati fuerint.

41. Hastati enim qui post quartum equitem consistunt, hasta uti in anteriorem partem non possunt. Sagittarii autem suraum coguntur sagittas jacere, propter eos qui ante se consistunt: et ideo si densiores essent, inutiliores in pugna militari sagittæ eorum essent, quemadmodum quotidianus usus experientiaque demonstrat.

42. Ac satis certe esset ad hunc modum descripta nobis quatuor equitum altitudo, sed quoniam sæpe pauciores fortes equites in cohortibus inveniuntur, qui in prima fronte ad confligendum cum hostibus et manus conserendas committuntur, propterea par est, ut pro cohortium viribus altitudinem aciei tuæ describas ad hunc modum:

43. In fortioribus locis, et in medio collocatis cohortibus ad aciem πρόμαχον, id est propugnatricem, ad sex equitum altitudinem eos collocabis: ad lævam partem propugnatricis aciei, quoniam ibi milites fortitudine præstantes proximi locantur, septem virorum altitudinem unamquamque decuriam instrues.

44. Ad dextram rursum, ubi pari fortitudine viri collocantur, ac in lævam partem antea constituebantur octo equites collocantur: reliquæ, et debiliores cohortes ex octo, aut decem viris per decurias instruantur.

45. Sin contingat ex deterioribus cohortibus in prima acie collocari, ad octo vel decem illorum virorum altitudinem instruantur. Cohortes autem quæ in secunda acie collocantur, ex electis quinque militibus, et aliis quinque administris, ad currus conservandos, efficies ut decem viros unaquæque decuria contineat. Hi autem sic instructi, idoneis in locis constituantur.

46. Ad cursores et insidias nulla ratione plus decem virorum altitudine acies instruantur, quamvis admodum imbecilles cohortes fuerint: neque

Digitized by Google

ex electis cohortibus pauciores quinque viris. Itaque ad hunc modum idonee dividendus tibi est exercitus, et altitudines acierum describendæ, nihilque de longitudine, et numero præstitum, aut perparum detrahendum est.

47. Si enim ad decem virorum altitudinem cohortes universas pari modo instruxeris, ab hostium speculatoribus facile numerabile exercitum efficies, præstitibus numeratis, universum exercitus numerum colligendo : quod minime hostibus patefaciendum est.

48. Hac proportione et moderatione conservata, quod reliquum superest exercitus in secundam aciem conferendum est.

49. Mandamus autem ut contubernia militum ex majoribus minoribusque natu certa proportione fiant, ne senes per se collocati, infirmi debilesque fiant, neque adolescentiores perturbati atque intractabiles, nempe imperiti, inveniantur.

50. Aciem tuam ad hunc modum armabis : Præstitem primæ aciei, et qui illi proxime adstat adstitem sive secundum, et extremi contubernii custodem, quem οὐραγὸν, id est ultimanum sive caudanum nominant, hastatos facies cum reliqua illorum armatura : reliquos omnes in medio illorum constitutos, qui sagittas jacere sciant, sine hastis collocabis. Neque enim commode arcum ducere potest ex equo, læva scutum tenens et arcum. Sin sic exerceatur miles, ut quando sagittas jacit, a tergo apte conjiciat scutum, nequaquam hoc inutile videretur.

51. Ad hæc constituendi abs te despotati quidam sunt ad primam aciem diligenter observandam, qui sauciatorum in prælio curam habeant. Ad unamquamque cohortem octo, aut decem viros constitues agiles atque expeditos, sine armis, qui centum pedum intervallo suas ipsorum cohortes sequantur, ut eos qui inter dimicandum graviter ac periculose sauciantur, eosque qui ex equis cadentes pugnant, et seipsos iterum colligere nequeant, recuperent et conservent, ut ne strenui milites a secunda acie adventate conculcentur, et negligentia quadam jam vulnerati interimantur. Iique despotati quotcunque conservaverint, a quæstore imperii nostri pro singulis militibus conservatis habeant numum.

52. Tales deinde, postquam versi in fugam hostes fuerint, et secunda acies transierit, spolia, quæ in primæ conflictationis loco inventa fuerint, congregent, et præstitibus, sive contubernii sui decanis post confectum prælium tradant : cujus laboris et ipsi quoque aliquam mercedem habeant. Hanc enim rerum fortuitarum præstitibus in bello prærogativam justam atque idoneam esse arbitramur, quia in prima belli conflictatione maxima pericula et discrimina subeunt. Hac ex re hæc præterea utilitas

A πέντε ὀλιγωτέρους, ὅσον ἂν εἶσιν ἐπίλεκτα. Ὥστε πρέπον ἐστὶ κατὰ τὸν εἰρημένον τρόπον καὶ τὴν τοιαύτην διαίρεσιν ἀρκούντως καὶ τὰ βάθη ἥγουν τὰ πάχη τῶν παρατάξεων γίνεσθαι, καὶ μηδὲ τὸ μῆκος ἥγουν τὸν ἀριθμὸν τῶν πρωτοστατούντων ὀλιγοῦσθαι πολύ.

μζ'. Ἐὰν γὰρ ἀπὸ δέκα ἀνδρῶν τὸ πάχος τῶν ταγμάτων ὅλων ἐν ἴσῳ μέτρῳ τάξεις, εὐχερῶς καὶ συντόμως ὑπὸ τῶν κατασκόπων καὶ τῶν ἐχθρῶν ἀριθμεῖσθαι ποιήσεις διὰ τῶν πρωτοστατῶν ὅλον σου τὸν στρατὸν, ὅπερ οὐ δέον μανθάνειν τοὺς ἐχθρούς.

μη'. Τῆς δὲ εἰρημένης ἡμῖν ἀναλογίας, ἥγουν τοῦ μέτρου, φυλαττομένης ἐκ τοῦ περισσεύοντος στρατοῦ τὴν δευτέραν καταστήσεις τάξιν.

B μθ'. Κελεύομεν δέ σοι καὶ τὰ κοντουβέρνια τῶν στρατιωτῶν ἀπὸ παλαιῶν καὶ νέων γίνεσθαι ἀναλόγως, ἵνα μὴ οἱ παλαιοὶ μόνοι τασσόμενοι καθ' ἑαυτοὺς ἀσθενεῖς εἶσιν, μηδὲ οἱ νεώτεροι ἄτακτοι εὑρεθῶσιν ὡς ἄπειροι.

ν'. Ὁπλίσεις δὲ τὴν παράταξιν οὕτως· τὸν μὲν πρωτοστάτην τῆς πρώτης τάξεως, καὶ τὸν μετὰ ἐκεῖνον ἱστάμενον, τοῦτ' ἔστι τὸν δεύτερον, ἔτι δὲ καὶ τὸν ἑστῶτα ὀπίσω πάντων, ἥγουν τὸν οὐραγὸν, κονταράτους ποιήσεις μετὰ τῆς λοιπῆς αὐτῶν ἐξοπλίσεως· τοὺς δὲ λοιποὺς πάντας τοὺς ἐν μέσῳ ἐκείνων τασσομένους, ὅσοι τοξεύειν οἶδασι, χωρὶς κονταρίων εἶναι ποιήσεις. Οὐδὲ γὰρ δυνατόν ἐστι δεόντως περιάγειν τινὰ τόξον ἐπάνω ἵππου, ἐὰν ἐν τῇ ἀριστερᾷ C αὐτοῦ καὶ τὸ σκουτάριν κατέχῃ καὶ τὸ τόξον. Εἰ δὲ γυμνασθῇ ὁ στρατιώτης ὥστε ἡνίκα τοξεύει εὐφυῶς πέμπει τὸ σκουτάριον, οὐδὲ τοῦτο ἄχρηστον ἡμῖν καταφαίνεται.

να'. Πρὸς τούτοις κελεύομέ σοι, ὦ στρατηγὲ, ἵνα ἀφορίσῃς καὶ μάλιστα εἰς τὴν πρόμαχον παράταξιν τοὺς λεγομένους δεσποτάτους, τοῦτ' ἔστι τοὺς ἐπιμελητὰς τῶν τραυματιζομένων στρατιωτῶν. Καὶ καταστήσεις ὀκτὼ ἢ δέκα ἄνδρας καθ' ἕκαστον βάνδον ἐκ τοῦ αὐτοῦ τάγματος ἐλαφροὺς καὶ γοργοὺς ἄνευ ὅπλου, τοὺς ὀφείλοντας ὄπισθεν ὡς ἀπὸ ἑκατὸν ποδῶν τοῖς ἰδίοις τάγμασιν ἀκολουθεῖν, ἵνα τοὺς ἐν ταῖς συμπλοκαῖς τοῦ πολέμου, ὡς πολλάκις γίνεται, τραυματιζομένους ἐπικινδύνως, ἢ ἐκπίπτοντας ἀπὸ τῶν ἵππων, καὶ μὴ δυναμένους μάχεσθαι, ἀναλέγωνται καὶ περιποιῶνται, ἵνα μὴ καταπατῶνται ὑπὸ τῆς D δευτέρας παρατάξεως οἱ ἀληθῶς γενναῖοι στρατιῶται, καὶ ἐκ τῆς ὀλιγωρίας τῶν τραυμάτων διαφθείρωνται, καὶ ἵνα οἱ διασώζοντες αὐτοὺς λαμβάνωσιν ὑπὲρ μισθοῦ ἀπὸ τοῦ ταμείου τῆς βασιλείας ἡμῶν κατὰ ἕνα ἕκαστον στρατιώτην διασωζόμενον παρ' αὐτῶν νόμισμα ἕν.

νβ'. Εἶτα δὲ οἱ τοιοῦτοι μετὰ τὸ τραπῆναι τοὺς ἐχθροὺς, καὶ παρελθεῖν τὴν δευτέραν παράταξιν, τότε τὰ σκῦλα τὰ εὑρισκόμενα ἐν τῷ τόπῳ τῆς πρώτης συμβολῆς αὐτοὶ συνάγουσι, καὶ τοῖς δεκάρχοις ἥγουν τοῖς πρωτοστάταις τοῦ ἰδίου τάγματος μετὰ τὸ λυθῆναι τὴν μάχην παρέχουσιν αὐτά. Λαμβάνουσι δὲ καὶ αὐτοὶ ὑπὲρ τούτου παρὰ τῶν δεκάρχων εἰς παραμυθίαν αὐτῶν μοῖράν τινα. Τοῦτο γὰρ τοῖς πρωτοστάταις ἐν ταῖς μάχαις προνόμιον δίκαιον καὶ ἁρμόδιον ἐν ταῖς ἐπιτυχίαις ἔχειν κελεύομεν, καθ'

Digitized by Google

ὅτι πλέον τῶν λοιπῶν τῆς ἀνάγκης μετέχουσιν ἐν τῇ πρώτῃ συμβολῇ τοῦ πολέμου· ἀγαθὸν δὲ καὶ ἕτερον γίνεται, ἵνα μὴ διὰ τὸ σκυλεῦσαι τοὺς πίπτοντας ἐχθροὺς, τινὲς ἐκ τῶν ἵππων κατέρχωνται, καὶ τὴν παράταξιν διαλύωσιν.

A accedit, quod ob hostes cadentes despoliandos nulli ex equis descendunt, et stationem suam deserunt.

νγ'. Ἵνα δὲ εὐκόλως ἐπὶ τῶν ἵππων ἀναβαίνωσιν οἵ τε λεγόμενοι δεσποτάτοι καὶ οἱ τραυματιζόμενοι στρατιῶται οἱ ἀπὸ τῶν ἵππων πίπτοντες, πρέπον ἐστὶν, ἵνα ὁ δεποτάτος τὰς δύο σκάλας εἰς τὸ ἀριστερὸν μέρος τῆς σέλλας ἔχῃ· τοῦτ' ἔστι τὴν μίαν πρὸς τῷ ἐμπροσθοκουρβίῳ, καὶ τὴν ἑτέραν πρὸς τῷ ὀπισθοκουρβίῳ, ἵνα ὅταν μέλλουσιν οἱ δύο ἐπὶ τοῦ ἵππου ἀνέρχεσθαι, ὁ μὲν διὰ τῆς σκάλας τῆς ἐμπροσθεν, ὁ δὲ διὰ τῆς ἑτέρας σκάλας ἀνέρχεται. Ἀναγκαῖον δέ ἐστι τοὺς λεγομένους δεσποτάτους καὶ εἰς φλασκεῖα ὕδωρ βαστάζειν διὰ τοὺς πολλάκις ὑποθυμοῦντας τραυματίας.

53. Ut vero facile conscendere equos possint tum despotati, tum milites vulnerati, qui ex equis ceciderunt, par est, ut despotati duas scalas ad lævam partem sellæ habeant, unam ad emprosthocurbium, id est antilenam, alteram ad episthocurbium, id est postilenam, ut quando hi duo equum conscensuri sunt, alter ad scalam anticam, alter ad posticam conscendat. Ferant autem despotati secum in phlasciis aquam, quia sæpe sauciati animo deficere solent.

B

νδ'. Ἐν δὲ τῷ καιρῷ τῆς μάχης φλάμουλα τὰ κοντάρια μὴ ἐχέτωσαν. Ὅσον γάρ εἰσιν εἰς ἐπίδειξιν καὶ κόμπον ἀναγκαῖα τὰ φλάμουλα, τοσοῦτόν εἰσιν ἐν ταῖς μάχαις ἄχρηστα. Ἐάν γάρ τις βούληται εὐκαίρως ῥίψαι, ἢ ἀκοντίσαι, ἢ τοξεῦσαι, οὐ συγχωρεῖ τὸ φλάμουλον εὐστόχως εἰς ὀρθὸν, ἢ εἰς μῆκος βάλλεσθαι τὸ ῥιπτόμενον. Ἐὰν δὲ καὶ τοξείας καιρὸς γένηται, παρεμποδίζει τοῖς ὄπισθεν τοξεύουσιν, ἀλλὰ καὶ εἰς τὰς ἐξελασίας καὶ εἰς τὰς ἐπιστροφὰς καὶ εἰς τὰς ἀντιστροφὰς οὐκ ὀλίγον ἐμποδισμὸν ποιοῦσιν. Καὶ διὰ τοῦτο ἐν ταῖς μάχαις ταῦτα χρηματίζειν οὐ πρέπει.

54. Belli ipsius tempore, hastæ ne habeant flamula; in quo enim ad ostentationem et pompam necessaria sunt, in eo ad bellum gerendum inutilia sunt. Si enim quis opportune conjicere voluerit, sive jaculum, sive sagittam, flamulum magno impedimento ad id erit, ut vel prope ad scopum, vel ad spatium aliquod longum projiciatur. Sin sagittarum jaciendarum tempus fuerit, flamula admodum retardabunt sagittarios a tergo sagittas emittentes. Ad excursiones autem omnes, conversiones, reversiones, haud parvo impedimento sunt itaque in bello minime illis utendum est.

C

νε'. Ἀλλὰ διὰ μὲν τὸν κόμπον τῆς παρατάξεως, ὥστε φαίνεσθαι μήκοθεν ἔχειν μὲν τὰ φλάμουλα εἰς τὰ κοντάρια, ἕως ἂν οἱ ἐχθροὶ φθάσωσιν ἀπὸ μιλίου ἑνός· ἀπὸ τότε δὲ ἵνα συστέλλωσιν αὐτὰ καὶ ἐν τοῖς θηκαρίοις αὐτῶν ἀποτιθῶσιν.

55. Ad splendorem aciei honestandum, ut eminus ab hostibus flamula in hastis cernantur, dum hostes intra unum milliare sunt, valent; tum vero retrahant ea, et in thecis suis reponant.

νς'. Πρὸς τούτοις κελεύομέν σοι, ἵνα ἀπὸ τῶν ἰσχυρῶν καὶ δυνατῶν ταγμάτων καθ' ἕκαστον τάγμα, ἀπὸ δὲ τῶν ἄλλων ὑποδεεστέρων καθ' ἑκάστην τούρμαν σκουλκάτορας ἤγουν βιγλεύοντας ἀφορίσεις, δύο μὲν κατὰ τάγμα, ὀκτὼ δὲ ἢ δώδεκα κατὰ τούρμαν ἀγρύπνους καὶ διεγηγερμένους καὶ γοργοὺς, οἵτινες καὶ πρὸ τοῦ πολέμου καὶ ἐν αὐτῷ τῷ πολέμῳ ἐν τοῖς ἰδίοις αὐτῶν μέρεσιν εἰς οὓς καὶ τάσσονται τόπους ἀπὸ διαστημάτων σκουλκεύειν ὀφείλουσιν ἕως τῆς τελείας τοῦ πολέμου ἐκβάσεως, ἵνα μὴ ἀπὸ ἐγκρύμματος ἐπιδρομὴ ἢ δόλος αὐτοῖς ὑπὸ τῶν ἐχθρῶν γενήσεται.

56. Ad hæc præcipimus, ut si fortes ac strenuæ fuerint cohortes, singulis cohortibus duo, sin minus, ex singulis turmis octo, aut duodecim sculcatores, et biglevontes, quos speculatores et excubias appellamus, vigilantes, industrii, truces eligantur, qui ante bellum, et ipso in bello usque ad totius belli exitum, iis in locis, in quibus eminus collocantur, diligenter suis turmis et cohortibus prospiciant, et speculentur, ne qua ex insidiis incursio aut dolus hostium obversetur.

D

νζ'. Καὶ τοὺς μινσουράτορας δὲ τοσούτους εἶναι τοὺς ὀφείλοντας προλαμβάνειν, καὶ τὰ ἄπλικτα μετρεῖν, καὶ τὰς ὁδοὺς προγινώσκειν, καὶ πρὸς τὰ ἄπλικτα τὸν στρατὸν ὁδηγεῖν. Καὶ περὶ μὲν τούτων τοσαῦτα εἰρήσθω.

57. Mensuratores autem totidem esse oportet, qui aplicta, id est castra anticipare et dimetiri debent, viasque providere, atque ad castra exercitum ducere. Ac de iis hæc a nobis dicta sunto.

νη'. Χρὴ δὲ τὴν σὴν ἐνδοξότητα τὰ μὲν τῆς πρώτης παρατάξεως μέρη παρασκευάζειν, ὥστε πλησίον ἀλλήλων περιπατεῖν μὴ ἀπὸ πολλοῦ διαστήματος ἤτοι διαλείμματος τὸ μεταξὺ αὐτῶν ἀπὸ μέρους εἰς μέρος, ἀλλ' ὅσον μὴ συντρίβεσθαι ἐν τῷ περιπατεῖν, μηδὲ διακεκριμένα ἀπ' ἀλλήλων φαίνεσθαι.

58. Primam aciem sic dignitas tua instruet, ut prope se mutuo ambulent, neque longius intervallum aut spatium interjectum sit, quam ut ne se mutuo in itinere affligant, ne nimis a se partes distare videantur.

νθ'. Τοὺς δὲ πλαγιοφύλακας μέχρι μὲν τοῦ ἐγγίζειν τοὺς ἐχθροὺς ἐγγὺς εἶναι, ὅταν δὲ ἐγγίζωσιν

59. Laterani usquedum hostes prope affuerint, aciei reliquæ adjuncti sint: tum autem sagittæ

Digitized by Google

unius jactu, neque plus eo, ad lævam recedant, idque potissimum quando longitudine hostium acies nostram aciem superat, qui ad circumcludendos hostes collocati sunt, ad dextram partem faciant.

A ὡς ἀπὸ σαγιττοβόλου τοῦ ἀριστεροῦ μέρους παρεκβαίνειν, καὶ μὴ πλέον, ἐὰν μάλιστα ὑπερέχει εἰς μῆκος ἡ τῶν ἐναντίων παράταξις. Ὁμοίως δὲ καὶ τοὺς ὑπερκεράστας, ἡγουν τοὺς κυκλοῦν τοὺς πολεμίους ὀφείλοντας, τάξεις δὲ εἰς τὸ δεξιὸν μέρος.

60. Partes, sive turmas secundæ aciei ad latera, id est, oblique unius sagittæ jactæ intervallo collocabis ; a tergo autem, sive post primam aciem ambulent. Itaque quandiu hostes longe a loco prœlii ad unum milliare, aut eo plus absunt, tam longe sequantur, ut ab hostibus cerni advertique nequeant, ne si advertantur, aliquas insidias molitionesque adversus eas hostes instruant. Ubi autem hostes jam prope fuerint, et emergente atque in conspectum secunda jam acie adventante, minime apparare aliquas copias adversum eas hostes B potuerint, ad sagittæ quater jactæ intervallum secunda acies accedat, et primam aciem diligenter observet. Neque enim abesse longe ipsius conflictationis tempore acies debet, ut ne omni præsidio destitutam eam relinquat, neque rursus nimis prope accedat, ne pulvere maximo excitato, ea cum prima acie permista sit, et antequam discesserint hostes insequi primam aciem putetur.

ξ'. Τὰ δὲ μέρη τῆς δευτέρας παρατάξεως κατὰ μὲν πλευρὰν ἀλλήλων ἤτοι εἰς τὰ πλάγια ἀπὸ ἑνὸς σαγιττοβόλου τάξεις· κατὰ οὐρὰν δὲ, ἤγουν κατὰ ὄπισθεν, τῆς πρώτης παρατάξεως περιπατεῖν· ὥστε μέχρι μὲν οἱ πολέμιοι μακρὰν ἀφεστήκασιν ἀπὸ ἑνὸς ἢ καὶ πλέον μιλίου πρὸς τὴν τοῦ τόπου θέσιν, ὅσον δυνατόν ἐστιν ἀφανῶς ἐπακολουθεῖν εἰς τὸ μὴ καθοράσθαι μήκοθεν ταύτην τοῖς πολεμίοις καὶ μεθοδεύεσθαι ἢ ἐπιβουλεύεσθαι ὑπ' αὐτῶν. Ὅταν δὲ οἱ ἐχθροὶ ἐγγίζουσιν, καὶ λοιπὸν φαινομένης τῆς δευτέρας οὐ φθάζουσιν ἁρμόσασθαι, τότε ἐπιφαίνεσθαι αὐτὴν, καὶ ἕως τεσσάρων σαγιττοβόλων ἐγγίζειν τῇ πρώτῃ, καὶ κανονίζειν ἤγουν ἐπισκοπεῖν αὐτήν. Οὐδὲ γὰρ μήκοθεν πολὺ ὀφείλει εἶναι ἡ δευτέρα τῆς πρώτης ἐν καιρῷ τῆς συμβολῆς, ἵνα μὴ ἀβοήθητον αὐτὴν καταλείπῃ. Οὐδὲ πάλιν πολὺ ἐγγὺς, ἵνα μὴ συμφύρηται τῇ πρώτῃ ἐν ταῖς συμβολαῖς, κονιορτοῦ μάλιστα κινουμένου, καὶ πρὸ τοῦ διαλυθῆναι τοὺς πολεμίους καταδιώκουσι τὴν πρώτην εὑρεθῇ.

61. Cohortes, quæ post oras secundæ aciei hinc atque illinc utrimque locantur, unius sagittæ jactu a cæteris constituantur, atque ita sequantur.

ξα'. Τὰ δὲ τάγματα τὰ ὄπισθεν τῶν ἄκρων τῆς δευτέρας ἑκατέρωθεν τασσόμενα, ἤγουν ἐντεῦθεν καὶ ἐκεῖθεν, δεῖ ὡς ἀπὸ ἑνὸς σαγιττοβόλου αὐτῶν εἰς νώτου φυλακὴν ταγῆναι, καὶ οὕτως ἀκολουθεῖν.

62. Insignia, quæ in exercitu sunt, cohortium C minora et leviora sint : merarcharum, vel drungariorum, seu tribunorum majora et distinctiora : turmarcharum autem insignia admodum diversa a tribunorum suorum insignibus. Principis tui, sive proprætoris, multum distincta sint insignia. Tuum autem insigne a cæteris omnibus insignibus diversum esse debere nemo ignorat, ut in rebus perturbatioribus in insigne intuentes, revocare eos domum, et ad sua loca transferre præfecti possint. τύχῃ πρὸς αὐτὸ βλέποντας εὐκόλως, ὡς εἴρηται, συνάγεσθαι, καὶ ἑαυτοὺς ἀνακαλεῖσθαι τούς τε ἄρχοντας καὶ τοὺς στρατιώτας.

ξβ'. Τὰ δὲ βάνδα, ἤγουν τὰ σημεῖα αὐτῶν, χρὴ καθ' ἑκάστην τούρμαν, τὰ μὲν τῶν ταγμάτων μικρότερα εἶναι καὶ ἐλαφρά· τὰ δὲ τῶν μοιράρχων, ἤτοι τῶν δρουγγαρίων, μεγαλώτερα καὶ ἐξηλλαγμένα· ὁμοίως δὲ καὶ τὰ τῶν τουρμαρχῶν ἐξηλλαγμένα πρὸς τὰ τῶν ὑπ' αὐτοὺς ταττομένων δρουγγαρίων. Τὸ δὲ ὑποστρατήγου βάνδον διάφορον ἔχειν παρὰ τὰ τῶν τουρμαρχῶν βάνδα, ὥσπερ οὖν καὶ τὸ τῆς σῆς ἐνδοξότητος ἐνηλλαγμένον ὀφείλει εἶναι καὶ διαφανὲς παρὰ τὰ ἄλλα πάντα, καὶ πᾶσιν εὔγνωστον, ἐφ' ᾧ ἐν δευτέρᾳ

63. Omnibus cohortibus æquabiliter in fronte collocatis, strenuos ex illis milites undeviginti aut viginti eliges, qui ad custodiam uniuscujusque illorum et administrationem constituentur. D

ξγ'. Πάντων δὲ τῶν βάνδων ἰσομετώπων ἐν τάξει ἱστωμένων, δέον ἐκ τῶν παρὰ αὐτὰ τασσομένων στρατιωτῶν τοὺς γενναιοτέρους καὶ πεντεκαίδεκα ἢ καὶ εἴκοσι ἄνδρας ἀφορίσαι ἐπὶ τῇ ἑκάστου αὐτῶν φυλακῇ καὶ διεκδικήσει.

64. Præfectos majores tuto et firmo loco in exercitu collocabis, ne impetu quodam incitati præcipites in periculum ruant, atque inde magna perturbatio militibus oriatur. Ex minoribus enim præfectis si quis trucidetur, nemini facile patefit, nisi suæ ipsius solum cohorti : sin quis ex nobilibus ceciderit, per multorum hominum ora pervagatus rumor, universo exercitui perturbationem afferet.

ξδ'. Τοὺς δὲ ἄρχοντας τοὺς μείζονας ἀσφαλῶς δεῖ τάσσεσθαι εἰς τὸ μὴ προπετευομένους ἐν ταῖς μάχαις διαπίπτειν, καὶ ἐντεῦθεν ὀλιγωρίαν τοῖς στρατιώταις ἐγγίγνεσθαι· ἐκ μὲν γὰρ τῶν μικροτέρων ἀρχόντων, εἰ συμβῇ παραπεσεῖν τινα, οὐδενὶ εὐκόλως γινώσκεται, ἀλλ' ἢ τοῖς τοῦ ἰδίου τάγματος μόνοις· εἰ δέ τις τῶν ἐμφανῶν διαπέσῃ, ἢ τοῖς πᾶσιν, ἢ τοῖς πολλοῖς δηλούμενος ὁ θάνατος αὐτοῦ ὀλιγωρίαν τῷ ὅλῳ στρατῷ εἰσάγει.

65. Princeps, sive proprætor tuus, reliquique turmarchæ in fronte cohortium suarum consistentes, circumspiciant et aparent aciem usquedum

ξε'. Διὸ πρέπον ἐστὶν, ὦ στρατηγὲ, τὸν ὑποστράτηγον καὶ τοὺς τουρμάρχας μέχρι μὲν ἀπὸ ἑνὸς ἢ δευτέρου σαγιττοβόλου τῆς τῶν ἐχθρῶν παρατάξεως

Digitized by Google

ἰσομετώπους τάσσεσθαι μετὰ τῶν βάνδων, καὶ ἐπιβλέπειν καὶ ἁρμόζειν τὴν τάξιν· ὅταν δὲ μέλλῃ συμβολὴ γίνεσθαι, ἐκ τῶν ἰδικῶν αὐτῶν ἀνθρώπων τοὺς γενναιοτέρους εἰς τὸ πλάγιον αὐτῶν παρατάσσεσθαι, καὶ προέρχεσθαι εἰς ὄψιν αὐτῶν, καὶ σκέπειν, καὶ ἐκείνους μᾶλλον χεῖρας μιγνύειν.

ξς'. Τὴν δὲ σὴν ἐνδοξότητα κελεύομεν, μέχρι μὲν ὁ καιρὸς τῆς συμβολῆς γένηται, τάσσειν, καὶ ἐπιβλέπειν, καὶ ἁρμόζεσθαι τῇ τῶν ἐχθρῶν κινήσει. Τότε δὲ ἐν τῷ ἰδικῷ σου ἔρχεσθαι τάγματι, ὅπερ οὐ πρὸς μάχην, ἀλλὰ πρὸς σκοπόν τινα καὶ κανόνα τῆς πρώτης καὶ δευτέρας τάξεως τέτακται· τοῦτ' ἔστιν ἐν τῷ μέσῳ χωρίῳ τῆς δευτέρας τάξεως.

ξζ'. Πολλὰ δὲ βούκινα λαλεῖν ἢ κινεῖν ἐν καιρῷ μάχης, ὡς ἐπιβλαβὲς ὂν οὐ συμβουλεύομεν, ἵνα μὴ ἐκ τούτου θόρυβός τις καὶ σύγχυσις γένηται· καὶ γὰρ διὰ τοῦτο οὐδὲ τὰ παραγγελλόμενα καλῶς ἐξακούεσθαι δύναται. Ἀλλ' εἰ μὲν ὁ τόπος ὁμαλὸς εὑρεθῇ, ἀρκεῖ τὸ βούκινον τοῦ μέσου μέρους ἑκατέρᾳ παρατάξει. Εἰ δὲ ἀνώμαλός ἐστιν, ἢ ἄνεμος, ὡς πολλάκις, ταραχώδης κινεῖται, ἢ ἦχος ὕδατος παρεμποδίζει τῇ φωνῇ τοῦ καθαρῶς διακούεσθαι, οὐκ ἄτοπον τότε καὶ ἐν τοῖς λοιποῖς μέρεσιν ἓν βούκινον ἐν ἑκάστῳ μέρει λαλεῖν, ὥστε τρία λαλεῖν βούκινα ἐν ὅλῃ τῇ παρατάξει. Ὅσον γὰρ ἡ ἡσυχία φυλάττεται, τοσοῦτον καὶ οἱ νεώτεροι ἀτάραχοι, καὶ τὰ ἄλογα ἄπτυρτα γίνεται, καὶ ἡ τάξις φοβερωτέρα τοῖς ἐχθροῖς φαίνεται, καὶ τὰ μανδάτα εὐκόλως γινώσκονται.

ξη'. Διὸ οὐδὲ τὴν οἱανοῦν φωνὴν ἀκαίρως δεῖ ἀκούεσθαι μετὰ τὸ κινεῖσθαι τὴν παράταξιν ἐπὶ πόλεμον, ἀλλὰ ἅμα τοῦ ἐξελθεῖν ἀπὸ τοῦ φοσσάτου ἡγοῦν τοῦ ἀπλίκτου τὸν στρατὸν ἐπὶ τὴν μάχην παντοίαν ἡσυχίαν ἄγειν καὶ μηδὲν ἀκαίρως φθέγγεσθαι. Τοῦτο γὰρ οὐ μόνον τὸν στρατὸν ἀτάραχον φυλάττει, ἀλλὰ καὶ τὰ τῶν ἀρχόντων βάνδα μετὰ προσοχῆς ἀποσκοπεῖσθαι ποιεῖ.

ξθ'. Τὸ δὲ μέτρον καὶ τὴν ποιότητα τῆς συμβολῆς αὐτὸ τὸ πρᾶγμα δοκιμάζει, καὶ ἡ σφίγξις ἡ πρέπουσα, καὶ ἡ τῶν ἐχθρῶν παρουσία. Καὶ κινοῦντα μὲν πρὸς τὴν συμπλοκὴν τὴν συνήθη νικητήριον τοῦ σταυροῦ φωνὴν ἀνακράζειν δεῖ.

ο'. Ὅταν δὲ εἰς χεῖρας ἔλθῃ ὁ στρατὸς, τότε ἀλαλάζειν, ἢ ὠρύεσθαι, καὶ μάλιστα τοὺς ὄπισθεν τασσομένους τῶν ἰδίων οὐκ ἄτοπόν ἐστιν.

οα'. Ἁρμόδιον δὲ ἡμῖν καταφαίνεται ἐν τῷ τῆς συμπλοκῆς καιρῷ καὶ τὸ τῶν λεγομένων καντατόρων ἔργον. Οὗτοι δέ εἰσιν οἱ τὸν στρατὸν διὰ λόγων παροτρύνοντες, καὶ συμβουλεύοντες, καὶ κατεπᾴδοντες, καὶ παρακαλοῦντες πρὸς τοὺς ἀγῶνας, καὶ ἵνα, εἰ δυνατὸν, ἐξ αὐτῶν ἐκείνων τῶν στρατιωτῶν ἢ τῶν ἀρχόντων τὸ τοιοῦτον ἔργον ποιεῖται. Ἐπιλέγονται δὲ τοιούτους λογίους ἄνδρας οἱ ἄρχοντες καὶ δυνατοὺς διὰ λόγων ὁμιλεῖν τῷ στρατῷ. Ἡ γὰρ κοινωνία τοῦ καμάτου καὶ τῶν πόνων εὐπειθεστέρους ποιεῖ τοὺς ἀκούοντας τοῖς παρακολουθοῦσι συστρατιώτας.

οβ'. Λέγειν δὲ τοὺς καντάτορας πρὸς τὸν στρατὸν προ-

A intra unius aut alterius sagittæ jactum hostes fuerint : ubi autem committendæ acies sunt, strenuissimos quosque ex suis viris ad latus suum instruant, et in illorum conspectum veniant, illosque ad manus conserendas impellant.

66. Dignitati tuæ præcipimus, ut usque ad conflictationis tempus instruas, perlustres, atque adpares exercitum adversus hostium impetum : consertis jam manibus ad tuam ipsius cohortem venias, non ut ibi prœlieris, sed ut speculeris, et perlustres tum primam, tum secundam aciem, hoc est ad medium locum secundæ aciei.

B 67. Multas buccinas concitare atque inflare, belli tempore insitum atque inconsultum esse videtur, quia ex eo perturbatio et confusio orietur, neque enim bene imperata exaudiri possunt. Si enim locus æquabilis fuerit, mediæ turmæ buccina utrique aciei satis fuerit. Sin inæqualis fuerit, aut ventus, quod sæpe fit, turbulentus fiet, vel aquarum susurrus vocem clare exaudiri impediat, haud abs re fuerit in reliquis turmis unam buccinam in unaquaque turma personare, ut in acie universa tres solum buccinæ sonent. Quanto enim magis silentium servatur, tanto magis adolescentiores firmiori animo sunt, et jumenta magis intrepida, aciesque ipsa hostibus terribilior esse videtur, imperataque celerius nota fiunt.

C 68. Itaque ubi exercitus ad bellum procedit, nullam oportet vocem aut sonum a quoquam temere emitti, sed simul ut e castris ad prœlium vadit acies, tacita iter faciat, nihilque temere loquatur : hoc enim non modo exercitum animosiorem facit, sed et præfectorum cohortes attentius animadverti facit.

69. Modum et formam confligendi res ipsa, et commoda densatio, et inimicorum præsentia, efficient. Cum vero jam ad conflictationem movet exercitus, consueta Christianis vox usurpanda est, νικητήριον τοῦ σταυροῦ, crucis victoria.

70. Manibus jam consertis clamores quam maximos altissimosque edere non inutile fuerit, atque eos in primis, qui a tergo aciei instruuntur, tum D ad hostes perterrefaciendos, tum ad suos confirmandos.

71. Cantatorum quoque munus in prœlio negligendum non est : ii sunt, qui exercitum universum oratione sua ad prœlium incitant, impellunt, consulunt, adhortantur. Si fieri poterit, iidem milites præfectique, qui ad dimicationem procedunt, ad hoc munus faciendum eligantur. Eligantur autem eloquentes viri, quique oratione sua vertere in omnes partes militum animos possint. Socios enim operæ laborumque, magis obedientes atque alacres ad exhortationes approbandas persequendasque facit.

72. Cantatores autem suasoria quædam atque

Digitized by Google

exhortationes tales adhibeant. Primum commemorent mercedem fidei in Deum : deinde regiam beneficentiam : beneficia ante collata : causam susceptam pro Deo, et ejus dilectione, ac pro universa natione, atque adeo pro fratribus omnibus fidelibus, et si usus ferat, pro uxore, liberis, patria : sempiternam esse memoriam eorum qui strenue se in bello pro fratrum libertate gerunt : contra Christi hostes hoc bellum susceptum esse : nos Deum habere propitium, in cujus manu omne belli momentum ponitur : illos propter incredulitatem contrario in statu esse, et si quid tale excogitatum sit, quod illorum mentes ad bellum inflammare possit. Ejusmodi enim oratio commode habita, animos hominum magis impellit, quam magnus pecuniæ numerus.

A τρεπτικά τινα πρὸς τὸν πόλεμον τοιαῦτα· πρῶτον μὲν ἀναμιμνήσκοντας τῶν μισθῶν τῆς εἰς Θεὸν πίστεως, καὶ τὰς ἐκ βασιλέως εὐεργεσίας, καὶ τινων ἐπιτυχιῶν προγεγενημένων. Καὶ ὅτι ὁ ἀγὼν ὑπὲρ Θεοῦ ἐστι, καὶ τῆς εἰς αὐτὸν ἀγάπης, καὶ ὑπὲρ ὅλου τοῦ ἔθνους. Πλέον δὲ ὑπὲρ ἀδελφῶν τῶν ὁμοπίστων, εἰ τύχοι, καὶ ὑπὲρ γυναικῶν, καὶ τέκνων, καὶ πατρίδος· καὶ ὅτι αἰωνία μένει μνήμη τῶν ἀριστευόντων κατὰ πολέμους ὑπὲρ τῆς τῶν ἀδελφῶν ἐλευθερίας· καὶ ὅτι κατὰ τῶν τοῦ Θεοῦ ἐχθρῶν ὁ τοσοῦτος ἀγών· καὶ ὅτι ἡμεῖς μὲν τὸν Θεὸν ἔχομεν φίλον τὸν ἔχοντα ἐξουσίαν τῆς ῥοπῆς τοῦ πολέμου, ἐκεῖνοι δὲ ἐναντίον αὐτὸν ἔχουσι διὰ τῆς εἰς αὐτὸν ἀπιστίας, καὶ εἴ τι ἕτερον τούτοις ὅμοιον ἐπινοοῦντας ποιεῖσθαι τὴν προτρεπτικὴν νουθεσίαν. Πολλὰ γὰρ ἰσχύει τοιοῦτος B λόγος εὐκαίρως γινόμενος διεγεῖραι ψυχὰς μᾶλλον ἢ χρημάτων πλῆθος.

73. Hoc autem prætereundum non est : quoniam hostes facile, pro numero insignium, integram multitudinem exercitus cognoscere possunt, necessarium esse arbitramur duo similia in unaquaque cohorte esse insignia, unum quidem comitis nomine, alterum centurionis : et utraque insignia usque ad diem belli gestentur. Die autem ipso belli, authentica banda sola eleventur ut ne multis insignibus elevatis omnia misceantur, minusque cognita sint suis ipsorum militibus : hac enim ratione fiet, ut permagnus exercitus pro numero insignium videatur, et ipso die belli authentica atque omnibus cognita proferantur.

ογ'. Ἔτι δέ σοι καὶ τοῦτο οὐ παραλείψω· ἐπειδὴ γὰρ δυνατόν ἐστι καταστοχάσασθαι τοὺς ἐναντίους τῆς ποσότητος τοῦ ἡμετέρου στρατοῦ ὡς ἐπὶ πολὺ διὰ τοῦ ἀριθμοῦ τῶν βάνδων, ἀναγκαῖον εἶναι λογιζόμεθα δύο ὅμοια βάνδα καθ' ἕκαστον τάγμα, ἓν μὲν τὸ αὐθεντικὸν τὸ ὀφεῖλον ἐπ' ὀνόματι εἶναι τοῦ κόμητος, ἕτερον δὲ τὸ τοῦ κεντάρχου, καὶ ἀμφότερα τὰ βάνδα βαστάζεσθαι μέχρι τῆς ἡμέρας τοῦ πολέμου. Κατὰ αὐτὴν δὲ τὴν ἡμέραν τῆς συμβολῆς τὰ αὐθεντικὰ καὶ μόνα βάνδα ὑψοῦσθαι, ὥστε μὴ πολλῶν βάνδων ὑψουμένων φύρειν ἅπαντα, ἢ καὶ ἀνεπίγνωστα γενέσθαι τοῖς ἰδίοις αὐτῶν στρατιώταις· ἐντεῦθεν γὰρ δυνατόν ἐστι καὶ πολὺν τὸν στρατὸν φαίνεσθαι ἐκ τοῦ ἀριθμοῦ αὐτῶν, καὶ τῇ ἡμέρᾳ τοῦ πολέμου τὰ αὐθεντικὰ ὡς εὐεπίγνωστα φανέσθαι.

74. Ante belli diem, et aliquot præterea ante diebus, exhortationes quædam fiant ad exercitationes reliquosque motus bellicos alacriter suscipiendos : unusquisque enim turmarcha suos advocabit, et apud eos verba ad hunc aut consimilem modum faciet : Non temere hæc exercitationum genera a majoribus nostris, atque etiam ab imperatoribus tum recentioribus, tum antiquioribus instituta sunt. Neque sine causa hæ artificiosæ scierum instructiones, tum orbiculatæ, reliquique motus bellici adinventi sunt. Si enim agrestes feræ, ut lepores, damæ, ac reliquæ contemptæ bestiæ, cum eas venando consequimur, non omnino longius in directum aufugiunt, sed in contentionem et impetum venatorum intuentes, sic se accommodant, ut evadere possint : quanto magis homines intelligentia præditos, et de magnis rebus contendentes, attente et industrie tum persequendis hostibus, tum declinandis, in prœlio operam navare oportet, neque quasi aqua in hanc aut illam partem jactari atque effundi, si vel magna aliqua incursio ab illis fiat, vel aliquis a nobis in illos impetus exsistat, immodice alterutram in partem ferri, sed omnia sustinere, ut victoriam tandem adipiscantur.

C οδ'. Πρὸ δέ τινων ἡμερῶν τοῦ καιροῦ τῆς συμβολῆς ὅτε μάλιστα καὶ προγυμνασίαν δεῖ γενέσθαι τῶν τε παραγγελμάτων καὶ τῶν μερικῶν κινήσεων, δεῖ τοὺς ἑκάστης τούρμας ἄρχοντας μετακαλέσασθαι καὶ διαλαλῆσαι πρὸς τοὺς τοῦ ἰδίου μέρους τὰ ἁρμόδια, οἷον· ὅτι Οὐ μάτην αἱ γυμνασίαι τῶν στρατιωτῶν παρά τε τῶν παλαιῶν καὶ τῶν νέων στρατηγῶν ἐξετέθησαν, καὶ αἱ κατὰ τέχνην παρατάξεις καὶ αἱ ἐπ' εὐθείας καὶ κατὰ κύκλους καὶ ἄλλα σχήματα κινήσεις. Εἰ γὰρ ἄγρια ζῶα διωκόμενα, οἷον ἔλαφοι καὶ λαγωοί, ἢ ἄλλο τι τῶν εὐτελῶν ζώων ἐν τοῖς κυνηγίοις οὐ πάντως ἔξωθεν ἔξω καὶ ἐπ' εὐθείας τὴν φυγὴν ποιοῦνται, ἀλλ' ἀποβλέποντα πρὸς τὸν τόνον καὶ τὴν ὁρμὴν τῶν ἐπιτιθεμένων αὐτοῖς, οὕτως καὶ τὰς ὑποχωρήσεις ποιοῦνται· πόσῳ δεῖ D μᾶλλον τοὺς ἀνθρώπους ἐν συνέσει ὄντας, καὶ ὑπὲρ μεγάλων πραγμάτων ἀγωνιζομένους προσεχόντως καὶ τὰς διώξεις καὶ τὰς ὑποχωρήσεις ποιεῖσθαι ἐν ταῖς μάχαις! Καὶ μὴ ὥσπερ ἐπὶ ὕδατος ἐπὶ τὰ ἔμπροσθεν ἢ ἐπὶ τὰ ὀπίσω ἐκχέεσθαι, μικρᾶς, ὡς εἰκός, τινὸς ὠθήσεως ἢ τοῖς ἐχθροῖς γενομένης, ἢ παρ' αὐτῶν ἐπαγομένης καὶ ἀμέτρως οὕτως ἐλαυνομένους κινδυνεύειν, ἀλλὰ πάντα ὑπομένειν, ὥστε ἐξ οἱουδήποτε τρόπου σπουδάζειν νικᾶν τὸν ἐχθρόν.

75. Neque enim ad parvum spatium insequi hostes, et tum dimittere, victoria putanda est : neque rursus paululum retrocedere, rursusque in eos con-

Οὐδὲ γὰρ τὸ πρὸς ὀλίγον διῶξαι τὸν ἐναντίον καὶ ἀφιέναι τελεία νίκη ἐστίν· οὐδὲ τὸ πρὸς μικρὸν ὑποχωρῆσαι, καὶ πάλιν ἀντιστραφῆναι, αἱ ἥτται, ἀλλὰ

Digitized by Google

ἀπο τοῦ πέρατος τοῦ πολέμου ἑκάτερα δείκνυται, καὶ πρὸς αὐτὸ δεῖ ἀγωνίζεσθαι. Ταῦτα καὶ τούτοις ὅμοια τῷ στρατῷ διαλαλεῖν χρεωστοῦσιν οἱ ἑκάστου μέρους τουρμάρχαι καὶ ἰδίως τοῖς ἰδίοις στρατιώταις.

A verti, offensio belli indicanda est, sed ex belli exitu omnia æstimanda, atque ad eum conferenda sunt. Hæc atque iis similia turmis suis turmarchæ narrent, singulique præterea militibus suis præcipiant.

οϛ'. Σὺ δὲ μετὰ τὴν ἰδιάζουσαν τῶν τουρμαρχῶν καὶ γυμνασίαν καὶ διαλαλιὰν, ὦ στρατηγὲ, τάξεις εἰς τὸ ἅπαξ ἢ καὶ τὸ πολὺ δεύτερον τὴν ὅλην παράταξιν, καὶ ὁμοίως καταστήσεις αὐτοὺς καὶ διὰ λόγων καὶ δι' ἔργων ἑτοίμους εἶναι καὶ ἐμπείρους πάντοτε πρὸς τοὺς πολεμικοὺς ἀγῶνας.

76. Tu autem, imperator, post singulorum turmarcharum reliquorumque præfectorum privatas militum suorum exercitationes atque adhortationes, semel atque ad summum iterum universam aciem instrues, similiterque factis ac dictis paratos reddes, atque ad omnem bellicum usum habiles.

οζ'. Παραγγελῇς δὲ τοῖς τῆς πρώτης ἤτοι τῆς προμάχου τάξεως ἄρχουσιν, ὥστε τῷ μέσῳ πείθεσθαι, μέρει, ἔνθα τὸν ὑποστράτηγόν σου συμβαίνει τάσσεσθαι, ἤτοι τὸν λεγόμενον νῦν τοῦ θέματος B μεράρχην, καὶ ἰσοῦσθαι αὐτῷ, καὶ ἅμα τὴν συμβολὴν ποιεῖσθαι.

77. Præcipies etiam primæ, sive propugnatricis aciei præfectis, ut mediæ suæ turmæ obtemperent, ubi princeps, sive proprætor, qui nunc suæ ditionis μεράρχης, sive turmarcha dicitur, constitutus est, et æqua fronte cum illo incedant, eodemque tempore prælium committant.

οη'. Καὶ ταύτης γενομένης ἐὰν τραπῶσιν οἱ ἐχθροὶ, τοὺς μὲν κούρσορας σὺν ἐλασίᾳ ὁρμᾷν κατὰ αὐτῶν εἰς ἐπιδίωξιν ἕως αὐτοῦ τοῦ φοσσάτου αὐτῶν· τοὺς δὲ διφένσορας ἐπακολουθεῖν ἐν τάξει, καὶ μὴ ἀπομένειν· ἵνα τῶν ἐχθρῶν, ὡς εἰκὸς, ἀντιστρεφομένων, ἐὰν μὴ δυνηθῶσιν βαστάσαι οἱ κούρσορες, ἐκ τοῦ πλησίον εἰς τοὺς διφένσορας καταφεύγοντες πάλιν ἑαυτοὺς ἀνακαλέσονται.

78. Hac acie instructa, si vertantur hostes in fugam, cursores statim ad insequendos eos, usquedum ad fossatum illorum pervenerint, omnibus viribus contendant; defensores autem in acie instructi sequantur, et non consistant, ne, si hostes convertantur iterum, et illorum impetum cursores sustinere nequeant, prope ad defensores confugiendo rursum seipsos colligant.

οθ'. Ἐὰν μέντοι ἐν αὐτῇ τῇ συμβολῇ συμβῇ ἢ ἐν μέρος ἢ τὰ ὅλα τραπῆναι, ὑποχωρεῖν τοὺς κούρσορας ὡς ἐπὶ τὴν δευτέραν τάξιν ἐπὶ ἓν ἢ δεύτερον σαγιττόβολον, καὶ πάλιν ἀντιστρέφεσθαι κατὰ τῶν C ἐχθρῶν (92), τῶν συνήθων καὶ ἁρμοδίων φωνῶν ἤτοι παραγγελμάτων λεγομένων.

79. Sin inter confligendum una aliqua turma, aut omnes etiam in fugam vertantur, ad secundam aciem ad unius atque alterius sagittæ jactum se recipiant, rursumque se ad invadendos hostes confirment, consuetis et idoneis in principio pugnæ vocibus et cæremoniis adhibitis.

π'. Καὶ εἰ μὲν δυνηθῶσιν εἰς φυγὴν τρέψαι τοὺς ἐχθροὺς, διώκειν κατὰ αὐτῶν· εἰ δὲ μή γε, ὑποχωρεῖν, καὶ πάλιν ἀντιστρέφεσθαι. Εἰ δὲ ἅπαξ ἢ δεύτερον ἐγχειροῦντες μὴ ἰσχύσωσιν ἀντωθῆσαι τοὺς ἐχθροὺς, τότε τῆς δευτέρας τάξεως ἐπιφθανούσης καταφεύγειν πρὸς αὐτὴν, καὶ διὰ τῶν εὐκαίρων αὐτῆς χωρίων παρέρχεσθαι, καὶ ἐν τῷ μεταξὺ διαστήματι κατὰ οὐρὰν τῆς δευτέρας καὶ τρίτης ἐξελισσομένης ἅμα τῇ δευτέρᾳ τάξει δρουγγιστὶ ἤγουν ὁμοῦ ἐσφιγμένως τοῖς ἐχθροῖς ἐπέρχεσθαι, καὶ ἐὰν τραπῶσιν, ἐπακολουθεῖν αὐτοῖς ὀξέως.

80. Si hostes poterunt in fugam verti, insequendi primo sunt, deinde recedendum iterum ab eis, et ad eos statim vertendum est. Sin semel atque iterum hoc tentando non proficitur, secunda acie cominus jam adventante confugiant ad eam, et ad opportuna quædam loca intus se recipiant, hocque intervallo spatii ad extremam aciem iterum se evolvente, simul cum secunda drungisti, id est confertim ac dense, invadant, et si in fugam versi fuerint, omni alacritate eos insequantur.

πα'. Παραγγελῇς δὲ καὶ τοῖς πλαγιοφύλαξιν, ὥστε ἐὰν μὲν μακρότερον εὑρεθῇ τὸ ἄντις κέρας σπουδάζειν ἐπὶ κέρας, τοῦτ' ἔστιν ἐπὶ σκουτάριν κλίνοντας συνεκτείνεσθαι αὐτῷ, ἵνα μὴ ὑπ' αὐτοῦ κατακύκλωσις τῷ μέρει γένηται. Εἰ δὲ κοντότερον εὑρεθῇ τὸ ἄντις κέρας, σπουδάζειν μηνοειδῶς ἤγουν κατὰ ἡμικύκλιον ἐπικλίνεσθαι καὶ ἐμπεριλαμβάνειν αὐτὸ ἔσωθεν πρὶν ἢ τὸ μέρος φθάσῃ συμβαλεῖν, τοῦτ' ἔστιν ὅταν μέλλῃ ἡ φωνὴ τῆς συμβολῆς γίνεσθαι τῆς μάχης. Εἰ δὲ ἴσον ἐστὶν τὸ ἄντις, μένειν ἐν τῇ ἰδίᾳ τάξει ὡς διφένσορας, καὶ συμβάλλειν μετὰ τοῦ μέρους.

D 81. Lateranis etiam præcipies, ut si longius inveniatur cornu hostium esse, conentur ad cornu, id est, ad scutum, sive lævam inclinantes, ad eamdem quoque longitudinem produci, ut ne ab hostibus turmæ nostræ includantur. Sin concisius fuerit adversum cornu, lunare eos oportet, et ad semicirculi formam adducere, et intra complexum suum hostes coercere, priusquam turma confligere cum hoste incipiat, hoc est, priusquam consuetæ voces ante manus conserendas usurpentur. Sin æquale fuerit hostium cornu, in sua ipsorum acie quasi defensores stent, et turmam suam adjuvent.

πβ'. Παραγγελῇς δὲ καὶ τοῖς ὑπερκεράσταις ὅτι

82. Præcipies etiam cornistitibus, quando prope

NOTÆ.

(92) *Κατὰ τῶν ἐχθρῶν*. Scribebatur, καὶ τῶν ἐχθρῶν.

Digitized by Google

te fuerint hostes, ut duobus, aut tribus sagittæ jactibus, clam dextrum cornu consequantur, una cohorte in anteriore parte ad frontem constituta cum decanis quintanisve suis, qui ad quinque virorum solum altitudinem erunt, si strenui fuerint, reliqua cohorte universa drungisti, id est dense et confertim, illud sequente.

μέχρις οὗ γένωνται οἱ ἐχθροὶ ὡς ἀπὸ δύο σαγιττοβόλων ἢ τριῶν τῆς παρατάξεως, λελῆθότως χρὴ παρακολουθεῖν τῷ δεξιῷ κέρατι· τοῦ μὲν ἑνὸς τάγματος ἐπιμέτωπον ἦγουν ἔμπροσθεν ἔχοντος τοὺς δεκάρχας ἢ πεντάρχας· ἀρκοῦσι γὰρ ἀπὸ πέντε μόνον τὸ βάθος, ἐὰν εἰσὶ χρῆσιμοι· τοῦ δὲ ἑτέρου τάγματος δρουγγιστὶ ἦγουν πυκνοὺς καὶ ὁμοῦ ὄπισθεν αὐτοῦ ἀκολουθοῦντας.

83. Banda, id est, capita illorum sive insignia, ne sursum erecta teneant, sed inclinata, dum usus poscat ea in lucem educi, ne si erecta in conspectu hostium essent, qui ea gestant magis ab hostibus insidiis appetantur.

πγ'. Τὰ δὲ βάνδα, ἦγουν τὰς κεφαλὰς αὐτῶν, μὴ ὀρθὰ κρατεῖν, ἀλλὰ ἐπικεκλιμένα, ἕως καιρὸς γένηται χρείας τοῦ φαίνεσθαι αὐτὰ, εἰς τὸ μὴ προφαινόμενα τοῖς ἐχθροῖς ἐπιγινώσκεσθαι, καὶ μᾶλλον ἐπιβουλεύεσθαι ὑπ' αὐτῶν τοὺς κρατοῦντας αὐτά.

81. Si longius adversum cornu inveniatur, primo ad cornu, id est, hastam sive lævam, declinandum est, paululumque dextrum cornu in procedendo retardet se, et ad dimidium sagittæ jactum producat se, ut adversum cornu longitudine superent, atque ita declinantes, illosque circumvenientes dicant, Ἔξελθε, exi, statimque a tergo illorum cohors milliaria, quam drungum vocant, de improviso et acri cum incursione invadat.

πδ'. Καὶ ἂν μακρότερον τὸ ἄντις κέρας εὑρεθῇ, πρότερον ἐπὶ κέρας κλίνεσθαι, τοῦτ' ἔστιν ἐπὶ κοντάριν, καὶ ὀλίγον τοῦ δεξιοῦ μέρους ἐν τῷ περιπατεῖν ἐμβραδύνοντος παρεκτεῖναι μέχρι καὶ ἡμίσου σαγιττοβόλου διὰ τὸ ὑπερβάλλειν τὸ ἄντις κέρας. Εἶθ' οὕτως ἐκνεύοντας κατὰ αὐτοὺς καὶ κυκλοῦντας παραγγέλλειν τὸ, Ἔξελθε· καὶ εὐθέως ἐπιπέμψαι κατὰ τοῦ νώτου αὐτῶν τὸν λανθάνοντα δροῦγγον ἄφνω κατὰ ἐλασίας ὀξείας.

85. Profligatis hostibus, non statim illos fugientes persequantur, sed confestim, qui a tergo steterint, cum reliquis cohortibus procedant. Quod si contractiores hostes fuerint, statim exeant, et lunata quasi forma circumcludant eos; sin æquales fuerint, paululum producant se, et hostium longitudinem superent; hocque modo irruptio in illos fiat.

πε'. Τρεπομένων δὲ τῶν ἐχθρῶν μὴ ἐπιδιώκειν τοὺς φεύγοντας, ἀλλὰ εὐθέως κατὰ τοῦ νώτου ἱσταμένους ἔρχεσθαι, ἅμα τῷ ἑτέρῳ τάγματι. Εἰ δὲ κοντότερόν ἐστιν, εὐθέως ἐξέρχεσθαι, καὶ μηνοειδῶς ἐπιλαμβάνεσθαι αὐτοῦ· εἰ δὲ ἴσον ἐστὶν, ὀλίγον παρεκτείνειν καὶ ὑπερβάλλειν τὸ ἄντις. Εἶτα οὕτως, ὡς εἴρηται, ὁρμᾷν κατὰ αὐτοῦ.

86. Quod si cum cornistites suos producunt, hoc idem facere conantur, invadendi statim illi sunt, dum in hac mutationis perturbatione sunt; nam dum illi ad cornu, id est, lævam, convertuntur, dextras illorum nudas esse, et densationem illorum dissolutam esse, necesse est.

πς'. Ἐὰν μὲν οὖν, ὅταν παρεκτείνονται οἱ ὑπερκεράσται βουλῶνται καὶ οἱ ἄντις ὁμοίως παρεκτείνεσθαι, δεῖ ὁμοίως καὶ εὐθέως κατὰ αὐτῶν ὁρμᾷν ἐν ὅσῳ ἀκατάστατοι εὑρίσκονται· ἀνάγκη γὰρ στρεφομένων αὐτῶν ἐπὶ κέρας καὶ τὰ δεξιὰ αὐτῶν γυμνὰ ἔχειν, καὶ τὴν σφῆνα διαλελυμένην.

87. In hostibus circumdandis non solum cornistites, id est, qui dextri cornu propugnatores sunt, elaborare, ne vel nimis retardentur, vel nimis cito incipiant, sed et partis illius, id est, turmæ, præfectum, sive is turmarcha, sive alius quispiam fuerit. Itaque invadentibus eos cornistitibus, et hostibus jam tumultuari incipientibus, adversum eos universa turma incedat.

πζ'. Ταῦτα δὲ τὰς κυκλώσεις μὴ μόνον δέον τοὺς ὑπερκεράστας κανονίζειν, ἦγουν τοὺς τοῦ δεξιοῦ μέρους προμάχους εἰς τὸ μὴ πολὺ ἐμβραδύνειν, μηδὲ πάλιν πρὸ πολλοῦ ποιεῖν, ἀλλὰ καὶ τὸν τοῦ μέρους ἄρχοντα, εἴτε τουρμάρχης ἐστὶν, εἴτε ἕτερός τις, ὥστε ἐγχειρούντων τῶν ὑπερκεραστῶν καὶ ἀρχομένων τῶν ἄντις θορυβεῖσθαι, τότε καὶ αὐτοῖς τὸ ὅλον μέρος ἐπάγειν.

88. Curæ præfecto esse debet ut, si fieri possit, adversas copias longitudine superet; sin minus, saltem exæquet: si enim longior nostra, quam adversariorum acies fuerit, cornistites munus suum sedulo ac fructuose facient.

πη'. Λόγος δὲ τῷ ἄρχοντι γίνεσθαι ὀφείλει, ἵνα εἰ μέν ἐστι δυνατὸν αὐτῷ ὑπερβάλλειν τὸ ἄντις μέρος· εἰ δὲ μή γε, κἂν ἰσοῦσθαι αὐτῷ, ἐὰν καὶ μακροτέρα εὑρεθῇ τῶν ἐναντίων ἡ παράταξις· ὥστε ἐντεῦθεν ἁρμοδίως δύνασθαι τοὺς ὑπερκεράστας τὸ ἔργον αὐτῶν ποιεῖν.

89. Cornistites ideo necessarii sunt, quia in nudis locis incursiones facere opportunius possunt.

πθ'. Γίνωσκε δὲ ὅτι οἱ ὑπερκεράσται διὰ τοῦτό εἰσιν ἀναγκαῖοι, καθ' ὃ καὶ ἐν γυμνοῖς τόποις τὰς ἐπιδρομὰς ποιεῖν ἀσφαλεστέρως δύνανται.

90. Secundæ similiter aciei præcipies, ut medium locum, in quo dignitas tua constituta erit, diligenter observet, et sedulo advertat, ut conflictationis tempore duos aut tres sagittæ jactus a prima acie absint, ut, si in fugam conjiciantur

ι'. Ὁμοίως δὲ καὶ τῇ δευτέρᾳ τάξει παραγγελῇς ὥστε τὸν μέσον τόπον, ἐν ᾧ συμβαίνει τάσσεσθαι τὴν σὴν ἐνδοξότητα, πείθεσθαί σοι καὶ κανονίζειν, ἦγουν στοχάζεσθαι, ὥστε ἐν τῷ καιρῷ τῆς συμβολῆς ἀπὸ τριῶν ἢ τεσσάρων σαγιττοβόλων τῆς

Digitized by Google

πρώτης παρατάξεως εὑρεθῆναι αὐτήν· ἵνα ἐὰν τραπῶσιν οἱ ἐχθροὶ, ὡς διφένσωρ αὐτὴ ἦγουν ἐκδικητὴς καὶ βοηθὸς ἐν τάξει ἐπακολουθῇ καὶ μὴ ἀπομείνῃ.

A hostes, quasi propugnatrix atque subsidiaria non consistat, sed aciem sequatur.

ιά'. Εἰ δὲ τραπῇ τι τῶν τῆς πρώτης τάξεως ταγμάτων, ὑποδέχεσθαι τὸ βαρούμενον καὶ ἐρχόμενον μέρος εἰς καταφυγὴν, καὶ ἅμα τοῖς τῆς πρώτης τάξεως ἐπέρχεσθαι, συντεταγμένως, καὶ μὴ διαλύεσθαι μέχρι τελείας ἐκβάσεως τοῦ πολέμου, καὶ τῆς ἐπὶ τὸ φοσσάτον ὑποστροφῆς, ἀλλὰ ἀφιέναι οὕτως συντεταγμένως φυλάττεσθαι, καὶ μὴ ἐπιδιώκειν ἀτάκτως τοὺς ἐχθρούς.

91. Quod si quæ cohortes primæ aciei profligatæ fuerint, hanc afflictam partem et perfugium quærentem excipiat, ac etiam cum prima acie ordinate ac disposite incedat, neque aciem instructam ante belli exitum, et priusquam se in castra sua receperint, dissolvat, sed sic ad conservationem primæ aciei ordinate sequatur, non autem ad persequendos hostes confuse ruat.

ιβ'. Ἐὰν δὲ ἀμφίβολος ἡ μάχη τῆς πρώτης τάξεως φαίνηται, καὶ διώξεις καὶ ἀντιδιώξεις γίνωνται, χρὴ ἀναμένειν καὶ θεωρεῖν τὴν τοῦ πράγματος ἔκβασιν, καὶ ἐκβάλλειν δεύτερον ἢ τρίτον φωνὰς βρυγμώδεις πρός τε διανάστασιν τῶν μαχομένων καὶ κατάπληξιν τῶν ἐχθρῶν, μὴ σπουδάζειν δὲ προχείρως συμμίγνυσθαι ἢ ἐγγίζειν πολὺ τῇ πρώτῃ παρατάξει, ἵνα μήτις φύρσις καὶ ἀλλόκοτος τροπὴ ἐν τῇ συμβολῇ τῆς μάχης παρακολουθήσῃ.

92. Si anceps prœlium primæ aciei fuerit, et persecutiones fugæque fuerint, permanendum est, et exitus rei contemplandus, vocesque ac clamores graves iterum ac tertio profundendi sunt, tum ad nostros exsuscitandos, tum ad hostes exanimandos. Neque statim coneris manus conserere, aut ad primam aciem accedere, ne aliqua confusio ac fuga quædam indigna hanc conflictationem sequatur.

ιγ'. Εἰ δὲ, ὡς πολλάκις συμβαίνει, καὶ ἡ δευτέρα παράταξις τραπῇ μέχρι τῶν νωτοφυλάκων, ἦγουν τῆς τρίτης τάξεως, ἐρχομένην σπουδάζειν ἀναλαμβάνεσθαι αὐτήν.

93. Sin, quod sæpe accidere solet, secunda acies usque ad tergistites, seu tertiam aciem in fugam vertatur, hæc tertia adventans conetur recuperare eam.

ιδ'. Ἐὰν δὲ ἀπὸ ἐνέδρας τινὸς διὰ νώτου ἦγουν ἀπὸ ὄπισθεν ἔφοδος μηνυθῇ καὶ ἐπέλευσις ἐχθρῶν· ἐὰν μὲν ὀλίγοι εἰσὶν οἱ μηνυόμενοι, καὶ ἀρκοῦσιν οἱ τῆς τρίτης τάξεως, τότε αὐτὴν κατὰ ἐκείνων ἐκπέμπειν. Εἰ δὲ μὴ ἀρκοῦσιν, τότε καθὼς ἐστιν ἡ τάξις ἀντιστρεφομένων τῶν προσώπων ὁμοίως δὲ καὶ τοῦ βάνδου μετὰ τοῦ ἄρχοντος εἰς οὐρὰν ἦγουν ὀπίσω ἐρχομένων ὡς ἀμφιστόμου ἡ τάξις τὴν συμβολὴν ἁρμοδίως ποιεῖται, καὶ τρεπομένων τῶν ἐχθρῶν τότε τοὺς νωτοφύλακας, εἴτε ἓν εἴτε δύο βάνδα εὑρεθῶσιν, ὡς κούρσορας κατ' αὐτῶν ἐπαφιέναι.

94. Sin insidiis ullis factis a tergo aliqua incursio atque impetus hostium fiat, si pauci hi fuerint, qui adoriuntur eos, tertiaque acies adversum eos satis est, hæc tertia tum emittatur; sin ea satis non fuerit, conversis tum ad caudam, id est, ultimam aciem, cohortes cum præfectis ita se præparent quasi ἀμφίστομος, id est, anceps acies esset; sic acies cum illis confligat, profligatisque hostibus tergistites, sive una, sive plures cohortes fuerint, quasi cursores in illos immittantur.

ιε'. Ἐὰν δὲ πολλοί εἰσιν οἱ μηνυόμενοι τὴν ἔφοδον ποιεῖν, τότε παραγγείλῃς τὸ, Μετάλλαξον. Καὶ ἔρχονται οἱ δεκάρχαι ἐπὶ οὐρὰν, ἦγουν στρέφονται ὄπισθεν κατὰ τάγμα, ὥστε ἐκεῖνο τὸ μέρος τῆς οὐρᾶς μέτωπον γίνεσθαι.

95. Si magnus numerus eorum esse videatur qui incursionem fecerint, tum præcipies iis verbis, Μετάλλαξον id est, commuta; qua voce decani ad caudam venient, id est, ad posticam partem transferent se cohortes, ut cauda, quæ fuit, jam frons fiat.

ις'. Καὶ ταύτας μὲν τας παραγγελίας ποιήσεις πρὸ ὀλίγου καιροῦ τῆς μάχης καὶ τῶν ἀγώνων, ἵνα γινώσκωσιν οἱ στρατιῶται τὰ ἁρμόζοντα. Ὁ γὰρ τῶν ἀγώνων καιρὸς τὰ τοιαῦτα διδάσκειν τοὺς μήπω τούτων πεῖραν λαβόντας οὐκ ἐπιτρέπει, εἰ μὴ ἄρα μετ' ὀξύτητος τὰ σύντομα παραγγέλματα μόνα.

96. Hæc parvo tempore ante bellum et dimicationem ipsam præcipe, ut quid facto opus sit milites cognoscant. Ipso enim tempore prœlii milites harum rerum rudes atque ignaros tale aliquid docere haud par est, nisi ea solum quæ levia sunt, et breviter efficiuntur.

ιζ'. Πάλιν δὲ ἐὰν πρὸ πολλοῦ χρόνου παραγγείλῃς, εἰς λήθην γίνεται τὰ λεχθέντα. Καὶ διὰ τοῦτο χρή σε πρὸ μικροῦ (93) καιροῦ τοῦ πολέμου τὰς ἀναμνήσεις ποιεῖσθαι. Παραγγείλῃς δὲ καὶ καθόλου πᾶσιν, ὥστε μηδένα θαῤῥῆσαι τὴν δευτέραν τάξιν παρελθεῖν, κἂν, ὡς εἰκὸς, τροπή τις τῇ πρώτῃ τάξει γένηται, ἵνα μὴ πρὸς τὴν ζωὴν κινδυνεύσῃ, εἴτε παρὰ τῶν ἐχθρῶν, εἴτε καὶ παρὰ τῶν ἰδίων ὡς ἄξιος, εἰ μὴ ἄρα, ὡς εἴρηται, τοσαύτη ἀπαραίτητος ἀνάγκη παρακολουθήσῃ.

97. Nam si longo tempore ante prœlium præcipies, hæc oblivioni mandabuntur, ac propterea paululum ante bellum hæc commemoranda sunt. Præcipies autem omnibus, ut nemo audeat secundam aciem transgredi, quamvis prima acies penitus profligata fuerit, ut ne (nisi ingens atque inevitabilis aliqua necessitas) vel per inimicos, vel per suos quasi dignus de vita periclitetur.

NOTÆ.

(93) *Χρήσε πρὸ μικροῦ.* Scribebatur, χρῆσαι π. μ.

Digitized by Google

98. Quoniam autem ex insidiis etiam cum hostium acie confligendum est, qui in insidiis et occultis latebris sunt, ante omnia exploratores quosdam emittant, ut ne nimis confertim in hostium impetum de improviso incurrant, vel alias ad latus, vel a tergo, sive post universam aciem, insidias sustineant.

ιη'. Ἐπειδὴ δὲ καὶ ἀπὸ ἐνέδρας δέον κατὰ τῆς παρατάξεως τῶν ἐχθρῶν συμβάλλειν, χρὴ τοὺς εἰς τὴν ἐνέδραν ἥγουν ἔγκρυμμα τασσομένους παραγγελθῆναι ὥστε πρὸ πάντων βίγλας προπέμπειν, ἵνα μὴ ἀπάντημα, ὡς εἰκὸς, ὑπὸ τῶν ἐχθρῶν ἀθρόως ὑπομείνωσιν, ἢ ἐνέδραν ἐκ πλαγίου, ἢ καὶ ἀπὸ νώτου, ἥγουν ἀπὸ ὄπισθεν τῆς τῶν ἐχθρῶν παρατάξεως.

99. Sæpe inimicorum copiæ in duas acies dividuntur, ac nisi diligenter instructa prima fuerit acies, insidiis magis ex adverso adoriundi sunt.

ιθ'. Πολλάκις γὰρ καὶ οἱ ἐχθροὶ εἰς δύο τάσσονται τάξεις, καὶ ἐὰν μὴ προσεχόντως γίνωνται αἱ κατὰ τῆς πρώτης αὐτῶν παρατάξεως δι' ἐγκρυμμάτων ἐπελεύσεις, ἐνεδρεύονται μᾶλλον ἐκ τοῦ ἐναντίου.

100. Si hostes in duas similiter acies dividantur, haud sane par est a tergo, id est postica parte, insidias struere, sed ad cornu aliquod, sive una ex parte incursio futura sit, sive utraque ex parte.

ρ'. Ἐὰν οὖν οἱ ἐχθροὶ ὁμοίως εἰς δύο τάξεις τάσσωνται, οὐκ ἔστι πρέπον τῷ νώτῳ ἥγουν τῷ ὀπισθίῳ μέρει τῆς πρώτης αὐτῶν τάξεως ἐφεδρεύειν, ἀλλὰ τῷ ἄκρῳ αὐτῆς, ἥγουν τῷ κέρατι, εἴτε ἐξ ἑνὸς μέρους ἡ ἔφοδος γίνηται, εἴτε ἐκ τῶν δύο, ὡς εἴρηται.

101. Incursionis tempus conjectare tecum oportet, et animo quasi dimetiri, ne vel antevertas aciem, vel retarderis, sed quando duos aut tres sagittæ jactus acies a se mutuo abfuerint, impetus in hostes ex insidiis et occultis latebris faciendus est.

ρα'. Τὸν δὲ καιρὸν τῆς κατ' αὐτῶν ἐγχειρήσεως κανονίζειν σε χρὴ καὶ στοχάζεσθαι, ὥστε μήτε προλαμβάνειν πολὺ τῆς ἡμετέρας παρατάξεως, μήτε ὑστερεῖν· ἀλλ' ὅταν ὡς ἀπὸ δύο ἢ τριῶν σαγιττοβόλων αἱ παρατάξεις ἀλλήλων γένωνται, τότε ἐγχειρεῖ κατὰ τῶν ἐχθρῶν τοὺς ἐπὶ τὸ ἔγκρυμμα ἥγουν τὴν ἐνέδραν ἀπερχομένους.

102. Hæc, quæ diximus, non ad exercitationem, sed in dimicatione ipsa assumenda sunt.

ρβ'. Ταῦτα δὲ πάντα οὐκ ἐπὶ γυμνασίας, ἀλλ' ἐπὶ τῶν πραγμάτων αὐτῶν παραλαμβάνονται.

103. Hæc a dignitate tua præcipienda et distribuenda sunt. Unicuique turmarchæ præcipies, aut scripto trades, quæ ante mandavimus, ut suæ ipsius partis sive turmæ constitutionem agnoscat. Unusquisque turmarcha universæ partis suæ trientem in cursores, sive proclastas, conferat, et hinc atque illinc turmæ suæ eos collocet.

ργ'. Ταῦτα μὲν οὖν τὴν σὴν ἐνδοξότητα καὶ παραγγέλλειν καὶ διασκευάζειν κελεύομεν, ἀλλὰ καὶ ἑκάστῳ τουρμάρχῃ προστάξαι ἢ καὶ ἐγγράφως ἀποδοῦναι ἅπερ καὶ σοὶ προειρήκαμεν, ἵνα γινώσκῃ καὶ αὐτὸς τοῦ ἰδίου μέρους τὴν κατάστασιν. Ὥστε ἕκαστον τουρμάρχην τὸ τρίτον ποσὸν τοῦ ὑπ' αὐτὸν ὅλου στρατοῦ ποιῆσαι κούρσορας, ἥγουν προκλάστας, καὶ ἔνθεν καὶ ἐκεῖθεν τοῦ μέρους τάσσειν αὐτούς. Τὸ δὲ δίμοιρον τοῦ στρατοῦ τῷ ἐν μέσῳ τάξαι εἰς διφένσορας ἥγουν ἐκδικοῦντας (94).

104. Contaria, id est hastæ, conflictationis tempore flamula non habeant, sed de hastis detrahant, et in thecas suas conjiciant, quando ad unum milliare jam hostes adventaverint. Antea autem omnino in hastis habeant.

ρδ'. Καὶ τὰ κοντάρια δὲ αὐτῶν μὴ ἔχειν φλάμουλα ἐν τῷ καιρῷ τῆς τοῦ πολέμου συμβολῆς, ἀλλ' ἵνα ἐπαίρωσι καὶ βάλλωσιν αὐτὰ εἰς τὰ θηκάρια αὐτῶν ὅταν φθάσωσιν οἱ ἐχθροὶ ἀπὸ ἑνὸς μιλίου. Πρότερον δὲ τοῦ καιροῦ τούτου ἔχειν αὐτὰ πάντως εἰς τὰ κοντάρια.

105. Banda, id est insignia, comitum minora sint; drungarum, id est tribunorum, perfectiora et diversa. Turmarchæ insigne diversum longe a reliquis sit, quemadmodum antea a me explicatum est.

ρε'. Τὰ δὲ βάνδα τῶν ταγμάτων μικρότερα εἶναι ἤτοι τῶν κομήτων, τῶν δὲ δρουγγαρίων τελειότερα καὶ ἀλλοῖα· ὁμοίως δὲ καὶ τὸ τουρμάρχου ἐνηλλαγμένον πρὸς τὰ ἄλλα γίνεσθαι, ὡς μοι εἴρηται.

κς'. Εἰ δὲ ἐν ὀχυρώματι καταφεύγῃ, σπουδάζειν ἢ χειρὶ ἢ διὰ τῶν λειπόντων εἰδῶν τοῖς ἀνθρώποις, ἢ τοῖς ἀλόγοις, διὰ παραφυλακῆς στενοχωρεῖν αὐτὸν μέχρι τελείας αὐτοῦ καταλύσεως, ἢ ἐπωφελῶν ἡμῖν γινομένων συμφώνων, καὶ μηδὲ ἐκλύεσθαι τῇ ὀλίγῃ ὠθήσει, μηδὲ ἀμελεῖν τῆς τοῦ πράγματος ἐκβάσεως δι' ὀλίγην καρτερίαν μετὰ τοσοῦτον πόνον, καὶ κάματον καὶ μετὰ τοσοῦτον ἐκ τοῦ πολέμου κίνδυνον· ἐπεὶ καὶ ἐπὶ τοῦ κυνηγίου τὸ παρὰ μικρὸν ἀντὶ τοῦ μηδενός ἐστι.

Digitized by Google

κζ'. Μήτε μὴν περιφρονεῖν τῆς τῶν στρατιωτῶν εὐταξίας ἀπὸ τῆς νίκης μάλιστα, ἀλλὰ συντεταγμένους διώκειν, καὶ μετὰ ἐπιστήμης καὶ νουνεχίας ἐπισκοποῦντα τὸν στρατηγὸν τὰ δέοντα. Οὐκ ἀρκεῖ γὰρ δύναμις μόνη εἰς ἀσφάλειαν ἰδίαν ἢ βλάβην τῶν ἐχθρῶν, ἀλλὰ μετὰ τὴν Θεοῦ βοήθειαν καὶ ἡ τοῦ στρατηγοῦ διοίκησις ἀναγκαία καὶ πρώτη τυγχάνει.

A

27. Militum tuorum ordinis conservatio post victoriam negligenda tibi non est, sed instructis copiis cum scientia et attentione militari prosequantur hostes, imperatorque ipse attendat diligenter quid facto opus sit. Neque enim ad incolumitatem vestram, in hostiumque perniciem potentia sola valet, sed secundum Dei benignitatem, imperatoria ac diligens rerum administratio, præcipua ac summe necessaria est.

κη'. Πρέπον σε οὖν, ὦ στρατηγέ, τοῖς τε καιροῖς καὶ τοῖς τόποις ἁρμοδίως κεχρῆσθαι· καὶ ἐὰν δοκιμάσῃς τοῦ πάντως γενέσθαι πόλεμον δημόσιον, πάντα σκοπήσεις, καὶ τόπον ἐπιτήδειον γυμνόν τε καὶ ὁμαλὸν διὰ τοὺς κονταράτους (4). Καὶ μὴ μόνον τὰ δεξιὰ καὶ ἀριστερὰ καὶ ὀπίσθια μέρη προερευνᾶν δεῖ καὶ ἀπὸ δύο καὶ τριῶν ἡμερῶν τῆς παρατάξεως μέχρι τοῦ πέρατος τοῦ πολέμου, ἀλλὰ καὶ τοὺς περικειμένους τόπους ψηλαφᾶν, μήποτε λάκκοι εἰσὶν, ἢ αὐτοφυεῖς, ἢ ὀρωρυγμένοι, ἢ δόλος τις ἄλλος πρόκειται.

28. Temporibus ac locis idonee commodeque utaris. Si bellum publicum futurum perspexeris, omnia loca perlustrabis, nuda atque exposita loca hastatis tuis eliges. Neque solum dextræ sinistræque positæ partes perscrutandæ sunt omni ex parte aciei usque ad belli finem, sed et finitima loca exploranda sunt, ne fossæ, vel naturales vel artificiosæ sint, vel dolus aliquis lateat.

B

κθ'. Κατὰ δὲ τὴν τοῦ πολέμου ἡμέραν, ὡς ἄνω εἴπομεν, τῶν βιγλῶν προεξερχομένων ἅμα πρωῒ εἰς τέσσαρα μέρη τοῦ τόπου ἔνθα ἡ συμβολὴ γίνεται ἀπὸ δύο καὶ τριῶν μιλίων ἐν διπλαῖς βίγλαις παραγγέλλειν αὐτοὺς μὴ μόνον πρὸς τὴν τῶν ἐχθρῶν κίνησιν ἀποβλέπειν καὶ μηνύειν, ἀλλὰ καὶ πρὸς τοὺς θέλοντας προσρυῆναι (5), ὡς εἰκὸς, τοῖς ἐχθροῖς ἀποσκοπεῖν καὶ συνέχειν αὐτούς. Ἐντεῦθεν γὰρ καὶ τοὺς ἀποφεύγοντας ἐκ τοῦ στρατοῦ ῥᾳδίως κωλύουσι, καὶ τοὺς ἐκ τῶν ἐχθρῶν βουλομένους προσρυῆναι, καὶ ἐπιφερομένους, ὡς εἰκὸς, ἤδη τινὰς μετὰ ἀσφαλείας ὑποδέχονται, εἰς τὸ μὴ ἐπηρεάζεσθαι αὐτοὺς παρά τινων κακῶν ἀνθρώπων, ὅπερ καὶ ἀεί σε χρὴ παραφυλάττειν εἰς τοὺς προσφεύγοντας μετά τινων πραγμάτων τῇ ἡμετέρᾳ πολιτείᾳ ὡς ἀναγκαῖον καὶ δίκαιον.

29. Ipso belli die, quemadmodum prædiximus, excubiis simul cum prima luce in quatuor partes illius loci ubi conflictatio futura est divisis, aut duo aut tria circumcirca milliaria, præcipies, ut non modo motus hostium advertant et significent, sed etiam eos qui ab hostibus deficere volunt perlustrent, et apud se detineant. Hoc modo enim eos qui ab exercitu nostro aufugiunt facile prohibebunt, et eos qui ab inimicis volunt ad nos deficere, cum omni incolumitate ab aliorum contumelia integros conservabunt, ne a quibusdam malis viris exagitentur : quod abs te erga eos, qui ad nostras partes profugiunt, quasi justum et necessarium conservetur.

C

λ'. Εἰ δὲ κατὰ τὰ ἔμπροσθεν μέρη τῆς παρατάξεως βιγλεύοντες ἄχρι ἑνὸς σαγιττοβόλου τῆς τῶν ἐχθρῶν παρατάξεως, ἔμπροσθεν τῆς ἰδίας περιπατεῖτωσαν καὶ ὁδηγείτωσαν, μήπως, ὡς εἴρηται, φόσσαι ἦγουν ὀρύγματά εἰσιν, ἢ ἕτερος δόλος [με]μελέτηται παρὰ τῶν ἐχθρῶν· καὶ ἀναστέλλειν τοὺς ἰδίους εἰς τὸ μὴ ἀδοκήτως περιπίπτειν.

30. Quæ in anteriore parte exercitus excubiæ sunt, ante suam partem, usquedum intra unius sagittæ jactum venerint aciei hostium, ambulent, eamque ducant, ne fossæ ullæ ac lacus fiant, aut dolos ullus susceptus sit, suosque tum admoneant, ne de improviso in aliquod malum veniant.

λα'. Ἐν γὰρ τοῖς ἀναγκαίοις τόποις καὶ καιροῖς μὴ μόνον, ὡς εἴρηται, ἁπλᾶς βίγλας κατὰ τῶν αὐτῶν τόπων ποιεῖσθαι, ἀλλὰ καὶ διπλᾶς· ἵνα τῆς μιᾶς, ὡς εἰκὸς, λανθανομένης τὴν ἑτέραν μὴ διαλάθῃ.

31. Necessariis locis ac temporibus non modo simplices, verum etiam duplices vigiliæ constituendæ sunt, ut si quid alteram lateat, ambas latere non possit.

λβ'. Καὶ ἐὰν ἕτοιμός ἐστιν ἡ τάξις, καὶ ὁ τόπος ἐπιτήδειος, μὴ ἀναμένειν τοὺς ἐχθροὺς ἐν τῇ συμβολῇ, ἵνα μὴ κανονίζωσι καὶ μεθοδεύωσι τὴν τάξιν, ἀλλὰ ἀσφαλῶς ὁρμᾷν καὶ ἐπιτίθεσθαι τοῖς ἐχθροῖς.

D

31. Si instructa acies, si locus idoneus fuerit, ne exspectent dum hostes eos invadant, ut ne malum aliquod ac dolum machinentur, sed confestim in eos omni impetu ac incursione ruendum est.

λγ'. Ἐὰν δὲ ὑπέρθεσιν ἔχῃ, ὡς εἰκὸς, τὰ τῆς συμβολῆς διά τινας εὐλόγους αἰτίας, ἀναγκαῖόν ἐστιν τὴν δευτέραν μάλιστα τάξιν ἐν ταῖς εὑρισκομέναις ὕλαις ἢ τοῖς κοιλοτέροις τόποις ὄπισθεν κρύπτειν· ἵνα μὴ πρὸ πολλοῦ τοῖς ἐχθροῖς ἀκαίρως προφαινομένη αὐτὴ μεθοδεύηται, καὶ ἐπιβουλεύηται ὑπὸ ἐγκρυμμάτων, ἢ καὶ ὑπὸ ἄλλων ἐγχειρήσεων κατασοφίζηται.

33. Si dilatio aliqua conflictationis habeatur, secunda acies in locis condensis silvosisque atque asperioribus occultanda est, ut ne si hostes longo ante tempore eam animadverterint, insidiis aliisque molitionibus multis appetant atque invadant.

λδ'. Ἐπεὶ δὲ περὶ βιγλῶν ἐμνημονεύσαμεν, δεῖ σε

34. Quoniam de excubiis mentionem fecimus,

NOTÆ.

(4) *Κονταράτους*. Scribebatur, κοντάρους.

(5) *Προσρυῆναι*. Scribebatur, πρὸς ῥυῆναι.

Digitized by Google

ostendendum quemadmodum hæ firmandæ sunt. Excubias in duas partes divides; ut alteræ vigilent, alteræ vicissim dormiant. Nemini enim fidem habeas, quamvis receperit se integram noctem vigilaturum. Somnus enim ac sopor de improviso sponte quadam sua opprimunt. Cum vigilare volunt, recti pedibus consistant: sessiones enim ac recubationes corpora in somnum præcipitant: stationes autem pedum mentem indormientem excitant.

35. Bello jam confecto, qui sauciati fuerant relevandi consolandique sunt; qui ceciderunt honestum funus habeant, laudibusque multis cohonestentur, qui pro fide Christiana, pro fratribus, suam ipsorum vitam profuderunt. Hoc autem justum religiosumque factu est, et alacritatem multam viventibus affert.

36. Si liberi illis fuerint, aut conjux, si hoc constet strenue illos atque alacriter in prœlio dimicasse, honestis modis abs te relevandi sunt.

37. Quoniam Romanos omnesque alias nationes videmus acies suas ita instruere, ut quam maxime eminus cerni possint, trucem magis aspectum vultu ac facie, quam armis lucentem et coruscantem aciem in bello præ se ferant: quanquam hoc umbratile cito evanescit: nam secundum Dei voluntatem, imperatoris administratione, et exercitus alacritate, bella conficiuntur: propter eos tamen qui hæc requirunt, si silvosa aut cava loca fuerint, ibi copiæ occultandæ, et longo ante tempore hostibus non ostentandæ sunt, ut ne si ante unum aut alterum signum ab hostibus cognoscantur, insidiæ illis dolique struantur.

38. Si nudus locus purusque aer fuerit, cassides suas non capite, sed manibus gestent, donec prope hostes venerint: scuta autem parva coram in pectore ferant, tegantque galeas et cassides: vel a tergo humeris gestent, si scuta ferrea ac splendida habeant: sed et ferrum hastarum prædicto modo occultetur: ut arma eminus nullo modo luceant, cum præsertim ejusmodi signo si consignentur hostes, mentes illorum anticipentur, et in formidinem quamdam ante bellum cadant.
ὥστε καὶ διὰ τοιούτου σημείου, ὅπερ σημειοῦνται οἱ καὶ εἰς δειλίαν καὶ πρὸ τῆς μάχης μεταπίπτειν.

39. Insidias autem occultas atque abditas eo modo facies, quem tibi ante descripsi. Si enim idonee opportuneque fiant, maximas utilitates in bello afferunt, magnasque admodum copias ita deleverunt, ut nullus locus confligendi aciei universæ relinqueretur.

40. Qui enim locorum opportunitate ad hæc abundabant, vel condensis in locis, vel cavis in recessibus, vel in colle aliquo magno, vel vallibus, vel montibus finitimis usque ad hostium copias productis, ut ab hostium notitia hoc modo occul-

A αὐτὰς ὀχυρὰς ποιεῖν, καὶ διαιρεῖν τοὺς βιγλεύοντας, ἵνα οἱ μὲν ὑπνῶσιν, οἱ δὲ ἐγρηγορῶσιν, καὶ οὕτως ἐναλλάσσοντας ἀλλήλους βιγλεύειν. Μὴ γὰρ πιστεύσῃς τινὶ, κἂν ὑπόσχεσιν ποιεῖται ὅλην τὴν νύκτα γρηγορῆσαι ἄγρυπνον· καὶ γὰρ ἐνδέχεται καὶ αὐτόματον ὕπνον ἐπελθεῖν· ἐν δὲ ταῖς ἄλλαις βίγλαις, ὅτε χρεία, πάντως καὶ ὀρθοὺς ἱσταμένους βιγλεύειν. Αἱ γὰρ καθέδραι καὶ αἱ ἀνακλίσεις τὰ σώματα μαραίνουσιν εἰς ὕπνον· ἡ δὲ τῶν σκελῶν στάσις διέγερσιν τῆς διανοίας ποιεῖ.

λε'. Ἀναγκαῖον δέ σοι μετὰ τὸν πόλεμον, ὦ στρατηγὲ, τοὺς πληγωθέντας ἐν αὐτῷ τῶν στρατιωτῶν παραμυθεῖσθαι, καὶ τοὺς διαπίπτοντας ἐν τῷ πολέμῳ ταφῆς ἀξιοῦν, καὶ μακαρίζειν διηνεκῶς, ὡς ὑπὲρ τῆς πίστεως καὶ τῶν ἀδελφῶν μηδὲ τὴν ἑαυτῶν ζωὴν προτιμήσαντας· ἐπειδὴ καὶ ὅσιόν ἐστιν, καὶ προθυμίαν τοῖς ζῶσιν ἐμποιεῖ. B

λς'. Εἰ δὲ τέκνα αὐτοῖς εἰσιν, ἢ σύμβιος, καὶ φανερόν ἐστιν [ὅτι] ἀγωνιζόμενοι προθύμως ἐτελειώθησαν, καὶ ταῦτα παραμυθίας ἀξιοῦν τῆς προσηκούσης.

λζ'. Ἐπειδὴ δὲ εὑρίσκομεν καὶ Ῥωμαίους καὶ πάντας τοὺς ἐθνικοὺς ὡς ἐπίπαν μηκοθέντας ἀλλήλων παρατάξεις ὁρῶντας ἐπισημαίνεσθαι τὴν στυγνωτέραν μᾶλλον τῇ ὄψει ἐπιτυγχάνειν ἐν ταῖς μάχαις, ἤπερ τὴν ἐν τοῖς ὅπλοις λάμπουσαν· καὶ τάχα ψευδές ἐστιν τὸ χυδαῖον τοῦτο. Μετὰ γὰρ τῆς κρίσεως τοῦ Θεοῦ τῇ τοῦ στρατηγοῦ διοικήσει καὶ προθυμίᾳ τοῦ στρατοῦ πόλεμος κρίνεται· ἀλλ' οὖν διὰ τοὺς τὰ τοιαῦτα στοχαζομένους δέον ἐστὶν, ὥστε εἰ μὲν ὕλαι ἢ κοῖλοι τόποι πρόκεινται, ἐκεῖσε τὸν στρατὸν ἀποκρύβειν, καὶ πρὸ πολλοῦ τοῖς πολεμίοις μὴ ἐπιδεικνύειν· ὥστε μὴ κατασοφίζεσθαι καὶ ἐπιβουλεύειν αὐτὸν, εἰ μήπω ἔλθωσιν ἀπὸ ἑνὸς ἢ δευτέρου σημείου. C

λη'. Εἰ δὲ γυμνὸς ὁ τόπος καὶ καθαρὸς ὁ ἀὴρ ἐστιν, τότε τὰς κασσίδας παρασκευάζειν μὴ πρὸ πολλοῦ φορεῖσθαι, ἀλλὰ ταῖς χερσὶ κατέχεσθαι μέχρις ἂν ἐγγίσωσιν οἱ ἐχθροί. Ἀλλὰ καὶ τὰ σκουτάρια μικρὰ ὄντα ἔμπροσθεν εἰς τὸ στῆθος φέρειν, καὶ σκέπειν δι' αὐτῶν καὶ τὰ λωρίκια καὶ τὰς κασσίδας· ἢ ὄπισθεν κατὰ τῶν ὠμοπλατῶν φέρειν, εἰ ἔχουσι σιδηρᾶ σκουτάρια λαμπρά. Ἀλλὰ καὶ τὰ σίδηρα τῶν κονταρίων ἀποκρύπτειν, εἰς τὸ παντοίως τὰ ὅπλα μήκοθεν διαλάμπειν διὰ τὸν εἰρημένον τρόπον, ἀλλ' ἐναντίοι, προκαταλαμβάνεσθαι τὰς γνώμας αὐτῶν,

λθ'. Κελεύομέν σοι, ὦ στρατηγὲ, μάλιστα καὶ τὰς ἐνέδρας ἤτοι ἐγκρύμματα ἐν τῇ μάχῃ κατὰ λόγον ποιεῖσθαι, ἤτοι κατὰ τὸν πρώην ἡμῖν διατυπωθέντα τρόπον. Αὗται γὰρ ἐπιτηδείως καὶ πρεπόντως γινόμεναι μεγίστας ὠφελείας ἐν ταῖς μάχαις ποιοῦσι, καὶ διαφόρως μεγάλας δυνάμεις ὑπὸ ὀλίγων κατέλυσαν, ὥστε μηδὲ καιρὸν γενέσθαι τὴν ὅλην παράταξιν συμπλακῆναι. D

μ'. Εἰ μὲν γὰρ τόπων ἐπιτηδείων πρὸς ταῦτα εὐπορήσαντες, οἷον ἢ ὕλης δασείας, ἢ κοιλάδος, ἢ βουνοῦ μεγάλου, ἢ φαράγγων, ἢ ὀρέων ἐγγιζόντων, καὶ μέχρι τῆς τῶν ἐχθρῶν παρατάξεως συνεκτεινομένων, ὥστε δι' αὐτῶν λαθεῖν καὶ μὴ πόρρωθεν

Digitized by Google

ὁρώμενον τὸ ἔγκρυμμα μεθοδευθῆναι πρὸς ἐπιβουλήν. Οὕτως οὖν τοῖς νώτοις τῶν ἐχθρῶν ὄπισθεν ἄφνω ἐπελθόντες πρὸ τῆς συμπλοκῆς διετάραξαν καὶ ἔτρεψαν αὐτούς.

μα'. Ἄλλοι δὲ οὐ πλησίον τῶν ἐχθρῶν τῆς παρατάξεως ταύτην ἐποίησαν ἐπιτήδειον οὐκ ἔχοντες τόπον, ἀλλὰ ἐκ πλαγίου αὐτῶν μέσον τῆς ἰδίας καὶ τῆς τῶν ἐχθρῶν τάξεως ποιήσαντες, ἢ καὶ ὄπισθεν τῆς ἰδίας ἐκ πλαγίου, καὶ τὴν μὲν μείζονα δύναμιν εἰς ἐγκρύμματα ἔταξαν, τὴν δὲ ἐλάττονα σχηματικῶς ἔμπροσθεν ἔταξαν.

μβ'. Ἄλλοι δὲ μέρος τοῦ στρατοῦ ἔταξαν εἰς ἔγκρυμμα, καὶ οὐ τὸ μεῖζον μέρος, ἀλλὰ τὸ ὀλιγότερον· τῆς δὲ συμβολῆς γενομένης ἑκουσίως τῶν προταγέντων εἰς φυγὴν ὁρμησάντων, καὶ τῶν ἐχθρῶν τὴν δίωξιν ἀτάκτως ποιουμένων, μετὰ τὸ παρελθεῖν αὐτοὺς τὸν τόπον τῆς ἐνέδρας ἐξελθόντες οἱ τὸ ἔγκρυμμα ποιήσαντες κατὰ τοῦ νώτου ὄπισθεν τῶν ἐχθρῶν ἐπέστησαν· εἶτα καὶ οἱ φυγόντες ἀντίστροφοι γινόμενοι πρὸς τὸ σύνθημα ὅπερ προόρισαν ἐν τῷ μέσῳ ἀπέλαβον αὐτούς. Τοῦτο δὲ ὡς ἐπὶ πολὺ ἐπὶ τῶν βορειοτέρων καὶ Σκυθικῶν ἐθνῶν γίνεται διὰ τὸ ἄτακτα εἶναι, οἷον Τούρκων καὶ τῶν ὁμοίων αὐτοῖς.

μγ'. Ἐὰν δέ τις φόσσαν βαθεῖαν, ἤγουν ὄρυγμα ἐπὶ ὀκτὼ ἢ δέκα πόδας τὸ πλάτος ἐπὶ ἱκανὸν διάστημα ὀρύξῃ, καὶ σκεπάσῃ ταύτην ξύλοις λεπτοῖς χόρτῳ τε καὶ χώματι, ὥστε ἡνωμένην καὶ ὁμοίαν τὴν ἐπιφάνειαν τοῦ ὀρύγματος εἶναι τῇ ἐγγιζούσῃ αὐτῷ γῇ, καὶ κατὰ μηδὲν διαλλάττειν. Ἀλλὰ μηδὲ τὸ ἐπαρθὲν χῶμα ἐάσῃ παρακεῖσθαι αὐτῷ, ἵνα μὴ ἐμφαίνῃ τινὰ ξενοπρέπειαν· ἐν τῷ μέσῳ δὲ τοῦ αὐτοῦ ὀρύγματος καταλίπῃ τινὰς τόπους στερεοὺς σεσημειωμένους καὶ ἐγνωσμένους πρὸς τὸ παρὸν τῷ ἰδίῳ στρατῷ. Ἑκατέρωθεν δὲ, ἤγουν ἔνθεν κἀκεῖθεν, ἐκ τοῦ πλησίον τοῦ ὀρύγματος ἔγκρυμμα εἰς ἀφανεῖς τόπους ποιήσῃ, καὶ παρατάξει τοὺς λοιποὺς πρὸ τοῦ ὀρύγματος· εἶτα συμβολῆς γενομένης ἑκουσίως οἱ προταγέντες τὴν τροπὴν σχηματισάμενοι αὐτοὶ μὲν διὰ τῶν ἐγνωσμένων αὐτοῖς τόπων καὶ στερεῶν ἀκινδύνως παρέλθωσιν. Οἱ δὲ ἐναντίοι σφοδρῶς καὶ ἀσχέτως τὴν δίωξιν ποιησάμενοι ἐμπέσωσιν ἐν τῷ ὀρύγματι, ὑπεξελθόντες δὲ ἄφνω οἱ τὸ ἔγκρυμμα ποιησάμενοι, εἶτα ἐπαναστρέψαντες καὶ οἱ τὴν ὑποχώρησιν σχηματισάμενοι, τοὺς πλείους τῶν ἐχθρῶν ἀπολέσωσι πάντως, τοὺς μὲν ὡς ἐμπεσόντας εἰς τὸ ὄρυγμα, τοὺς δὲ ὡς τραπέντας ἀτάκτως ἐπὶ τῷ ἀδικήτῳ (6) συμπτώματι, εἰ μὴ ἄρα παρὰ τῶν ἐχθρῶν προγνωσθῇ, ἢ διά τινων πρὸς ῥυέντων αὐτοῖς καταμηνυθῇ.

μδ'. Ἐὰν δὲ τὸν ὅμοιον τρόπον καὶ διὰ πάλων πεπηγμένων τις ποιήσῃ, δύο καὶ ἢ τρεῖς εἰσόδους ἀπαθεῖς ἐπινοήσῃ ἐγνωσμένας τῷ παρατασσομένῳ στρατῷ, εἶτα πρὸ τῶν πάλων ἐκείνων παρατάξηται· σχηματισάμενος ἐν τῇ συμβολῇ κατὰ τὸν ὅμοιον τρόπον τὴν φυγὴν προτρέψηται τοὺς ἐχθροὺς τοῖς πάλοις περιπεσεῖν. Καὶ ἐξαίφνης ἐπελθόντες οἵ τε τὸ ἔγκρυμμα ἔχοντες ἐκ πλαγίου, καὶ οὐ σχηματισάμενοι τὴν φυγὴν κατὰ κράτος, καὶ οὕτως τοὺς ἐχθροὺς ἀπολέσουσιν.

με'. Γίνεται δὲ τοιοῦτος δόλος κατὰ τῶν ἐχθρῶν

A tari possint, et molitiones idoneas struere, insidias suas positas habebant : isti a tergo hostium de improviso irruentes, ante manus consertas fuderunt eos, et in fugam verterunt.

41. Alii prope hostium copias, cum locum non haberent idoneum, hoc minime fecerunt, sed a latere in medio suæ hostiumque aciei eos collocantes, vel a tergo suæ aciei obliquantes, majores copias in insidiis collocaverunt, et minores ad coram confligendum cum hostibus instruxerunt.

42. Alii partem exercitus non majorem, sed minorem in insidiis locaverunt, conflictatione jam incepta fugæ voluntariæ iis qui in acie instructi erant sese mandantibus, et hostibus illos confuse insequentibus, et locum illum ubi insidiæ sunt locatæ transeuntibus : qui in insidiis posiu erant a tergo hostes invadant : qui vero ante aufugerunt, tessera facta quam ante sibi proposuerant, conversi iterum in hostes, insequuntur eos. Hoc autem ferc plerumque adversus aquilonares homines Scythicasque nationes maxime fit, ut Turcæ, et qui sunt iis simiies.

43. Si quis fossam altam ad octo aut decem pedum latitudinem satis longo intervallo effoderit, hancque lignis tenuibus, cespite, feno atque aggere contexerit, quasi una eademque cum finitimis locis terræ superficies esset, nihilque a circumstante terra distet, eductum autem aggerem universum ibi jacere non sinat, ne aliquam novitatis suspicionem afferat, in medio autem ejusdem fossæ loca quædam firma reliquerit, ad id tempus notata, et designata exercitui tuo, et utrinque hinc, atque illinc prope fossam insidias abditis locis clam collocaverit, et ante fossam reliquos instruxerit, deinde conflictatione incepta voluntariam fugam, qui instructi in acie sunt, simulaverint, et per cognita firmaque loca secure transierint, hostes autem impetuose ac vehementer insequantur, deinde ii, qui fugam simulabant conversi in eos, aliis in fossam præcipitatis, aliis inopinata hac machinatione in fugam conjectis, magnam partem hostium delebunt, nisi ab hostibus hoc ante animadversum, vel a quibusdam transfugis indicatum sit.

44. Similiter si palis quis defixis fecerit duos aut tres ingressus, securus, integrosque relinquens, et instructæ aciei cognitos ; deinde ante palos eos aciem instruat, et in ipsa conflictatione fugam simulans incitet hostes, ut in hos palos ruat, et subito a latere intervenientes insidiæ, hostes magnopere lædent.

45. Hujusmodi etiam dolus adversus hostes sine

NOTÆ.

(6) Ἀδικήτῳ. Scribe, ἀδοκήτῳ.

Digitized by Google

fossis, et palis suscipitur, si quis ferreos tribulos, id est, murices ad tempus vinculis constrictos projiciat, qui post usum expletum contrahi in se iterum possint, ad latitudinem aciei instructæ; in medio quatuor aut quinque transitus relinquito centum pedum latitudine, qui exercitui bellaturo noti sint, ramis magnis, aut hastarum cuspidibus peregrinis, aut terræ aggeribus ad modum tumuli, aut acervi lapidum cumulatis, aut aliis evidentibus signis non ad initium, sive frontem longitudinis horum tribulorum positis, sed ad exitum altitudinis ad utramque oram transitus notati. Conflictatione jam incepta fugam simulent, et ubi hæc nota signa exercitus transierit, auferantur ea, aut dejiciantur a certis quibusdam equitibus ad hoc constitutis; insidiæ tum hinc atque illinc utroque ex latere adversus hostes irruant, ubi jam in hos tribulos irruerint, nec antrorsum aut retrorsum procedere possunt.

A καὶ ἄνευ ὀρύγματος, ἢ πάλων, ἐάν τις τριβόλους σιδηρᾶς ἀσυμφανῶς ῥίψῃ πρὸς ὥραν ἐν σφηκώμασιν (7) ὀποδεδεμένας εἰς τὸ ἑτοίμως συστέλλεσθαι μετὰ τὴν χρείαν, τουτέστιν ἐπὶ πλάτος μὲν ρ' ποδῶν, καὶ πρὸς μῆκος δὲ πρὸς τὸ τῆς παρατάξεως διάστημα· ἐν τῷ μέσῳ δὲ τέσσαρας ἢ πέντε παρόδους καταλείπῃ ἀπὸ τριακοσίων ποδῶν πλάτος ἐγνωσμένας τῷ συμβάλλοντι στρατῷ, καὶ σεσημειωμένας ἀπὸ κλάδων μεγάλων, ἢ κονταρίων κεφαλὰς ξενοπρεπεῖς ἐχόντων, ἢ γῆς ἀναβολῶν ὡς τυμβίων, ἢ λίθων ἀποτιθεμένων, ἢ ἕτερον εὔδηλον σημεῖον, οὐ μόνον κατ' αὐτὰς τὰς ἀρχὰς, ἤτοι τῶν μετώπων τοῦ μήκους τριβόλων, ἀλλὰ καὶ κατὰ τοῦ βάθους ἤτοι τοῦ πλάτους παρ' ἑκάτερα τῶν παρόδων, ὥστε τῆς συμβολῆς γενομένης σχηματίσασθαι τροπὴν, καὶ μετὰ B τὸ παρελθεῖν διὰ τῶν τοιούτων ἐγνωσμένων παρόδων τὸν στρατὸν ἐπαίρεσθαι τὰ τοιαῦτα σημεῖα, ἤτοι καταστρέφεσθαι παρὰ τῶν εἰς τοῦτο ἀφοριζομένων καβαλλαρίων, εἶθ' οὕτως τὴν ἐνέδραν ἐκ τῶν δύο πλαγίων ὑπεξέρχεσθαι ἔνθεν κἀκεῖθεν κατὰ τῶν ἐχθρῶν περιπιπτόντων τοῖς τριβόλοις, καὶ οὐ δυναμένων οὐδὲ πρόσω οὐδὲ ὀπισθεν εὐκόλως ὑποχωρεῖν.

46. Hæc fieri sine tribulis eodem modo possunt, si quis rotundas quasdam fossas varie dispersas, quas antiqui hippoclastas nominabant, ducat ad spatium unius, ad altitudinem duorum aut trium pedum, aut acutos palos defigat in illis; has diversas, et distantes a se trium pedum omni ex parte intervallo, fodies ad universi spatii latitudinem pedum centum quinquaginta, ad longitudinem totius aciei intervalli. Hoc confecto quando ad conflictationem ventum est, par est, ut prima acies ad unius C milliaris spatium ante eum locum instruatur, secunda post universum intervallum duobus aut tribus sagittæ jactibus ab eo loco absit, ut si opus fuerit, et qui e prima acie in fugam versi sunt, secure per ea loca evadant, eisdem intervallis secunda acies sine offensione transeat, atque adeo hostes invadat.

μς'. Τί γίνεσθαι δὲ δύναται καὶ κατὰ τὸν ὅμοιον τρόπον καὶ ἄνευ τριβόλων, ἐάν τις στρογγύλα ὀρύγματα, ἃ ἔλεγον οἱ παλαιότεροι ἱπποκλάστας, ὀρύξῃ διεσπαρμένα ἀπὸ ἑνὸς ποδὸς τὸ διάστημα ἔχοντα, καὶ βάθος δύο ἢ τριῶν ποδῶν, καὶ πάλους ὀξεῖς ἐμπήξῃ ἐν αὐτοῖς. Ταῦτα δὲ παρηλλαγμένα ὀρύξει καὶ μὴ ἐπ' εὐθείας, ἢ ἀπὸ τριῶν ποδῶν ἀλλήλων κατὰ τὰ τέσσαρα μέρη ἀφεστηκότων, ἐπὶ πλάτος δὲ πόδας ρν', μῆκος δὲ πρὸ τῆς παρατάξεως διάστημα. Καὶ τούτου γενομένου ἐν τῇ συμβολῇ, ὅταν μὲν ἡ πρώτη τάξις προπαρατάσσηται, πρέπον ἵνα ὡς πρὸ ἑνὸς μιλίου τοῦ τοιούτου σοφίσματος ἡ αὐτὴ ἵστηται, ἡ δὲ δευτέρα ὀπισθεν αὐτοῦ δι' ὅλου τοῦ διαστήματος εἰς τὰ λείμματα τῶν ὀρυγμάτων ὡς ἀπὸ δύο ἢ τριῶν σαγιττοβόλων ὀπισθεν· ἵνα ἐὰν χρεία γένηται, καὶ οἱ τρεπόμενοι τῆς πρώτης διὰ τῶν ἀκινδύνων παρέρχωνται, καὶ τὴν δευτέραν τάξιν, ἐὰν χρεία ἐστὶν ἐπιθέσθαι τοῖς ἐχθροῖς διὰ τῶν αὐτῶν εὐκαίρων διαλειμμάτων εὐκαίρων διερχομένην, καὶ ἀνεμποδίστως οὕτως ἐπιτίθεσθαι τοῖς ἐχθροῖς.

47. Quando non ante fraudem hanc apparatam, sed post eam acies instruitur, tres sagittæ jactus ab eo loco acies instruatur: et quando hostes vel transierint, vel in loco fraudis molitæ fuerint, occurrant illis nostri, ut pro celeritate equi illorum lædantur. Loca autem istius fraudis opportuna, et integra ad transeundum, lata admodum relinqui non oportet, ut ne magnus hostium numerus secure D non acriter adoriatur.

μζ'. Ὅταν δὲ οὐ πρὸ τοῦ σοφίσματος ἡ παράταξις γένηται πᾶσα, ἀλλὰ ὀπισθεν αὐτοῦ, δέον ἀπὸ τῶν τριῶν σαγιττοβόλων τούτου ὀπισθεν τὴν παράταξιν ἵστασθαι, καὶ ὅταν οἱ ἐχθροὶ παρέλθωσιν ἢ καταλάβωσι τὸ σόφισμα, τότε ὑπαντιάζειν αὐτοῖς, ἵνα φλάσωσιν οἱ ἵπποι αὐτῶν ἐμπεσόντες ἀφανισθῆναι. Ἀλλὰ τότε οὐ χρὴ πολὺ πλατέα τὰ εὐκαιρα χωρία τοῦ σοφίσματος καταλιμπάνειν, ὅταν ἡ παράταξις ὀπίσω αὐτῶν ἐστιν, ὥστε μὴ τοὺς πολλοὺς τῶν ἐχθρῶν παροδεύοντας ἀκινδύνως τῆς μάχης προσάπτεσθαι.

48. Hæ rerum aggressiones atque doli clam et a paucis fidelibusque hominibus vel ipso die belli, vel uno ante die, ad vesperam vel noctu fiant, eo ipso loco quo bellum exspectatur, ibique hostes præstolari. Ad hoc tempus autem quibusdam ex exercitu muniantur, præcipue autem signiferis, ut sciant se asservari: et post banda densati am-

μη'. Τὰ δὲ τοιαῦτα ἐγχειρήματα ἤγουν σοφίσματα, λανθανόντως σε δεῖ ποιεῖν, ὦ στρατηγὲ, δι' ὀλίγων καὶ πιστῶν ἀνθρώπων, ἢ ἐν αὐτῇ τῇ τοῦ πολέμου ἡμέρᾳ, ἢ πρὸ μιᾶς αὐτοῦ ἡμέρας περὶ τὰς δειλινὰς αὐτοῦ ὥρας, ἢ νυκτὸς, ἐν ἐκείνῳ δηλονότι τῷ τόπῳ ἐν ᾧ ἡ μάχη προσδοκᾶται, κἀκεῖσε τοὺς ἐχθροὺς ἀναμένειν, καὶ πρὸς ὥραν θαῤῥεῖν τοῖς τοῦ στρατηῦ,

NOTÆ.

(7) Ἐν σφηκώμασιν. Scribebatur, ἐν ἀφηκώμασιν.

Digitized by Google

καὶ κατ' ἐξαίρετον τοῖς βανδοφόροις. Ἵνα δὲ εἰδότες φυλάξονται, καὶ ὄπισθεν τῶν βάνδων σφιγκτοὶ ἀκολουθοῦσιν, ὡς οἱ εὔκαιροι τόποι ἐπιδέχονται.

μθ'. Τοῦτο δὲ πάντες παραγγελθῶσιν, ἵνα τοῖς βάνδοις ἑαυτῶν ἐν τῷ ὑποχωρεῖν μάλιστα ἀκολουθῶσιν, ἵνα μὴ, ὅπερ μὴ γένηται, πλανώμενοι αὐτοὶ περιπίπτουσι τῇ παγίδι.

ν'. Πάντων δὲ τῶν εἰρημένων σοφισμάτων, ὡς ἡγούμεθα, ἡ διὰ τῶν τριβόλων ἀπάτη εὐκολωτέρας ὡς καὶ μᾶλλον λεληθότως ἐν ἑκάστῳ τόπῳ δύναται γίνεσθαι. Διὰ τοῦτο οὖν χρὴ πρὸς τοὺς τόπους καὶ τὴν τάξιν ἁρμόζεσθαι.

να'. Καὶ ἐὰν δόξῃ σοι συμφέρον τὴν ἐφοδον κατὰ τῆς τῶν ἐχθρῶν παρατάξεως γενέσθαι, ὡς ἤδη ἡμῖν εἴρηται, ἀφορίσεις ἀπὸ ἑνὸς ἢ καὶ δευτέρου βάνδου, ἢ πρὸς τὸ πόσον τοῦ ὄντος στρατοῦ πλείονας μετὰ ἀρχόντων ἀνδρείων καὶ τολμηρῶν καὶ φρονίμων καὶ στρατιωτῶν χρησίμων. Εἰς μὲν τὸ ἴδιον δεξιὸν μέρος, τοῦ τόπου δηλονότι συμπράττοντος · μίαν ἐνέδραν θήσεις κατὰ τῆς τῶν ἐχθρῶν ἐγχειρῆσαι παρατάξεως, κατὰ δὲ ἀριστερὸν τὴν ἄλλην ἐνέδραν.

νβ'. Καὶ ἐὰν μὲν παρὰ τῶν ἐχθρῶν ἐγχείρηται ταύτην τὴν ἐγχειρεῖν βουλομένην τῶν ἐχθρῶν ἀναστέλλειν, καὶ μὴ δοῦναι καιρὸν ἐλθεῖν καὶ παράξαι τὴν παράταξιν. Εἰ δὲ μὴ ἐγχειρῆται παρὰ τῶν ἐχθρῶν ἐπέρχεσθαι, ἵνα διὰ τοῦ μέρους ἐκείνου ἢ εἰς τὸ τοῦλδον τῶν ἐχθρῶν, ὡς εἰκὸς, ἐκεῖσε εὑρισκόμενον ἐπέλθωσιν, ἢ καὶ τοῖς τῶν ἐχθρῶν νώτοις, ἢ τῷ κέρατι, ἤγουν τῷ κυκλοῦντι μέρει τῆς τῶν ἐχθρῶν παρατάξεως, ἵνα μὴ, ὡς εἰκὸς, καὶ τῶν ἐχθρῶν ἐν δευτέρᾳ τάξει τασσομένων, ἢ καὶ αὐτῶν ἐγκρυμμα ὄπισθεν τῆς ἰδίας αὐτῶν τάξεως ἐχόντων εὑρεθῶσι τὰ σὰ ἐγκρύμματα ἐκ τοῦ ἐναντίου ὑπ' αὐτῶν βλαπτόμενα. Δεῖ γὰρ καὶ αὐτοὺς τοὺς εἰς ἔγκρυμμα ἀπερχομένους προσκυλκεύειν ἀσφαλῶς, καὶ οὕτως ἁρμόζεσθαι τῇ κατὰ τῶν ἐχθρῶν ἐπιθέσει.

νγ'. Τὸν δὲ καιρὸν τοῦ ἐγκρύμματος ἐπιμελῶς κανονίζειν, καὶ μηδὲ πρὸ πολλοῦ τῆς παρατάξεως ἐγχειρεῖν · ἵνα μὴ ὡς ὀλίγους ἔχουσα ἡ ἐνέδρα ὑπὸ τῶν ἐχθρῶν βαρῆται, μηδὲ πάλιν ὑστερεῖν, ἵνα μὴ φθάσῃ ἡ συμβολὴ τοῖς παρατάξεως γενέσθαι καὶ ἀνωφελὴς αὐτῇ εὑρεθῇ.

νδ'. Ἀλλὰ πρέπον ἐν τῷ ἅμα μὲν κινεῖν τήν τε παράταξιν καὶ αὐτὰ εἴτε ἓν εἴτε δύο γίνονται ἐγκρύμματα · μᾶλλον δὲ ὀλίγον προκινῆσαι τὴν παράταξιν · ἵνα ἡ μὲν παράταξις διὰ τῶν φανερῶν τόπων ἐρχομένη ἐκεῖθεν τοὺς ἐχθροὺς ἀντιπερισπᾷ · ἡ δὲ διὰ τῶν ἀφανῶν ὁμοίως περισπᾷ καὶ ἀλλήλους διὰ σκεύλκας καὶ σημείου καὶ εἰκασμοῦ κανονίζειν · καὶ τὸν, ὡς εἰκὸς, διὰ συντομίας τοῦ τόπου προλαμβάνοντα ἐμβραδύνειν καὶ ἀναμένειν τὸν ἄλλον, ὥστε ὡς ἐνδέχεται ἴσως τὰς ἀμφοτέρας τήν τε ἐνέδραν ἤγουν τὸ ἔγκρυμμα καὶ τὴν παράταξιν εὑρίσκεσθαι κατὰ τῶν ἐχθρῶν, καὶ ὀλίγον τι τὴν ἐνέδραν μᾶλλον προκρύειν · ἵνα ὅταν ἄρξωνται οἱ ἐχθροὶ ὑπὸ τῆς ἐνέδρας διαταράττεσθαι, τότε ἡ παράταξις ἐγγὺς εὑρισκομένη συμβάλῃ.

νε'. Διὰ οὖν τοῦτον τὸν τρόπον, ἐὰν οἱ τόποι ἐπιτήδειοί εἰσιν, ἐκ τῶν δύο μερῶν δεῖ σε τὰ ἐγκρύμματα ἐκπέμπειν, μάλιστα ἐὰν πολὺν καὶ μέγαν

A bulent, quemadmodum opportunitas locorum recipit.

49. Hoc omnibus mandandum est, ut in retrocedendo iterum banda sequantur, ne, quod absit, quidam palantes, in has pedicas incidant.

50. Ex iis prædictis machinationibus omnibus, quemadmodum nos arbitramur, hæ tribulorum machinationes tum facillime tum obscurissime singulis in locis fiunt, ideoque ad locorum naturam acies instruatur.

51. Si tibi utile videbitur incursiones adversus hostium aciem facere, ut jam nobis dictum est, ad unam et alteram cohortem, vel pro exercitus tui numero plures etiam, præfectosque illorum fortes atque audaces, prudentes strenuosque deliges, eosque ad dextrum latus loci, si idoneus fuerit, unas insidias contra hostium copias, et ad lævum itidem alias collocabis.

52. Si ab hostibus invadantur, hic apparatus hostium coercendus est, neque permittendum illud tempus vacuum esse quo se instruant. Sin ab hostibus non invadantur, ex ea parte vel in tuldum hostium quod ad eam partem locatur, invadant, vel in extremum agmen et tergum hostium, vel in cornu, id est, partem ambientem extremas oras aciei hostium, ut ne hostes aut secunda acie instructa, vel insidiis post copias illorum collocatis, tuas insidias suis lædant. Insidias enim tuas in excubiis esse oportet, ut tuto incursionem hostium sustineant, eosque opportune invadant.

53. Insidiarum tempus diligenter advertas, néque longo tempore ante aciem instructam eas loces, ne cum pauci in insidiis sint, ab hostibus opprimantur : nec rursus nimis tardentur, ne conflictatio si aliquandiu ante inceperit, inutiles atque inanes insidiæ sint.

54. Sed dum universa acies procedit, ipsæ quoque insidiæ sive unæ sive duæ sint, adversus hostes, se præparent, sed ita ut paulum ante eas, acies procedat. Ex eo fiet, ut acies per loca exposita ambulans, ad se aciem hostium pertrahat, insidiæ per latebrosa loca incedentes similiter se attrahant, seque mutuo speculando, significando, conjectandò observent, quive priores alteros anteverterint, retardent se et præstolentur eos, ut simul quantum fieri possit utræque tum copiæ tum insidiæ hostes adoriantur. Insidiæ autem paulo nunc anteeant, ut quando hostes insidiis cœperint commoveri, acies tum prope adducta confligat.

55. Hoc modo, si loca idonea fuerint, duobus ex lateribus insidiæ collocandæ sunt, si potissimum magnum habeas exercitum, ut alteræ insidiæ

Digitized by Google

incursantes reprimant, alteræ autem hostes invadant.

56. Si cum invaserint minus secunde res illis processerit, vel cum acies tota profligata est, tum illi invadere cœperint, ne sic quidem retrocedant, aut hostes dimittant, neque ad secundam aciem veniant, et cum iis qui se in fugam dederunt, permisceant, sed eminus consistant, illosque a tergo adoriri atque invadere conentur, ut hoc modo a fuga suos retardent.

57. Tutum hoc arbitramur esse, ut qui ad insidias vel ad incursionem a tergo atque a latere alicujus aciei mittuntur, vel ad tuldi custodiam, vel ad celere subsidium alicujus partis afflictæ, vel ad tergum aciei custodiendum, sive ad excubias, drungisti magis, id est, simul, confertim, quasi maza, sine ordine instruantur, neque in longam aciem, id est, ad ordinem contubernii aut decuriæ aut quincuriæ; hic enim apparatus splendidior ac illustrior, fortior atque ordinatior est, et tuto conflictationes in prælio facit, tardior tamen minus flexibilis ad usum est. Hæc autem drungisti apparatio, omnia contraria habet, et in insidiis facilius latere potest : minore loco contenta, confestim manus conserere potest : itaque exercitatione ac usu exploranda hæc opportune sunt, et quod maxime utile est experiendo teneatur.

58. Sed hoc pro magnitudine exercitus ad hoc emissi, et pro locorum situ fiat : si enim æquales copiæ, aut majores, quam quæ in conspectu acies instruitur, ad insidias emittuntur, ut uno e loco exeant, tum in contubernia dividantur : sin pauci emittantur, iique ad diversa loca separentur, tum drungisti sive confertim absque ordine densati ambulent.

59. In iis enim, quemadmodum dixi, differentia quædam est. Nam quæ ordine insidiæ struuntur, fortiter et tuto pugnare possunt : illæ quæ confuse et conferte densantur, ad subsidia celeriter afferenda, et persecutiones vehementesque incursiones ac turbas valent.

60. Hanc igitur idoneam aciem equitum continuatione, quemadmodum prædiximus, ad optimam, quantum fieri potest, formam traduces, si imperita harum rerum fuerit : sin ea satis edocta fuerit, neque mandatis belli tempore, neque ulla alia præceptione opus erit : ipsa enim instructio atque exercitatio unumquemque docent quid facto potissimum opus sit.

61. Omissiores autem quidam atque imperitiores, hanc aciem ad instruendum variam et multiplicem esse, atque adeo laboriosum existimant. Hi intelligant, athletas et aurigas, aliosque ejus generis homines qui ad lusum atque oblectationem se exercent, qui si assequantur quod cupiunt, medio-

A σρατὸν ἔχῃς, ἵνα τὸ μὲν ἓν ἔγκρυμμα τοὺς ὑπερχομένους ἀναστέλλῃ, τὸ δὲ ἕτερον ἁρμοδίως τοῖς ἐχθροῖς ἐπιχειρῇ.

νς'. Ἐὰν δὲ ἐγχειροῦντες, ὡς εἰκὸς, μὴ ἐπιτύχωσιν ἢ καὶ τροπὴ τῆς παρατάξεως ἐν τοσούτῳ παρακολουθήσῃ, μὴ δὲ οὕτως ἐνδιδόναι ἢ ἀφιέναι τοὺς ἐχθροὺς, μηδὲ ἐπὶ τὴν δευτέραν τάξιν ἔρχεσθαι, καὶ συναπλέκεσθαι (8) τοῖς φεύγουσιν, ἀλλὰ ἔξωθεν ἀπομένειν καὶ σπουδάζειν αὐτοῖς τῷ νώτῳ τῶν ἐχθρῶν, ἤτοι ὄπισθεν ἐνεδρεύειν καὶ ἐπέρχεσθαι, καὶ ἐντεῦθεν ἀναχαλεῖσθαι τὴν τῶν ἰδίων φυγήν

νζ'. Ἀσφαλὲς δὲ ὑπολαμβάνομεν, ἵνα οἱ πρὸς ἐγκρύμματα πεμπόμενοι εἴτε εἰς ἐπέλευσιν ἀπὸ ὄπισθεν ἢ ἐκ πλαγίων τινὸς παρατάξεως, εἴτε εἰς τούλδου φυλακὴν, εἴτε εἰς ὀξεῖαν βοήθειαν μέρους τινὸς, ὡς εἰκὸς, βαρουμένου, εἴτε εἰς νώτου παρατάξεως φυλακὴν, εἴτε εἰς βίγλαν, ὀλίγοι οἱ τοιοῦτοι, ἁρμόδιόν ἐστιν, ἵνα μᾶλλον δρουγγιστὶ τάσσωνται, ἤγουν ὁμοῦ ὡς μάζα ἄνευ ὁρδίνων οὐχὶ δὲ ἐπὶ μακρᾶς παρατάξεως, τουτέστι κατ' ὁρδινον ἀκίας ἢ δεκαρχίας ἢ πενταρχίας. Αὐτὴ γὰρ κομπὴ καὶ ἐξογκωμένη καὶ ἰσχυροτέρα καὶ εὐτακτοτέρα ἐστὶ, καὶ ἀσφαλῶς τὰς συμβολὰς ἐν ταῖς μάχαις, ποιεῖται· βραδεῖα δὲ καὶ δυσμετάθετος ἐστὶ ταῖς χρείαις, ἡ δὲ δρουγγιστὶ τασσομένη τὰ ἐναντία ἔχει καὶ ἐν ταῖς ἐνέδραις μᾶλλον εὐκόλως λανθάνει δύναται ὀλίγῳ τόπῳ ἀρκουμένη καὶ συντόμως μετατίθεσθαι πρὸς τὰς χρείας· διὸ χρὴ μετὰ γυμνασίας δοκιμάσαι εὐκαίρως, καὶ τὸ ἀναγκαιότερον δι' αὐτῆς τῆς πείρας ἐπιλέξασθαι.

νη'. Ἁρμόζει δὲ καὶ πρὸς τὸ ποσὸν, τοῦ στρατοῦ, τοῦ ἐπὶ τούτῳ πεμπομένου καὶ πρὸς τὰς τῶν τόπων θέσεις· ἐὰν γὰρ ἡ μείζων δύναμις ἢ ἰσόμερος τῆς φανερῶς τασσομένης πέμπηται εἰς ἔγκρυμμα δι' ἑνὸς τόπου ἐγχειρῆσαι προσδοκοῦσα, τότε δέεται κατὰ δεκαρχίαν τάσσεσθαι· εἰ δὲ ὀλίγων οἱ πεμπόμενοι, ἢ κατὰ διαφόρων τόπων, τότε δρουγγιστὶ καὶ ὁμοῦ ἄνευ ὁρδίνων σφιγκτοὺς τάσσεσθαι.

νθ'. Ἐν τούτοις γὰρ ἐστὶν ἡ διαφορὰ, ὡς εἴρηται, ἀμφοτέρων, ὅτι ἡ μὲν ἐν συντάξει γινομένη ἐνέδρα τὸ ἰσχυρῶς καὶ ἀσφαλῶς μάχεσθαι ἔχει, ἡ δὲ δρουγγιστὶ γινομένη τὸ ὀξέως παρέχειν τὰς βοηθείας καὶ τὰς διώξεις καὶ τὰς ἀθρόας ἐπελεύσεις καὶ ταραχὰς ποιεῖσθαι.

ξ'. Ταύτην οὖν τὴν τάξιν ἐπὶ τῶν καβαλλαρίων ἁρμοδίαν νομίζομεν, ἣν δεῖ σε κατορθοῦν διὰ συνεχοῦς γυμνασίας, καθ' ὃν εἰρήκαμεν τρόπον, εἴγε μὴ ἐν πείρᾳ ταύτης προγέγονας· ἐὰν γὰρ αὐτὴ δεόντως κατορθωθῇ, οὐδὲ μανδάτων χρεία ἐν καιρῷ πολέμου, οὐδὲ ἄλλης παραγγελίας· αὕτη γὰρ ἡ τάξις καὶ γυμνασία ἕκαστον διδάσκει τὰ δέοντα.

ξα'. Ἴσως δέ τινες τῶν ὀκνηροτέρων καὶ ἀσφαλέστερον λογίζονται, ποικίλην τινὰ καὶ πολυειδῆ τὴν τάξιν ταύτην εἶναι, καὶ ἐντεῦθεν ἐπὶ κόπον (9). Οὓς εἰδέναι δέον, ὅτι οἱ ἀθληταὶ καὶ ἡνίοχοι καὶ ἄλλοι τινὲς τῶν εἰς παίγνια καὶ τέρψιν ἀγωνιζομένων, ὧν ἡ μὲν ἐπιτυχία ὀλίγων ἐστὶ χρημάτων εὐπορία, ἡ δὲ

NOTÆ.

(8) *Συναπλέκεσθαι*. Scribe, συμπλέκεσθαι.

(9) *Ἐντεῦθεν ἐπὶ κόπον*. Scribe, ἐ. ὀκνηρόν.

Digitized by Google

ἀστοχία ἀζήμιός ἐστι λύπη. Οὗτοι οὖν τοσοῦτον μόχθον καὶ κάματον ὑπομένουσι μετὰ νηστείας βρωμάτων καὶ παραφυλακῆς καὶ ἀνενδότου γυμνασίας, εἰς τὸ δυνηθῆναι μαθεῖν, ποῖα μέν εἰσι τὰ πρὸς βλάβην τῶν ἀντιπάλων γινόμενα, τίνα δὲ τὰ φυλάττοντα τὴν ἐξ αὐτῶν ἐγχειρουμένην ἐργασίαν. Πόσῳ μᾶλλον ἐνταῦθα χρὴ ἀόκνως καὶ πολυτρόπως καὶ σεσοφισμένως τὰς παρατάξεις καὶ γυμνασίας ποιεῖσθαι, ὅπου τὸ μὲν σφάλμα παρευθὺς, ἢ τὸν θάνατον, ἢ τὴν χείρονα θανάτου φυγὴν φέρει, ἡ δὲ ἐπιτυχία χαρὰν καὶ κέρδος, καὶ ὑπόληψιν ἀγαθὴν, καὶ μνήμην ἔνδοξον ἀληθάργητον.

A crem inde pecuniam colligunt: sin frustrentur, dolore quadam haud ita damnoso afflictantur, multum laboris sudorisque sustinere, magnam inediam cibi, magnas vigilias, irrequietam exercitationis molestiam perferre, ut quæ adversariis suis offensioni esse possunt, et quæ ad suæ industriæ conservationem valent, cognoscant; quanto major operosiorque cura cum omni diligentia, provisioneque suscipienda est, ut exercitationes bellicæ acierumque instruendarum rationes cumprimis teneantur, ubi si qui offensio fuerit, vel morte statim, vel deteriorem morte fugam affert, fructus existimationem bonam, memoriam nulla oblivione autem ingentem lætitiam, magnas commoditates, obscurandam habet.

ξβ'. Πῶς γὰρ οὐκ ἄτοπον καὶ ἐπιβλαβὲς καὶ ὀλέθριον, ἑνὶ καὶ τῷ αὐτῷ ἁπλῷ τρόπῳ τάσσεσθαι καὶ ἐκ τυχόντος σφάλματος κρίσιν τοσούτου πλήθους ἀνδρῶν γίνεσθαι, καὶ μηδὲ ἐπιγινώσκεσθαι τὸν ἁμαρτήσαντα, ἀλλὰ τῷ σφάλματι τοῦ ἑνὸς πάντας ὑπάγεσθαι ὁπόταν οὐδὲ πολλὰ εἰσὶ τάχα τὰ κεφάλαια τὰ ὀφείλοντα γίνεσθαι, ἀλλ' οἱ λογισμοὶ τῶν αἰτιῶν (10) αὐτῶν ἐμήκυναν τὸν λόγον.

B 62. Absurdum enim, noxium et perniciosum est, uno eodemque modo omnino instrui, et quavis fortuita offensione totius multitudinis hominum periculum exsistere: neque eum qui peccaverit potius cognosci debere, quam reliquos secum omnes in discrimen pertrahat, quando non multa rerum capita per se agenda sunt, sed adversariorum consilia orationem nostram provexerunt.

ξγ'. Τοσαῦτα μὲν οὖν περὶ τῆς καβαλλαρικῆς τάξεως ἡμῖν εἰρήσθω, περὶ δὲ τῆς πεζικῆς καὶ τῆς συμμίκτου ἤδη ἐροῦμεν ἅπερ ἀναγκαῖα κατὰ τὸν τοῦ πολέμου καιρὸν γενέσθαι νομίζομεν· περὶ ὧν ἀκριβέστερον ἡμῖν καὶ ἐν ἑτέρῳ λόγῳ προδιώρισται.

63. Atque hæc nobis de equestribus et admistis copiis: jam ea dicemus, quæ ipso belli tempore opportuna judicamus, de quibus accuratius alio loco verba fecimus.

ξδ'. Τούτων γὰρ οἱ μέν εἰσι σκουτάτοι λεγόμενοι, οὓς καὶ ὁπλίτας καλοῦμεν. Καὶ τοὺς μὲν σκουτάτους ὁρίσεις οὕτως· πρότερον μὲν ποιήσεις τὰς ἀκίας, ἤγουν τοὺς ὀρθίνους τοῦ τάγματος ἑκάστου, τινὲς ἀριστερὰ, καί τινες δεξιὰ τοῦ βάνδου, ἤγουν τοῦ ἄρχοντος τάσσονται.

64. Ex iis alii scutati sunt, qui et graves appellantur. Scutatos igitur ad hunc modum describes: primum instrues contubernia, sive manipulos cohortis uniuscujusque, quænam ad dextram, et quæ ad lævam præfecti cohortis esse debeant.

ξε'. Καὶ προπορευομένου τοῦ ἄρχοντος ἅμα τῷ βανδοφόρῳ καὶ τῷ βουκινάτωρι καὶ τοῖς λοιποῖς κατὰ συνήθειαν ἐπακολουθοῦσιν ὡς ὡρίσθησαν οἱ λοχαγοί· πρῶτον οἱ τοῦ ἀριστεροῦ μέρους, εἶτα οἱ τοῦ δεξιοῦ.

65. Præcedente præfecto simul cum sign fero et buccinatore suo, reliquisque qui illum sequi consueverunt, procedant primo lochagi sive præstites sinistræ partis, deinde dextræ.

ξς'. Γινομένων δὲ αὐτῶν ἐν τῷ τῆς παρατάξεως τόπῳ, ἵσταται ὁ ἄρχων, καὶ μετὰ αὐτὸν ὁ βανδοφόρος, καὶ οἱ πρὸς συνήθειαν. Καὶ παρατάσσονται αὐτῷ ἑκατέρωθεν αἱ ἀκίαι ὡς ὡρίσθησαν, πρῶτον ἐν ἀραιοτέρῳ διαστήματι, ἵνα μὴ συντρίβωνται ὑπ' ἀλλήλων ἀπὸ ἑξκαίδεκα τὸ βάθος ἔχουσαι καὶ τοὺς ψιλοὺς ὄπισθεν(11). Τὰ δὲ ξίφη τῶν κονταρίων τέως ἄνω βλέποντα, ἵνα μὴ ἐμποδίζωνται ὑπ' αὐτῶν.

66. Ubi in ipso aciei instruendæ loco fuerint, consistat præfectus et signifer ejus, et qui assolent, cum eo sint. Instruantur utrinque contubernia quemadmodum a nobis præscriptum est, primum laxiore intervallo, ut ne se mutuo angustiis affligant, ad sedecim virorum altitudinem, et leves a tergo illorum. Cuspides hastarum sursum spectent, ut ne ab illis impediantur.

ξζ'. Ἔμπροσθεν δὲ τοῦ μετώπου περιπατοῦσιν ὁ καμπιδούκτωρ, ἤγουν ὁ τοὺς τόπους ἐρευνῶν, καὶ ὁ μανδάτωρ ὁ μὲν ἐπὶ τοὺς τόπους ὁδηγῶν, ὁ δὲ τὰ μανδάτα γνώμῃ τοῦ ἄρχοντος διδούς.

67. Ante frontem ambulent campiductor, vel qui loca explorant, et mandator, alter qui ad loca deducat, alter qui mandata ex imperatoris sententia det.

ξη'. Ὅταν δὲ καταστεθῶσιν τὰ τάγματα, καθὼς προδιωρισάμεθα εἰς μοίρας, καὶ εἰς μέρη, ἤγουν εἰς τοὺς δρούγγους αὐτῶν, καὶ εἰς τὰς τούρμας, καὶ γένηται ἡ πᾶσα παράταξις τῶν σκουτάτων, τότε παρατάξεις καὶ τοὺς ψιλοὺς λεγομένους κατὰ διαφόρους τόπους.

68. Cohortibus, ut antea statuimus, jam in mœrss, drungos, id est, cohortes milliarias et turmas adductis, acies universa instruatur, levesque diversis in locis constituantur.

NOTÆ.

(10) *Τῶν αἰτιῶν*. Scribe, τῶν ἐναντίων.

(11) *Ἀ... ὄπισθεν*. Scribe, ἀπὸ ὄπισθεν.

Digitized by Google

69. Sagittarios a tergo uniuscujusque contubernii, pro numero eorum qui in contubernio sunt, locabis : id est, singulis sedecim scutatis quatuor leves, ut in quaternarium numerum divisis scutatis et gravibus unus illis a tergo sagittarius adjungatur : sin usus requirat aciei, in altitudine alternis scutatum et sagittarium constitues, interdum in contubernia et cornua aciei. Interius equitibus conferes, sæpe etiam exterius, parvo ab illis spatio, paucis cum scutatis, ut equites exteriores defendant. Si multi fuerint leves, hoc observetur. Qui vel rhictaria vel tzicuria vel tale aliquid gestant, vel a tergo contubernii scutatorum locandi sunt, vel ad summas oras aciei, et non in medio : funditores autem omnino ad summas oras aciei locabis. B

A ξθ'. Τοὺς μὲν τοξότας ὄπισθεν ἑκάστης ἀκίας πρὸς τὸ μέτρον τῶν ὄντων, τουτέστιν εἰς τοὺς ἑξκαίδεκα σκουτάτους τέσσαρας ψιλούς, ἵνα καὶ μέχρι τεσσάρων μεριζομένης τῆς τῶν ὁπλιτῶν, ἤτοι τῶν λεγομένων σκουτάτων ἀκίας εὑρεθῇ εἷς τοξότης ὄπισθεν αὐτῆς· ἐὰν δὲ ἀπαιτῇ, τάξεις αὐτοὺς εἰς τὸ βάθος τῶν ἀκιῶν ἕνα παρ' ἕνα σκουταράτου καὶ τοξότην. Ποτὲ δὲ καὶ εἰς τὰς ἀκίας, καὶ εἰς τὰ κέρατα τῆς παρατάξεως, τουτέστιν ἔσωθεν τῶν καβαλλαρίων, πολλάκις δὲ καὶ ἔξωθεν αὐτῶν, ἀπὸ μικροῦ διαστήματος, μετὰ καὶ ὀλίγων σκουταράτων, εἰς τὸ διεκδικεῖν τοὺς ἐξώτερον ἑστῶτας καβαλλαρίους. Τοῦτο δὲ ἐὰν πολλοὶ εἰσιν οἱ ψιλοί. Οἱ δὲ ῥικτάρια ἢ τζικούρια ἢ τι τοιοῦτον ἔχοντες, ἢ ὄπισθεν τῶν ἀκιῶν τῶν σκουταράτων, ἢ εἰς τὰ ἄκρα τῆς παρατάξεως, κατοὐκ ἐν τῷ μέσῳ. Οἱ δὲ σφενδοβολισταὶ πάντως εἰς τὰ ἄκρα τῆς παρατάξεως.

70. Ad summas oras peditatus, equites constituantur : majores autem cohortes cum præfectis suis exterius. Et si multi fuerint equites, id est plures duodecim millibus, ad decem virorum altitudinem contuberniorum instructio fiat : sin pauciores hoc numero fuerint, ad quinque virorum altitudinem apparentur. Sint vero præterea a tergo ad subsidium extra currus collocati, ut si qui hostes a tergo nostrorum immineant, repellantur : sin minus, ad latera adjungantur : primo autem ad lævam, ut ne impedimenta sint ubi tempus fuerit, et forma stationis commutanda erit.

ο'. Εἰς δὲ τὰ ἄκρα τῆς πεζικῆς παρατάξεως τάσσεσθαι τοὺς καβαλλαρίους κελεύομεν. Τὰ δὲ μείζονα τάγματα μετὰ τῶν ἀρχόντων αὐτῶν ἐξωτέρω. Καὶ ἐὰν μὲν πολλοί εἰσιν οἱ καβαλλάριοι, τουτέστι πλέον τῶν δώδεκα χιλιάδων, ἀπὸ δέκα τὸ βάθος ἡγοῦν τὸ πάχος τῆς ἀκίας τὴν παράταξιν γίνεσθαι. Εἰ δὲ καὶ ὀλιγότεροι τοῦ μέτρου τούτου, ἀπὸ πέντε εἶναι δὲ ἐκ περισσοῦ τινας ὄπισθεν εἰς ὑποβοήθειαν αὐτῶν ἔξω τῶν ἁμαξῶν, ἵνα ἐὰν μέν τινες τῶν ἐχθρῶν διὰ τοῦ νώτου ἡγοῦν τῶν ὄπισθεν φανῶσιν ἀποσοβήσωσιν αὐτούς. Εἰ δὲ μήγε, προστεθῶσι τοῖς πλαγίοις καὶ αὐτοί. Τάσσονται δὲ καὶ αὐτοὶ εἰς τὸ ἀριστερὸν πρότερον διάστημα, ἵνα μὴ ἐμποδίζονται. Ὅτε γένηται καὶ καιρὸς καὶ μέλλουσι μετάβαλλεσθαι τὸ σχῆμα τῆς στάσεως αὐτῶν.

71. Equitibus præcipies, ne nimis impetuose C ruant in hostes, neque a pedestri acie longius discedant, quamvis profligentes hostes, ut ne insidiis ab hostibus structis, aliquo longo intervallo, reliqua acie nudati, vexentur, nempe pauciores : sed si ab hostibus opprimantur, post aciem confugiant, et currus non transeant : ex equis descendant, et pedibus seipsos defendant.

οα'. Τοὺς δὲ καβαλλαρίους παραγγείλῃς μὴ καταδιώκειν τῶν ἐχθρῶν, μηδὲ ἀφίστασθαι τῆς πεζικῆς παρατάξεως ἐπὶ πολὺ διάστημα. Κἂν τάχα καὶ τραπῶσιν οἱ ἐχθροί, ἵνα μὴ ἐνέδρας ἡγοῦν ἐγκρύμματος παρ' αὐτῶν γενομένου, ἐάν περ ἀπὸ διαστήματός εἰσι γυμνούμενοι τῆς παρατάξεως ἐπηρεασθῶσιν, ὡς ὀλιγώτεροι. Ἀλλὰ καὶ ἐὰν βιασθῶσιν, ὡς εἰκός, ὑπὸ τῶν ἐναντίων κατὰ τοῦ νώτου ἡγοῦν ὄπισθεν τῆς παρατάξεως προσφεύγωσι, καὶ μὴ παρέρχωνται τὰς ἁμάξας. Ἐὰν δὲ μὴ οὕτως ἀντέχωσι· κατέρχεσθαι αὐτοὺς ἐκ τῶν ἵππων, καὶ οὕτως πεζῇ ἑαυτοὺς ἐκδικεῖν.

72. Si aciem instruere vis, non tamen eo ipso die prælium committere, et in equites tuos hostes irruerint, et eos sustinere non possint equites tui, ne ad cornua aciei, et currum illos præstolentur : quod si fecerint, majore in medio intervallo opus est, ut commutatis, quod sæpe fit, equitibus, non angustia premantur, neque hostium sagittæ illos lædant. D

οβ'. Ἐὰν δὲ βουληθῇς παρατάξεσθαι μὲν τὸν στρατὸν, μὴ συμβάλλειν δὲ τὴν μάχην κατὰ τὴν αὐτὴν ἡμέραν, καὶ ὁρμήσωσιν οἱ ἐχθροὶ κατὰ τῶν καβαλλαρίων, καὶ μὴ βαστάσωσιν αὐτοὺς ἐκεῖνοι, μὴ ἀναμένειν αὐτοὺς εἰς τὰ κέρατα τῆς παρατάξεως καὶ τῶν ἁμαξῶν. Ἀλλ' εἰ τοῦτο γένηται, τότε χρεία μείζονος τοῦ ἐν τῷ μέσῳ διαστήματος, ἵνα μεταβαλλομένων, ὡς εἰκὸς, τῶν καβαλλαρίων μὴ στενοχωρηθῶσιν, μηδὲ αἱ τῶν ἐχθρῶν σαγίτται βλάψωσιν αὐτούς.

73. Haud ignoramus nos complura ex istis in capite de exercitatione recensuisse : sed absurdi nihil est, illa eadem in belli apparatione iis qui in militia sunt repetere. Sic enim antea rem totam pertractavimus, ut omnia quæ ad bellum pertinerent, ad exercitationem quoque aptarentur, nisi quod sine ferro tota exercitatio suscipi debet : unde commemorandi harum rerum gratia non ve-

ογ'. Οὐκ ἀγνοοῦμεν δὲ ὅτι τῶν νῦν εἰρημένων τινὰ καὶ ἐν τῇ περὶ γυμνασίας διατάξει εἰρήκαμεν. Ἀλλ' οὐδὲν ἄτοπον καὶ ἐν τῇ περὶ τοῦ πολέμου διατάξει προσυπομνῆσαι περὶ αὐτῶν τοὺς ἐντυγχάνοντας. Οὕτω γὰρ σκοποῦμεν, ὥστε πάντα τῷ πολέμῳ ἁρμόζοντα καὶ ἐν τῇ γυμνασίᾳ δεῖν ἁρμόζειν, πλὴν μόνου τοῦ ἀσίδηρον γίνεσθαι τὴν ἐκταξιν, καὶ ἄμαχον. Ὅθεν καὶ πάλιν τοῖς ὁμοίοις ἐμπεριλοχωρῆσαι οὐκ

Digitized by Google

σκήσαμεν ὑπομνήσεων χάριν ἐκείνων. Οὐ γὰρ μικρὸν τὸ παρὰ μικρόν. A rebimur illis similia iterum recensere. Non enim hoc leve admodum esse putandum est, sed cumprimis necessarium.

οδ'. Τάξεις δὲ τὰ μέρη τῆς παρατάξεως ἀπὸ ἑκατὸν ἢ διακοσίων ποδῶν (12) ἀλλήλων διακεκριμένα, ἵνα μὴ στενοχωροῦνται ὑπ' ἀλλήλων ἐν τῷ περιπατεῖν, ἐν δὲ τῷ καιρῷ τῆς συμβολῆς ἑνοῦνται, καὶ βοηθῶσιν ἑαυτοῖς, καὶ παραγγέλλωνται τῷ μέσῳ μέρει πείθεσθαι, ἔνθα τὸ τοῦ στρατηγοῦ ἢ τινος ἑτέρου τεταγμένου ἄρχοντος βάνδον ὀφείλει τάσσεσθαι. Τὸν γὰρ μέσον τόπον τῆς παρατάξεως οἱ ἀρχαῖοι διὰ τοῦτο στόμα ἐκάλεσαν καὶ ὀφθαλμόν, ἵνα αὐτῷ τὰ μέρη πειθώνει.

74. Partes aciei instructæ centum aut ducentorum pedum spatio a se mutuo separabis, ut ne in itinere faciendo semet mutuo affligant. Conflictationis tempore jungantur, et adhærescant hæc partes divisæ, et sibi mutuo opem ferant, mediæque parti, ubi imperatoris aut alterius delecti principis bandum locandum est, obtemperent. Medium enim aciei locum propterea os et umbilicum antiqui vocaverunt, ut illi cæteræ partes obtemperent.

νε'. Ἐπειδὴ δὲ τὸ σφίγγεσθαι ἤτοι πυκνοῦσθαι πρὸς τὸ ἀραιοῦσθαι καὶ πλατύνεσθαι συντομώτερον καὶ ἀσφαλέστερόν ἐστιν, οὐ χρὴ ἀπὸ προοιμίων ἐξ καίδεκα τὸ βάθος τῶν ὁρδίνων ἤτοι τῶν ἀκιῶν τάσσεσθαι, ἀλλὰ ἀπὸ τεσσάρων, ἵνα καὶ κομπωδεστέρα φαίνηται τοῖς πολεμίοις ἡ παράταξις, καὶ ἀνετώτεροι γίνωνται οἱ ὁπλῖται ἐν τῷ περιπατεῖν μάλιστα ἐπὶ διάστημα. Ἐὰν γὰρ γένηται χρεία ἢ ἀπὸ ὀκτὼ, ἢ ἀπὸ ἑξκαίδεκα γενέσθαι τὸ βάθος, ἐν τῷ περιπατεῖν συντόμως γίνεται καὶ σφίγγεται.

75. Quoniam contrahi et densari cum brevius tum tutius est, quam rarefieri et dilatari, minime B initio viarum committendum est ut ad sedecim virorum altitudinem contubernia sive manipuli instruantur, sed ad quatuor virorum altitudinem, ut longe amplior hostibus videatur esse exercitus, et graves laxioresque inambulent. Usus enim aliquis si fuerit, ad octo vel sedecim in itinere facile deducentur et addensabuntur.

ος'. Εἰ μέντοι σφιγκτῆς καὶ κοντῆς οὔσης τῆς παρατάξεως χρεία γένηται ἐκταθῆναι τὸ μῆκος αὐτῆς, πολλῆς ὥρας δεῖται εἰς τοῦτο, καὶ οὐκ ἔστι χρειῶδες τῶν πολεμίων ἐγγιζόντων ἐκτείνειν τὴν παράταξιν.

76. Si enim addensata jam contractaque acie, in longitudinem producenda ea est, longo ad id conficiendum tempore opus est : et periculosum est, hostibus jam cominus adventantibus, aciem in longitudinem producere.

οζ'. Οἱ δὲ βανδοφόροι μέχρι μὲν τῆς παρατάξεως καβαλλάριοι μετὰ τῶν ἀρχόντων αὐτῶν, ἐν δὲ τῇ παρατάξει καὶ αὐτοὶ πεζοὶ ὀφείλουσιν ἵστασθαι. C

77. Signiferi usque ad instructam aciem equis vebantur cum præfectis suis, in acie autem pedibus consistere debent.

οη'. Ὥστε ἀνάγκη μηδὲ τῶν ἑξκαίδεκα πλέον τὸ βάθος τῶν ἀκιῶν γίνεσθαι, κἂν ἡ τῶν ἐναντίων βαθυτέρα ἐστὶν, μηδὲ τῶν τεσσάρων ἔλαττον, κἂν εἰ λεπτοτέρα ἐστὶ τῶν ἐναντίων ἡ παράταξις. Ὥστε τὸ μὲν πλέον τῶν ἑξκαίδεκα ἄχρηστον, τὸ δὲ ὀλιγώτερον τῶν τεσσάρων ἀσθενές. Μέση δὲ τάξις τῶν ὀκτὼ σκουταράτων λεγομένων ἥγουν ὁπλιτῶν ἐστιν.

78. Itaque neque plures sedecim virorum altitudine, quanquam hostium acies altior fuerit, instruantur : neque pauciores quatuor, quanquam tenuiores hostium copiæ fuerint. Nam plures esse sedecim inutile est : pauciores quam quatuor esse imbecillum est : media autem acies quatuor scutatorum sive gravium est.

οθ'. Παραγγείλῃς δὲ ὥστε πᾶσαν ἡσυχίαν γενέσθαι ἐν τῷ στρατῷ. Καὶ οἱ ἑκάστης ἀκίας οὐραγοὶ ἐὰν ἕως ψιθυρισμοῦ ἀκούσωσι παρά τινος τῶν μετὰ αὐτῶν, μετὰ τῶν ἀστιλιῶν νύσσουσιν αὐτούς· καὶ ἐν ταῖς συμβολαῖς δὲ ἡγοῦν ἐν τῇ μάχῃ ὠθοῦσι τοὺς ἔμπροσθεν αὐτῶν εἰς τὸ μή τινας τῶν ὁπλιτῶν ἐξ ὀλιγωρίας, ὡς εἰκὸς, ἀπομένειν.

79. Summum silentium ut in exercitu sit providebis : et contubernii uniuscujusque ultimani, si susurrum aliquem suorum audiverint, hastilibus hastarum suarum pungant eos, et in conflictationibus sive in prælio ipso anteriores impellant, ut ne quidam ex illis ignavia retardentur. D

π'. Μὴ ἐπιτηδεύῃς δὲ ἐπὶ πολὺ διάστημα τοὺς πεζοὺς ὡπλισμένους περιπατεῖν, ἀλλὰ καὶ ἐὰν ἐμβραδύνωσιν οἱ ἀντιτασσόμενοι καὶ χρεία τοῦ ἀναμεῖναι τὴν παράταξιν γένηται κατὰ τὸν καιρὸν μὴ ἀναγκάζειν αὐτοὺς ἴσασθαι πολλὰς ὥρας, ἵνα μὴ ὡς βαρεῖαν ὅπλισιν ἔχοντες ἐν τῇ συμβολῇ κεκοπιωμένοι εὑρεθῶσιν, ἀλλὰ παρασκευάζειν αὐτοὺς καθέζεσθαι, καὶ ἀναπαύεσθαι, καὶ ὅταν ἐκ τοῦ πλησίον ἔλθωσιν τότε ἐγείρειν αὐτοὺς, ἵνα ἄκοποι καὶ ἀσύντριπτοι μένωσιν.

80. Ne committas ut longum iter pedites graves ambulent, sed si hostes tardaverint et cunctentur, et permanendum aciei nostræ est, ibi tum diu stare eos non permittes, ne gravi armatura pressi in prælio lassati inveniantur : sed sedes illis requietemque parabis, et quando cominus venerint, tum excitabis eos, ut ne lassati ac debilitati maneant.

πα'. Μηδὲ ἐν καιρῷ μάχης ἔμπροσθεν τῆς παρατάξεως περιπατεῖν, πλὴν τῶν τουρμαρχῶν καβαλλα-

81. Neque prælii tempore ante aciem ambulent ulli, præter turmarchas, equites, mandatores duos,

NOTÆ.

(12) Ἀπὸ ἑκατὸν ἢ διακοσίων. Scribebatur, ἀπὸ ρ' ἧς.

Digitized by Google

campiductores duos, cum stratore uno, quemadmodum a nobis prædictum est, donec hostes propius advenerint, tum unusquisque ad suas partes veniat, et ibi consistat.

82. Si caragum, id est currus sequi oportet aciem, instruatur unius sagittæ jactu ab acie, suasque partes ordine sequatur : tantumque intervalli currus obtineant, quantum acies ipsa occupat, ut ne si eminus ab ea absint, omni subsidio destituantur.

83. Uniuscujusque currus extrema pars cilicio tegatur, ut singuli aurigæ alte consistentes et pugnantes quasi ex propugnaculis et pinnis murorum opem ferant bovesque a conjectis sagittis tuti conserventur. Currus autem balistarios vel sagittarios vel manganicis alacatils refertos, per universum intervallum divides : complures autem ex illis maxime utiles summis in oris instruas.

84. Aurigas autem vel fundarum vel tzicuriorum vel matzuciorum, vel sagittarum conjectores esse oportet : interius autem reliquum ponatur tuldum ut medio in loco curruum atque aciei collocentur, quo si aliqua occasio sese offerat, in duplicatam aciem scutati dividantur, sive equites sive pedites, nullum habeant impedimentum, neque confundantur, si aliquando vis ulla curribus inferatur.

85. Si magnæ hostium copiæ fuerint, et a tergo in currus impetum faciant, et aurigæ illis vel in duplicatam aciem separati obsistere nequeant, paucos tribulos sive murices conjicere oportet : quibus conjectis diligenter observandum est, ut ne per eam viam, sed per aliam viam incedant ut offensio omnis tribulorum vitetur.

86. Hoc autem in primis præcipiendum est, ut die belli pedestri et permista acie instructa si multi equites hostium et longe supra nostrum numerum fuerint, et caragus noster nos non sequatur, ne coneris æquo in loco atque exposito aciem instruere, sed in locis asperis, et difficilibus potius, ut limosis, arundinosis, saxosis, inæqualibus, condensis.

87. Curabis etiam ut quæ a tergo vel a lateribus incursiones fieri possunt, hæ, quemadmodum sæpe admonui, excubiis adhibitis provideantur. Quosdam autem scutatos ad extremas oras curruum et in medio collocabis, ut hostibus resistant incursionem vel in currus, vel in aciem, vel in equites facientibus.

88. Si hostibus adhuc in castris et in confusione

ρίων, καὶ μανδατώρων δύο, καὶ καμπιδουκτώρων δύο, καὶ στράτωρος ἑνὸς, καὶ σπαθαρίου ἑνὸς, ὡς μοι καὶ ἔμπροσθεν εἴρηται, καθ' ἕκαστον ἄρχοντα, μέχρις οὗ ἐγγίσωσιν οἱ πολέμιοι· τότε δὲ ἕκαστον ἀσφαλῶς ἐν τῷ ἰδίῳ μέρει ἔρχεσθαι καὶ ἵστασθαι.

πβ'. Ἐὰν δὲ δόξῃ σοι τὸν καραγὸν ἡγοῦν τὰς ἁμάξας ἀκολουθῆσαι τῇ παρατάξει, τάσσεσθαι αὐτὸ ἀπὸ ἑνὸς τελείου σχιττοβόλου τῆς παρατάξεως· καὶ συνακολουθεῖν ἐν τάξει τῷ ἰδίῳ μέρει, τοσοῦτον δὲ διάστημα κρατεῖν τὰς ἁμάξας, ὅσον ἡ παράταξις ἔχει, ἵνα μὴ ἔξωθεν γινόμενοι ταύτης ἀβοήθητοι μείνωσιν.

πγ'. Ἑκάστην δὲ τῶν ἁμαξῶν κιλικίῳ τὸ ὄπισθεν μέρος σκέπεσθαι, ἵνα καὶ οἱ ἁμαξελάται ἄνω ἱστάμενοι καὶ μαχόμενοι ὡς ἀπὸ προμαχόντων βοηθοῦνται, καὶ οἱ βόες φυλάττονται ἀπὸ τῶν βαλλομένων σχιττῶν, τὰς δὲ βαλιστοφόρους ἁμάξας, ἤτοι τὰς ἐχούσας τὰς λεγομένας τοξοβολίστρας, καὶ τὰ μαγγανικὰ ἀλακάτια, δι' ὅλου μὲν καταμερίζειν τοῦ διαστήματος, τὰς δὲ πλείονας καὶ χρειώδεις ἐν τοῖς ἄκροις τάσσειν.

πδ'. Τοὺς δὲ ἁμαξελάτας ἀκοντιστὰς δεῖ εἶναι ἢ σφενδοβόλων, ἢ τζικουρίων, ἢ ματζουκίων, ἢ σαγιττῶν· ἔσωθεν δὲ τῶν ἁμαξῶν εὐθέως τὸ λοιπὸν τάσσεσθαι τοὔλδον· ἐφ' ᾧ τὸν μέσον τόπον τῶν ἁμαξῶν καὶ τῆς παρατάξεως εὔκαιρον εἶναι. Ἵνα κἂν πρὸς διφαλαγγίαν καιρὸς γένηται μερισθῆναι τοὺς σκουταράτους βιαζομένων τῶν ἁμαξῶν, εἴτε τοὺς καβαλλαρίους, εἴτε τοὺς πεζοὺς, μὴ ἔχωσιν ἐμπόδισμα μηδὲ συγχέωνται.

πε'. Ἐὰν δὲ πολλὴ δύναμις τῶν ἐναντίων ἐκ τῶν ὄπισθεν ταῖς ἁμάξαις ἐνοχλῇ, καὶ οὐκ ἀντέχωσιν οἱ ἁμαξηλάται, ἤ, ὡς εἰκὸς, πρὸς διφαλαγγίαν μεριζόμενοι τότε ῥίπτεσθαι ὀλίγας τριβόλους. Ἀλλ' ἐὰν ῥίπτωνται, παραφυλάττεσθαι (13) χρὴ τοῦ μὴ δι' αὐτῆς τῆς ὁδοῦ ὑποστρέψαι τὸν στρατὸν, ἀλλὰ δι' ἑτέρας, ἵνα μὴ βλάβῃ τις ὑπὸ τῶν τριβόλων γένηται αὐτῷ.

πς'. Καὶ τοῦτό σοι κελεύομεν, ὦ στρατηγὲ, ἵνα κατὰ τὴν ἡμέραν τοῦ πολέμου τῆς πεζικῆς, ἢ καὶ συμμίκτου παρατάξεως, ἐὰν πολλοί εἰσιν οἱ καβαλλάριοι τῶν ἐναντίων, καὶ ὑπὲρ τὸ ἡμέτερόν ἐστι τὸ πλῆθος αὐτῶν, καὶ καραγὸν οὐκ ἀκολουθεῖ τοῖς ἡμετέροις, μὴ ἐπιτηδεύῃς εἰς ἴσον καὶ ἐπίπεδον καὶ παρατάσσεσθαι, ἀλλὰ μᾶλλον εἰς τόπους δυσχερεῖς καὶ δυσβάτους, τουτέστιν ἢ ἑλώδεις καὶ παλματώδεις, ἢ πετρώδεις καὶ ἀνωμάλους, ἢ δασεῖς.

πζ'. Φροντίσεις δὲ καὶ τὰς, ὡς εἰκὸς, κατὰ τοῦ νώτου καὶ τῶν πλαγίων ἐπελεύσεις, καθὰ πολλάκις εἰρήκαμεν, τὸ ἀσφαλίζεσθαι διὰ βίγλας. Ἔχῃς δὲ καὶ ὀλίγους σκουταράτους εἰς τὰ ἄκρα τῶν ἁμαξιῶν, καὶ εἰς τὸ μέσον αὐτῶν· ἵνα ἐὰν χρεία γένηται, ἐπιβοηθοῦσιν ἐκ τῶν, ὡς εἰκὸς, βουλομένων παρενοχλεῖν ἐχθρῶν ἢ αὐταῖς, ἢ τῇ παρατάξει, καὶ τοῖς καβαλλαρίοις αὐτῆς.

πη'. Ἐὰν δέ ποτε δυνηθῇς ἀπληκευόντων (14) τῶν

NOTÆ.

(13) In cod. Laur. παραφυλάττεσθαι· atque ita persæpe in verbis ubi duplex τ occurrit; quod et in aliis antiquis manuscriptis frequenter offendit.

(14) Ἀπληκευόντων. Scribe, ἀκευόντων.

Digitized by Google

πολεμίων καὶ ἐν ἀκαταστάτῳ ὄντων κλέψαι τὸν πόλεμον, καὶ τότε συμβάλλειν αὐτοῖς, πάντως ἂν τὰ μέγιστα βλάψεις αὐτούς.

πθ'. Ἱππεῖς δὲ καβαλλαρίους ἐν ταῖς πεζικαῖς μάχαις μὴ βάλλειν, ἀλλ' ὀλίγους κατὰ τῶν ἄκρων τῆς παρατάξεως· ἄχρι τριῶν ἢ τεσσάρων χιλιάδων λωρικάτων, καὶ χρησίμους τοὺς ὀφείλοντας, εἰ καιρὸς γένηται, τοὺς τρεπομένους τῶν ἐναντίων ἐπιτίθεσθαι καὶ δώκειν. Τὸ γὰρ τούτου πλέον ἐν συμμέτρῳ πεζικῷ οὐκ ἀσφαλές.

ϟ'. Ἐὰν δὲ οἱ ἐχθροὶ καβαλλάριοι ὄντες ἐδειλίασαν πρὸς τὴν πεζικὴν μάχην, καὶ πολλοί εἰσιν οἱ καβαλλάριοι ἡμῶν, ὀλίγοι δὲ οἱ πεζοί, τοὺς μὲν καβαλλαρίους τάσσειν εἰς τὰ ἔμπροσθεν μέρη, ὄπισθεν δὲ τὴν πεζικὴν παράταξιν ἐπακολουθεῖν ἐν τάξει ἀπὸ ἑνὸς ἢ δευτέρου μιλίου τῶν καβαλλαρίων. Καὶ παραγγείλῃς τοῖς καβαλλαρίοις τοῦ διαστήματος τούτου μὴ ἀφίστασθαι τῆς πεζικῆς παρατάξεως. Εἰ δὲ καὶ βαρηθῶσιν ὑπὸ τῶν ἐχθρῶν, διὰ τῶν πλαγίων καὶ τοῦ νώτου τῆς παρατάξεως, ἤγουν ὄπισθεν αὐτῆς προτρέχειν, καὶ μὴ διὰ ὄψεως, ἵνα μὴ διαλύσωσιν αὐτῆς.

ϟα'. Ἐν δὲ τῇ ἡμέρᾳ τῆς συμβολῆς μὴ σπουδάζειν τὴν πεζικὴν παράταξιν, ὡς μοι καὶ πρόσθεν εἴρηται, ἐπὶ πολὺ διάστημα κινεῖν περαιτέρω δύο μιλίων ἔξωθεν τοῦ φοσσάτου, ἵνα μὴ τῷ βάρει καὶ ὁπλίσει συντρίβηται, ἀλλ' ἐὰν ὑπερτίθενται οἱ ἐχθροὶ τὴν τοῦ πολέμου συμβολήν, καθέζεσθαι, καὶ ἀναπαύεσθαι, μέχρις οὗ μέλλωσιν.

ϟβ'. Εἰ δὲ καιρὸς θέρους ἐστὶν καὶ τὰς κασσίδας αὐτῶν ἐπαίρειν, ἵνα διαπνέωνται αἱ κεφαλαὶ αὐτῶν. Οἴνου δὲ ἐν τοῖς τοιούτοις καιροῖς μεταλαμβάνειν τοὺς στρατιώτας οὐ χρή, ἵνα μὴ ἀναζέων οὗτος σκοτώσῃ αὐτούς, ἀλλὰ ὕδωρ ἐν ταῖς ἀμάξαις βαστάζειν, καὶ καθ' ἕνα διδόναι τοῖς δεομένοις ὡς εἰσὶν ἐν τῇ παρατάξει αὐτῶν.

ϟγ'. Πρὸ δὲ τοῦ καιροῦ τοῦ πολέμου δεῖ καὶ αὐτὸν τὸν πεζικὸν στρατὸν ὥσπερ καὶ ἐπὶ τῶν καβαλλαρίων ἐνέγκαι ἐν ἡμέρᾳ μιᾷ ὁμοῦ συνηγμένον. Καὶ εἰ μὲν οἴδασιν οἱ στρατιῶται τὰ διὰ τοῦ νόμου μανδάτα, ἤγουν τὰ στρατιωτικὰ ἐπιτίμια, ὑπομνῆσαι αὐτοῖς ἅπαντα· εἰ δὲ μή γε, εἰπεῖν αὐτοῖς διὰ τῶν ἰδικῶν αὐτῶν ἀρχόντων τῶν ἰδίως ἑκάστῳ τάγματι, ἅπερ εἴρηται ἡμῖν ἐν τοῖς ἀνωτέρω κειμένοις, περὶ τῶν τοῖς ἁμαρτάνουσι στρατιώταις κειμένων ἐπιτιμίων ἐν μάχης καιρῷ· καὶ ταῦτα γινώσκοντας οὕτως ἐλθεῖν ἐπὶ τὴν παράταξιν.

ϟδ'. Οὐκ ἄχρηστον δέ σοι, ὦ στρατηγέ, ὡς ἐν ἐπιτόμῳ καὶ τὴν τῶν παλαιοτέρων τακτικῶν ὑποδεῖξαι διατύπωσιν, ἣν ἐν τοῖς πεζικοῖς τε καὶ τοῖς συμμίκτοις ἐποιοῦντο στρατεύμασιν, ὅτε μάλιστα καὶ πολλοῦ εὐπόρουν στρατοῦ.

ϟε'. Τὴν γὰρ ἅπασαν πεζικὴν στρατιὰν εἰς δέκα ἓξ χιλιάδας καὶ τριακοσίους ὀγδοήκοντα τέσσαρας ἄνδρας ἐμέτρουν ὡς τοῦ ἀριθμοῦ τούτου ἐκ πολλῶν τακτικῶν ἀριθμῶν συνηγμένου καὶ ἁρκοῦντος εἰς τελείαν παράταξιν, καὶ δυναμένου διαιρεῖσθαι καὶ καταμερίζεσθαι ἴσως ἀπὸ τοῦ τοσούτου πλήθους μέχρι καὶ ἑνός, καὶ τὸ μὲν ὅλον τοῦ στρατοῦ ἐκάλουν τελείαν φάλαγγα.

versantibus, bellum inferre et confligere cum illis poteris, magnopere illos lædes.

89. Multos equites in pedestribus præliis ne admisceas, sed in extremis oris acici paucos ad tria aut quatuor millia equites loricatos atque idoneos constitues, qui si occasio ulla tulerit, profligatos jam hostes insequantur atque invadant. In pedestri enim exercitu majorem equitum numerum ponere haud satis tutum est.

90. Si hostes, cum equites sint, pertimescant cum peditibus nostris confligere, multique equites nostri fuerint, pauci autem pedites, equites in anteriore parte collocabis, post autem pedites ad unum aut alterum milliare distantes in acie collocabis, equitibusque mandabis longius hoc intervallo se non separent, aut ab acie pedestri recedant. Quo si ab hostibus premantur, non directe ad aciem pedestrem redeant, sed ad latus se obliquent, et a tergo peditum ad aciem suam perveniant, ne directa declinatione peditum instructa acies dissolvatur.

91. Conflictationis ipsius die pedestres copias, quemadmodum a me prædictum est, longum spatium ultra duorum milliarium intervallum a castris non movebis, ne gravi armatura opprimantur. Quod si hostes prælii conflictationem distulerint, considerant et requiescant donec hostes cominus fuerint.

92. Si æstas fuerit, cassides suas detrahant, ut capita perflentur. Vino abstineant eo omni tempore, ne effervescens caliginem cerebro offundat : sed aquam in curribus gestent, et sigillatim aquam singulis dent, quando ordine in acie consistunt.

93. Ante tempus belli pedestres copias universas uno aliquo die coges in unum locum, quemadmodum equitibus facies ; et si noverunt milites mandata legis, id est multas militares, commonefaciendi horum omnium sunt ; sin minus, per præfectos singulos in unaquaque cohorte sui admoneantur de iis multis, quæ belli tempore futura sunt ; et hæc cum cognoverint, sic ad aciem ipsam veniant.

94. Haud abs re fuerit, brevi tibi antiquæ aciei instruendæ formam demonstrare, quam in pedestribus et permistis copiis usurpabant, quando maxime exercitu magno destituebantur.

95. Universas pedestres copias in sedecim millia trecentos octoginta quatuor viros conferebant, quoniam cum hic numerus ex multis milliaribus conficitur, ad perfectam aciem efficiendam satis valet, et a tanta multitudine dividi partirique usque ad unitatem potest, atque universam aciem perfectam phalangem vocabant.

Digitized by Google

96. Hæc phalanx apud eos in duas æquales partes dividitur, et a fronte phalangis, sive aciei, æqualiter usque ad caudam, id est, extremum agmen, per universam altitudinem hæc æqualis partitio transeat ; et dimidia pars, dextrum cornu, et caput appellatur, in qua octo millia virorum, et centum nonaginta duo viri esse definiuntur ; alteram dimidiam partem lævum cornu, et caudam nominant, æquo et pari numero cum priore contentam, id est, octo mille centum nonaginta duos viros habentem. Medium interstitium, sive inanis ille, ac intermedius locus, umbilicus vocatur, et ostium phalangis, in quo imperatoris statio est, ad intuendum ea quæ in bello fiunt, et omnia, quantum fieri potest, diligenter administranda.

97. Universa hæc acies graves vocantur, qui scutis integris, et hastis, et spathis aliisque armis stipati, graviorem reliquo exercitu armaturam habent.

98. Post hanc duplicem gravium aciem, levium acies instruitur, qui multo expeditiorem levioremque armaturam gravibus gestant, quia facile, quo volunt, percurrere possunt ; in quibus jaculatores sunt. Horum acies dimidia numero esse debet primæ aciei, id est octo millia virorum et nonaginta duo.

99. Deinceps post hanc, equitum acies armatorum instruatur ; horum etiam acies dimidium numeri levium contineat, id est quatuor millia quadraginta sex.

100. Pedites in quatuor partes instruebant, graves simul, et leves, quemadmodum usus postulat, admiscentes ; et ad latera gravium leves in duas partes distribuebant, vel etiam in anteriori parte, quemadmodum imperatori commodissimum videbatur.

101. Equites in duas distribuebant partes, hinc atque illinc, vel a tergo peditum, et post eos, vel ad latera, quemadmodum usus exigebat. Imperator enim, non quemadmodum vult, sed quemadmodum necessario cogitur, instruit exercitum. Nam adversus hostium equitatum, suum instruet, ut laxum spatium habentes non impediantur agere, quæ equites par est ad peditum subsidium defensionemque facere sive ante, sive ad latus, sive post a tergo constituantur.

102. Melius esset, si leves ante gravium aciem, vel, si id necessitas postularet, ad latus instruerentur. Nam si in medio collocantur, inutilia atque irrita illorum arma fiunt ; qui enim jacula vel sagittas, vel fundas vibrant, in altum emittere coguntur, et ex eo suos magis quam hostes lædunt. Tela enim per ante stantium capita deferuntur. Funditores autem impedientur, quia justum spatium ad fundas manibus versandas habere non possunt.

103. Si hostilus plures leves adfuerint, quam

A ις'. Αὕτη δὲ ἡ φάλαγξ παρ' αὐτοῖς εἰς δύο διαιρεῖται μέρη διχοτομουμένη ἐξ ἴσου ἀπὸ τοῦ μετώπου τῆς φάλαγγος, ἤτοι τῆς παρατάξεως, μέχρι τῆς οὐρᾶς διὰ τοῦ βάθους, ἤτοι τοῦ πάχους τῆς τομῆς διερχομένης. Καὶ τὸ μὲν ἥμισυ μέρος δεξιὸν καλεῖται κέρας, καὶ κεφαλή, ἐν ᾧ χιλιάδες ὀκτὼ καὶ ἑκατὸν ἐνενήκοντα δύο ἄνδρες εἶναι ὁρίζονται· τὸ δὲ ἕτερον ἥμισυ μέρος ἀριστερὸν λέγεται κέρας, καὶ οὐρά, ἐν ᾧ καὶ αὐτὸ κατὰ τὸ ἴσον μέτρον τοῦ δεξιοῦ τάττονται ὁμοίως ὀκτάκις χίλιοι ἑκατὸν ἐνενήκοντα δύο. Ἡ δὲ διὰ μέσου γινομένη διχοτομία, ἤγουν ὁ κενὸς τόπος, ὀμφαλὸς καλεῖται καὶ στόμα τῆς φάλαγγος, ἐν ᾧ καὶ ἡ τοῦ στρατηγοῦ γίνεται στάσις, πρὸς τὸ ἐπιβλέπειν τὰ ἐν τῷ πολέμῳ πραττόμενα, καὶ διακυβερνᾷν, ὡς ἐνδέχεται.

B ιζ'. Αὕτη δὲ ἡ πᾶσα παράταξις ὁπλῖται καλοῦνται, διά τε σκουταρίων τελείων καὶ κονταρίων καὶ σπαθίων καὶ τῶν ἄλλων ὅπλων περιπεφραγμένη, βαρυτέραν ἔχοντες ὅπλισιν τοῦ ὅλου στρατοῦ.

ιη'. Ὄπισθεν δὲ ταύτης τῆς διπλῆς τῶν ὁπλιτῶν παρατάξεως τάσσεται ἡ τῶν ψιλῶν λεγομένων στρατιωτῶν ἐλαφροτέραν ὅπλισιν ἐχόντων τῆς πρώτης παρατάξεως, διὰ τὸ εὐχερῶς ἔνθα βούλονται τρέχειν, ἐν οἷς εἰσι καὶ ἀκοντισταὶ, καὶ τοξόται, καὶ σφενδονισταί. Τούτων δὲ ἡ παράταξις εἶναι ὀφείλει ἡμίσεια τὸν ἀριθμὸν τῆς προτέρας παρατάξεως, ἤγουν χιλιάδες ὀκτὼ καὶ ἐνενήκοντα δύο.

ιθ'. Ἐφεξῆς δὲ ταύτης ὄπισθεν ἡ τῶν καβαλλαρίων παράταξις τάσσεται καθοπλισμένων, καὶ τούτων δὲ ὁ ἀριθμὸς ἥμισυ πάλιν ἔχει τῆς τῶν λεγομένων C ψιλῶν παρατάξεως, ἤτοι τετρακισχιλίους τεσσαράκοντα ἕξ.

κ'. Καὶ τοὺς μὲν πεζοὺς εἰς τέσσαρα μέρη ἐποίουν συντάσσοντες ἅμα καὶ τοὺς ὁπλίτας καὶ τοὺς ψιλούς, ὡς ἂν χρεία ἀπαιτεῖ, εἴτε παρὰ τὰ πλάγια τῶν ὁπλιτῶν τοὺς ψιλοὺς εἰς δύο ἑτέρας παρατάξεις, εἴτε ἔμπροσθεν, ἢ ὡς ἂν ἐδόκει τῷ στρατηγῷ χρήσιμον.

κα'. Τοὺς δὲ καβαλλαρίους εἰς δύο διεμέριζον. Ἔνθεν κἀκεῖθεν, ἐπὶ νώτου τῶν πεζῶν ἤγουν ὄπισθεν, ἢ εἰς τὰ πλάγια, ἢ ὡς ἂν ἡ χρεία ἀπῇτει. Ὁ γὰρ στρατηγός, οὐχ ὡς βούλεται, ἀλλὰ μᾶλλον ὡς ἀναγκάζεται, οὕτως καὶ τάσσει τὸ στράτευμα. Πρὸς γὰρ τὸ ἀντιπολέμιον καβαλλαρικὸν, καὶ τὸ ἴδιον στήσει ἵνα εὐρυχωρίαν ἔχοντες μὴ ἐμποδίζωνται D πράττειν ὅσα δεῖ ποιεῖν τοὺς καβαλλαρίους εἰς τὴν τῶν πεζῶν βοήθειαν, εἴτε κατὰ πρόσωπον, εἴτε ἐκ πλαγίου, εἴτε ὄπισθεν κατὰ τοῦ νώτου.

κβ'. Κρεῖττον δὲ ποιήσει τις ἐὰν τῶν λεγομένων ψιλῶν τὴν παράταξιν πρώτην τάξῃ τῆς τῶν ὁπλιτῶν παρατάξεως, ἢ χρείας οὕτω καλούσης ἐκ πλαγίων. Εἰ γὰρ μέσοι ταγῶσιν, ἀνενέργητα αὐτῶν τὰ ὅπλα γίνεται· οἱ γὰρ ἀκοντίζοντες ἢ τοξεύοντες ἢ σφενδονοῦντες ἀναγκάζονται εἰς ὕψος πέμπειν, καὶ μᾶλλον τοὺς ἰδίους βλάπτουσιν ἢ τοὺς ἐναντίους. Καὶ γὰρ τὰ βάλη κατὰ κεφαλῆς ἐνεχθήσονται τῶν ἔμπροσθεν. Οἱ δὲ σφενδονοῦντες ἐμποδισθήσονται τὰς χεῖρας αὐτῶν μὴ δυνάμενοι τὴν σφενδόνην ἑλίσσειν.

κγ'. Ἐὰν δὲ οἱ πολέμιοι πλέον ἔχωσι ψιλοὺς ὑπὲρ

Digitized by Google

τοὺς ἡμετέρους, τότε τοὺς ὁπλίτας ἡγοῦν τοὺς πρωτοστάτας ἔμπροσθεν δεῖ τάσσεσθαι ἔχοντας σκουτάρια μεγάλα ἐπιμήκη, ἅπερ λέγουσι θυρεούς, ὥστε σκέπειν ὅλα τὰ σώματα, ἀνδρὸς ἔχοντα μῆκος. Οἱ δὲ μετὰ τούτους ὄπισθεν τασσόμενοι καὶ μέχρι τῶν ὀπισθίων ὑπὲρ κεφαλῆς ἄραντες τοὺς θυρεοὺς αὑτῶν προσερχέσθωσαν, ἕως ἂν ἐντὸς γένωνται τῶν ῥιπτομένων σαγιττῶν ἢ ῥικταρίων· οὕτως γὰρ ὡς εἰπεῖν κεκαλυμμένοι οὐδὲν πάθωσι κακὸν ἀπὸ τῶν ῥιπτομένων παρὰ τῶν πολεμίων βελῶν.

ρδ'. Εἰ δὲ καὶ ἔνθεν κἀκεῖθεν ἡ παρὰ τῶν ψιλῶν βοήθεια πάρεστιν, οὗτοι πρῶτοι, πρὶν ἢ γένηται ἡ συμβολή, καὶ σαγίττας, καὶ ῥικτάρια ῥίψωσι κατὰ τῶν πολεμίων· ἢ καὶ μετὰ τὴν συμβολὴν τῆς μάχης ἐκ πλαγίων τῆς τῶν ἐχθρῶν παρατάξεως ἐπιτιθέντες πεμπέτωσαν τὰ βέλη κατὰ αὐτῶν, ἵνα συνελαυνόμενοι καὶ ἀπὸ τῶν πλαγίων θορυβοῦνται, καὶ ἐλαττοῦνται πρὸς τοὺς ἔμπροσθεν.

ρε'. Ἐὰν δὲ παράκειται ὀχύρωμα, τοῦτο μᾶλλον τοὺς ψιλοὺς βοηθήσει· βάλλοντες γὰρ τὰ βέλη κατὰ τῶν πολεμίων, καὶ εἰς αὐτὸ κατατρέχοντες, ἀφοβώτεροι γίνωνται. Οἷον εἴτε κρημνώδης τόπος, εἴτε ποταμοῦ ὄχθη, ἢ καὶ βουνὸς ὑπερανέχων, ἢ καὶ ἕτερόν ἐστιν ὀχύρωμα.

ρη'. Ὀφείλει δὲ εἶναι διάστημα εἰς τὰς παρατάξεις, ἵνα ἐὰν οὕτως συμβῇ, καὶ οἱ ψιλοὶ ἐκκενώσωσιν τὰ βέλη αὐτῶν, καὶ οὔπω ἐγένετο ἡ συμβολή, ἀλλ' ἔτι προάγουσιν οἱ πολέμιοι, τότε ἐπιστρέψωσιν οἱ ψιλοὶ μετὰ εὐταξίας, καὶ διελθόντες μέσην τὴν φάλαγγα παράχωρ ἐπὶ τὰ ὄπισθεν διασωθῶσιν. Οὐ γάρ ἐστιν ἀσφαλὲς κυκλεύειν αὐτοὺς ἔξωθεν τὸ στράτευμα, καὶ οὕτω διέρχεσθαι· ἵνα μὴ παρὰ τῶν ἐχθρῶν ἐρχομένων μέσοι γενόμενοι διαπέσωσιν· οὔτε δὲ πόλεις εἰς τὰ ὅπλα μέσους ἐμπίπτειν· πεπυκνωμένης οὔσης τῆς τάξεως, καὶ οὕτω βιάζεσθαι.

ρ'. Ἑτέρας δὲ τάξεις ἔχειν ἐνόπλους καὶ ἑτοίμους, ἵνα ὅταν οἱ ψιλοὶ τὰ ὅπλα κενώσωσι, τότε ἐκεῖνοι ἀντεισέλθωσιν, καὶ τὴν χρείαν ἐκείνων τελέσωσιν.

ρη'. Ἐπειδὴ δὲ τὸ πάχος τῆς παρατάξεως πρὸς τὰς χρείας ἐκτεινομένης αὐτῆς ἐπὶ μῆκος συστέλλεται καὶ λεπτύνεται, δέον ἐστὶν μὴ ἐκτείνειν τὴν παράταξιν τοσοῦτον, ὥστε πᾶσαν ἀσθενῆ καὶ χωρὶς βάθους ποιῆσαι, ἡγοῦν κατὰ τὸ πάχος, φοβούμενον τὰς κυκλώσεις· συμβαίνει γὰρ τοὺς πολεμίους ταχὺ διακόψαι αὐτὴν, καὶ δίοδον ποιῆσαι, καὶ μηκέτι ἀπὸ ἔμπροσθεν μόνον ἐνεργεῖν τὴν κύκλωσιν, ἀλλὰ καὶ διὰ τοῦ μέσου διελθόντας ἀπὸ ὄπισθεν εὑρεθῆναι, καὶ οὕτω ποιῆσαι τὴν βλάβην. Τοῦτο δὲ δεῖ τὸν στρατηγὸν μὴ μόνον φυλαττεσθαι, ἵνα πάθῃ, ἀλλὰ καὶ ζητεῖν ὅπως τοιοῦτον ποιήσῃ κατὰ τῶν πολεμίων.

ρθ'. Πάλιν δὲ μὴ οὕτως πυκνῶσαι τὴν παράταξιν εἰς πάχος, ὥστε εὐκόλως κυκλώσεις παθεῖν παρὰ τῶν πολεμίων, ἀλλὰ μᾶλλον καὶ τοὺς ἐκ πλαγίων καὶ τοὺς εἰς τὸ ὄπισθεν ἑστῶτας στρατιώτας κατὰ τὸ ἴσον ὁπλίσαι τῶν πρωτοστατῶν· οὗτοι γὰρ καὶ δύνανται τὰς κυκλώσεις μᾶλλον ἁπάντων τῶν πολεμίων.

nobis, graves præstites ante collocandi a nobis sunt, qui scuta magna atque oblonga, quos thyreos vocant, ad universi corporis longitudinem tegendam gestent, qui vero ad tergus illorum stant, supra caput anteriorum scuta sua attollentes sic procedant, donec intra sagittarum telorumque jactum fuerint; sic enim tecti, atque ut ita loquar, incrustati, nihil mali ab hostium conjectis telis capient.

104. Si hinc atque illinc nobis levium subsidium fuerit, ii primi, antequam conflictatio fiat, sagittas et tela in hostes conjiciant, vel etiam post inceptam conflictationem ad latera hostium aciei invadentes, tela in eos immittant, ut simul, et ad latera perturbentur, et coram ex adverso labefactentur.

105. Si aliqua munitio adfuerit, ea leves admodum juvabit; nam ad eam concurrentes, in hostes securius, atque audacius tela conjicient, ut si præcipitium aliquod, aut ripa fluvii, aut collis eminens, aut si quid hujus generis munitio fuerit.

106. Inter acies autem intervallum quoddam esse debet, ut si leves omnia tela emiserint prinsquam conflictatio esse cœperit, et adhuc cominus hostes magis ac magis veniunt, cum ordinis quadam conservatione leves redeant, et mediam phalangem pertranseuntes, secure sine offensione ad extremam aciei partem perveniant. Neque enim tutum est, ut circum se per extremas oras aciei obliquent, et sic eo deveniant, ut ne in medio ab hostibus intervenientibus perimantur, neque in arma gravium, densata jam contractaque acie, incidentes vulnerentur.

107. Alias acies armatas, atque instructas habeas, ut quando leves omnia tela conjecerint, tum alii apparati accedant, et loca illorum expleant.

108. Quando altitudo aciei, usu hoc interdum postulante, ad longitudinem ducitur et attenuatur, non eousque diducenda acies est, ut universa sine ulla altitudine imbecillis fiat, ne ab hostibus statim circumcludatur; facile enim continget in bello circumdari hostibus, et transitum quoque per medium aperiri, neque anteriore solum ex parte circumveniri eos, sed etiam irruptione per medium facta, a tergo illos nostrarum copiarum inveniri, atque adeo magnum damnum hostibus nostris inferre. Hoc autem imperator diligenter laborabit, non modo ut devitet, sed etiam ut quærat tale aliquid adversus hostes moliri.

109. Neque vero sic aciem tuam in altitudinem denses, ut facile ab hostibus circumveniatur, sed milites ad latus, atque a tergo stantes, æque ac præstites armabis; ita enim poterunt hostium circumventioni magis obviam ire.

Digitized by Google

110. Solertis prudentisque imperatoris est, in ejusmodi locis, si id assequi possit, aciem instruere, in quibus neque circumcludi, neque ullam aliam offensionem belli accipere possint, quemadmodum a nobis supra commemoratum est. Multum enim belli tempore ad utilitates inveniendas prudentia imperatoria valet, quod divinæ clementiæ benignitatisque donum ego aio, et arbitror imperatoribus a Deo dilectis solere dari, ad virtutem suam amplificandam.

A ρι'. Σοφοῦ δὲ καὶ φρονίμου στρατηγοῦ, τὸ, εἰς τοιούτους τόπους, παρατάσσεσθαι, ἐὰν ἄρα καὶ ἐπιτύχῃ τοῦ σκοποῦ, ἐν οἷς οὔτε κυκλώσεις, οὔτε ἄλλο τι τοιοῦτον δύναται γίνεσθαι, ὡς ἀνωτέρω ἡμῖν δεδήλωται· πολλὰ γὰρ ἰσχύει φρόνησις στρατηγοῦ ἐν καιρῷ πολέμου ἐφευρίσκουσα τὰ συμφέροντα ὅπερ τῆς ἄνωθεν τοῦ Θεοῦ ῥοπῆς καὶ εὐμενείας δῶρον ἐγὼ καλῶ καὶ ἐπίσταμαι τοῖς ἀξίοις τοῦ Θεοῦ διὰ τὴν αὐτῶν ἀρετὴν παρεχόμενον.

111. Quidam olim tempore prælii hostibus jam meliores partes habentibus falsum quoddam, et facetum commentum animo architectabatur, exclamans hostium imperatorem interfectum esse. Quoniam vero tempus jam instans nequaquam celeriter argiebatur omnibus quid facto opus esset excogitandi, hostes procul ab imperatore cum essent, et hoc verum existimarent, repente animo concidebant ; milites autem præfecti sic exclamantis magis animati robur colligentes, quasi vera jam fama esset, alacriores reddebantur. Hoc rumore sic disperso, victor evasit, qui hunc rumorem injecerat. Itaque solertia opportunitate rerum capta, persæpe hostes omnes profligat.

ρια'. Καί ποτέ τις ἐν καιρῷ μάχης τῶν πολεμίων προτερευόντων ψεῦδος ἐφήμισε, βοήσας· Τέθνηκεν ὁ τῶν πολεμίων στρατηγός. Ταύτης δὲ τῆς φωνῆς δοθείσης, ἐπειδὴ ὁ καιρὸς ὀξὺς ὢν οὐκ ἐδίδου τάχος τὸ δέον πᾶσι νοεῖν, οἱ μὲν πολέμιοι πόρρω τοῦ ἰδίου B ὄντες στρατηγοῦ οἱ μὲν ἀπέγνωσαν, οἱ δὲ τοῦ φημίσαντος στρατηγοῦ θάρσος ἀναλαβόντες, ὡς ἀληθοῦς τῆς φήμης, εὐψυχότεροι ἠγωνίζοντο· καὶ οὕτω τῆς σεσοφισμένης φήμης κατισχυσάσης τὴν νίκην ὁ φημίσας ἤρατο. Οὕτως ἀγχίνοια ἐπικαίρως τῶν πραγμάτων ἐπιλαμβανομένη πολλάκις κατεστρατήγησε σοφισαμένη τοὺς ἀντιπάλους.

112. A recentioribus rei militaris peritis præceptum est, ut hostibus acies tua instructa minus splendida videatur, sed armorum fulgorem usque ad ipsum belli tempus occultet, propter pervagatam apud alios ea de re famam. Onosander autem in scriptis suis de re militari, contrarium potius præcipere videtur, ut omnino illustris splendidaque C acies nostra hostium aciei videatur.

ριβ'. Εἴρηταί τε τοῖς νεωτέροις περὶ τοῦ μὴ λαμπρὰν φαίνεσθαι τοῖς πολεμίοις τὴν σὴν παράταξιν, ἀλλὰ κρύπτειν τῶν ὅπλων τὴν στίλψιν, ἕως αὐτῆς τῆς διὰ χειρῶν συμβολῆς, διὰ τὴν ἐπικρατοῦσαν τοῖς ἔθνεσι φήμην. Ὀνήσανδρος δὲ καὶ αὐτὸς στρατηγικὸν συντάξας λόγον οὐχ οὕτω λέγειν, δοκεῖν, ἀλλὰ μᾶλλον λαμπρὰν κελεύει τὴν παράταξιν φαίνεσθαι πρὸς τὴν τῶν πολεμίων παράταξιν.

113. Ac mihi hic videtur ignorare, talem rumorem solere admodum diffundi, ea quæ ante prælium gerenda sunt omnia prætermittere, et ipso conflictationis tempore, quemadmodum recentioribus, et mihi quoque videtur, subito et confertim fulgorem armorum demonstrare ; major enim perturbatio animorum invehitur, quando non eminus venientium armatorum fulgor aciem oculorum perstringit, et consuetum familiaremque aspectum habet, sed quandoque videbatur, et putabatur acies valde sordida esse, ea subito et de improviso splendida atque illustris apparet : hoc enim divini præsidii signum, atque omen hostes capient. Utile D autem tibi fuerit, imperator, ipso belli die, aciem tuam non ante demonstrare, priusquam illorum copias intellexeris, quomodo et quali cum forma instruantur.

ριγ'. Ἐμοὶ δὲ δοκεῖ, ἢ ἀγνοεῖν ἐκεῖνον τότε τὴν τοιαύτην φήμην ὡς νεωτέραν γενομένην, ἢ τὰ μὲν πρὸ τῆς συμβολῆς ἀφεῖναι, κατὰ αὐτὴν δὲ τὴν συμβολήν, καὶ αὐτὸς σὺν τοῖς νεωτέροις καὶ ἡμῖν ὁμοίως παραγγέλλει λαμπρὰ τὰ ὅπλα δεικνύειν ἀθρόως. Κατάπληξις γὰρ μᾶλλον γίνεται, οὐχ ὅταν μακρόθεν ἐρχομένων λαμπρῶν τῶν ὁπλιτῶν ἡ θέα συνήθως γίνηται, ἀλλ' ὅταν ἡ δοκοῦσα καὶ φαινομένη σευγνὴ παράταξις ἀθρόον καὶ παρ' εὐθὺ ἀναδειχθῇ ἐξ ἀπροσδοκήτων λαμπρά· τοῦτο γὰρ μᾶλλον καὶ θείας βοηθείας σημεῖον τάχα ὑπονοήσουσι καθ' ἑαυτῶν οἱ πολέμιοι. Χρήσιμον δέ σοι, ὦ στρατηγέ, καὶ τὸ μὴ πρότερον τὴν σὴν παράταξιν δεικνύειν τοῖς πολεμίοις ἐν ἡμέρᾳ πολέμου, πρὶν ἂν τὴν ἐκείνων μάθῃς πῶς καὶ ὁποίῳ σχήματι παρετάξετο.

114. Aliorum in prælio dimicantium curam habebis, quemadmodum tibi ante explicuimus, potius quam tu ipse in periculum aut discrimen turbulentius incurras, ubi nulla necessitatis vis hoc a te postulat ; imo vero omnino a manibus conserendis, et fortitudine tua demonstranda abstinebis. Neque enim ita exercitum adjuvabis prælians, ut lædes moriens, quod in manibus conserendis ab omnibus

ριδ'. Σὲ δὲ χρὴ κατὰ τὸν καιρὸν τῆς μάχης προνοεῖν μᾶλλον τῶν μαχομένων, καθὼς σοι καὶ πρόσθεν ὑπεθέμεθα, ἢ τολμηρότερον ἄλλεσθαι, καὶ ταῖς χερσὶ συμπλέκεσθαι, ὅταν μὴ ἀνάγκης ἐστὶ καιρός· μᾶλλον δὲ τὸ παντελῶς ἀπέχεσθαι διὰ χειρῶν τοῖς πολεμίοις συμπλέκεσθαι, καὶ ἂν ὑπέρβλητον ἀνδρείαν ἐπιδείξῃς. Οὐ τοσοῦτον γὰρ ὠφελήσεις τὸ στράτευμα μαχόμενος (15), ὅσον ἀποθανὼν βλάψεις

NOTÆ.

(15) *Τὸ στράτευμα μαχόμενος.* Scribebatur, τὸ στράζουμα χείμενος.

Digitized by Google

αὐτό· ὅπερ τοῖς συμπλεκομένοις οὐκ ἀπροσδόκητόν ἐστιν. Εἰ γὰρ διὰ φήμης μόνης ψευδοῦς ὡς ἀπὸ μικροῦ ἡμῖν εἴρηται, ὅτι πέπτωκεν ὁ στρατηγὸς, οἱ τοῦ ἔθνους αὐτοῦ ἀπώλοντο, πόσῳ μᾶλλον, εἰ τῇ ἀληθείᾳ γένηται, τοῦτο μεγάλη παρακολουθήσει βλάβη τῷ τοῦ πεσόντος ἀληθῶς στρατηγοῦ στρατεύματι.

ριε'. Μᾶλλον δὲ ἐν ἀσφαλείᾳ ὀξέως καὶ βλέπε καὶ πράττε τὰ δέοντα. Τότε γὰρ μᾶλλον θαυμάζεται στρατηγὸς, ὅταν κατὰ τὸ ὀξὺ τῆς ἀνάγκης τὰ πρέποντα διοικήσῃ, ὅτε ἐν ἀδείᾳ ὢν τὰ εἰκότα προβουλεύσεται.

ριζ'. Εἰ δὲ χρὴ τότε καὶ κατὰ τὴν αὐτὴν ὥραν λόγοις παραθαῤῥύνειν σε τοὺς στρατιώτας, καὶ ἐπαγγελίαις ταῖς ἀπὸ τῆς βασιλείας ἡμῶν τοῖς ἀριστεύουσιν ἀποκειμέναις, καὶ τὴν ἀπὸ Θεοῦ βοήθειαν παροῦσαν. Εἰ δέ τι πλεῖον, καὶ σημεῖα τινὰ ἐπινοεῖν, καὶ δεικνύειν, καὶ ὑποτίθεσθαι φανέντα καὶ τὴν ἡμετέραν σημαίνοντα νίκην, καὶ ἕτερά τινα ποιεῖν ἅπερ τὸ σύνταγμα οὐκ ἐπιδέχεται νῦν, ἐν δὲ ταῖς συνηγμέναις γνώμαις κατὰ τὸ τέλος τοῦ συντάγματος εὑρίσκων ἀναμάθοις, ὅσα σε δεῖ καὶ πρὸ τοῦ πολέμου καὶ ἐν τῷ πολέμῳ καὶ μετὰ τὸν πόλεμον ἢ λέγειν ἢ πράττειν. Καὶ διὰ τούτων καθυπέρτερον τῶν πολεμίων ἀνοδείκνυσθαι. Τοιαῦτα καὶ περὶ τῶν ἐν αὐτῷ τῷ πολέμῳ πράξεων ὡς ἐν συντόμῳ ἡμῖν εἴρηται. Ταῦτα μὲν οὖν περὶ τῶν πολεμικῶν παρασκευῶν. Ὅσαι τε καβαλλαρικαὶ, καὶ ὅσαι πεζικαὶ, εἰρήσθω ἡμῖν ὡς ἐν συνόψει.

ΔΙΑΤΑΞΙΣ ΙΕ' (16).

Περὶ πολιορκίας πόλεων.

α'. Ἐξῆς δὲ καὶ περὶ πολιορκίας σοι χρεὼν διατάξασθαι, ὦ στρατηγὲ, ἅπερ ἔκ τε παλαιῶν καὶ νέων ἀνθολογήσαμεν, καὶ ὅσα δεῖ πράττειν ἢ πολιορκοῦντα πολεμίους, ὡς εἰκὸς, ἢ πολιορκούμενον ὑπ' αὐτῶν, ὡς ἂν καὶ τούτων μετρίαν πεῖραν ἔχοις, δι' ἧς δυνήσῃ προσεπινοῆσαι λαβόμενος ἀφορμῆς καὶ ὅσα μὴ ἐνταῦθα μὲν εἴρηται, δυνατὰ δὲ γενέσθαι, τῆς χρείας κατά τε καιροὺς καὶ τόπους διδασκούσης τὰ ἕκαστα.

β'. Πολιορκία τοίνυν στρατηγοῦ ἀνδρείαν ἐπιζητεῖ καὶ διάνοιαν ὀξεῖαν καὶ στρατηγικὴν καὶ ἔμφρονα, καὶ παρατεταμασίας μηχανημάτων, ἀσφάλειαν δὲ ἐν τῷ παρακαθῆσθαι ἢ πόλει ἢ φρουρίῳ ἢ ὀχυρώματι, καὶ μετὰ πολλῆς προσοχῆς ταύτην γίνεσθαι τὴν ἀσφάλειαν.

γ'. Χρὴ οὖν σε, ὦ στρατηγὲ, παρακαθεζόμενον τινὶ τῶν εἰρημένων ἐν ᾧ τόπῳ καθίζῃ φοσσάτον ὀχυρὸν ποιεῖν, ἤτοι ἢ τάφρον βαθεῖαν ἢ ἀπὸ κτισμάτων ἢ λίθων ἢ πλίνθων ἢ ξύλων ἢ ὡς ἐπινοήσεις περιφράσσειν σεαυτὸν ἀπὸ τῶν πολεμίων, καὶ βίγλας πολλὰς καὶ ἀκριβεῖς ἔχειν, καὶ μάλιστα εἰς τοὺς ἀνυποπτήτους τόπους, ἵνα μὴ πολιορκούμενοι. Ἢ οἱ ἔξωθεν ὄντες πολέμιοι ἄφνω ἐπερχόμενοι, ἢ ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ κινδύνους τῷ στρατῷ προσάγουσιν. Ὅπερ γέγονε πολλάκις ἐπὶ τῶν πολιορκουμένων πόλεων.

A exspectatur. Si enim solo rumore falso, quemadmodum ante admonuimus, interfecti imperatoris, universa natio hostium profligata est, quanto magis vera jam fama, ingens inferetur exercitui tuo, imperatore interfecto, clades.

115. In tuto igitur collocatus, vide et gere quæ facto opus sunt. Tunc enim maximo imperator in honore est, quando pro necessitatis celeritate idonee omnia administrat, et securus, quæ fieri possunt consilia anticipat.

116. Si quid opus sit, eo ipso tempore oratione milites animandi sunt, et præmiis, quæ strenue se gerentibus in regno nostro reposita sunt, excitandi. B Admonendi etiam sunt, Dei præsidium nobis adesse, harum rerum signa quædam etiam apparere, quæ nobis divinitus victoriam portenderent. Alia quoque permulta facies, quæ hic liber hoc loco non recipit ; in fine autem libri, ubi de diversis sententiis collectis agitur, invenies et cognosces quæ tibi ante bellum, in bello, post bellum, vel dicenda vel facienda sunt, ut superior hostibus esse possis. Atque hæc quidem a nobis, quam paucissimis potuimus de rebus in bello gerendis dicta sint. De bellico igitur apparatu tum equestri tum pedestri, satis plane et brevi explicavimus.

CONSTITUTIO XV.

De obsidione.

1. Deinceps de obsidione, quæ ex antiquis recentioribusque rei militaris scriptoribus delibavimus, demonstrandum tibi est, quæ agenda tibi sunt, si vel hostes obsideas, vel ab illis obsessus fueris, ut istorum mediocrem peritiam habeas, qua effici abs te possit, ut, quæ hoc loco memorata non sunt, fieri tamen possunt, usu omnia tum locis, tum temporibus idoneis monstrante, horum non omnino rudis videaris.

2. Obsidio igitur fortem requirit animum celeritatemque mentis, et peritiam militarem, et machinationum multarum copiam præparatam, firmitatem in obsidenda civitate, castello, aut munitione, et D multa eum cautione ac diligentia firmitatem hanc parari oportet.

3. Dum igitur aliquid ex prædictis obsides, fossatum munitum reddes, vel fossa alta, vel aliqua exædificatione lapidum, laterum, aut lignorum, vel quemadmodum optime excogitare possis ad teipsum ab hostibus defendendum. Excubias multas diligentesque habeas iis in locis, ubi suspicio minima sit, ut ne obsessi cives, vel externi hostes subito irrumpentes vel noctu vel interdiu periculum exercitui inferant, quod ab obsessis civitatibus fieri solet. Nam qui foris obsident, nesciunt quid cives intus

NOTÆ.

(16) In cod. Laur. est cap. 20 et sic inscribitur : Δέοντος ἐν Χριστῷ βασιλεῖ αἰωνίῳ βασιλέως Ἰωμαίων περὶ πολιορκίας πόλεων, πῶς δεῖ ταύτας πολιορκεῖν.

Digitized by Google

obsessi moliantur; ii autem e muro vident, quid alii contra eos suscipiant. Itaque exercitum tuum, quam tutissime potes, conservabis.

4. Bene feceris, si juxta portas aut portulas minutas civitatis, aut castelli, vel ad vias ceterarum munitionum milites collocaveris, qui repentinas hostium incursiones prohibeant. Noctu autem potissimum ejusmodi præsidia habeas; tum enim incursiones maxime fieri solent.

5. Quod si noctu hanc obsidionem adhibeas, terribilior eris iis qui intus obsidebuntur: neque enim cum tenebris omnia circumfunduntur, cernunt quid geratur, magisque animo perturbantur, viresque illorum elanguescunt; multaque et gravia noctu fieri credunt, quæ adeo ne tu ipse quidem excogitaveris. Quidquid enim noctu fit, quamquam leve sit, obsessis tamen terribilius videri solet, itaque celerius remittunt, et ad deditionem seipsos tradunt. Si enim poteris efficere ut unus atque alter murum conscendat, qui intus sunt putabunt universum exercitum in mœniis esse, atque adeo retrocedent, et destituta mœnia relinquent.

6. Iis in rebus alacritas et strenuitas imperatoria ostendenda est: hæc enim laboriosa obsidionis facta, suis manibus suscipienda gerendaque sunt. Exercitum enim pudor invadet, ut ne jam amplius quasi imperatus, sed sua voluntate, quasi amicus, ad res difficiles gravesque alacrius suscipiendas se ipse impellat.

7. Qui obsidionem inchoat, accurate considerabit num rerum necessariarum aditum illis intercludere possit, vel aquam, vel aliquid ejus generis: sin istis copiosius abundaverint, tum bellicæ machinationes admoveantur.

8. Perterrefacies admodum hostes, si optimos quosque milites et præfectos, ætate atque aspectu liberales, armisque fulgentes, ex aliquo loco prope murum aut munitionem, iis qui obsessi sunt transeundo demonstres: reliquos, qui magis plebei fuerint, cum cæteris impedimentis eminus locabis, ut ne hostes utrum homines, an jumenta fuerint plane internoscant: ita fiet, ut omnia, quæ vident, homines esse existiment, talesque quales eminus euntes armatos vident.

9. In primis enim utile est multos loricatos, et cataphractos videri esse obsessis, eosque qui galeas et cassides non habent, aliquo artificio efficere, ut loricati et cataphracti esse videantur, ut omnes, si tales esse putentur, magnum timorem obsessis apportent.

10. Castra eminus in longitudinem ponantur, ut

Οἱ γὰρ ἔξωθεν οὐκ οἴδασι τί μελετῶσιν οἱ ἐντός· οἱ δὲ ἔσωθεν ἀπὸ τοῦ τείχους βλέπουσιν ὅτι ἂν καὶ πράττειν μέλλῃς κατὰ αὐτῶν. Διὸ πρέπον σοι τὸ ἴδιον ἀσφαλίζεσθαι στράτευμα.

δ'. Κρεῖττον δὲ ποιήσεις, ἐὰν καὶ παρὰ τὰς πόρτας, ἢ εἰς τὰ παραπόρτια τῆς πόλεως, ἢ κάστρου, ἢ τὰς διεξόδους ἑτέρου ὀχυρώματος παρακαθίσεις τινὰς στρατιώτας, οἵ τινες τὰς αἰφνιδίους καταδρομὰς τῶν πολεμίων ἀποκωλῦσαι δύνανται καὶ μάλιστα ἐν ταῖς νυξί, χρή σε τὴν τοιαύτην ἔχειν ἀσφάλειαν· τότε γὰρ μᾶλλον αἱ τοιαῦται καταδρομαὶ γίνονται.

ε'. Ἀλλὰ καὶ αὐτὸς ἐὰν ἐν νυκτὶ ἐπιβάλῃς τὴν πολιορκίαν, φοβερώτερος γενήσῃ τοῖς ἔσωθεν πολιορκουμένοις· οὐ γὰρ δύνανται ὁρᾷν τὰ γινόμενα διὰ τὸ σκότος, καὶ πλέον ταράσσονται, καὶ τὰ φρονήματα αὐτῶν ὑποχαλῶσιν, καὶ πολλὰ δεινὰ κατὰ τὴν νύκτα γίνεσθαι ὑπονοοῦσι κατ' αὐτῶν, ὅσα πολλάκις οὐδ' αὐτὸς ἐπινοεῖς. Πᾶν γὰρ τὸ ἐν νυκτὶ γινόμενον, κἂν μικρόν ἐστι, φοβερώτερον γίνεται τοῖς πολιορκουμένοις· διὸ καὶ ταχύτερον ὑποχαλῶσι, καὶ τὴν ὑποταγὴν ἀσπάζονται. Εἰ γὰρ ἰσχύσεις ἵνα που ἢ δύο ἐπὶ τὸ τεῖχος ἀναβιβάσαι, νομίσουσιν οἱ ἐντὸς πᾶν στράτευμα ἐπὶ τὰ τείχη ἀναβῆναι, καὶ τραπήσονται, καὶ ἔρημα καταλείψουσι τὰ τείχη.

ς'. Ἐπὶ δὲ τῶν τοιούτων δεῖ τὴν εὐψυχίαν τοῦ στρατηγοῦ καὶ ἀνδρείαν φαίνεσθαι. Ἵνα καὶ αὐτὸς τῶν τοιούτων ἐπιπόνων τῆς πολιορκίας ἔργων ἅπτηται χερσὶν οἰκείαις. Μᾶλλον γὰρ ὁ στρατὸς ἐντραπήσεται· καὶ οὐκ ἔστι ὅπως ὡς ἐπιταττόμενοι, ἀλλ' ὡς ἐξ ἴσου φίλῳ συμπονοῦντες ἐπὶ τὰ δυσχερῆ τῶν ἔργων ἐπιδώσουσιν ἑαυτοὺς προθυμότερον.

ζ'. Χρεὼν δέ σε ἀνασκοπῆσαι ἀκριβῶς καὶ τῆς πολιορκίας ἀρχόμενον, πρῶτον μὲν ἐὰν δυνατόν ἐστι ἀτενοχωρεῖν τοὺς ἐντὸς περὶ τῶν ἀναγκαίων εἰσόδον· τοῦτ' ἔστιν, ἢ περὶ τὸ ὕδωρ, ἢ περὶ τὴν τροφήν. Εἰ δὲ ταῦτα ἀφθόνως ἔχουσι, τότε μηχαναῖς κεχρῆσθαι πολεμικαῖς.

η'. Καταπλήξεις δὲ αὐτούς, ἐὰν τοὺς ἀρίστους τῶν στρατιωτῶν ἢ ἀρχόντων ἐπιλεξάμενος ἡλικίᾳ καὶ θεωρίᾳ τελείους, καὶ ὅπλοις ἀστράπτοντας, τούτους ἐκ τοῦ πλησίον τοῦ τείχους ἢ τοῦ ὀχυρώματος ἐκ παρόδου ὑποδείξῃς τοῖς πολιορκουμένοις. Τοὺς δὲ ὑποδεεστέρους (17) μετὰ τῆς ἀποσκευῆς (18) μηκόθεν ἐκτάξεις ἵνα μὴ δύνωνται οἱ πολέμιοι διακρίνειν αὐτοὺς, ἢ ἄνδρα ἢ ἄλογον· οὕτως γὰρ πάντας τοὺς φαινομένους ἄνδρας εἶναι νομίζουσι, καὶ τοιούτους οἵους εἶδον πλησίον ἐλθόντας.

θ'. Πάντως δὲ χρήσιμόν ἐστιν τὸ πολλοὺς λωρικάτους καὶ καταφράκτους φαίνεσθαι τοῖς πολιορκουμένοις, ἀλλὰ καὶ τοὺς μὴ ἔχοντας λωρίκια καὶ κασσίδας δι' ἐπιτηδεύσεως δεικνύειν ὡς λωρικάτους καὶ καταφράκτους ἵνα πάντες τοιοῦτοι φαινόμενοι δειλίαν ἐμποιῶσι τοῖς ἔσωθεν.

ι'. Καὶ τὰ ἀπλίκτα δὲ ἀπὸ μήκοθεν ποίει, ἵνα

NOTÆ.

(17) Ὑποδεεστέρους. Antea, ὑπὸ δὲ ἑτέρους.

(18) Ἀποσκευῆς. Scribebatur, ἀπὸ σκυνῆς.

Digitized by Google

πάντα τὰ ὁρώμενα παρὰ τῶν ἐντὸς στρατιῶται φαί- A omnia, quæ videri possunt, ab iis militibus qui
νωνται. intus sunt cernantur.

ια'. Αἱ πρότερον μὲν δηλοποιεῖν τοῖς ἐν τῇ πόλει ἢ τῷ φρουρίῳ, καὶ προβάλλεσθαι εἰς ἐπιζήτησιν τῆς διαλύσεως πράγματα εὐχερῆ, ἤτοι ἢ ἅλογα αὐτῶν, ἢ τινα ἅρματα, ἢ ἕτερά τινα τῶν ὑπαρχόντων αὐτοῖς πραγμάτων φορητά· ἵνα τῇ εὐχερείᾳ τῶν προτεινομένων καὶ τῇ ἐλπίδι τῆς σωτηρίας εἰς διχόνοιαν ἔλθωσιν, καὶ χαυνώτεροι γένωνται πρὸς ἀντικατάστασιν καὶ κινδύνους.

11. Primo igitur iis qui in civitate aut in castello sunt significandum est, et ad inquisitionem quamdam deditionis proponendum aliquid clemens ac facile, ut cum jumentis, aut curribus, aut rebus utensilibus acceptis discedant, ut rei propositæ æquitate, et salutis spe animi illorum distrahantur, et ad resistendum periculaque obnauda omissiores sint.

ιβ'. Τὸ γὰρ εὐθέως ἐκ προοιμίων σκληρὰ καὶ βαρεῖα προτείνειν οὐκ ἔμφρονος κρίνομεν στρατηγοῦ. Τῇ γὰρ δυσχερείᾳ καὶ τῷ βάρει τῶν προτεινομένων λόγων ἐλαφρότερον λογίζονται τὸν κίνδυνον οἱ πολιορκούμενοι, καὶ διὰ τοῦτο εἰς ἕνωσιν καὶ ἀπόνοιαν ἔρχονται.

12. Statim enim a principio dura et gravia proponere, minime prudentis imperatoris est. Nam molestia, et difficultate propositæ orationis minorem putabunt laborem, minusque periculum, obsideri; ac propterea ima ac firma mente ad resistendum se præparent. B

ιγ'. Πρὸ πάντων δὲ πρέπον ἐστὶ καὶ μάλιστα ἐν ταῖς μακραῖς πολιορκίαις ἐντρεπίζειν σε τὰ ἐπιτήδεια, ἵνα ἀστενοχωρήτως καθέζηται ὁ στρατὸς μηδενὸς λειπόμενος.

13. In longis obsidionibus ante omnia commeatum idoneum cæteraque necessaria parabis, ut nulla re defectus exercitus, sine ulla angustia, ac perturbatione obsideat.

ιδ'. Ἀφορίσεις δὲ καὶ τοὺς ἀνθρώπους τοὺς ἐπὶ ἑκάστῃ χρείᾳ ἰδιαζόντως ἐργάζεσθαι καὶ κάμνειν τοῖς πόνοις ὀφείλοντας, καὶ διορίσαι τις ποίαν χρείαν ποιεῖν ὀφείλει.

14. Segregabis etiam ad omnem usum singulorum negotiorum homines ad ea elaboranda idoneos, assignabisque quis quodque opus susceperus sit.

ιε'. Ὅταν δὲ ἀπάρξῃ τοῦ πρυβάλλειν εἰς πολιορκίαν, οὐ χρή σε πάντα τὸν στρατὸν καθ' ἑκάστην ἡμέραν ἄγειν εἰς πόλεμον, ἵνα μὴ πάντες ὁμοῦ ἀποκάμωσιν· ἀλλ' εἰς μέρη διάφορα αὐτὸν διαμερίσῃς καὶ ἀφορίσῃς, πόσοι καὶ πόσας ὥρας τῆς ἡμέρας ὀφείλουσι κάμνειν, καὶ διακρίνῃς τίνες οἱ ἐν τῇ νυκτὶ καὶ τίνες οἱ ἐν τῇ ἡμέρᾳ. Δεῖ γὰρ καὶ ἐν ταῖς ἡμέραις ὀχλεῖσθαι τοὺς πολιορκουμένους διὰ πολέμου ἐκ διαδοχῆς ἀλλήλων, καὶ ἐν ταῖς νυξὶν ὁμοίως διὰ φόβου, ἐπὶ τοῦτο ἀφοριζομένων τινῶν, καὶ τοιούτων διὰ νυκτὸς τοὺς φόβους οἵους καὶ ὅσους ἐπινοήσεις.

15. Ubi semel obsidionem tuam inchoaveris, universum exercitum quotidie ad bellum ne ducas, ut ne omnes fatigentur, sed in diversas partes exercitum divides, assignabisque, qui et quot horas die elaborabunt; describesque, qui noctu, et qui interdiu in laboribus erunt. Interdiu enim obsessi bello assiduo successione militum vexandi sunt, noctu autem similiter terroribus quibusdam sunt exagitandi, delectis quibusdam viris ad hoc institutis, quales et quot ad perterrefaciendos eos possis. C

ις'. Εἰ δὲ στρατὸν ἔχεις πολὺν, ὥστε δύνασθαι καὶ ἐν νυκτὶ τῆς αὐτῆς ἔχεσθαι πολιορκίας, καλῶς ποιήσεις· ἐὰν τοῦτον διέλῃς, εἰς ὅσα συνορᾷς μέρη. Καὶ οἱ μὲν αὐτῶν ἐπὶ ὥρας τῆς νυκτὸς ὡρισμένας κοιμῶντοι, οἱ δὲ προσβάλλουσιν καὶ πάλιν οἱ καμόντες τῇ προσβολῇ ὑπνοῦσιν, καὶ οἱ πρώην ὑπνώσαντες πολιορκοῦσιν, καὶ τοῦτο ἐκ διαδοχῆς ἀλλήλων καὶ ἐν νυκτὶ, καὶ ἐν ἡμέρᾳ ἀνενδότως ποιεῖς, ὥστε μὴ ἐᾶσαι κἂν μικρὰν ἄνεσιν τοὺς πολιορκουμένους λαβεῖν. Οὕτως γὰρ ἐκλυόμενοι ὑπό τε τῆς ἀγρυπνίας καὶ τῆς συνοχῆς τοῦ καμάτου εὐχερῶς διὰ τῶν προσβαλλομένων καὶ μηχανημάτων καὶ λογισμῶν ἢ ἑαυτοὺς ἐπιδώσουσιν ἑκουσίως, ἢ καὶ ἄκοντες ἁλώσονται μικρὸν ἀμελήσαντες, διὰ τὸ ἀνένδοτον τῶν ἐπερχομένων αὐτοῖς κινδύνων.

16. Si exercitum tam magnum habeas, ut noctu etiam in obsidione versari possis, bene feceris, si exercitum tuum in quot tibi commodum videbitur partes dividas, et alii quidem certum noctis tempus dormiant, alii invadant, et qui ante in labore obsidionis versabantur, requiescant; qui dormierunt, ad laborem obsidendi se præparent, ut alternis tum die, tum nocte sine ulla intermissione illos vexes, ut ne vel minimam quidem requietem obsessi capiant. Itaque nimiis vigiliis, laborumque molestiis pressi, facile adhibitis machinationibus, atque artificiis, vel voluntarie seipsos tradent, vel inviti capientur, si vel parum omissiores fuerint, propter imminentium periculorum assiduitatem. D

ιζ'. Ἡ τὸ πολλάκις γινόμενον διὰ προδοτῶν μᾶλλον καὶ εὐχερέστερον αὐτοὺς παραλάβῃς ἀνυπονοήτου τόπου ἢ τρόπου σοι δ' αὐτῶν ὑποδειχθέντος.

17. Ac proditoribus, si qui sunt, in consilio adhibitis, melius, et facilius illos capies, si eos adoriaris ex inopinato aliquo loco, aut modo per proditores demonstrato.

ιη'. Ἐν δὲ ταῖς τοιαύταις ἐκ διαδοχῆς πολιορκίαις καὶ αὐτὸς, ὦ στρατηγὲ, ὀλίγον χρόνον ἀναπαύου καὶ σύντομον, ἵνα νήφῃς πρὸς τὰ ἁρμόζοντά σοι διατάγματα.

18. In hujusmodi obsidionum vicissitudine, ipse quoque, imperator, paululum et exigue requiescas, ut ad idoneos labores administrationesque tuas vigiles.

Digitized by Google

19. Si exercitum tuum fortem adhuc, et strenuum in plures partes diviseris, et unamquamque partem præparaveris, ut scalas ad muros adhibeant, optime feceris; undique enim cum irruptio in obsessos fiat, in maguam anxietatem animorumque perturbationem conjiciuntur, tumque potissimum cum præter scalas alias quoque machinationes adhibueris, ut arietes, testudines, turres, et si quod præterea obsidionale instrumentum fuerit: si enim simul machinationes adjunxeris, et scalas quoque ad muros adduxeris, omni ex parte, qui intus obsessi sunt sollicitabuntur; si enim reliquorum murorum partes negligant, et adversus machinationes se totos conferant, qui scalas adhibent, nemine violenter impediente, facile murum conscendent: sin ad scalas machinationesque impediendas se diviserint, tum qui obsidionalia instrumenta adhibent, impetuosiores, et vehementiores insultus facient, neque obsessi poterunt utrumque impetum facile declinare.

A ιθ'. Ἐὰν δὲ ἀνδρειότερον διακείμενος κελεύσῃς διαμερισθῆναι εἰς πολλὰ μέρη τὸν στρατὸν, καὶ ἕκαστον μέρος προσφέρειν σκάλας εἰς τὸ τεῖχος, κρεῖττον ποιήσεις· ἐν κύκλῳ γὰρ γινομένης τῆς προσβολῆς ὁμοῦ εἰς ἀμηχανίαν καὶ ὀλιγωρίαν οἱ πολιορκούμενοι ἐμπεσοῦνται. Μάλιστα ὅταν μετὰ τῶν σκαλῶν καὶ τὰ ἕτερα μηχανήματα προσβάλλῃς, οἷον κριοὺς, ἢ χελώνας, ἢ πύργους, ἢ ἕτερόν τι πολιορκητικὸν ὄργανον. Ἐὰν γὰρ ὁμοῦ καὶ τὰ μηχανήματα προσφέρῃς, καὶ τὰς σκάλας εἰς τεῖχος ἐπιστήσῃς, διὰ πολλῶν μερῶν συνταραχθήσονται οἱ ἐντός. Εἴ τε γὰρ ἀμελήσαντες τῶν ἄλλων μερῶν τοῦ τείχους εἰς τὰς προσβαλλομένας μηχανὰς ἀντιμάχονται πάντως, οἱ τὰς σκάλας προσφέροντες μηδενὸς ἀποκωλύοντος βιαίως εὐκόλως ἐπὶ τὸ τεῖχος ἀναβήσονται· κἂν τε B διαμερίζωσιν ἑαυτοὺς κατὰ τῶν προσφερόντων τὰς σκάλας, τότε οἱ τὰς μηχανὰς προσάγοντες τῶν ὀργάνων σφοδροτέρας αὐτοῖς ποιήσωσι τὰς ἐπιθέσεις καὶ οὐ δυνήσονται τὰ ἐπιφερόμενα κακὰ διὰ τῶν ἀμφοτέρων τῶν προσβολῶν ἀποκρούσασθαι.

20. Quæ firmissima sæpe videntur loca, et ad capiendum difficillima, magna sæpe, ut capiantur subsidia afferent. Nam qui obsessi sunt, propter opinionem quamdam firmitatis ac stabilitatis, hujusmodi loca sine ulla custodia relinquunt. Tu vero solertia tua, laboriosaque industria hujusmodi loca animadvertens, machinationem et artificium facile invenies ad hujusmodi loca neglecta capienda, vel scalis quibusdam, vel aliqua violenta ascensione, audacibus viris eo pervenientibus, et munerum promissione ad id faciendum protractis. Ubi enim de improviso cernunt talia loca occupata esse, animos jam dimittent, et armis abjectis, vel salutem petent, vel protinus perimentur. Qui enim per has difficultates locorum murum conscenderunt, vel tuba canent, et terrorem maximum obsessis hoc videntibus afferent, vel postquam ingressi sunt descendent, portasque militibus, qui foris sunt aperient, vel aliis quibusdam molitionibus, ut civitas, aut castellum capiatur efficient.

κ'. Πολλάκις δὲ ἐπὶ τῆς πολιορκίας οἱ νομιζόμενοι ὀχυρώτατοι καὶ ἀνεπινόητοι πρὸς ἅλωσιν τόποι μᾶλλον ἀφορμάς σοι παρέξουσιν ἁλώσεως· οἱ γὰρ ἐντὸς διὰ τὴν δοκοῦσαν ὀχυρότητα τοὺς τοιούτους τόπους ἀφυλάκτους καταλιμπάτουσιν. Σὺ δὲ, διὰ τῆς σῆς ἐπινοίας καὶ τῆς ἐπιπόνου ἐργασίας τοὺς τοιούτους κατανοῶν, τάχα μηχανὴν εὑρήσεις καταλαβεῖν αὐτοὺς ἀφυλάκτους ὄντας, ἢ διὰ σκαλῶν ἀναβαινόντων, ἢ διά τινος βιαίας ἀναβάσεως εὐτόλμων ἀνδρῶν ἐπαγγελίας λαβόντων δωρεῶν καὶ τιμῶν. Ἐντεῦθεν γὰρ C ἐκ τοῦ ἀπροσδοκήτου θεωρήσαντες οἱ ἐντὸς τοὺς τοιούτους τόπους καταληφθέντας ἀποπαύσονται, καὶ ὅπλα ῥίψαντες, ἢ αἰτήσουσι τὴν σωτηρίαν, ἢ κατὰ κράτος διαφθαρήσονται. Οἱ γὰρ ἀναβάντες εἰς τὸ τεῖχος διὰ τῆς δυσχερείας ἐκείνης ἢ σαλπίσουσι, καὶ φόβον ἐμποιήσουσι μέγιστον ὁραθέντες, ἢ διαδραμοῦνται κατὰ τὸ εἰσελθεῖν, καὶ τὰς πόρτας ἀνοίξουσιν εἴ τύχοι τοῖς ἔξω στρατιώταις, ἢ διά τινων ἑτέρων ἐπινοιῶν τὴν ἅλωσιν τῆς πόλεως ἢ τοῦ κάστρου διαθήσουσιν.

21. Si civitas, aut castellum, magnum numerum virorum habuerit, audeantque illi iis qui ingressi sunt obviam ire, et occurrere, altiora atque editiora loca conscendant, vel arcem ipsam civitatis D occupent, indeque propugnantes, hos qui ingressi sunt iterum repellant.

κα'. Εἰ δὲ τὸ κάστρον ἢ ἡ πόλις πλῆθος ἔχει λαοῦ, καὶ δύναμιν, καὶ τολμῶσιν ὑπαντιάζοντες ἀμύνασθαι τοὺς εἰσελθόντας, δεῖ αὐτοὺς τοὺς ὑψηλοτέρους τόπους καταλαβεῖν, ἢ τὰ ἄκρα τῆς πόλεως, καὶ ἐκεῖθεν πολεμοῦντας κακῶσαι τοὺς ἐν τῇ πόλει ἁλόντας.

22. Proclamabunt statim, ut nemo quemquam arma non habentem interficiat, sed solos eos qui arma gestant. Hanc autem rem illorum lingua proclamabis: hoc enim audito, unusquisque saluti suæ consulens, in ipso terroris, periculique puncto arma abjicient. Horum resistentium numerus cum minuitur, obsessores omnino victores erunt: obsessi autem ad hunc modum intercepti, ubi parvam salutis spem reliquam habeant, supplices obsessorum confestim fiunt.

κβ'. Κηρύξουσι δὲ τότε, ἵνα μηδεὶς κτείνῃ τὸν μὴ ἔχοντα ὅπλον, μόνους δὲ κτείνειν τοὺς τὰ ὅπλα φέροντας. Ταύτην δὲ τὴν φωνὴν κηρύττεσθαι τῇ τῶν πολιτῶν διαλέκτῳ ἕκαστος γὰρ ἀκούσας, καὶ τῆς ἰδίας προνοούμενος σωτηρίας, ἐν τῇ ἀκμῇ τοῦ φόβου ἀπορρίψει τὰ ὅπλα, καὶ ἀντιπολεμούντων ὀλιγουμένων κατὰ κράτος οἱ πολιορκοῦντες νικήσουσιν. Οἱ γὰρ πολιορκούμενοι, καὶ οὕτως ἁλισκόμενοι, ὅταν μικρὰν ἐλπίδα τῆς σωτηρίας λάβωσιν, οἰκέται λοιπὸν ἀντὶ πολεμίων γίνονται.

23. Si diuturna fuerit obsidio, et quosdam extra civitatem ceperis florentes ætate juvenes, apud te,

κγ'. Εἰ δὲ χρόνιος γένηται ἡ πολιορκία καὶ συμβῇ συλλαβεῖν σέ τινας ἔξω τῆς πόλεως, τοὺς μὲν ἀκμά-

Digitized by Google

ζοντας ταῖς ἡλικίαις νεωτέρους ὡς ἂν βούλῃ κάτεχε. Γύναια δὲ καὶ παιδάρια καὶ γέροντας καὶ ἀσθενεῖς ἀνθρώπους ἀπόπεμπε πρὸς τὴν πόλιν αὐτῶν. Οὕτως γὰρ ἡ ἄχρηστος ἡλικία καὶ τὰς τροφὰς δαπανήσει, καὶ τοὺς πολιορκουμένους οὐδὲν ὠφελήσει, μᾶλλον δὲ καὶ βλάψει. Ἔτι δὲ καὶ φιλανθρωπίας ὑπόνοιαν δώσεις τοῖς ἐντὸς, ὥστε διαιρεθῆναι τὰ φρονήματα αὐτῶν, καὶ ἀφορμὴν γενέσθαι ἐντεῦθεν τῆς πρὸς σὲ ὑποταγῆς αὐτῶν.

κθ'. Ἐπειδὴ δὲ εἴωθεν καὶ θόρυβος γίνεσθαι ἐν ταῖς πολιορκίαις ὑπὸ τῆς κραυγῆς τῶν ἀνθρώπων, ἢ ὑπὸ τοῦ ἤχου τῶν σκουταρίων, ἵνα μὴ βαροῦνται καὶ ἐνοχλοῦνται οἱ τοῦ στρατοῦ πάντες ὁμοῦ, δέον σε ἀπὸ ἑνὸς ἢ δευτέρου μιλίου ποιεῖν αὐτοὺς ἀπληκτεύειν τοῦ ὀχυρώματος, ὁπόθεν οὐκ ἐξακούεται ὁ ἦχος τῶν θορυβούντων τοὺς πολιορκουμένους.

λ'. Μὴ ἐπικινδύνως δὲ καὶ ἀσκόπως προστάσσῃς ποιεῖσθαι τὰς προσβολὰς, ἵνα μή τινων διαπιπτόντων καὶ οἱ τοῦ στρατοῦ δειλιάσωσιν, καὶ οἱ πολιορκούμενοι προθυμότεροι γένωνται (τοῦτο γὰρ πολλάκις ἀνέγνωμεν γενόμενον), καὶ ὁ κρείττων τῶν ἄλλων στρατιώτης ὑπὸ γυναικὸς οὕτω τύχοι καὶ ἀσθενοῦς ἢ διὰ λίθου βληθέντος ἢ κεράμου ἢ διὰ ξύλου κατενεχθέντος πληγεὶς ἀπώλετο.

λα'. Ἐὰν δὲ μικρὰ ὀχυρώματα παρακαθίσοι, καὶ ἐπιζήμιον, ἢ ἐπικίνδυνον νομίζῃς τὴν προσβολὴν, καὶ οἶδας ὅτι οὔτε τῶν ἐπιτηδείων λείπονται, σπούδαζε διὰ θορύβων αὐτοῖς καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ἐνοχλεῖν· ἵνα τῇ ὀχλήσει ἀποκάμωσιν ὀλίγοι ὄντες πρὸς πλῆθος κατὰ διαδοχὴν ἀνενδότως αὐτοῖς προσβάλλοντος.

λβ'. Εἰ δὲ καὶ οἱ οἶκοί εἰσιν ἐν τῷ φρουρίῳ ἐπιτήδειοι πρὸς τὸ καῆναι διὰ πυρφόρων σαγιττῶν συνεχῶν διὰ πολλῶν τόπων ἀνέμου μάλιστα σφοδροῦ κινουμένου, πέμπε καὶ ἐμπύριζε, ὕλην πυρὸς προσδεσμῶν τῇ σαγίττῃ διὰ τῶν πετροβόλων μαγγανικῶν τῶν λεγομένων ἀλακατίων, ἢ τετραρίων τῶν πετρῶν πυρὸς πεπλησμένων δι' ὕλης, καὶ βαλλομένων κατὰ τῶν εὐεμπρήστων οἴκων· καὶ ἐν ὅσῳ εἰς τὴν τοῦ πυρὸς ἀσχολοῦνται σβέσιν σκάλας εἰς τοὺς ἐπιδεχομένους τόπους ἱστᾷν καὶ δι' αὐτῶν ἀσφαλῶς ἐπιβαίνειν κέλευε.

κη'. Εἰσὶ δὲ ὡς ἐπίπαν ἐν ταῖς πολιορκίαις εἴδη μηχανημάτων πολιορκητικὰ διάφορα, ὅσα οἵ τε παλαιοὶ στρατηγοὶ καὶ οἱ μικρῷ πρὸ ἡμῶν ἐπενόησαν κατὰ δύναμιν ἕκαστος, καὶ τὴν καλοῦσαν τοῦ καιροῦ καὶ τοῦ τόπου χρείαν. Οὐ γὰρ νῦν ἔστι λέγειν διὰ ποίων ὀργάνων πολιορκήσεις, ἀλλὰ τοῦ καιροῦ ἡ χρεία διδάξει σε ἕκαστα.

κθ'. Καὶ γὰρ εἰσὶ καὶ οἱ λεγόμενοι κριοὶ δι' ὧν τὰ τείχη κρουόμενα συντρίβεται.

λ'. Εἰσὶ δὲ καὶ πύργοι ἀπὸ ξύλων συγκείμενοι, καὶ διὰ βυρσῶν ἢ ἑτέρας ὕλης ἐπισκεπόμενοι, ὥστε διὰ πυρὸς μὴ φθείρεσθαι· οἵτινες καὶ διὰ τροχῶν τοῖς τείχεσι προσφερόμενοι ἀπὸ ὕψους μάχονται τοῖς ἐν τῷ τείχει.

λα'. Καὶ χελῶναι δὲ προσφερόμεναι τῷ τείχει, καὶ τὰ θεμέλια ἐξορύσσουσαι.

λβ'. Καὶ σκάλαι σύνθετοι ἢ ἐπιτεθεῖσαι τῷ τείχει,

A quemadmodum commodissimum videbitur, retine. Feminas autem, pueros, senes et infirmos homines ad civitatem iterum remittes. Ita fiet, ut inutilis hæc ætas, et alimenta civitatis absumat, et obsessos nihil adjuvet, imo potius lædet, et opinionem humanitatis animis eorum, qui obsidentur, afferes, ut mentes eorum, et sententiæ distrahantur, et occasionem aliquam deditionis facilius quærant.

21. Quemadmodum in omnibus obsidionibus ingens solet esse tumultus tum vociferantium hominum, tum personantium scutorum, ut ne hac re exercitus tuus perturbetur, uno aut altero milliari ab eo loco castra tuorum ponantur, quo hic sonitus tumultuantium exaudiri non possit.

B

25. Ne periculose et inconsiderate irruptiones ullas fieri permittas, ne si aliqui ex tuis occidant, exercitus tuus fracto magis animo sit, et obsessi multo alacriores sint, quod persæpe usu venire videmus: frequenter enim strenuus miles a mulierc fortuita, atque imbelli, aut lapide aliquo conjecto, aut testa immissa, aut ligno aliquo delato percussus interimitur.

26. Si parva quædam castella obsideas, et damnosam periculosamque invasionem putes esse, et intelligis commeatu eos non egere, contende, ut illos dies noctesque turbes, ut hac perturbatione, qui obsessi pauci sunt perpetuo fatigentur, universo exercitu nostro adversum illos sine ulla intermissione alternis, et vicissim dimicante.

C

27. Si ædes in castello ad comburendum idoneæ fuerint, sagittis igniferis per multa et varia loca sparsis, idque potissimum vento ingenti aliquo flante, incendes. Saxa etiam quadrata igne plena, et manganica alacatia, quæ saxa emittunt, atque ejiciant adhibebis, et in ædes, quæ facile incendium recipiunt conjicies, et dum illi in exstinguendo igne occupati sint, scalas tu interea admove et milites jubeto eas audacter conscendere.

28. Sunt autem in obsidionibus diversa instrumenta obsidionalia, quæ tum antiquiores, tum recentiores paulo ante nos excogitarunt, pro loci temporisque opportunitate. Neque enim nunc tempus est commemorare, quibus machinationibus obsidebis, sed temporis commoditas singula te docebit.

D

29. Sunt enim arietes, quibus admotis mœnia rumpuntur.

30. Sunt et turres ligneæ, pellibus aliaque materia tectæ, ut igne minime deflagrent, quæ et rotis adductæ ad muros, homines ex alto cum iis, qui in muro sunt pugnantes habeant.

31. Testudines quoque ad murum adjunctæ fundamenta ejus evertunt.

32. Scalæ quoque junctæ, vel ad murum addu-

Digitized by Google

ctæ, vel erectis trabibus impositæ, et rotis comi- A nus applicatæ.

33. Cuniculi foris a muro longe absint : intus autem per fundamenta murorum ingressi, et terram etiam intra civitatem perforent, si inæquali loco sita ea sit.

34. Atque ut paucis dicam : aliæ sunt machinationes, quæ aliis in historiis, imo vero in libris militaribus potius invenies, quemadmodum teguntur, quemadmodum adducuntur, et ad quæ loca obsessorum adhibentur.

35. Istarum machinationum apparatus, et præparationes non solum abs te fiant, sed etiam manganariorum, et idoneorum hominum solertiis, ut et tu quas potes machinationes omnes excogites, et illi artificio suo et experientiæ suæ felicitate tibi opem ferant. B

36. Eos qui proditores dicuntur vel civitatis, vel alicujus firmæ munitionis, vel viæ, quæ in hostilem terram fert, accipito benigne, et fidem cum illis, promissaque servato, si veri erga te fuerint, non sui causa, sed aliorum, quos ad te hoc modo invitare possis. Nam, qui proditori aliquid tribuit, plus ab eo accipit, potius quam dat. Neque enim judex civitatis es, cui injuria a proditore inferatur, sed imperator ; multis modis ad tuos conservandos, et hostes superandos laborare debes. Insciturn est enim videri nolle in malos homines tali de causa beneficium conferre. Omnia enim opportuna bona sunt. Proditor autem quamvis erga hostes tuos malus sit, tamen erga te populumque tuum bonus esse deprehenditur. C

37. Si civitas Deo jam propitio tibi subjecta fuerit, aut munitio, aut castellum, vel propter timorem obsidionis, vel alia quavis de causa, mitis ac benignus erga illos sis, neque stipendiis illos opprimas, neque crudeliter miniteris, aut aliquo supplicio perterrefacias, neque injuriis ullis vexes, sed bonus potius, benignusque erga illos sis, ut cæteri mansuetudine tua provocati voluntarie se tibi subjiciant, nullum malum, aut incommodum D abs te proficisci putantes, quod non sustinere et perferre commode possint.

38. Hoc enim Nicephorum imperatorem fecisse novimus, cum adversus Longobardorum nationem mitteretur, ut eam in potestatem nostram redigeret. Non solum enim rebus bellicis apte instructis, ea natio subjecta nobis fuit, verum etiam solerti quadam justitia, ac comitate adversus omnes usurpata, et libertate illis omnis servitutis, et reliquorum tributorum condonata.

39. Non enim lucri causa regnum (19) nostrum

ἢ ἐν ὁρθοῖς ξύλοις ἐπικείμενοι, καὶ διὰ τροχῶν προσφερόμενοι.

λγ'. Καὶ ὀρύγματα ἔξω μὲν τοῦ τείχους κατὰ γῆν ἀπαρχόμενα, ἐντὸς δὲ διὰ τῶν θεμελίων εἰσερχόμενα, καὶ ἀνατρυποῦντα τὴν γῆν ἔσωθεν τῆς πόλεως, εἴγε ἐν ἐπιπέδῳ τόπῳ τύχῃ καὶ μένῃ.

λδ'. Καὶ ἁπλῶς εἰπεῖν ἕτεραι μηχαναὶ ὀργάνων, ἅπερ ἔν τε ταῖς ἄλλαις ἱστορίαις, μᾶλλον δὲ ἐν τῷ πλάτει τῶν στρατηγικῶν, ἐρευνῶν εὑρήσεις, καὶ ὅπως κατασκευάζονται, καὶ ὅπως προσάγονται, καὶ ἐν ὁποίοις τόποις τῶν πολιορκουμένων.

λε'. Τούτων δὲ τῶν μηχανημάτων αἱ παρασκευαὶ καὶ αἱ ἑτοιμασίαι οὐ μόνον παρὰ σοῦ δύναντάι γίνεσθαι, ἀλλὰ καὶ δι' ἐπινοίας τῶν συνόντων σοι μαγγαναρίων καὶ ἐπιτηδείων ἀνδρῶν πρὸς τὰς τοιαύτας κατασκευάς· ἵνα καὶ αὐτὸς ἐπινοῇς τὰ δυνατὰ καὶ ἐνδεχόμενα μηχανήματα, κἀκεῖνοι τοῖς διὰ χειρῶν ἔργοις καὶ ταῖς διὰ τῆς πείρας ἐπινοίαις συμβοηθήσωσίν σοι.

λς'. Τοὺς δὲ προδότας λεγομένους ἢ πόλεως, ἢ ἄλλου τινὸς ὀχυρώματος ἢ ὁδοῦ τῆς εἰς πολεμίαν εἰσόδου, καὶ ὑποδέχου εὐμενῶς, καὶ τὰς πίστεις πρὸς αὐτοὺς καὶ τὰς ἐπαγγελίας φύλαττε, ἐὰν καὶ αὐτοὶ ἀληθεύωσιν· οὐχὶ δι' αὐτοὺς, ἀλλὰ διὰ τοὺς μέλλοντας καὶ πάλιν σοι τοιαύτας προξενεῖν χάριτας. Ὁ γὰρ διδούς τι τῷ προδότῃ μᾶλλον λαμβάνει παρ αὐτοῦ πλέον παρ' ὃ ἐκείνῳ χαρίζεται. Οὐ γὰρ κριτὴς τῆς παρὰ τοῦ προδότου ἀδικηθείσης πόλεως ἢ τοῦ ἐχθροῦ ὑπάρχεις, ἀλλὰ στρατηγὸς, καὶ διὰ πολλῶν τρόπων ὑπὲρ τοῦ σοῦ λαοῦ λυπεῖν καὶ διαφθείρειν τοὺς πολεμίους σπουδάζων. Τὸ γὰρ δοκεῖν τοὺς κακοὺς μὴ εὐεργετεῖν ἐνταῦθα ἀπειρόκαλόν μοι φαίνεται· πάντα γὰρ καλὰ ἐν καιρῷ αὐτῶν. Ὁ γὰρ προδότης, εἰ καὶ πρὸς τοὺς σοὺς πολεμίους κακὸς γέγονεν, ἀλλ' οὖν πρὸς σὲ καὶ τὸν ὅλον σὸν λαὸν ἀγαθὸς ἀπεδείχθη.

λζ'. Ἐὰν δὲ Θεοῦ παρέχοντος τὴν χάριν ὑποταγῇ σοι ἡ πόλις, ἢ φρούριον, ἤτοι κάστρον, ἢ διὰ φόβον πολιορκίας, ἢ δι' ἄλλην τινὰ αἰτίαν, πράως καὶ εὐμενῶς διατέθητι πρὸς αὐτούς. Καὶ μήτε φόροις αὐτοὺς καταβαρήσῃς, μήτε ἀπηνῶς ἐκφοβήσῃς ἢ ἀπειλήσῃς διά τινος τιμωρίας, μήτε ἀδικίαις λυπήσῃς. Ἀλλὰ μᾶλλον ἀγαθὸς καὶ ἐπιεικὴς αὐτοῖς γίνου, ἵνα καὶ οἱ λοιποὶ ὁρῶντες τὴν σὴν χρηστότητα εἰς τοὺς ὑποταγέντας σοι, μετὰ προθυμίας προσέρχωνταί σοι, μηδὲν κακὸν ὅπερ ὑπενεγκεῖν οὐ δύνανται παρὰ σοῦ παθεῖν ἐλπίζοντες

λη'. Τοῦτο γὰρ ἴσμεν καὶ Νικηφόρον τὸν ἡμέτερον στρατηγὸν πρὸς τὸ Λαγοβάρδων ἔθνος πεποιηκότα, ὅτε παρὰ τῆς βασιλείας ἡμῶν εἰς τὸ ὑποτάξαι αὐτοὺς ἐξαπεστάλη. Οὐ μόνον γὰρ διὰ πολέμων ἀκριβῶς ἐκτεταγμένων τὸ τοιοῦτον ὑπήγαγε τὸ ἔθνος, ἀλλὰ καὶ ἀγχινοίᾳ χρησάμενος καὶ δικαιοσύνῃ καὶ χρηστότητι, ἐπιεικῶς τε τοῖς προσερχομένοις προσφερόμενος, καὶ τὴν ἐλευθερίαν αὐτοῖς πάσης τε δουλείας καὶ τῶν ἄλλων φορολογιῶν χαριζόμενος.

λθ'. Οὐ γὰρ κέρδους ἕνεκεν ἡ βασιλεία ἡμῶν τὴν

NOTÆ.

(19) Melius his locis *majestas nostra* verteretur.

Digitized by Google

ὑποταγὴν τῶν ἀντικαθισταμένων ἐπιζητεῖ, ἀλλὰ δόξης μὲν ἰδίας καὶ τιμῆς, σωτηρίας δὲ καὶ εὐεργεσίας σὺν ἐλευθερίᾳ τῶν ὑπηκόων αὐτῆς.

μ'. Οὕτως οὖν εὐμενῶς τοῖς προσερχομένοις σοι καὶ ὑποτασσομένοις διακείμενος, δι' αὐτῶν καὶ τοὺς μήπω προσελθόντας οἰκειώσῃ. Ἡ γὰρ τεθηριωμένη καὶ ἀπηνὴς καὶ τοὺς ὑπο[τε]ταγμένους εἰς μετάμελον φέρει, καὶ τοὺς μήπω ὑποταγέντας ἀναστέλλει καὶ μᾶλλον προθυμοτέρους ποιεῖ κινδυνεύειν ὑπὲρ τῆς οἰκείας σωτηρίας, ἢ ὑπὸ χεῖρας τοιούτου στρατηγοῦ ἀπηνοῦς ἐμπίπτειν, καὶ ταλαιπωρήσειε πολιορκῶν ἴσως καὶ μηδὲν ἀνύων. Εἰ δὲ ἀγαθόν σε μάθωσιν ὄντα, ταχέως ἐνδώσουσι τῇ ὑποταγῇ.

μα'. Τῆς γὰρ βασιλείας ἡμῶν τὸ εὐμενὲς καὶ χρηστὸν, καὶ εἰρηνικὸν ἀγαπώσης πρὸς τοὺς ὑπηκόους ὑπηνίκα διὰ σοῦ πρὸς ἡμᾶς προσχωρῆσαι βουληθῇ ἢ πόλις, ἢ φρούριον, ἢ ἔθνος, τοῖς τῆς ἡμετέρας εὐμενείας σπλάγχνοις σε δεῖ ἀφορᾶν, καὶ τὰς ἡμῶν εὐμενείας καὶ σωτηρίους κελεύσεις περὶ αὐτῶν δέχεσθαι καὶ κρατεῖν.

μβ'. Οὐκ ἄνευ δὲ σκοποῦ νομίζω καὶ τοῦτο ὥστε γινώσκειν σε ἀκριβῶς ὥσπερ τὰς ἡμερινὰς ὥρας, οὕτως καὶ τὰς νυκτερινὰ, διὰ τῆς τῶν φαινομένων ἀστέρων καὶ τῆς σελήνης κινήσεων, ἵνα ἐν καιρῷ ὑποσχέσεως ὥρας ἢ παρὰ προδότου προτεινομένης, ἢ παρὰ σοῦ αὐτοῦ ἐπινοουμένης, ἢ ἐν πολιορκίᾳ, ἢ ἐν ὁδοιπορίᾳ ἀσφαλὴς περὶ τὸ σύνθημα τοῦ καιροῦ ἢ τὸν ὁρισμὸν ὑπάρχῃς. Τὸ γὰρ ταχύτερον ἢ βραδύτερον πολλάκις φθάνειν τῆς συνταγῆς ἢ τοῦ ὁρισμοῦ ἄπρακτον ἐποίησε τὸ προκείμενον ἔργον.

μγ'. Ἐξερχόμενος δὲ κατὰ τῆς πολιορκίας, εἴτε διὰ προδότου εἴτε ἄλλως πως, ὅσους κατὰ τὴν ὁδὸν ὑπαντήσεις, συλλάμβανε πάντας διά τινων καβαλλαρίων προαποστελλομένων ἐπ' αὐτῷ τούτῳ· ἢ διὰ τῶν μετὰ σοῦ στρατιωτῶν, ἵνα μὴ δι' αὐτῶν ἐπέλευσίς σου μηνυθῇ· τὰ γὰρ τοιαῦτα κατὰ τῶν πολεμίων ἔργα αἰφνιδίως χρὴ γίνεσθαι καὶ ἀνυπονοήτως.

μδ'. Ὅταν γὰρ ἀπροσδοκήτως ἐπέλθῃ κατὰ ἐχθρῶν στράτευμα, κἂν ὀλιγώτερόν ἐστι τῶν πολεμίων, διὰ τὴν ἀνυφόρατον ἐπιδρομὴν ἐκπλήττει τοὺς ἐναντίους, κἂν καὶ κρείττονές εἰσιν ἐκεῖνοι· καὶ ἐκ τούτου διὰ πολλῶν ἐκφοβῶν αὐτοὺς δύνασαι μᾶλλον πρὸ τοῦ θαρρῆσαι αὐτοὺς οἰκειώσασθαι εἰς τὸ σὸν βούλημα.

με'. Οὕτως οὖν ἐπειδὰν ἢ πόλιν, ἢ κάστρον, ἢ ἄλλο τι ὀχύρωμα παραλάβῃς, καὶ λάβῃ πέρας ὁ πόλεμος, μὴ γενήσῃ βαρὺς διὰ τὴν εὐπραγίαν ἢ τοῖς δυστυχήσασιν, ἢ τοῖς ἅμα σοὶ ἐκστρατεύουσιν. Μηδὲ τῦφον καὶ ἀπήνειαν περιφέρῃς, ἀλλὰ εὐμενῆς, ὡς εἴρηται, καὶ φιλάνθρωπος, καὶ ταπεινόφρων γίνου· φιλάνθρωπος μὲν περὶ τοὺς ἁλωθέντας καὶ δυστυχήσαντας, ἀλλὰ καὶ πρὸς τοὺς μέλλοντας ἔτι παρὰ σοῦ ἢ πολεμεῖσθαι ἢ πολιορκεῖσθαι. Ταπεινόφρων δὲ περὶ τοὺς πλησίον καὶ φίλους, τοὺς μὲν γὰρ πλησίον καὶ φίλους οὐ μόνον εἰς φθόνον οὐ κινήσεις, ἀλλὰ καὶ εἰς ζῆλον τῶν ὁμοίων σου κατορθωμάτων διεγερεῖς, τοὺς δὲ πολιορκεῖσθαι μέλλον-

A hostium subjectionem quærit, sed gloriæ nostræ honorisque causa, et salutis beneficentiæque, et libertatis subjectorum gratia.

40. Benevolus igitur subjectis, atque imperio tuo parentibus si fueris, alios quoque tibi ut se subjiciant conciliabis. Efferatus enim animus, et crudelis, subjectos tibi in magnam mœstitiam, pœnitentiamque subjectionis suæ adducit, et eos, qui nonduum tuo imperio subjecti sunt, alio avocat, et alacriores ad periclitandum de sua salute facit, potius quam in manus tam crudelis imperatoris veniant; et multum obsidendo laborabis, atque ad extremum nihil proficies. Sin bonum te intellexerint esse, facile se tibi dedent.

B 41. Rectionis nostræ benignitatem, bonitatem et pacem, laudabis apud eos, qui per te sub imperium nostrum veniunt, sive civitas, sive castellum, sive natio aliqua fuerit, et in miserationis nostræ viscera intueberis, ut mitia salutariaque mandata nostra recipiant atque observent.

42. Non sine causa hoc abs te elaborandum est, ut quemadmodum divina tempora, sic etiam nocturna spatia agnoscas ex lunæ stellarumque motu, ut ad horæ promissæ tempus sive a proditore positum, sive a teipso excogitatum vel in obsidione, vel in itinere, certus de pacto definitoque tempore eo pervenias. Nam vel celerius, vel tardius aliquo pervenire, quam constitutum est, propositum persæpe nostrum intervertit.

C

43. Ad obsidionem egressus vel pro proditore, vel pro alia quavis ratione, quos in via offenderis, omnes quibusdam equitibus ad hoc præmissis anticipa, vel per milites tuos hoc facias, ut ne per illos incursio tua indicetur; talia enim bellica negotia subito et de improviso fiant.

44. Quando enim de improviso adversus hostes ruit exercitus, quamvis exiguus sit, et hostibus longe minor, tamen propter nec opinatam incursionem hostes multo etiam plures perturbat, atque adeo, si pluribus, quam hostes sunt illos invadas, poD teris antequam ipsi colligant, in potestatem tuam redigere.

45. Ubi civitatem aut castellum, aut aliquam munitionem ceperis, et exitum belli felicem habueris, ne sis propter res bene gestas, vel infortunatis hominibus gravis, vel illis, qui simul tecum ad bellum profecti sunt. Neque fastu, aut arrogantia efferaris, sed humanus, benignus ac comis fias; humanus erga captivos, atque infortunatos tum eos qui nunc sunt, tum eos quoque qui abs te aut oppugnandi aut obsidendi sunt; comis erga propinquos et amicos. Propinquos enim et amicos non ad invidiam movebis, sed ad imitationem et æmulationem rerum gestarum tuarum excitabis. Eos quos obsessurus es, obedientiores tibi, magisque

Digitized by Google

subjectos benignitatis tuæ bonitatisque spe efficies. Hæc abs te conservanda sunt, ubi alios invadens obsidere eos cogitas.

A τας εὐπειθεῖς μᾶλλον καὶ ὑποταττομένους σοι παρασκευάσεις διὰ τὴν ἐλπιζομένην παρὰ σοῦ εὐμένειαν καὶ ἀγαθότητα. Ταῦτα μὲν παρακελευόμεθά σοι, ὦ στρατηγέ, παραφυλάττειν, ὅταν αὐτὸς πολεμίοις ἐπελθὼν πολιορκεῖν τὰ ἐκείνων μέλλῃς.

46. Si, quod sæpe contingit, civitas, aut castellum, aut ulla alia munitio tua ab hostibus obsidenda est, si hoc efficere accessione tua potes, ut illorum consilia, conatusque eleves, Deo gratiæ agantur ; sin minus, omnibus rebus eos apparabis atque instrues qui obsidendi sunt, sive ipse necessitate quadam adfuturus sis, sive alius quispiam e tuis præfectis prudens et peritus.

μς'. Εἰ δ', ὅπερ πολλάκις συμβαίνει, πόλις ἢ κάστρον, ἤ τι ἕτερον ὀχύρωμα ὑπὸ σὲ ὑπάρχον μέλλει παρὰ πολεμίων πολιορκεῖσθαι, εἰ μὲν δύνασαι τοὺς ἐπερχομένους ἐπιτηδεῦσαι, καὶ ἄπρακτον αὐτῶν διὰ τῆς σῆς προσβολῆς τὴν βουλὴν ἀποδεῖξαι, τῷ Θεῷ χάρις· εἰ δὲ μήγε, πάντως παρασκευάσεις τοὺς μέλλοντας, πολιορκεῖσθαι· εἴτε αὐτὸς μέλλεις ἐξ ἀνάγκης τινὸς ἐκεῖ παρεῖναι, εἴτε ἕτερός τις τῶν ὑπὸ σὲ ἀρχόντων ἀνὴρ ἐλλόγιμος καὶ ἔμπειρος.

47. Primo igitur omnia ad commeatum necessaria iis qui obsidione inclusi sunt, præparabis, quod satisfacere illis omne tempus obsidionis possit. Præparata jam rerum necessariarum abundantia, proximum est, ut inutilem omnem ætatem, mulieres, senes, debiles, pueros, ante hostium adventum e munitione ejicias, ut reliquis qui robusti habilesque sunt alimenta sufficiant : tum machinationes quædam ad depulsionem manganorum saxa conjicientium, ab iis qui obsidentur comparandæ sunt.

B μζ'. Πρῶτον μὲν ἁπάντων χρὴ τῶν ἀναγκαίων εἰς ἀποτροφὴν φροντίσαι τῶν ἐγκλειομένων ὅσον οἶδας τὸν ἐχθρὸν ἐξαρκεῖν ἐπὶ τῇ πολιορκίᾳ χρόνον, καὶ εἰ μὲν εὐπορία ἐστὶ τοσαύτης ἀποτροφῆς. Ἐπεί τοι γε τὴν ἄχρηστον ἡλικίαν ἔκβαλε ἐκ τοῦ ὀχυρώματος πρὸ τῆς τῶν ἐχθρῶν παρουσίας· οἷον γυναῖκας, γέροντας, ἀσθενεῖς, καὶ παιδία, ἵνα τοῖς ἐν δυνάμει οὖσιν ἢ εὑρισκομένοις ἡ δαπάνη ἐξαρκέσῃ· καὶ ἵνα ὁ μέλλων πολιορκεῖσθαι προευτρεπίσῃ μηχανήματα ἀντικείμενα πρὸς τὴν ἀποσοβὴν τῶν πετροβόλων μαγγάνων τῶν ἐχθρῶν.

48. Hujusmodi conjectionibus objiciuntur cilicia pendentia e pinnis extra muros, vel sarcinæ, vel funes contorti, vel pontila, vel ligna prominentia, aut lateribus agger ante pinnas exstructus. Arietibus autem telaria, et sacci pleni palea, atque arena opponuntur.

μη'. Ἀντίκεινται δὲ ταῖς τοιαύταις βολαῖς κιλίκια κρεμάμενα ἔξωθεν τοῦ τείχους κατὰ τοὺς προμαχῶνας, ἢ σάρκινα, ἢ σχοινία εἰλημένα, ἤ πόντιλα, ἤτοι ξύλα κρεμάμενα, καὶ πλίνθος δὲ ἐν τοῖς προμαχῶσιν οἰκοδομουμένη, καὶ πρὸς τοὺς κριοὺς δὲ ἀντίκεινται τυλάρια καὶ σακκία γέμοντα ἄχυρα καὶ ψάμμον.

C

49. Ad testudines harpages præparandi sunt, id est ligna magna cuspidata picata, ut vel avertant eas, vel levent et nudent interiores testudinis partes, et in illos ex superiore loco nudatos invadant.

μθ'. Πρὸς δὲ τὰς χελώνας ἅρπαγες, ἤτοι ξύλα μεγάλα ἔχοντα ξίφη καὶ ἐμπισσόμενα, ὥστε ἢ ἐκστρέψαι αὐτήν, ἢ ἀναλῶψῆσαι καὶ γυμνῶσαι τοὺς ἔσωθεν τῆς χελώνος, καὶ οὕτως κατὰ αὐτῶν ἐγχειρεῖν ἄνωθεν.

50. Pix adsit, qua nudatæ testudines incendantur, et ignis lapidesque graves acuminati manganis quibusdam e superiore loco vel funibus, vel catenis demissi, et aliis quibusdam ponderibus altero in fine mangani ad sublevandos iterum lapides positis.

ν'. Ἀλλὰ καὶ πίσσα, δι' ἧς κενουμένης ἐμπρησθήσονται, καὶ πῦρ αἱ λίθοι βαρεῖς κατάκεντροι ἀπὸ μαγγάνων ἄφνω χαλώμενοι διὰ σχοινίων ἤτοι ἁλύσεων, καὶ πάλιν ἀναστρώμενοι δι' ἑτέρων ἀντιβαρημάτων.

51. Ad turres abductas, ignem et saxa ejicientia instrumenta aptabis : sin hoc modo non proficitur, alias turres vel ex lignis, vel ex alia quapiam materia erigere eos, qui intus includuntur, adversum eos, qui foris obsident, vel adversus quascunque illorum machinationes, alias novas contra illos moliri oportet, quemadmodum diligenter pertractanti animo facile factu fuerit.

52. Turres propugnatrices virorum minime rectas esse oportet, ut milites libere ex eo loco pugnare possint, et mangana facilia ponantur et conficiantur,

D να'. Πρὸς δὲ τοὺς ἐπαγομένους πύργους πυροβόλα εἶδη καὶ πετροβόλοι, ἢ εἰ μὴ τοῦτο ἀντισχῇ, ἀντιπύργους ὁμοίως οἰκοδομεῖν, ἢ διὰ ξύλων, ἢ δι' ἑτέρας ὕλης τοὺς ἔσωθεν τοῦ τείχους· ἄν τις ἐκείνων ἢ ἁπλῶς ὡς ἂν δυνατὸν πρὸς τὴν μηχανὴν τῶν ἔξωθεν ἀντιμηχανᾶσθαι τοὺς ἔσωθεν, καθὼς ἐν τῷ πλάτει μετὰ σχολῆς ἐρευνῶν εὑρήσεις πρὸς ἑκάστην μηχανὴν ἀντεξευρημένα.

νβ'. Ἀναγκαῖον δέ ἐστι τοὺς πύργους τοὺς ἐπιμάχους τοῦ τείχους ἀσκεπεῖς εἶναι, ὥστε τοὺς μαχομένους ἀκωλύτως ἐκεῖθεν μάχεσθαι, καὶ τὰ μάγγανα εὐκόπως τίθεσθαι καὶ ἐξεργάζεσθαι.

53. Portulæ autem hujusmodi in turribus ad latus angustæ, dextram in partem aperiantur, qua hostium mangana emittuntur, ut pedites e portu-

νγ'. Καὶ παραπόρτια δὲ ἐν τοῖς τοιούτοις πύργοις ἐκ πλαγίου στενὰ ἀνοίγεσθαι κατὰ τοῦ δεξιοῦ μέρους τῶν προσαγομένων μαγγάνων ἐκ τῶν ἐχθρῶν. Ἵνα

Digitized by Google

πεζοὶ ἐξερχόμενοι ἐκ τῶν παραπυλῶν, καὶ κατὰ χεῖρα ἁρμοδίως τοῖς σκουταρίοις σκεπόμενοι, καὶ ὑπὸ τῶν ἄνωθεν βοηθούμενοι δύνανται ἀποσοβεῖν τὰ μάγγανα. Ἔχειν δὲ ταῦτα πύλας, δι' ὧν δέον ἀσφαλίζεσθαι ἐν καιρῷ, καὶ μὴ μένειν ἠνεῳγμένα.

A lis exeuntes, et scutis apte se tegentes, superioribus adjuti mangana depellere possint. Habeant portas etiam quas tempore claudant, neque apertæ maneant.

νδ'. Ἀποκρεμᾷν δὲ κατὰ τῶν προμαχώνων ξύλα βαρέα πάνυ, κορμία, καὶ μύλους λιθίνους διὰ σχοινίων· ἵνα ἐὰν προσάψωσι σκάλας εἰς τὰ τείχη κοπτομένων τῶν σχοινίων ἐπιπέσωσιν ἐπάνω τῶν ἀναβαινόντων, καὶ διαφθείρωσιν αὐτούς. Τοῦτο δὲ ἐν κύκλῳ τοῦ τείχους γενέσθαι κελεύομεν, καὶ μηδένα λείπειν προμαχώνων, εἰ δυνατὸν, ὅστις οὐκ ἔχῃ ἢ λίθον βαρύτατον, ἤτοι μύλον, ἢ ξύλον μακρὸν καὶ βαρὺ πάνυ, δυνάμενον συντρίψαι καὶ σκάλαν, καὶ τοὺς ἐπ' αὐτῆς ἀναβαίνοντας.

54. Ad primas murorum apponantur ligna gravia admodum, trunci, lapides molares, ut funibus, aut catenis hæc appensa in hostes conjiciantur, et opprimant illos. Hoc autem circumcirca murum fiat, neque pinna ulla prætereatur, si fieri possit, quæ non lapidem aliquem pergravem molarem habeat, vel lignum longum et grave, quod perfringere valide poterit tum scalas, tum illos qui eas conscendunt.

νε'. Χρὴ δὲ καὶ καταμερίσαι τὴν βοήθειαν δι' ὅλου τοῦ τείχους, καὶ ἔχειν ἄλλην δύναμιν ἐκ περισσοῦ, ἵνα, τῷ δεομένῳ μέρει, ἐὰν χρεία γένηται, βοηθῇ, καὶ μὴ ἀναγκάζωνται ἐν καιρῷ ἀνάγκης ἐκ τόπου εἰς τόπον διατρέχειν οἱ πρὸς παραφυλακὴν τοῦ τείχους τεταγμένοι, καὶ ἐκ τούτου γυμνοῦσθαί τινας αὐτοῦ τόπους, ὅπερ ἐστὶν ἐπικίνδυνον.

B 55. Hæc et hujusmodi aliæ graves res per universum murum dividantur, aliasque copias in promptu habeant, ut afflictæ parti sicubi opus fuerit succurrant, et ne a loco ad locum murorum custodes excurrant, locaque quædam nudentur præsidiis, quod valde periculosum est.

νς'. Ἐὰν δὲ καὶ διχοστασία ἐστὶ παρά τινων ἐν τῇ πόλει, ἢ τῷ κάστρῳ· δέον ἢ κἀκείνους εἰρηνεῦσαι καὶ συμμίξαι ἐν ταῖς τοῦ τείχους πεδατούραις τοὺς στρατιώτας (ἐκ τούτου γὰρ οὐδὲ εὐκαιροῦσι στάσιν μελετῆσαι ἢ κατὰ τοῦ κοινοῦ ἢ καθ' ἑαυτῶν, ἀλλὰ καὶ δοκοῦντες φυλακὴν τῆς πόλεως πιστευθῆναι ἐρυθριῶσιν νεωτερίσαι)· ἢ ἐὰν μὴ τοῦτο, πάντως αὐτοὺς προεξαγαγεῖν ἀλλαχοῦ, καὶ μηδὲν ἐξ αὐτῶν ὑφορᾶσθαι παθεῖν στάσεως ἐν τῇ πολιορκίᾳ, ἀλλὰ καὶ τὰς προδοσίας ὑφορᾶσθαι καὶ ἀσφαλίζεσθαι· ὥστε μὴ δύνασθαί τινα τοῖς πολεμίοις, ἢ γράφειν, ἢ συντυχεῖν ἐκτὸς βουλῆς τοῦ πεπιστευμένου τὴν πόλιν ἢ τὸ κάστρον.

56. Si dissensio aliquorum in civitate, aut castello aliquo fuerit, illos pacificare, et in muri pedaturis cum cæteris conjungere oportet: ita fiet ut neque seditionem moliri, vel contra rempublicam, vel contra seipsos possint. Cum enim custodia civitatis illis commendata sit, rebus novis studere erubescunt. Sin hoc fieri nequeat, alio educantur ipsi, et provideatur, ut ne quid seditionis hoc obsidionis tempore per illos concitetur, aut proditionis aliquid suscipiatur, aut hostibus aliquid perscribatur, aut cum illis communicetur, nisi hæc consilio, et autoritate senatus fiant, cui custodia et summa rerum hoc toto obsidionis tempore concredita est.

C

νζ'. Καὶ τὰς πύλας δὲ τῆς πόλεως πιστοῖς ἀνδράσι παραδοθῆναι, καὶ μηδ' ὅλως θαῤῥῆσαί τινας τῶν στρατιωτῶν ἢ πολιτῶν ἐν τοῖς προοιμίοις μάλιστα τῆς πολιορκίας ἐξέρχεσθαι τοῦ τείχους καὶ μάχεσθαι, κἂν συμβῇ πολλοὺς καὶ γενναίους εἰς ἀνδρείαν εἶναι τοὺς ἐγκεκλεισμένους, ἐὰν μήπου καιρὸς γένηται ἢ μάγγανον ἐνοχλοῦν ἐπικινδύνως τῷ τείχει ἀποσοβηθῆναι ἐκ χειρὸς, ἢ τις ἑτέρα χρεία ἀναγκαία καὶ κατεπείγουσα τοῦτο, ἀλλὰ πάντας ἄνωθεν ἀμύνασθαι, καὶ μὴ ἔξωθεν πληγοῦσθαι, ἢ κινδυνεύειν.

57. Portulæ civitatum fidelibus viris committantur neque initiis obsidionis audeant ulli vel milites, vel cives fidenter extra portas egredi et pugnare, quamvis multi ac strenui intus obsessi atque inclusi fuerint, nisi si aliqua occasio fuerit mangani periculose e muro conturbantis servandi, aut alia quævis necessitas quæ ad exeundum urgeat; sed omnes ex superioribus locis defendant, et non foris percutiantur aut periclitentur.

D

νη'. Εἰ γάρ τι τοιοῦτο γένηται, τῶν δυνατωτέρων ἀνδρῶν ἢ ἀποθνησκόντων ἢ πληγουμένων, ὁ λοιπὸς ὄχλος ἐν ὀλιγωρίᾳ γίνεται καὶ εὐχείρωτος τοῖς ἐχθροῖς.

58. Si enim tale aliquid fiat, inferiore ex loco viris vel interfectis, vel vulneratis, reliqua turba animo debilitata facile superari ab inimicis potest.

νθ'. Φανερὸν γάρ ἐστιν ὅτι ἕως ἂν οἱ ἄνδρες σώζονται καὶ τὸ τεῖχος συνίσταται, ἐκείνων δὲ προδιδομένων, τὸ λειπόμενον κινδυνεύει.

59. Manifestum est enim quod quandiu viri servantur, murus integer consistit: illis jam proditis, reliqua turba in periculo est.

ξ'. Ἐὰν δὲ προτείχισμα ἔχει ἕτερον ἢ ἡ πόλις, ἢ τὸ ὀχύρωμα, οὐκ ἄτοπον βίγλας ἐν αὐτῷ γίνεσθαι ἰσχυρὰς καὶ ἀκριβεῖς, καὶ μάλιστα εἰς τὰς νύκτας, ὅταν καὶ προσφεύγειν τινὲς εἰς τοὺς ἐχθροὺς μελετῶσιν, καὶ ἐπιβουλαὶ λαθραίως κατὰ τοῦ τείχους δύνανται γίνεσθαι.

60. Si enim propugnaculum aliud habeat, vel munitio, haud absurdum fuerit excubias ibi fortes et accuratas collocare, noctuque potissimum, cum vel quidam deficere ad hostes studeant, vel insidiæ clanculum muris strui possint.

Digitized by Google

61. Conjectiones sagittarum, aut lapidum, aut telorum, inaniter et temere e muro sæpe fiant : ex eo enim fiet ut hostes se despici contemnique putent quasi intertes atque ignavi.

62. Sin ex cisterna aquam habeant potabilem, non ex fonte aliquo jugem, aut ex piscina quotidiana exhaustione minuentem, dividatur aqua omnibus provisione quadam, neque quivis fortuitus potestatem habeat pro arbitratu suo eam absumere.

63. In reliquo commeatu similiter omnia cum moderatione distribuantur, ut et omnibus satis sit, et obsessi firmi fortesque custodiantur.

64. Excubiæ diligenter et accurate custodiatur. Observetur etiam custodia quædam commeatus, ut ne facile a quovis plebeio decipiatur.

65. Præfectus diligenter adhortatione sua reliques intus obsessos animet, et alacriores ad pericula laboresque sustinendos faciat, donec vel copiis tuis impulsi, vel alia quapiam de causa concitati hostes ab obsidione discedant. Incursiones quoque quantas maximas potest imperator in obsessores faciat, diversisque quantum potest irruptionibus invadat : tumoresque dispergat, alium maximum exercitum adventare : et quæcunque talia perterrefacere hostes possunt.

66. Hæc quæ a me commemorata sunt, obsessus faciat, et alia quædam adversus singulas obsessorum machinationes præparabit, et ad prædictas hostium machinationes suas adhibens, confestim intelliget quemadmodum adversum singulas machinationes pugnare possit.

67. Non prætermittam hoc loco, quod mihi inquirenti diligenter cognitum, atque inventum est (quanquam hoc tempore minime usitatum frequentatumque sit) quomodo clanculum, et celeriter munitionem aliquam exstruere in hostium finibus imperator possit. Considerandus primum locus aliquis firmus, qui decem, aut duodecim diebus arido ligno circumjici possit, si quando gravis aliqua incursio hostium timetur : deinde si abundantia aliqua lignorum, lapidum, laterum in promptu sit, et si aqua ibi, vel præsto sit, vel parari possit.

68. Parabis artifices idoneos, portas, et mangana murorum, et præsidia idonea peditum armatorum strenuorum, præfectorumque prudentum, ac nobilium : curruum quoque subsidia quasi ad fossatum instruendum et firmandum : commeatum præterea trium aut quatuor mensium, vel si opus sit universæ æstatis : pastus vicinos ac finitimos omnes incendens. Sin ad comburendum difficiles fuerint, absumant universos, rumoresque disperges, velle te alio in loco incursionem adversus hostes facere, et præsidia quædam ad eum locum de quo rumor est mittes, ut ibi te exspectando hostes vexentur, tumque subito ante diem unum animabis eos qui in hanc munitionem ingressuri

A ξα'. Ἀλλὰ καὶ τὰ ἀκοντίσματα ἢ διὰ τόξων ἢ διὰ λίθων, ἢ διὰ τοξοβολιστρῶν μὴ ἀκαίρως καὶ μάτην ἐκ τοῦ τείχους ποιεῖν, καὶ ἐκ τούτου εἰς καταφρόνησιν γίνεσθαι αὐτὰ τοῖς ἐναντίοις ὡς μὴ ἐνεργοῦντα.

ξβ'. Ἐὰν δὲ ἀπὸ κιστέρνας ἔχωσι τὸ πόσιμον ὕδωρ, καὶ οὐκ ἀπὸ πηγῆς ἀδιαλείπτου, ἢ ἀπὸ πλεθροῦ ὀλιγούμενον, τὸ ὕδωρ μέτρῳ τινὶ καὶ διοικήσει γίνεσθαι τὴν διανομήν, καὶ μὴ ἔχειν ἐπ' ἐξουσίας τὸν θέλοντα ὡς ἀρέσκει αὐτῷ δαπανᾷν.

ξγ'. Ὁμοίως καὶ ἐπὶ τῆς ἄλλης δαπάνης συμμέτρως ἅπαντα γίνεσθαι, ἵνα καὶ ἀρκῇ, καὶ εὐρώστους τοὺς πολιορκουμένους φυλάττῃ.

ξδ'. Τὰς δὲ βίγλας ἐπιμελῶς κατὰ διαδοχὴν γίνεσθαι, καὶ μάλιστα ἐν ταῖς νυξί. Ἐν παραφυλακῇ δὲ
B τηρεῖσθαι καὶ τὴν δαπάνην, εἰς τὸ μὴ εὐκόλως ὑπὸ τῶν τυχόντων διαρπάζεσθαι.

ξε'. Παραινεῖν δὲ συνεχέστερον τὸν κρατοῦντα τοὺς ἐντὸς διὰ λόγων, καὶ προθυμοποιεῖν πρὸς τὴν ὑπομονήν, ἕως εἴτε διὰ τῆς σῆς δυνάμεως, εἴτε δι' ἑτέρας αἰτίας ὁ καιρὸς τῆς ἀναχωρήσεως τῶν ἐχθρῶν. Ἐπιδρομὰς δὲ ποιεῖν τὸν στρατηγὸν ὅσον ἡ δύναμις ἁπαντᾷ κατὰ τῶν πολιορκούντων διά τινων διαφόρων προσβολῶν καὶ φήμης, ὡς ἑτέρου πλείστου στρατοῦ
C ἐπερχομένου, καὶ ὅσα θροεῖν δύναται τοὺς πολεμίους.

ξς'. Ταῦτα μὲν οὖν πολιορκούμενος ποιήσει ὅσα μοι εἴρηται, καὶ ἕτερα δέ τινα προσεπινοήσει τὰ ἐναντία πρὸς ἕκαστον τῶν παρὰ τοῦ πολιορκοῦντος μηχανωμένων, καὶ παρ' ἡμῶν εἰρημένων ἔμπροσθεν, ἀντιτιθεὶς ἐκείνοις τὰ ἴδια ἐκ τοῦ ἐναντίου. Αὐτόθεν γὰρ ἐπινοήσει πῶς δεῖ ἑκάστῳ τῶν ἐπαγομένων ἀντιμάχεσθαι.

ξζ'. Οὐ παραλείψω δὲ καὶ ὅπερ μοι ἐρευνῶντι εὕρηται καὶ ἀνέγνωσται, εἰ καὶ μὴ νῦν ἐστι περισπούδαστον, περὶ τοῦ πῶς δυνατὸν λαθραίως διὰ τάχους κτίζειν φρούριον τὸν βουλόμενον στρατηγὸν ἐν μεθορίῳ πολεμίων ἀλλαχοῦ που λανθάνοντα τοὺς ἐχθρούς. Πρότερον μὲν γὰρ δεῖ σε κατασκοπῆσαι τόπον ὀχυρὸν, δυνάμενον διὰ δέκα ἢ δώδεκα ἡμερῶν διὰ ξηρᾶς ὕλης περιβληθῆναι ἐν καιρῷ ἐπιφόβου προσβολῆς τῶν πολεμίων, καὶ ἐάν εἰσιν ὕλαι πλησίον λίθου, ἢ ξύλου, ἢ πλίνθου ἑτοίμης, καὶ ἔστιν ὕδωρ, ἢ ἐπινοηθῆναι
D δυνατόν.

ξη'. Καὶ προπαρασκευάσαι τεχνίτας ἱκανοὺς, καὶ πόρτας, καὶ μάγγανα τείχους, καὶ βοήθειαν ἀρκοῦσαν πεζῶν ἐνόπλων καὶ γενναίων μετὰ ἀρχόντων φρονίμων καὶ εὐψύχων, ἅμα καὶ ἁμαξῶν, ὡς εἰς φοσσάτου τάξιν καὶ ἀσφάλειαν αὐτῶν καὶ δαπάνης τριῶν ἢ τεσσάρων μηνῶν. Καὶ εἰ καιρός ἐστι θέρους ἐμπρῆσαι τὰς βοσκὰς τὰς πλησίον τοῦ τόπου· εἰ δὲ καῆναι δυσχερεῖς εἰσιν, καταδαπανῆσαι αὐτὰς, καὶ διαφημίσαι ὡς ἐν ἑτέρῳ τόπῳ ποιήσεις κατὰ τῶν ἐχθρῶν ἐπέλευσιν· καὶ πέμψεις βοήθειαν ἀσφαλῆ κατὰ τοῦ φημιζομένου τόπου, ἵνα ἐκεῖ προσδοκῶντες περισπῶνται οἱ ἐχθροὶ, καὶ τότε πρὸ μιᾶς ἡμέρας θαῤῥήσει τοῖς ὀφείλουσιν εἰσελθεῖν ἐν τῷ τόπῳ, καὶ τινὰ μὲν δῶρα δοῦναι εἰς προτροπὴν αὐτῶν, τινὰ δὲ

Digitized by Google

καὶ ἐπαγγέλλεσθαι, καὶ αἰφνίδιον ἐν ἑτέρῳ τόπῳ τῶν A ἐχθρῶν ἀσχολουμένων μετὰ παντὸς τοῦ στρατοῦ ἐπιστῇς τῷ ὡρισμένῳ σοι τόπῳ, καὶ στήσεις βίγλας ἀσφαλεῖς, καὶ οἱ πεζοὶ ἀπληκεύσουσι κύκλῳ τοῦ ὀχυρώματος, καὶ τάφρον βαθυτάτην ποιήσεις, εἰ ἐπιδέχεται ὁ τόπος.

ξθ'. Καὶ εἰ μὲν λίθος, ἢ πλίνθος εὑρίσκεται, οἰκοδομῆσαι ξηρὸν δεῖ, καὶ δῆσαι διὰ ξύλων ἀσφαλῶς καὶ συνεχῶς· εἰ δὲ ξύλα μόνον εἰσὶ, δι' αὐτῶν ἀποκλεῖσαι ὀλίγον καὶ ὀχυρὸν τόπον καὶ μὴ μέγαν τέως.

ο'. Μετὰ δὲ τὸ ἀποκλεισθῆναι αὐτὸν κατὰ τὸν λεχθέντα τόπον (20), εἰ μὲν ὁρμήσωσιν οἱ ἐχθροὶ κατὰ τοῦ τόπου, καὶ οἶδας ὅτι οὐ δύνασαι πρὸς μάχην ἀντέχειν, τότε ἀναχωρήσεις πρὸ τῆς παρουσίας αὐτῶν, καταλιπὼν ἔσωθεν τοὺς ἱκανοὺς, καὶ ἀπληκεύσεις B πλησίον τοσοῦτον, ὥστε μήτε ἐγγὺς τῶν ἐχθρῶν εἶναι, καὶ ἀναγκασθῆναι πολεμῆσαι, μήτε μήκοθεν τῶν ἐν τῷ ὀχυρώματι, ἵνα μὴ εὐκαιροῦντες οἱ ἐχθροὶ σφοδρῶς ἐπίκεινται τοῖς ἔσωθεν.

οα'. Δώσεις δὲ σημεῖον τοῖς ἐν αὐτῷ, τί μὲν ἐν τῇ ἡμέρᾳ, τί δὲ ἐν τῇ νυκτὶ ὀφείλουσι ποιεῖν, δι' οὗ φανερὸν ἔσται σοι, ἐν ποίᾳ εἰσὶν οἱ ἀποκλεισθέντες καταστάσει.

οβ'. Εἰ δὲ δυνατὸν διὰ πεζικῆς μάχης ἀποσοβηθῆναι τοὺς ἐχθροὺς, ἐὰν ἄρα περίστασις, ὡς εἰκὸς, συμβῇ τοῖς ἐν τῷ φρουρίῳ, οὐδὲ τοῦτο δεῖ ὑπερτίθεσθαι, ἵνα μὴ ἔσωθεν κινδυνεύσωσιν.

ογ'. Ὅταν δὲ ἄδεια γένηται, εὐθέως κατὰ ὀλίγον C ἀποτειχίζειν χρὴ τὸ προσποιητὸν οἰκοδόμημα καὶ ἐν χωρίῳ ἰσχυρῷ κτίζειν αὐτὸ καὶ ὀχυροποιεῖν, καὶ τῶν ἀναγκαίων ἐν αὐτῷ φροντίζειν.

οδ'. Γίνονται δὲ αἱ τοιαῦται ἐγχειρήσεις ἁρμοδίως κατὰ καβαλλαρικοῦ (21) ἔθνους, περὶ τὸν Ἰούλιον, ἢ Αὔγουστον, ἢ Σεπτέμβριον μῆνα, ὅταν ἡ βοτάνη εὐκαίρως ξηραινομένη καὶ ἔσται (22), καὶ οἱ καβαλλάριοι τῶν ἐχθρῶν στενοῦνται παραχαθίσαι χρόνον ἱκανόν.

οε'. Εἰ δὲ ἀπόρως πρὸς τὸ ὕδωρ ὁ τόπος ἔχει, μηδὲ βρυτοῦ ἐν αὐτῷ ὄντος, μηδ' ἐν ὀρύγματι εὑρισκομένου, δεῖ ἢ πίθους ὀστρακίνους, ἢ βουττία τέλεια προευτρεπίζειν, καὶ γεμίζειν ὕδατος, καὶ κόχλακας ἐν αὐτῷ ποταμίους ῥίπτειν, εἰς τὸ αὐταρκέσαι μέχρι D τῆς τοῦ χειμῶνος, καὶ φθάσει καὶ κιστέρνα οἰκοδομηθῆναι, καὶ ὄμβριον ὑποδέξασθαι ὕδωρ.

ος'. Ἵνα δὲ μὴ, ὡς εἰκὸς, ὄζῃ ἀκίνητον μένον τὸ ὕδωρ ἐν τοῖς ἀγγείοις, καὶ δοχεῖα μικρὰ δέον αὐτοῖς παρατίθεσθαι, ἵνα κατὰ ὀλίγον ἀποστάζον τὸ ὕδωρ ἐν αὐτοῖς κίνησιν δέχεται· ἅμα δὲ τοῦ πληροῦσθαι τὰ δοχεῖα πάλιν ἀποκενοῦμεν τοῖς πίθοις ἢ τοῖς βουττίοις τοῦτο, ἵνα διὰ τῆς κινήσεως ταύτης διαπνέηται τὸ ὕδωρ καὶ μὴ ἀφανίζηται.

οζ'. Χρήσιμον δέ ἐστι καὶ τὸ σανίδας προπαρασκευάσαι παχυτέρας, καὶ ἐν κατορύγματι συμπῆξαι αὐτὰς ὡς ἐπὶ σαρπίου, καὶ διὰ πίσσης καὶ στυππίου

sunt, et quædam dona illis ad impellendos eos dabis, quædam vero etiam præterea promittes, ac subito hostibus jam alio in loco occupatis, universo cum exercitu ad definita loca pervenies, et excubias tutas collocabis, et pedites circumcirca munitionem instrues, et fossam altissimam, si id locus admittat, facies.

69. Si lapides, aut lateres ibi fuerint, locum aridum exædificabis, lignisque tuto ac assidue illigabis : sin ligna solum fuerint, includendus locus lignis est firmandusque.

70. Ubi hic locus ad prædictum modum inclusus fuerit, hostesque eum locum adoriantur, neque illorum impetum sustinere potes, ante adventum hostium discedes, homines satis multos atque idoneos ibi relinquens : vel prope eum locum castra pones, ut neque prope cum sis, præliari cum hostibus cogaris : neque longius de munitione discedas, ut ne opportunitatem hostes nacti vehementer inclusos hac munitione invadant.

71. Signum aliquod illis certum interdum dabis, atque aliud certum noctu, quo cognitum tibi erit quonam in statu sint.

72. Si pedestri prælio repelli milites possunt, ubi aliqua molestia inclusos circumstat, ne hoc quidem prætermittendum est, ut ne in aliquod periculum veniant.

73. Ubi aliqua securitas jam est, paulatim ædificare oportet susceptam munitionem, firmamque eam ac robustam facere : omniumque necessariarum rerum curam suscipere.

74. Hujusmodi rerum aggressiones idonee adversus equestres copias, Julio, Augusto, aut Septembri mense suscipiuntur, quando herba omnis arefacta exustaque est, equitesque hostium impediantur diu in eo loco consistere.

75. Si defectus hic locus aqua fuerit, neque natura ibi sit, neque in fossa ulla inveniatur, vel dolia testacea, vel buttia integra parare, atque aqua explere, et colchlaces fluviatiles conjicere, quæ illis ad hibernum tempus sufficiant, cisternæque ædificentur ad aquam pluviam excipiendam.

76. Ut ne aqua oleat immota stans, sub vasis receptacula quædam ponantur, ut paulatim defluens aqua motum capiat : ubi autem completa hæc receptacula fuerint, rursus in dolia et buttia infundantur, ut hoc motu aqua perflata minime corrumpatur.

77. Utile autem fuerit asseres præparare crassiores, et in fossa eos conjungere, tum sarpio, picc, stuppa, juncturas omnes firmare nodosque ido-

NOTÆ.

(20) *Τόπον*. Scribe, τρόπον.
(21) *Καβαλλαρικοῦ*. Scribe, καχαρικοῦ.
(22) *Καὶ ἔσται*. Scribe, καίεται.

Digitized by Google

nee aptare, tum ordine quodam cisternas mediocres apparare viginti numero, decem pedum latitudine, altitudine autem octo, aut decem, donec omnes cisternæ ad aquam omnem capiendam habiles fuerint. In majoribus enim vasis diutius aqua permanet. Transtra autem quædam lignea trabesque ad continenda latera cisternarum adhibeantur, ut ne aquæ multitudine disrupti asseres discedant, aquaque omnis effundatur.

A κατασφαλίσασθαι τὰς ζεύξεις ἤτοι τοὺς ἁρμοὺς αὐτοῦ, καὶ ἐν τάξει ξυλίνης κινστέρνης συμμέτρου κατασκευάσαι, εἴτε μίαν, εἴτε πλείους, ἐχούσας εἴκοσι ἐπὶ δίκα πόδας τὸ πλάτος, τὸ δὲ ὕψος ὀκτὼ ἢ δέκα, μέχρις οὗ ἐγχόρηγοι αἱ κινστέρναι γένωνται· δῆλον γάρ ἐστιν ὡς ἐν τοῖς μειζοτέροις ἀγγείοις πλέον τὸ ὕδωρ διαμένει. Κατόχια δὲ ξύλινα ἐν τῷ μέσῳ τῶν κινστερνῶν οἷον συνδέσμους ὡς τραπεζέα δεῖ βάλλεσθαι καὶ σανίδας παχείας, ἵνα μὴ τῷ πλήθει τοῦ ὕδατος βιαζόμεναι αἱ σανίδες στρέφωνται, καὶ τὸ ὕδωρ ἀπολλύωσιν.

78. Itaque igitur de hac re nobis dictum sit, ut tempore hoc desiderante hujusmodi apparatum in promptu habeas. De obsidione igitur aliisque rebus hæc sint satis.

οη'. Οὕτω μὲν οὖν καὶ περὶ τούτου εἰρήσθω, ὅπως ποτὲ καιροῦ καλοῦντος ἔχῃς δι' ἑτοίμου καὶ τὴν τοιαύτην διάταξιν. Τοσαῦτα μέν σοι καὶ περὶ τε πολιορκίας καὶ τῶν ἄλλων εἰρήσθω.

CONSTITUTIO XVI.

De incursionibus post bellum.

1. Restat jam ut quæ post exitum belli futura sunt, dicamus. Si enim exercitum bene instruxeris, Deo propitio speramus victoriam consecuturam.

2. Ac primum gratiæ Domino nostro Jesu Christo agendæ, vel ante victoriam belli aliquid pium promittendum, quod promissum post belli exitum faciendum sit.

3. Deinde perscrutaberis, qui se in bello strenue gesserint, illisque idoneos honores habebis, ignavos autem quo par est supplicio constringes.

4. Strenuos viros iis muneribus honorabis: integras armaturas, si quæ claræ illustresque fuerint, ac de bellicis spoliis quæ commoda sunt, illis dabis, honoribusque pro dignitate ex æquo ac bono unumquemque, ut cohortes milliarias, cohortes, centurias, reliquasque consuetas sub dominatum tuum subjectas multitudines. Plebeios milites, qui strenui fuerint, minoribus donis; præfectos autem majoribus honorabis: ita enim fiet ut majori fortiorique animo sint qui dimicabunt, si ea quæ cupiunt in primis assequantur.

5. Ubi enim honores et præmia habentur bonis, supplicia et pœnæ afferuntur malis, ibi bonam spem habebit exercitus: mali enim in formidine peccandi erunt, boni vero ut strenui sint laborabunt.

6. Neque vero solum unicuique singulatim viro honores habebis, sed etiam integras cohortes, cohortes milliarias, ac turmas præmiis decorabis. Res hostium militibus diripiendas dabis, sive apparatus aliquis, sive impedimenta, sive tuldum, sive civitas, sive castellum fuerit: nisi si captivis rebusque direptis aliquid melius ac præclarius facies.

7. Quid enim causæ esse potest, cur non e bellicis spoliis strenui milites præmia haberent; venatores enim cernimus canes suos venationis suæ

ΔΙΑΤΑΞΙΣ ΙϚ' (23).

Περὶ τῶν μετὰ τὸν πόλεμον.

α'. Ἐφεξῆς δὲ τούτων καὶ ὅσα μετὰ τὴν πολέμου ἔκβασιν δέον γίνεσθαι ῥητέον. Καὶ γὰρ ἐὰν καλῶς ἐκτάξῃς τὸ στράτευμα, μετὰ τῆς τοῦ Θεοῦ βοηθείας ἐλπίζομεν καὶ τὴν νίκην παρέσεσθαι.

β'. Καὶ πρῶτον μὲν ἀποδώσεις Κυρίῳ τῷ Θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ τὴν εὐχαριστίαν, καὶ εἴτι ἐπηγγείλω πρὸ τῆς νίκης τοῦ πολέμου ἀποδώσει μετὰ τὴν νίκην χαριστήριον, μὴ ἀμελήσῃς ἀποδοῦναι.

γ'. Καὶ εἶθ' οὕτως ἀνερευνήσεις τοὺς ἀριστεύσαντας ἐν τοῖς τῆς μάχης κινδύνοις, καὶ τούτους ἀνευρίσκων τίμησον αὐτοὺς δωρεαῖς καὶ τιμαῖς ταῖς ἑκάστῳ πρεπούσαις· τοὺς δὲ κακοὺς φανέντας κόλαζε.

δ'. Τιμήσεις δὲ τοὺς ἀριστεύσαντας δωρεαῖς τοιαύταις, οἷον πανοπλίας ἐπιδώσεις τερπνὰς, καὶ τὰ ἀπὸ τοῦ πολέμου συνηγμένα σκύλα διανεμεῖς αὐτοῖς· τιμήσεις δὲ καὶ εἰς ἀξιώματα κατ' ἀναλογίαν ἁρμοδίως ἕκαστον, οἷον εἰς δρουγγαρίους, εἰς βάνδα, εἰς κεντάρχιας, καὶ εἰς τὰς ἄλλας συνήθεις ὑπὸ τὴν σὴν ἐξουσίαν ἀρχοντικὰς προβολὰς, τῶν μὲν λιτῶν στρατιωτῶν τοὺς ἀνδραγαθήσαντας εἰς μικροτέρας τιμὰς, τῶν δὲ ἀρχόντων εἰς μείζονας ἀρχάς· οὕτως γὰρ μεγαλόψυχοι καὶ γενναῖοι ἔσονται οἱ ἀγωνιζόμενοι τυγχάνοντες μάλιστα καὶ ὧν ἐπιθυμοῦσιν.

5. Ubi enim honores et præmia habentur bonis, supplicia et pœnæ afferuntur malis, ibi bonam spem habebit exercitus: mali enim in formidine peccandi erunt, boni vero ut strenui sint laborabunt.

ε'. Ὅπου δὲ τιμαὶ μὲν καὶ κέρδη ἀποδίδονται τοῖς ἀγαθοῖς, τιμωρίαι δὲ ἐπάγονται τοῖς κακοῖς, ἐνταῦθα καλὰς ἐλπίδας ἔχειν ἐξ ἀνάγκης τὸ στρατόπεδον· οἱ μὲν γὰρ κακοὶ φοβοῦνται ἁμαρτάνειν, οἱ δὲ ἀγαθοὶ σπουδάζουσιν ἀνδραγαθεῖν.

6. Neque vero solum unicuique singulatim viro honores habebis, sed etiam integras cohortes, cohortes milliarias, ac turmas præmiis decorabis. Res hostium militibus diripiendas dabis, sive apparatus aliquis, sive impedimenta, sive tuldum, sive civitas, sive castellum fuerit: nisi si captivis rebusque direptis aliquid melius ac præclarius facies.

ς'. Καὶ μὴ μόνον κατὰ ἕνα ἄνδρα τὰς ἀμοιβὰς ἀποδίδου, ἀλλὰ καὶ ὅλον τάγμα, ἢ δροῦγγον, ἢ τούρμαν, ἀνδραγαθήσαντας ἐπίτρεπε διαρπάζειν τὰ τῶν πολεμίων τοὺς στρατιώτας, εἴτε ἀποσκευαί εἰσιν, εἴτε τὸ τοῦλδον, εἴτε πόλις, ἢ κάστρον, ἢ τι ἕτερον· ἐὰν ἄρα μὴ βούλῃ χρηστότερόν τι περὶ τῶν ἁλωκότων καὶ πραγμάτων καὶ αἰχμαλώτων βουλεύσασθαι.

7. Quid enim causæ esse potest, cur non e bellicis spoliis strenui milites præmia haberent; venatores enim cernimus canes suos venationis suæ

ζ'. Καὶ πῶς γὰρ οὐ δίκαιον τοῖς εἰρημένοις ἀπὸ τῶν πολεμίων σκύλοις τοὺς ἀριστεύσαντας στρατιώτας φιλοτιμεῖσθαι; ὁρῶμεν γὰρ ὅτι καὶ τοὺς κυν-

NOTÆ

(23) In cod. Laur. est cap. 15

Digitized by Google

ηγετικοὺς κύνας οἱ κυνηγοὶ τοῦ θηρευομένου ζώου τῷ αἵματι, καί ποτε καὶ τοῖς ἐντοσθίοις δελεάζειν ἀναγκαῖον ποιοῦνται, ἵνα προθυμοτέρους καὶ πάλιν εἰς τοὺς ἀγῶνας τῆς θήρας ποιήσωσιν. Οὕτως γὰρ μάλιστα, εἰ καὶ μήπω τέλος δέξηται ὁ πόλεμος, προθυμότερος ὁ στρατὸς πρὸς τὰς μάχας γενήσεται.

A sanguine inescare, interdum etiam intestinis donare, ut ad persequendas feras alacriores fiant. Ita ante belli exitum si munerabuntur milites, alacrior exercitus ad bellum gerendum fiet.

η'. Διαφέρει γὰρ ὁ πόλεμος τῆς μάχης· ὁ μὲν γὰρ πόλεμος ἀπὸ ἀρχῆς καὶ μέχρι τέλους καὶ καταπαύσεως τῶν μαχομένων λέγεται, πολλὰς ἐν ἑαυτῷ μάχας περιέχων· ἡ δὲ μάχη μερικὸς λέγεται πόλεμος, πολλάκις γινομένη ἐν τῷ τοῦ καθ' ὅλου πολέμου καιρῷ, καὶ ἀπογινομένη. Οὐ μὴν δὲ πάντοτε τέλος ἐπάγουσα πολέμου, ἀλλὰ πρὸς τὴν χρείαν καὶ δύο καὶ τρὶς καὶ πολλάκις ἐν ὅλῳ τῷ τοῦ πολέμου καιρῷ τὰς συμβολὰς ποιουμένη.

8. Bellum a pugna differt: bellum enim ab initio usque ad finem et omnium militum cessationem, multas dicitur in se pugnas continere: pugna autem pars quædam quasi belli dicitur, quæ in universo bello sæpe est, sæpe abest, quæ tamen finem belli non affert. Etenim sæpe bis, sæpe ter, aut etiam frequentius, pro rerum gerendarum necessitate, in bellum confligunt.

θ'. Τὰς δὲ ἁρπαγὰς οὐκ ἐπὶ πάσης μάχης λέγομεν γίνεσθαι, ἀλλὰ ποτὲ μὲν, ποτὲ δὲ οὔ, καθὼς αὐτὸ συμφέρον ἀπαιτήσῃ τοῦ καιροῦ.

B 9. Insectationes hostium non semper post pugnam, sed interdum fiunt, interdum non, quemadmodum necessitas belli exigit.

ι'. Καὶ τὰ μὲν αἰχμάλωτα σώματα πιπράσκειν τὸν στρατόν· εἰ δὲ χρημάτων ἐστὶ χρεία, καὶ δαπάνης κοινῆς καὶ μεγάλης, πάντα πρὸς σὲ ἀναφέρεσθαι κήρυξον, καὶ πᾶσαν ἐπιθυμίαν καὶ σοῦ αὐτοῦ καὶ τῶν ὑπὸ σὲ ἀρχόντων ἀπὸ τῶν τοιούτων ἐπισωρευομένων χρημάτων χαλίνωσον, καὶ ἀναλογίζου τὴν χρείαν τῶν ἀναγκαίων. Καὶ οὕτως δύνασαι τὴν τοῦ κοινοῦ δαπάνην κατὰ τὸ δυνατὸν ἀναλῶσαι, καὶ τοὺς ἐν τῇ μάχῃ ἀγωνισαμένους παραμυθήσασθαι, εἰ μὲν δύνασαι διὰ χρημάτων, εἰ δ' οὐκ ἐπαρκεῖ, διὰ τιμῶν καὶ ἀξιωμάτων.

10. Quæ bello capiuntur vendat exercitus: sin pecuniis aut commeatu opus sit omnia ad te abduci jubebis, tuamque ac reliquorum præfectorum cupiditatem iis pecuniis collectis obstrue, et necessariarum rerum inopiam commemora. Atque ita potes rerum necessariarum ac commeatus inopiam suppeditare, eosque qui in prælio dimicant sublevare, si potes, pecunia, sin minus hoc satis fuerit, honoribus et dignitate.

ια'. Τοὺς δὲ αἰχμαλώτους πρὸ τοῦ τελείως καταπαῦσαι τὸν πόλεμον μὴ κτεῖνε, καὶ μάλιστα τοὺς ἐνδόξους καὶ μεγάλους παρὰ τοῖς πολεμίοις ὄντας· ἐνθυμούμενος τὸ ἄδηλον τῆς τύχης, καὶ τὸ παλίντροπον ὡς ἐπὶ τὸ πολὺ τῆς νίκης· ἵν' ἔχῃς, εἴ γε συμβῇ ἢ τῶν ὑπὸ σέ τινας κρατηθῆναι, ἢ κάστρου γενέσθαι ἰδίου σου ἅλωσιν, δι' αὐτῶν ἀντικαταλλάττειν καὶ ἀνακαλεῖσθαι τὰ, ὡς εἰκὸς, συμβαίνοντα ἡττήματα· καὶ ἀντὶ τῶν πολεμίων αἰχμαλώτων ἀναλάβῃς τοὺς φίλους καὶ συμμάχους· εἰ δὲ [μὴ] βούλονται τοῦτο ποιεῖν οἱ πολέμιοι, τότε δικαίως κατὰ τὸ ἴσον ἀμύνου, διαχρώμενος ὡς βούλῃ ἐπὶ λύπῃ τῶν ἐναντίων.

C 11. Captivos ante bellum confectum ne interficias, nobilesque in primis ac illustres viros: reputare enim debet ancipitem belli exitum, incertosque casus, conversionemque rerum et victoriæ quam habes. Aut si contingat aliquos de tuis, aut castellum aliquod capi, illis commutes et resarcias objecta damna, et pro hostibus captivis amicos sociosque recuperabis. Sin minus hoc hostes voluerint, ex æquo tum et bono illos ulciscere, ad vexandos hostes illos pro arbitratu tuo trucidabis.

ιβ'. Μετὰ δὲ τὰ κατορθώματα καὶ τοὺς ἀγῶνας, ὦ στρατηγὲ, καὶ πρὸς εὐωχίας ἤγουν τραπέζας καὶ ἄριστα προτρέπου καθίστασθαι τούς τε ἄρχοντας, καὶ τοὺς σοὺ στρατιώτας, τὰ μὲν διὰ σοῦ αὐτοῦ, τὰ δὲ διὰ τῶν ἀρχόντων, τὰ δὲ διὰ τῶν κοντουβερνίων ἰδίων, καὶ μάλιστα ἐκ τῶν κερδηθέντων ἀπὸ τῶν πολεμίων. Καὶ οὕτως διὰ πολλῶν ἀριστοποιεῖσθαι καὶ ἀναπαύεσθαι τοὺς στρατιώτας παρασκεύαζε· ἵνα εἰδότες οἷων ἀξιοῦνται μετὰ τὸ παρελθεῖν τοὺς πολεμίους ἀγῶνας οἱ ἀριστεύοντες καὶ οἱ νικήσαντες, προθυμότεροι γένωνται πρὸς τὸ ὑπομένειν πάντα πρὸ τοῦ νικῆσαι, καὶ πρὸς τοὺς πόνους μᾶλλον ἑτοιμότεροι.

D 12. Post res aliquot bene gestas in prælio, ac dimicationes quasdam feliciter cadentes, ad epulas et convivia et lautiora prandia tum præfectos tum milites partim per contubernia, ex iis quæ bello capta sunt præparabis, atque adeo prandeant hilarenturque milites: efficies enim ut qui strenui sunt, sentientes quibus rebus ac lætitiis post victoriam fruentur, alacriores ad omnia ante victoriam sustinenda pericula sint, et ad labores magis prompti.

ιγ'. Προνοοῦ δὲ μάλιστα καὶ τῆς τῶν νεκρῶν ταφῆς, μήτε καιρὸν, μήτε ὥραν, μήτε τόπον, μήτε φόβον, προφασιζόμενος, κἂν τε νικῶν τύχῃς, κἂν τε ἡττώμενος· πάντοτε μὲν γὰρ καλὸν καὶ ὅσιον ἡ πρὸς τοὺς τεθνηκότας εὐσέβεια· ἀναγκαία δὲ μάλιστα ἡ ἐπὶ

13. De sepeliendis mortuis admodum laborabis, neque tempus, neque occasionem, neque locum, neque timorem causans. Pulchrum enim piumque esse videtur, mortuis sepulturam parare. Necessaria autem cum primis res est iis qui bello cadunt,

Digitized by Google

pietas enim ea in re monstratur, et viventes magnopere hoc facto consolationem capiunt. Quemadmodum in istis fieri videt, unusquisque, ita secum futurum arbitrabitur, si in bello occumbat. Si enim insepultos disjectosque esse videat, suum secum statum reputabit, hanc contumeliam moleste ferat, et mortem quantum potest in prælio refugiet, ne insepultus abjiciatur. Sin honores mortuis laudesque illis qui occubuerunt proponantur, excitabitur magis ad quævis pericula discriminaque in bello subeunda.

14. Sin contingat exercitum tuum superari, eos qui in discrimina hæc evaserunt, oratione excitabis, et alacres quantum potes illos reddes, et offensionem belli acceptam occultis incursionibus atque insidiis resarcies.

15. Solent enim homines rebus feliciter gestis ad seipsos conservandos negligentiores esse : quando enim victos contemnunt, seipsos negligunt. Atque ita felicitas rei gestæ sæpe fortunatos magis quam victos et superatos lædit.

16. Tu enim qui offensionem belli accepisti per te ex iis quæ perpessus es didicisti teipsum de cætero tutum conservare : ille autem qui rerum prosperitate affluit, adversam fortunam non sentiens, nulla provisione et cautione utitur ad ea declinanda, quorum nullum adhuc sensum habuit. Scitum est enim hoc sapientis cujusdam verbum. Timor opportunus, sedula incolumitas est : contemptio importuna, insidiabilis audacia est.

17. Si intermissionem belli feceris vel verbis vel pactis et conventionibus, pacta tua diligenter servabis, neque hostes invades, atque imparatus adversus hostes eris, sed quiesce quasi in pace esses, propter inducias cum hostibus factas, apparatas autem copias quasi ad bellum semper habeto, propter hostium fœdifragas et nec opinatas incursiones.

18. Par est autem ut neque improvidus hoc tempore sis, nec rursus aliquid impium præter inducias, Deo teste, factas committas, sed circumspectus sis ad hostium dolos atque insidias devitandas : obscuræ enim sunt hostium inducias tecum facientium voluntates. Sed tu sic te geras, ut nullam illis injuriam pietatis causa facias : hostium tamen perfidiam cavebis, ut ne ab illis, propter impios illorum conatus, lædaris.

19. Omnia enim ad Dei vindictam referre, sinceri animi non est. Non confestim enim divina vindicta infertur, sed quando omnium procurator et administrator Deus hoc futurum decernit. Quis enim novit quando injuriam inferre moliuntur hostes, utrum illi trucidandi sint, tu vero conservandus?

20. Licebit igitur nobis eodem modo res nostras

τοῖς πίπτουσιν ἐν μάχῃ. Καὶ γὰρ καὶ ἐν ἐκείνοις τὸ ὅσιον δείκνυται, καὶ πρὸς τοὺς ζῶντας μεγάλης παραμυθίας ἀπόδειξις. Ἕκαστος γὰρ τῶν στρατιωτῶν ὁρῶν τὸ γινόμενον, οὕτως ἑαυτὸν νομίσει παθεῖν. Εἰ μὲν γὰρ ἀτάφους ἴδῃ κειμένους ἢ σπαρασσομένους τοὺς πίπτοντας, ἑαυτὸν λογιζόμενος, ἐπαχθῶς φέρει τὴν ὕβριν, καὶ φεύγει τὸ παθεῖν τι τοιοῦτον μαχόμενος καὶ ἄταφος καταλειφθῆναι. Εἰ δὲ τιμῆς ἀξιοῖτο καὶ μετὰ τὸ πεσεῖν καὶ μνήμης ἀγαθῆς ὁμοίως, ταῦτα συνορῶν οὐ παραιτήσεται προθυμότερον ἀγωνίσασθαι.

ιδ'. Εἰ δὲ οὕτω συμβῇ ὥστε ἡττηθῆναι τὸ στράτευμα, μὴ ἀμέλει τοῦ ἀνακτήσασθαι τοὺς ἀνασωθέντας διὰ λόγων καὶ προθυμοποιῆσαι αὐτούς, ἀλλὰ σπούδαζε καὶ ζήτει καιρὸν ὥστε ποτὲ καὶ μᾶλλον ἐπανορθώσασθαι τὴν ἐλάττωσιν διὰ κρυφαίων ἐφόδων ἢ ἐγκρυμμάτων.

ιε'. Εἰώθασι γὰρ πολλάκις οἱ εὐπραγοῦντες ῥᾳθυμότεροι γίνεσθαι περὶ τὰς φυλακὰς αὐτῶν. Καὶ γὰρ ὅταν τῶν ἡττηθέντων καταφρονήσωσι, τῶν ἰδίων καταμελοῦσι. Καὶ οὕτως πολλάκις τὰ εὐτυχήματα πλέον βλάπτει τοὺς εὐτυχοῦντας παρ' ὃ μᾶλλον οἱ δυστυχήσαντες ἐβλάβησαν.

ις'. Σὺ μὲν γὰρ πταίσας ἐδιδάχθης ἀφ' ἑαυτοῦ, καὶ ἐφύλαξας ἑαυτὸν πρὸς τὸ μέλλον ἐξ ὧν ἔπαθες. Ἐκεῖνος δὲ μηδέπω δυστυχήσας, ὡς ἄπειρος τῆς δυστυχίας, οὐκ ἔχει πρόνοιαν τοῦ φυλάξεσθαι μὴ παθεῖν ὅσα οὐκ ἔμαθεν. Εἴρηκεν γάρ τίς που παλαιὸς, ὅτι φόβος εὔκαιρος μετὰ ἐπιμελείας ἀσφάλεια, καταφρόνησις δὲ ἄκαιρος εὐεπιβούλευτος τόλμα.

ιζ'. Ἐὰν δέ ποτε ἀνοχὴν τοῦ πολέμου ποιήσῃς διά τινος λόγου καὶ συνθηκῶν ὁμολογηθέντων, σὺ μὲν τὰς οἰκείας φυλάττων συνθήκας μὴ ἐπιτεθῇς τοῖς ἐναντίοις· ἀφύλακτος δὲ μὴ διαμένῃς, ἀλλ' ἡσύχαζε μὲν πρὸς τοὺς πολεμίους διὰ τὰς σπονδὰς ὡς ἐν εἰρήνῃ· τὸ δὲ ἀσφαλὲς, εἰς τὸ μὴ πεσεῖν ἢ παθεῖν τι παρ' αὐτῶν, ὡς ἐπὶ πολέμου οὕτως ἔχε καὶ προνόου.

ιη'. Πρέπον γὰρ μήτε ἀφύλακτον ἐν τοιούτῳ καιρῷ σε εἶναι, μήτε πάλιν τι ποιεῖν ἀσεβὲς παρὰ τὰς ἐπὶ Θεῷ μάρτυρι τεθειμένας σπονδὰς, ἀλλ' εἶναι ὑποπτον, ὥστε φυλάττεσθαι τὸ τῶν πολεμίων δολερὸν καὶ ὕπουλον. Ἄδηλοι γὰρ αἱ τῶν σπεισαμένων ἦγουν τῶν εἰρηνευσάντων ἐναντίων γνῶμαι. Καὶ σὺ μὲν ἔχε τὸ βέβαιον, ὥστε μὴ ἀδικῆσαι διὰ τὸ εὐσεβὲς, τῶν δὲ πολεμίων τὸ ἄπιστον ὑπονοοῦ ὥστε μὴ ἀδικηθῆναι διὰ τὸ ἀσεβές.

ιθ'. Τὸ γὰρ πάντα ἀναφέρειν εἰς τὴν ἀπὸ τοῦ Θεοῦ ἐκδίκησιν οὐκ ἔστιν ἀκαιρίου (24) γνώμης. Οὐ γὰρ εὐθὺς ἡ θεία δίκη ἐπάγεται· ἀλλ' ὅτε βούλεται ὁ πάντων προνοητής. Τίς γὰρ οἶδεν εἰ ἅμα τῷ ἀσεβῆσαι τοὺς ἐχθροὺς αὐτοὶ μὲν διολεσθῶσιν, σὺ δὲ περισωθήσῃ;

κ'. Ἔξεστιν οὖν ἡμῖν μετὰ τῆς τῶν ἡμετέρων

NOTÆ.

(24) *Ἀκαιρέον*. Scribe, *ἀκεραίου*.

Digitized by Google

πραγμάτων ἀσφαλείας, εἰ οὕτως τύχῃ, πεῖραν λαμ- A
βάνειν τῆς τῶν πολεμίων ἀσεβείας· οὕτω γὰρ σὺ
μὲν διὰ τὴν σὴν πρόνοιαν οὐδὲν κακὸν πάθῃς, οἱ
δὲ κακῶσαι βουλευθέντες ἐχθροὶ, ἀσεβήσουσιν μὲν,
ὡς πράξαντές τι, εἰ ἐδυνήθησαν, σὲ τοῦ Θεοῦ διὰ τὴν
πίστιν τῶν ὁμολογηθέντων φυλάξαντος.

κα'. Πάντα δὲ τὸν βουλόμενόν τι ἀπαγγέλλειν σοι
καὶ δοῦλον καὶ ἐλεύθερον, καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ,
καὶ ἐν ὁδοιπορίᾳ, καὶ ἐν ἀπλήκτῳ, καὶ ἀναπαυόμενον
καὶ ὑπνοῦντα, καὶ ἐπὶ λουτροῦ, καὶ ἐπὶ τροφῆς,
καὶ παντὸς ἑτέρου καιροῦ καὶ τόπου, μὴ ἀποστρέ-
ψῃς, ἀλλὰ προσκαλοῦ αὐτόν. Οἱ γὰρ ἀναβαλλόμενοι
καὶ ἀπρόσιτοι, καὶ τοῖς ὑπηρέταις αὐτῶν κελεύοντες
ἀνακόπτειν τοὺς οὕτω προσερχομένους, πολλῶν καὶ
μεγάλων εἰκότως διαμαρτάνουσι πραγμάτων. Ταῦτά
σοι καὶ μετὰ τὸν πόλεμον, καὶ εἴ τι τούτοις παρα- B
πλήσιον ἐπινοηθῆναι ἰσχύσεις, παραφυλάττειν διατ-
αττόμεθα.

firmo loco stabilire, et impiæ molitionis hostium secure periculum facere: ita fiet ut provisione tua mali nihil accipias, hostesque, qui malum inferre student, impietatis teneantur, quasi te expugnare conarentur, sed Deus propter fidem induciarum servatam, minime id fieri permitteret.

21. Si quis, sive servus, sive liber, nocte aut die, in itinere aut castris, in requiete aut somnio, in balneo aut mensa, aut ullo alio tempore tecum voluerit communicare, ne averseris illum, sed accerse ad te; qui enim homines rejiciunt, et difficiles accessu sunt, et administris suis præcipiunt ut eos qui accedunt repellant, a magnis sæpe arduisque rebus gerendis absunt. Hæc tibi post bellum, et si quid aliud utile excogitabis, observanda præcipimus.

ΔΙΑΤΑΞΙΣ ΙΖ' (25).

Περὶ ἐφόδων ἀδοκήτων.

α'. Ἐξῆς δὲ καὶ ὅσα σοι δέον ἐν καιρῷ προσήκοντι γενέσθαι δι' ἐπελεύσεων ἀδοκήτων κατὰ τῆς γῆς τῶν πολεμίων, καὶ ὅπως αὐτὸς κατὰ τῆς ἐπελεύσεως τῶν πολεμίων ἀντιμηχανεύσει ἐν τοῖς ἰδίοις, ὅτε μὴ καιρὸς εἰρήνης ἐπικρατεῖ (πρόδηλος δὲ οὐ συνίστα-ται πόλεμος), διὰ τὴν τοῦ λόγου συμμετρίαν ἐν ὀλί-γοις διεξέλθωμεν.

β'. Ἀρχαῖός που διδάσκει λόγος ἡμᾶς, ὅνπερ καὶ οἱ μάλιστα συνετώτεροι τῶν στρατηγῶν καὶ πάλαι C
παρεφυλάξαντο, καὶ νῦν ὡς ἐπίπαν παραφυλάττον-τες εὐδοκιμοῦσί καὶ ἀριστεύουσι, τὸ δίχα ἰδίας βλάβης τὰς κατὰ τῶν πολεμίων ἐφόδους ἤτοι ἐπιδρο-μὰς ποιεῖσθαι. Τοῦτο δὲ γίνεσθαι δυνατόν ἐστιν, ἐὰν μετὰ σοφίας καὶ στρατηγήματος φρονίμου ἀθρόως αἱ κατὰ τῶν ἐχθρῶν γίνωνται ἐπελεύσεις. Καὶ γὰρ καὶ πρὸς τὰς ἰσομέτρους δυνάμεις ἐπωφελεῖς εὑρίσκονται αἱ τοιαῦται γινόμεναι καὶ πρὸς τὰς πολὺ τάχα ὑπερβαλλούσας.

2. Antiqua nos oratio hoc docet, quam et prudentissimi imperatores olim servaverunt, nuncque adeo quicunque servant, in rebus gerendis florent, et potiores habent, sine nostra offensione incursiones atque irruptiones in hostilem terram faciendas. Nam adversus pares numero ac viribus copias persæpe hoc valet, atque etiam adversum majores nonnunquam aliquid efficit.

γ'. Διὰ τοῦτο οὖν καὶ πάντοτε καλόν ἐστιν ἁρμο-δίας προφάσεις καὶ καιροὺς συμβάλλεσθαι δυναμέ-νους τῷ πράγματι ἐπιτηρεῖν, καὶ προκαταλαμβάνειν σε τοὺς ἐχθρούς, ὦ στρατηγέ, πρὶν ἢ καὶ ἑτοίμους τῆς ἀπαντήσεώς σου γένωνται, καὶ μάλιστα ἐκείνους ὅσους νομίζεις καὶ πλείονάς σου εἶναι καὶ δυνατω-τέρους.

3. Propterea semper atque ubique idoneas occasiones opportunitatesque temporum, quæ adjuvare rem nostram possunt, non prætermittes, sed hostes tuos anticipes priusquam parati ad occursum promptique esse possunt, illos in primis, quos putaveris tum plures, tum fortiores te esse.

δ'. Δεῖ γὰρ κατὰ τούτων αἰφνιδιασμοῖς μᾶλλον καὶ D
σοφίσμασι καὶ ἀπάταις, ὡς εἴρηται, κατὰ τὸ δυνα-τὸν πρότερον ποιεῖσθαι, ἀλλὰ μὴ δημοσίας ἐγχειρή-σεις, ὥστε ἐντεῦθεν εἰς κινδύνους δυσανακλήτους καὶ ἀφεύκτους ἐμπίπτειν.

4. Improvisis enim incursionibus, dolis molitionibusque hic magis opus est, quemadmodum a me supra dictum est, potius quam apertis ac manifestis prœliis, e quibus in pericula gravissima ac inevitabilia delapsuri essent.

ε'. Καὶ τῶν τοιούτων σοφισμάτων διαφόρων ὄν-των δέον σε τούτοις χρήσασθαι ἁρμοδίως καὶ τοῖς καιροῖς, καὶ τοῖς τόποις, καὶ τοῖς προσώποις, καὶ τοῖς πράγμασιν.

5. Cum hi doli diversi variique sint, istis uteris idonee pro temporum, locorum, personarum rerumque opportunitate.

ς'. Καὶ ποτὲ μὲν ἀποκρισιαρίων τῶν ἐχθρῶν πρὸς σὲ ἀποσταλέντων ἁπαλά τε καὶ κολακευτικὰ ῥήματα

6. Legatis hostium ad te missis, mollem humanamque responsionem illis adhibebis, et benigne

NOTÆ.

(25) In cod. Laur. est cap. 19 ubi inscribitur: Λέοντος ἐν Χριστῷ βασιλεῖ αἰωνίῳ βασιλέως Ῥω-μαίων περὶ ἐφόδων ἀδοκήτων.

Digitized by Google

atque humaniter dimittes, confestimque illos consequeris, et opinione citius hostes adorieris.

7. Legatos tuos ad hostes mollioribus cum verbis mittens, incursionem subito facies.

8. Interdum etiam hostium castra, sive in tua, sive in hostili terra coacti fuerint, considerabis diligenter, quemadmodum ponantur. Quod si ulla occasio inveniri potest, noctu luna lucente duas aut tres horas ante diem in hostes cum sagittariis bonis ac multis invadas : horum enim maximus usus est his temporibus.

9. Ubi cognoveris in itinere confusos dispersosque hostes ambulare in medio viæ, invades in eos lædesque.

10. Interdum discessionem simulans ex iis locis, in quibus versabaris, subito conversus in hostes irruptionem facies.

11. Interdum in locis quibusdam occultans teipsum cum militum multitudine, subito hostes invades.

12. Quidam armenta boum atque aliorum animantium exponentes, atque hostes ad horum direptionem invitantes, ubi viderint ad armenta diripienda dissipatos esse, statim in illos invadunt.

13. Apte fiunt incursiones, quando in intervallo hostium fluvius ad transeundum incommodus invenitur. Hoc solent equites potissimum facere : ibi enim pontem conficiunt vel ex trabibus magnis, quemadmodum mos est multos pontes fieri : vel parvis quibusdam navigiis, id est ratibus ; turresque ligneas vel aridorum lapidum, vel ex aggere quodam ad extremas oras pontis excitant, ut quando usus fert, per eum secure transeant, rursumque discedant quando volunt, ut pro imperatoris arbitratu permaneat pons quandiu ille voluerit, et confligat cum hostibus, vel discedat iterum secure, ponte jam dissoluto.

ις'. Καὶ ταῦτα μὲν περὶ ἐφόδων σοῦ τε πρὸς τὴν πολεμίαν καὶ τῶν πολεμίων πρὸς τὴν σὴν γινομένων, εἴρηται ἡμῖν. Χρεὼν δὲ καὶ περὶ τῶν ἄλλων. ὅσα χρήσιμα πρὸς στρατηγίαν δοκοῦσι καὶ ἀσφάλειαν, διεξελθεῖν, καὶ μάλιστα περὶ τοῦ πῶς δέον κατασκοπεῖν ἐχθροὺς, καὶ ὅπως πάλιν τοὺς ἀπ' ἐκείνων πεμπομένους κατασκόπους κρατεῖν λανθάνειν θέλοντας ἐν τῷ στρατῷ.

πη'. Δεῖ οὖν σε σκοπεῖν ἀκριβῶς, ὦ στρατηγὲ, τὴν ποσότητα τῆς τῶν ἐναντίων δυνάμεως πάντως, καὶ πρὸς τοῦτο κανονίζειν καὶ διοικεῖν σε τὰ κατ' αὐτῆς. Τὰ γὰρ σχήματα τῶν καβαλλαρικῶν τε καὶ πεζικῶν τάξεων, καὶ αἱ τῶν τόπων θέσεις, πολλὴν τῆς ποσότητος τοῦ λαοῦ διαφορὰν ποιοῦνται, καὶ ἀνυπέρβλητον εἰσάγουσιν πλάνην τοῖς ἁπλῶς καὶ ἀπείρως κατανοοῦσιν αὐτά. Καὶ ὅτι ὃ λέγω (46) ἀληθές ἐστιν, μαρτυρήσει τάχα (47) τῇ θεωρίᾳ ὁ μέλλων λεχθῆναι τρόπος.

πθ'. Ὑπόθου γὰρ ἑξακοσίους, καβαλλαρίους εἰς μῆκος ἐπὶ πεντακοσίοις εἰς πλάτος τάσσεσθαι (48), ὃ γίνεται τριάκοντα μυριάδες, ἤγουν τριακόσιαι χιλιάδες καβαλλαρίων. Ἑκάστου δὲ ἵππου εἰς τόπον τασσομένου κρατοῦντος πόδας τρεῖς κατὰ πλάτος, γίνονται πόδες χίλιοι ὀκτακόσιοι· καὶ ἑκάστου ἵππου ἐν τῷ βάθει τασσομένου κρατοῦντος πόδας ὀκτὼ, γίνονται πόδες τετρακισχίλιοι, ὥστε γίνεσθαι ἐν τετραπλεύρῳ σχήματι ὑπὸ τοῦ μήκους τῶν χιλίων ὀκτακοσίων, καὶ τοῦ βάθους τῶν τετρακισχιλίων ποδῶν, ἑπτακοσίας εἴκοσι μυριάδας πόδας στερεούς· ἡ δὲ περίμετρος μόνης ἐπιφανείας ἔξωθεν διὰ τῶν τεσσάρων πλευρῶν, γίνονται πόδες μύριοι καὶ χίλιοι ἑξακόσιοι, καὶ ἐπειδὴ δὲ οἱ ἓξ πόδες ποιοῦσιν ὀργυιὰν μίαν, αἱ δὲ ἑκατὸν ὀργυιαὶ ποιοῦσι στάδιον ἕν, τὰ δὲ ἑπτὰ καὶ ἥμισυ στάδια ποιοῦσι μίλιον ἕν, συνάγεται ἡ περίμετρος πᾶσα, ἤτοι οἱ μύριοι καὶ χίλιοι καὶ ἑξακόσιοι πόδες εἰς μίλια δύο ἥμισυ δέκατον ἔγγιστα. Ἐν τούτῳ οὖν τῷ διαστήματι καὶ σχήματι χωροῦνται αἱ τριάκοντα μυριάδες τῶν καβαλλαρίων κατὰ τελείαν πύκνωσιν. Εἰ δὲ ἀραιότεροι ἵστανται, ἐκ τῆς πυκνώσεως ἐπιλογίζεσθαι δεῖ τὴν ἐνοῦσαν ἀραιότητα, καὶ οὕτως συμβάλλειν ἐκ τοῦ μεγέθους τοῦ τόπου τὸ ποσὸν τοῦ λαοῦ.

ιζ'. Τάξομεν δὲ τὰς τριάκοντα μυριάδας ἤγουν τὰς τριακοσίας χιλιάδας ἐπὶ ἁπλῆς ἀκίας καὶ ἐκτεταμένης. Ἑκάστου δὲ ἵππου εἰς μῆκος τασσομένου τῆς παρατάξεως κρατοῦντος, ὡς εἴρηται, πόδας τρεῖς, γίνονται πόδες μυριάδες ἐνενήκοντα, οἳ ποιοῦσι διάστημα ἐπ' εὐθείας μίλια διακόσια ἔγγιστα. ταῦτα μὲν, ὡς εἴρηται, κατὰ τελείαν πύκνωσιν. Εἰ δὲ διεσκεδασμένοι καὶ ἐσκορπισμένοι κινοῦνται, ὁμολογούμενόν ἐστιν, ὅτι πολλαπλασίονα τοῦ μέτρου τούτου

NOTÆ.

(46) *Λέγω*. Scribebatur, λέγων.
(47) *Τάχα*. Scribebatur, τύχα.
(48) *Τάσσεσθαι*. Scribebatur, τὰ σέσσεσθαι.

Digitized by Google

κατέχουσι τόπον, καὶ πλείονες τῶν ἐν τῇ τάξει ἑστώ- A
των τῷ ὀφθαλμῷ ὑποπίπτουσιν. Εἰ δὲ ἐν πλαγίῳ
τόπῳ καὶ ὑψηλοτέρῳ περιπατοῦσιν, ἔτι πλέον.

rent. Sin in deflexo quodam loco eminentioreque incedant, longe plures esse putantur.

ιά'. Διὸ καὶ οἱ βουλόμενοι στρατὸν διὰ κόμπον τινὰ ὑποδεῖξαι, ἢ ἐπὶ λεπτοτέρου βάθους τάσσουσιν αὐτὸν, ἢ κεχυμένον μηκόθεν, ἢ διεσκεδασμένον καὶ διεσπαρμένον. Οἱ δὲ παλαιότεροι τῶν τακτικῶν τὴν πεζικὴν τάξιν, ὅταν μέν ἐστι τεταγμένη, τέσσαρας πήχεις ἰστῶσι τὸν ἕνα ἄνδρα κατέχειν. Ὅταν δέ ἐστι πεπυκνωμένη, εἰς δύο πήχεις· ὅταν δὲ κατὰ συνασπισμὸν ἐν παρατάξει πῆχυν ἕνα κατέχειν τὸν στρατιώτην, ὥστε καὶ ἐκ τούτου τοῦ μέτρου τὸν ἀκριβῆ σκουλκάτορα ἀναλογίζεσθαι ἀπὸ αὐτοῦ τοῦ μήκους τοῦ τόπου οὐ μόνον τῶν καβαλλαρίων, ἀλλὰ καὶ πεζῶν τὸ πλῆθος.

91. Itaque qui ad speciem aliquam pompamque exercitus demonstrant, vel tenuiore cum altitudine instruunt eum, vel eminus fusum dispersumque. Antiquiores autem rei militaris periti pedestrem aciem, quando instructa est, quatuor cubitorum unicuique viro spatium dabant. Ubi densabatur acies, duorum cubitorum spatium tribuebant in perfecta aggregatione militum, ut cubitum unum haberet unusquisque: qua ex mensura unusquisque bonus speculator, et ex spatio loci, facile reputabit non modo equitum, verum etiam peditum numerum.

ιβ'. Τοσαύτης τοίνυν διαφορᾶς οὔσης εἴς τε τὰς B
τάξεις καὶ εἰς τὰ σχήματα, οὐ δέον σε, ὦ στρατηγὲ, εἰς ἀπείρους τῶν τοιούτων ἀνθρώπους τὰς σκούλκας, ἤτοι τὰς διὰ τῶν κατασκόπων τῶν σῶν διακρίσεις καταπιστεύειν, ἢ τὰς περὶ τούτων βίγλας, μηδὲ τοῖς παρ' αὐτῶν, ὡς ἔτυχεν, λεγομένοις πιστεύειν. Ἀνείκαστον γάρ ἐστιν τοῖς πολλοῖς, καὶ ἀκατανόητον, εἴγε ὑπὲρ τὰς εἴκοσι ἢ τριάκοντα χιλιάδας ἐστὶ, καὶ μάλιστα ἐπὶ ἐθνῶν, οἵτινες πολλοὺς ἵππους ἐπισύρονται, διόπερ ἐμπείροις ἀνδράσι τὰ τοιαῦτα χρὴ καταπιστεύειν.

92. Cum igitur tanta sit differentia in acie instruenda, atque in forma exercitus, minime imperitis excubiis speculatoribusque aut fortuitis quibusdam hominibus fides adhibenda est: minime enim hoc percipi vulgo, comprehendique a plebeiis potest, idque præsertim, si supra ducenta aut trecenta millia hominum fuerint. Ethnicæ enim nationes, equos suos arctissime in acie adjungunt. Ita que peritis viris tali in causa credendum est.

ιγ'. Μηδὲ προχείρως ἀγωνία ἐπὶ ταῖς λεπταῖς καὶ μακραῖς παρατάξεσι διὰ πλῆθους ὑπόνοιαν· εἰ γὰρ μὴ εἰσιν ἀναλόγως ἔχουσαι τὸ βάθος μέγα, ποσὸν οὐκ ἔχουσιν. Τὰς δὲ βαθείας πολυπραγμονείτωσαν οἱ κατάσκοποι, εἰ τὸ τοῦλδον συντέτακται τῇ παρατάξει C
ὄπισθεν, ἢ μόνοι ὁπλῖταί εἰσιν.

93. Ne nimis præcipitanter dimices adversus tenues longasque acies, propter opinionem multitudinis: quamvis enim certa quadam cum proportione non collocatur, neque altitudinem pro numero suo justam habent, speculatores tamen diligenter altitudinem exquirant, utrum impedimenta omnia a tergo aciei collocata sint, an soli armati ibi constituti fuerint.

ιδ'. Τὰ μὲν οὖν περὶ τοῦ ποσοῦ δυνατόν ἐστιν ἀκριβέστερον γινώσκεσθαι διά τε τῶν προσφευγόντων πρὸς ἡμᾶς, καὶ διὰ τῶν κρατουμένων ἐχθρῶν, εἰ βουληθῇ δέ τις καὶ διὰ παρόδου στενωτέρων τόπων, ἔτι (49) δὲ καὶ διὰ τῶν ἁπλήκτων, εἰ συμβῇ αὐτοὺς ἡνωμένως ἁπλικεύειν.

94. Res hostium abs te melius cognoscantur, vel per eos qui ad te profugerunt, vel per hostes qui capti sunt, vel si quis voluerit per angustorum locorum transitum, vel etiam per castra, si contingat illos uno in loco ea ponere.

ιε'. Ἐὰν δὲ μή ἐστιν φοσσάτον ἐχθρῶν ἐν μὲν τοῖς στενωτέροις τόποις δι' ὀλίγων κατὰ τὰς τῶν τόπων θέσεις ποιοῦ τὰς σκούλκας, εἰς δὲ τοὺς ὁμαλοὺς καὶ γυμνοὺς τόπους ἐν διαφόροις μέρεσι (50) διὰ πλειόνων ποιοῦ τὰς σκούλκας, καὶ κατὰ συνέχειαν, καὶ ἀπὸ διαστήματος, καὶ μάλιστα εἰς τὰς νύκτας, ὅταν D
εὐχέρειαν ἔχῃ ὁ ἐχθρὸς διὰ τοῦ τόπου οὗ ἂν βούλεται λαθεῖν καὶ αἰφνιδιάσαι, προκανονίζων τὰς βίγλας, ἐὰν ὀλίγαι εἰσὶ, καὶ διὰ τοῦτο ἀπὸ διαστήματος τὰς βίγλας δεῖ γίνεσθαι, καὶ ἀλλεπαλλήλους ἐν διαφόροις τόποις τοῖς ἐπιτηδείοις καὶ συχνῶς ἀλλάσσεσθαι.

95. Si hostium fossatum nullum fuerit, in angustioribus locis pro locorum situ paucos homines ad excubias collocabis: sin in æquabilibus expositisque locis diversas in partes distribuantur, plures ad excubias emittes, tum intervallo locorum distantes, tum continue se mutuo admonentes, noctuque potissimum, quando facile hostis poterit per eum locum quem voluerit clam progredi, et nec opinatam incursionem facere. Præparabis autem excubias, ut quamvis paucæ fuerint, per intervalla tamen locentur, et diversis idoneisque in locis se mutuo frequenter commutent.

ιϛ'. Γνῶθι δὲ ὅτι ἴδιον ἁρμοδίων κατασκόπων ἐστὶ, τὸ φρονήσει καὶ ἀγρυπνίᾳ τόπους τε καὶ κινήσεις πολεμίων κατασκοπεῖν.

96. Bonorum speculatorum hoc officium est, prudentia et vigilantia, loca motusque hostium pernoscere.

ιζ'. Τοὺς δὲ τοιούτους ἐλαφρᾷ ὁπλίσει χρῆσθαι

97. Illi levi atque expedita armatura utantur,

NOTÆ.

(49) Ἔτι. Scribe, εἴτε.
(50) Διαφόροις μέρεσι. Scribebatur, διαφόρων μέτρεσι.

Digitized by Google

equosque habeant celeres, ut sine offensione aliqua iter faciant. Exploratores autem sive speculatores securius in hostium copiis castrisque versentur, ut populares illorum esse videantur. Excubiæ autem fideles sint, et robusta corporis specie, animo alacri atque incitato, armatura splendida etiam reliquis militibus anteeant, ut vel aliqua præclara strenuaque re gesta domum redeant, vel si ab hostibus capiantur, ab illis tamen in admiratione sint.

A δέον, καὶ ἵππους ἔχειν ταχεῖς, εἰς τὸ ἀνεμποδίστως ὁδεύειν, καὶ τοὺς μὲν ἐξπλοράτωρας ἤτοι κατασκόπους ὅῆθεν ἀφοβώτερον συνδιάγειν τοῖς πολεμίοις, ὥστε ὁμογενεῖς αὐτοὺς εἶναι νομίζεσθαι, τοὺς δὲ βιγλάτορας πιστοὺς εἶναι, καὶ εἶδει σώματος ἀνδρείῳ, καὶ ψυχῇ εὐτόλμῳ, καὶ ὁπλίσει λαμπροὺς, καὶ τῶν λοιπῶν στρατιωτῶν διαφέρειν, ὥστε ἢ ποιήσαντάς τι γενναῖον ἔργον καὶ ἀνδρεῖον ἐπανελθεῖν, ἢ ζωγρηθέντας παρὰ τοῖς πολεμίοις θαυμάζεσθαι.

98. Præfectum excubiarum vigilantem, prudentem, experientem, et non fortuitum quemvis eligas : neque enim tantum fortitudine, quantum prudentia ac vigilantia in excubiis agendis opus est.

ιη'. Τὸν δὲ ἄρχοντα τῆς σκούλκας (51) ἄγρυπνον καὶ φρόνιμον καὶ ἔμπειρον ἐπιλέγου, καὶ μὴ τὸν τυχόντα. Οὐδὲ γὰρ τοσοῦτον ἀνδρείας, ὅσον φρονήσεως καὶ ἀγρυπνίας δεῖται ἡ τῶν σκουλκατόρων χρεία.

99. Speculatores solos emittes hostibus jam eminus exsistentibus, si volueris vel motus hostium, vel situs viarum, vel locorum munitionem cognoscere.

B ιθ'. Μόνους δὲ τοὺς κατασκόπους ἀπόστελλε μακρόθεν ἔτι τῶν πολεμίων ἀπαγγελλομένων, ἡνίκα μάλιστα βούλῃ μαθεῖν ἢ κίνησιν ἐχθρῶν, ἢ θέσιν ὁδῶν, ἢ τόπων ὀχύρωσιν (52).

100. Quando ad capiendos aliquos incursio fit, tum permissos hos exploratores cum excubiis mittes, atque hi quidem antecurrant, expeditioribus locis speculentur, excubiæ sequantur, et ducantur ab illis.

ρ'. Ὅταν δὲ ἐπὶ τῷ κατασχεῖν τινας ἡ ἐπιδρομὴ ἐστι, τότε ἀναμεμιγμένους τούτους μετὰ τῶν σκουλκατόρων πρόστασσε εἶναι, καὶ αὐτοὺς μὲν προεκτρέχειν, καὶ ἐξ ἀπόπτων (53) ἤγουν ὑψηλῶν χωρίων κατασκοπεῖν, τοὺς δὲ σκουλκάτορας ἀκολουθεῖν ἐκείνοις, καὶ ὁδηγεῖσθαι παρ' αὐτῶν.

101. Excubias temporibus necessarias non unas simplices facies una aliqua ex parte, sed diversas et pro loci situ, idoneoque intervallo inter se positas, ut si hostes aliquos illorum lateant, tamen in alios incidentes cognoscantur. Atque in primis excubiis paucos collocabis, in secundis plures, in C tertiis his etiam plures.

ρα'. Τὰς δὲ σκούλκας ἢ βίγλας ἐν τοῖς ἀναγκαίοις καιροῖς μὴ ποιοῦ ἁπλᾶς ἀπὸ ἑνὸς μέρους, ἀλλὰ διαφόρους καὶ ἀλλεπαλλήλους, κατὰ τὴν τοῦ τόπου θέσιν, καὶ ἀπὸ διαστήματος ἱκανοῦ· ἵνα εἰ συμβῇ τοὺς ἐχθροὺς διαλαθεῖν εἰς τοὺς ἄλλους περιπίπτοντες μὴ διαλάθωσι· καὶ τοὺς μὲν ἐν τῇ πρώτῃ βίγλᾳ ὄντας ὀλιγωτέρους ποιοῦ, τοὺς δὲ μετὰ ἐκείνους ἐν τῇ δευτέρᾳ πλείους, καὶ τοὺς ἐν τῇ τρίτῃ ἔτι πλείους.

102. Excubiis præcipies ut neque sedeant, neque recubent, quemadmodum antea alibi præcepimus, ut ne socordiores in re gerenda peccent. Sessio enim et recubatio, somnum maxime afferunt : qui autem hoc faciunt, vigilare non possunt. Sed neque si per totam noctem se vigilaturos recipiant, illis credas : natura enim quod ad se pertinet semper requirit, et tu quod tutissimum facto est facies, si excubiæ alias excubias excipientes noctem transmittant.

ρβ'. Μηδὲ καθίζειν, μήτε ἀνακλίνεσθαι τοὺς βιγλεύοντας παράγγελλε, καθάπερ καὶ ἐν ἑτέροις περὶ τούτου σοι παρηγγείλαμεν, ἵνα μὴ ῥᾳθυμότερον τοῦ ἔργου αὐτῶν γινομένου ἀπόλωνται· καὶ γὰρ ἡ καθέδρα καὶ ἡ ἀνάκλισις ὕπνον μάλιστα φέρει. Καὶ οἱ τοῦτο ποιοῦντες, ἀγρυπνεῖν οὐ δύνανται· ἀλλὰ μηδὲ ἐὰν ἐπαγγέλλωνταί τινες δι' ὅλης τῆς νυκτὸς κρατεῖν, πιστεύῃς αὐτοῖς· ἡ γὰρ φύσις τὸ ἴδιον ἐπιζητεῖ, καὶ σὺ τὴν ἀσφάλειαν διὰ τῆς τῶν βιγλῶν διαδοχῆς ποιεῖσθαι μὴ ἀμελῇς, ἵστασθαι δὲ τοὺς βιγλεύοντας πάντως.

103. Pedibus omnino excubiæ consistant : hæc enim pedum statio somnum depellit, magis vigilantes eos qui stant facit : ubi vero lassati fatigatique sunt, commutentur, opportunis descriptisque horis noctis. Nisi enim diligenter ad vigilandum laboraverint, naturamque a somno refrenaverint, facile ab hostibus trucidentur.

D ργ'. Ἡ γὰρ ἐπὶ τῆς γῆς στάσις μαραίνει τὸν ὕπνον καὶ μᾶλλον ἐγρηγόρους τοὺς ἱσταμένους ποιεῖ. Ὅταν δὲ χρεία, τότε κοπωθέντας ἀλλάσσεσθαι κατὰ τὰς δεούσας τῆς νυκτὸς διαμερισθείσας αὐτοῖς ὥρας. Εἰ γὰρ μὴ φροντίσωσιν ἐπιμελῶς ὅπως ἀγρυπνήσωσι τὴν φύσιν τέως τοῦ ὕπνου χαλινώσαντες, ῥᾳδίως ἂν παρὰ τῶν ἐχθρῶν ἀπολοῦνται.

104. Itaque exquirendæ vigiliæ sunt, fideles præfecti mittendi, qui subito excubias invadant, et pervideant quemadmodum serventur, et negligen-

ρδ'. Διὸ χρὴ σε καταζητεῖν τὰς βίγλας καὶ ὅπως γίνονται, καὶ πέμπειν τοὺς πιστοτέρους (54) τῶν ἀρχόντων τοὺς ὀφείλοντας αἰφνιδιάσαι, καὶ ἐπιδεῖν

NOTÆ.

(51) *Σκούλκας*. Scribebatur, σκόλκας.
(52) *Ὀχύρωσιν*. Scribebatur, ὀγυρώματιν.
(53) *Ἀπόπτων*. Scribebatur, ἀπτόντων.
(54) *Τοὺς πιστοτέρους*. Scribebatur, τοὺς στοτέρους.

Digitized by Google

πῶς αὗται γινονται, καὶ τοὺς ἀμελοῦντας τιμωρεῖσθαι, ὡς αἰτίους μεγάλου κινδύνου τῷ στρατηγῷ γινομένους.

tes puniantur : quia magnum imperatori sua negligentia inferunt periculum.

με'. Ὑπολαμβάνω δὲ ὅτι ὁ ἔμπειρος σκουλκάτωρ δύναται ἀπό τινων σημείων, καὶ πρὸ τοῦ ἰδεῖν αὐτὸν τοὺς πολεμίους κατανοῆσαι τὸ μέτρον τοῦ πλήθους αὐτῶν ἐκ τῆς τῶν ἵππων αὐτῶν συστάσεως, καὶ ἐκ τῶν ἁπλίκτων αὐτῶν· δύναται δὲ καὶ τὸν χρόνον στοχάσασθαί ποτε διὰ τοῦ τόπου παρελθὼν ἐκ τῆς τῶν ἵππων καὶ τῶν ἀνθρώπων κόπρου.

105. Prudentes excubiæ quibusdam signis priusquam videant hostes animadvertere multitudinem hostium ex equorum collocatione et castris illorum possunt.

ρς'. Ἐὰν δὲ φοσσάτον ποιήσῃς, ἤγουν χάρακα, καὶ ἢ τάφρῳ ἢ οἰκοδομήματι ὀχυρώσῃς αὐτὸ, ἤ τινι ἑτέρᾳ ὕλῃ, δόξῃ σοι δὲ ἔσωθεν εἰσαγαγεῖν τοὺς καβαλλαρίους, μὴ πολὺ ἀπὸ διαστημάτων ποιήσῃς τὰς βίγλας, ἵνα μὴ συντρίβωνται ἀκαίρως οἱ ἵπποι.

106. Si fossatum feceris, aut vallum, et vel fossa circummuniveris illud, vel aliqua alia materia, decretumque est equites intra fossatum deducere, ne longo intervallo ab illis excubias disjunxeris, ut ne importune equi affligantur.

ρζ'. Πάντως δὲ τοὺς πεμπομένους ἐπὶ σκούλκαν παραγγέλλῃς ὥστε ζωγρῆσαί τινα, καὶ ὥσπερ ἐπὶ τῶν κυνηγίων οὕτως σχολάζειν καὶ σπουδάζειν ὥστε προσκουλκεύειν, καὶ ἀσυμφανῶς καὶ ἀγνώστως τοὺς μὲν δι' ὄψεως φαίνεσθαι ὀλίγους ὄντας καὶ ὑποχωρεῖν, ἄλλους δὲ κεκρυμμένους καὶ ἀφανῶς κατακυκλοῦν πρὸς τὴν τῶν τόπων ἐπιτηδειότητα· καὶ ἀλλαχοῦ μὲν δεικνύειν ὄψιν καὶ μόνως, ἑτέρωθεν δὲ ἐπέρχεσθαι μετὰ πλειόνων λεληθότως καὶ διανυκτερεύειν, μάλιστα ὅταν μακρόθεν δοκοῦσιν εἶναι οἱ πολέμιοι, ὅταν οὐδὲ ὑπόνοιαν ἔχωσι τούτου τοῦ δράματος.

107. Eis qui ad excubias emittuntur præcipiendum ut capiant aliquos ex hostibus vivos, si possunt : et quemadmodum in venando, sic conentur et studeant excubias ante agere occulte et clanculum, ut hi quidem qui pauci sunt in conspectum solum veniant, et discedant iterum, alii autem abditi pro locorum commoditate includere eos si possunt, conentur, atque uno in loco se tantum ac si pauci essent demonstrare, alio ex loco cum pluribus clanculum invadere, et pernoctent, maxime quando hostes eminus fuerint, et opinionem alicujus talis facti habuerint.

ρη'. Τὰς δὲ γινομένας βίγλας μὴ μόνον τοὺς ἐναντίους μὴ εἰδέναι καλὸν, ἀλλὰ μηδὲ τοὺς ἰδίους, λανθάνειν δὲ καὶ τὸν σὸν στρατὸν, ἵνα ἐάν τινες, ὡς εἰκὸς, προσφυγεῖν τοῖς ἐχθροῖς βουληθῶσιν ἐκ τοῦ στρατοῦ, ἀδοκήτως ταύτας περιπέσωσιν.

108. Excubias tuas non modo hostes tui, sed ne milites tui, si fieri possit, agnoscant, ut si quidam profugere ad hostes tuos voluerint, imprudentes in excubias tuas incidant.

ρθ'. Ἐὰν δὲ βουληθῇς κατασκόπους κρατῆσαι τῶν ἐχθρῶν, δέον σε θαρρῆσαι τοῖς ἄρχουσι τὸ πρᾶγμα, ἵνα ἕκαστος τοῖς ὑπ' αὐτὸν στρατιώταις καὶ τοῖς λοιποῖς παραγγέλλῃ, ὅτι Τυχὸν τῇ ἑξῆς περὶ δευτέραν ἢ τρίτην ὥραν τῆς ἡμέρας κατὰ τὴν πρώτην φωνὴν τοῦ βουκίνου, εἴτε στρατιώτης, εἴτε παῖς ἐστιν, ἕκαστος εἰς τὴν ἰδίαν τένταν ἵνα εἰσέλθῃ, καὶ μηδεὶς τολμήσῃ ἔξωθεν τῆς τέντας εὑρεθῆναι, ἐπεὶ σωφρονίζεται. Καὶ μετὰ τὸ πάντας εἰσελθεῖν, αὐτοὺς τοὺς ἄρχοντας μένειν ἔξωθεν τῶν τεντῶν καὶ θεωρεῖν, ἵνα ὅσους ἔξωθεν τῶν τεντῶν εὕρωσιν αὐτοὶ, κρατήσωσιν αὐτούς. Τοὺς δὲ, ὡς εἰκὸς, εἰσερχομένους εἰς τὰς τέντας, οἱ τῶν κοντουβερνίων συλλαμβάνονται, καὶ κρατήσουσι καὶ παραδώσουσι τῷ ἰδίῳ ἄρχοντι. Ἓν γὰρ γίνεται τῶν δύο εἰς τὸν κατάσκοπον· ἢ γὰρ ἔξωθεν ἱστάμενος συνέχεται ὡς μὴ εἰδὼς ποῦ ἀπελθεῖν· ἢ καὶ, ὡς εἰκὸς, ἐὰν θαρρήσῃ εἰσελθεῖν ἔν τινι τῶν κοντουβερνίων, ὡς ξένος ἐπιγινώσκεται, καὶ παραδίδοται τῷ ἄρχοντι τοῦ κοντουβερνίου.

109. Si hostium speculatores capere studes, communicandum cum reliquis præfectis tuis hoc negotium est, ut unusquisque militibus suis reliquisque præcipiat ad horam diei secundam aut tertiam, et ad buccinæ primum sonitum, sive miles sive administer sit, singuli ad sua tentoria veniant, nemoque audeat extra tentoria esse, ne supplicio constringatur. Ubi omnes ingressi in tentoria sua fuerint, præfecti foris maneant, et si quos viderint foris, eos comprehendant. Eos vero qui in tentoria ingrediuntur, unumquodque contubernium capiet, et suo præfecto tradet. Unum enim e duobus necesse est fieri : vel ut foris speculator maneat, et nesciat quo se conferre debeat, vel si ingredi audeat cum aliquo contubernio, quasi hospes cognoscatur, et contubernii præfecto tradatur.

ρι'. Πάντας οὖν τοὺς ὁπωσοῦν κατὰ τοῦτον τὸν τρόπον εὑρισκομένους δεῖ κρατεῖσθαι, εἴτε Ῥωμαῖοι δοκοῦσιν εἶναι, εἴτε ἀλλογενεῖς, καὶ ἐξετάζεσθαι, ὥστε ἐκεῖθεν εὑρίσκεσθαι τὴν ἀλήθειαν.

110. Omnes autem qui hoc modo inveniuntur, exquiri atque examinari oportet, sive Romani, sive alienigenæ fuerint, atque adeo veritatem ab illis quæri.

ρια'. Τοῦτο δὲ γίνεται καὶ ἐν φοσσάτῳ συνηγμένου στρατοῦ ἢ πεζικοῦ ἢ καβαλλαρικοῦ ἐπιτηδείως, ὁμοίως δὲ καὶ κατὰ τὸ μέρος μεμερισμένως, ἢ πάλιν κατὰ τάγμα ἁπλικευόντων.

111. Hæc res fieri possit in fossatum coacto exercitu vel pedestri vel equestri, vel dispersis divisisque separatim castra ponentibus, vel rursus per cohortes castra habentibus.

ριβ'. Γίνεται δὲ καὶ δι' ἑτέρων τοιούτων καὶ ὁμοίων

112. Aliis quibusdam hujusmodi et similibus

Digitized by Google

signis diversis prædictorum speculatorum comprehensio esse solet, quæ necessario efficienda sunt, ut diversa signa præceptaque adhibeantur. Simul enim hoc modo speculatores hostium tenentur, et milites præfectis suis obedire assuefiunt, et imperata illorum studiose facere, si vel mediocriter castigentur qui negligentes mandatorum fuerint. Si enim mandatum aliquod detur militibus a præfecto, qui curiosius in hoc inquirit, is speculator hostium deprehenditur alienus a tessera, et socialis exercitus signo carens.

σημείων διαφόρων ἡ ἐπίγνωσις τῶν εἰρημένων κατασκόπων, ἅτινα ἀναγκαῖόν ἐστιν ἐπιτηδεύειν, ὥστε διάφορα σημεῖα ἤτοι παραγγέλματα ποιεῖν. Ἅμα γὰρ καὶ οἱ κατάσκοποι τῶν ἐχθρῶν ἐκ τούτων (55) φανεροῦνται, ἅμα δὲ καὶ οἱ στρατιῶται ἐθίζονται πείθεσθαι τοῖς ἄρχουσιν αὐτῶν, καὶ φυλάττειν ἐπιμελῶς τὰ μανδάτα, ἐὰν μάλιστα μετρίως πως σωφρονίζωνται οἱ ἀμελοῦντες περὶ αὐτά. Ἐὰν γὰρ τὸ παράγγελμα δοθῇ παρὰ τοῦ ἄρχοντος τοῖς στρατιώταις μυστικώτερον, καὶ τοῦτο ἀγνοεῖ ὁ κατάσκοπος τοῦ ἐχθροῦ ταχέως εὑρίσκεται ἀλλότριος ὢν τοῦ συνθήματος, καὶ οὐκ ἔχων τὸ σύσσημον τοῦ φιλίου στρατοῦ.

113. Non abs re fuerit formas et mandata dare militibus, quando maxime vacat, ut explorentur milites, atque ad ea custodienda assuefiant.

ριγ'. Οὐκ ἄτοπον δέ, ἀλλὰ καὶ σχήματα καὶ μανδάτα διδόναι τοῖς στρατιώταις, ὅταν μάλιστα εὐκαιρῶσιν· ἵνα καὶ δοκιμασθῶσιν, καὶ ἐν ἕθει γένωνται τοῦ φυλάττειν αὐτά.

114. Si speculatores hostium ceperis, ne uno atque eodem modo illos tractaveris: sed si copias tuas hostium exercitu imbecilliores esse judicaveris, vel interfice eos, vel firma in custodia detine. Sin armaturam habeas bonam, apparatum idoneum, copias multas, robur justum, firmitatem corporum, obedientem exercitum, strenuos milites, experientiam acrem, omnes copias tuas ordine quodam ad pompam instrues, easque hostium speculatoribus demonstrabis: quod ubi feceris, illos salvos atque integros ad suos remittes. Nam eo cum venerint, quæ viderunt omnia commemorabunt. Ac sæpe omnium rerum exoptata affluentia hostes in timorem conjicit, quemadmodum si subsidiis omnibus destituere, magnam illis alacritatem afferret.

ριδ'. Ἐὰν δέ ποτε συλλάβῃς κατασκόπους, μὴ κέχρησο εἰς αὐτοὺς μιᾷ καὶ αὐτῇ γνώμῃ πάντοτε, ἀλλ' ἐὰν μὲν ἀσθενέστερα μᾶλλον τὰ σὰ εἶναι παρὰ [τὰ] τῶν πολεμίων νομίζῃς, τότε κτείνειν τούτους ἢ συνέχειν ἐν ἀσφαλεῖ φρουρᾷ. Ἐὰν δὲ καθοπλισμὸν ἔχῃς ἰσχυρὸν καὶ καλόν, καὶ παρασκευὴν ἱκανήν, καὶ δύναμιν πολλήν, καὶ εὐεξίαν, ἤτοι μέγεθος καὶ ῥῶσιν σωμάτων, καὶ πειθήνιον στράτευμα, καὶ ἄρχοντας ἀρίστους καὶ ἀνδρείους, καὶ ἐμπειρίαν μεμελετημένην, στῆσον μὲν τὴν στρατειὰν ἐν κόσμῳ καὶ καταστάσει πρὸς κόμπον· παράλαβε δὲ τοὺς κατασκόπους, καὶ ταύτην ἐπίδειξον αὐτοῖς. Τάχα δέ, εἰ τοῦτο ποιήσας ἀθώους αὐτοὺς ἀποπέμψεις εἰς τοὺς ἰδίους, οὐκ ἂν ἁμαρτήσῃς. Καὶ γὰρ ἀπελθόντες, ἅπερ εἶδον, ἀναγγελοῦσι τοῖς ἰδίοις. Τὰ μὲν γὰρ πλεονεκτήματα τῶν ἀντιπάλων ἀπαγγελλόμενα πολλάκις ἀναγκάζει φοβεῖσθαι τοὺς ἀκούοντας, τὰ δὲ ἐλαττώματα αὐτῶν θαῤῥεῖν τοὺς ἀντιτεταγμένους παρεσκεύασεν.

115. Quocirca si te meliores multo habere judicaveris, illos domum abire permittas, ut hæc narrantes perturbationem aliquam hostibus invehant. Sin deteriore in loco quam hostes fueris, trucidentur, nec permittantur ad suos redire.

ριε'. Ὥστε εἰ μὲν ἐλαττώματα ἔχεις, ἀπολέσθωσαν οἱ κατάσκοποι. Εἰ δὲ πλεονεκτήματα, μᾶλλον ἀπολυθέντες καὶ διηγούμενοι τοῖς ὁμοεθνέσιν εἰς δειλίαν αὐτοὺς περιστήσουσιν.

116. Si transfugæ aliqui ab hostibus ad te defecerint, et vel tempus incursionis vel viam promittunt se monstraturos, et duces futuros, et modis quibusdam haud cognitis ad exercitum hostium ducturos, ne omnino credas illis, sed ligatos eos duces tecum, promittens illis, si verum dixerint, et ad salutem victoriamque exercitus nostri omnia fecerint, se multa dona muneraque a nobis recepturos: sin mentiantur et deceperint, et in periculum conjicere nostros voluerint, illo ipso tempore ibi in vinculis ab iis qui in periculum venerint trucidandos esse. Nam transfugæ fides certissima est, tum hostis ad te, tum tui ad hostem, si minime suiipsius vitæ dominus sit, sed potestatem illius habeant, vel ad quos confugit, vel a quibus aufugit. Atque hæc quidem de illis nobis dicta sunto.

ριϛ'. Ἐὰν δὲ πρόσφυγες ἀπὸ τῶν ἐχθρῶν πρὸς σὲ παραγένωνται, καὶ ἢ ὥραν τινὰ ἐπιθέσεως, ἢ ὁδὸν ἐπαγγέλλωνται ὑποδείξειν, καὶ προπορεύεσθαι, καὶ διὰ σκοπῶν ἀοράτων ἐπὶ τοὺς πολεμίους εἰσαγαγεῖν, μὴ ἁπλῶς πίστευε, ἀλλὰ δήσας αὐτοὺς οὕτως ἄγε, παραγγέλλων αὐτοῖς ὅτι, ἐὰν ἀληθεύσωσιν, καὶ ἐπὶ σωτηρίᾳ καὶ νίκῃ πάντα ποιήσωσι τοῦ στρατεύματος, ὠφελείας καὶ δωρεᾶς καταξιωθήσονται. Εἰ δ' ἐξαπατήσωσι καὶ ψεύσωνται εἰς τοὺς ἰδίους ἐπιῤῥῖψαι βουλόμενοι τὸ στράτευμα, γινωσκέτωσαν ὅτι παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν ὄντες ἐν δεσμοῖς, ὑπὸ τῶν κινδυνευόντων κατασφαγήσονται. Καὶ γὰρ προσφύγου πίστις βεβαιοτάτη, εἴτε πολεμίου πρὸς σέ, εἴτε ἀπὸ σοῦ πρὸς τοὺς πολεμίους, τὸ μὲν εἶναι αὐτὸν κύριον τῆς ἰδίας ψυχῆς, ἀλλὰ τοὺς ἡγουμένους αὐτοὺς, ἢ ἐν οἷς προσέφυγεν, ἢ ἐξ ὧν ἀπέφυγεν.

NOTÆ.

(55) *Ex toútwn.* Scribebatur, ἐν τούτων.

Digitized by Google

ΔΙΑΤΑΞΙΣ ΙΗ' (56).

Περὶ μελέτης διαφόρων ἐθνικῶν τε καὶ Ῥωμαϊκῶν παρατάξεων.

α'. Ἐξῆς δὲ καὶ διαφόρων παρατάξεων μελέτας σοι ὑπαγορεύσω τῶν τε ἄλλων ἐθνικῶν καὶ ὅσαις ἐχρήσαντο κατὰ διαφόρων ἐθνῶν οἱ τῶν Ῥωμαϊκῶν στρατευμάτων κατάρξαντες πάλαι στρατηγοί, ἵνα ταύτας κατανοήσας, οὐ μόνον αὐτὸς τοῖς αὐτοῖς χρήσῃ στρατηγήμασιν ἐν τῷ δέοντι καιρῷ, ἀλλὰ καὶ ἕτερα πλείω τούτων προσεπινοήσῃς. Ἀγχίνοια γὰρ στρατηγοῦ ὅταν καὶ ἀφορμῆς τινος δράξηται πραγμάτων στρατηγικῶν οὐ μέχρις ἐκείνων ἵσταται μόνων, ἀλλὰ καὶ πλείω τούτων προσεφευρίσκειν δύνατσι.

A

De diversarum gentium et Romanorum studio in aciebus instruendis.

1. Deinceps jam de diverso studio acierum instruendarum, quibus aliæ nationes, et quibus Romani imperatores initio utebantur, verba facienius, ut iis cognitis, non modo si opus sit uti possis, sed alia quædam præterea excogites. Solertia enim imperatoria ubi occasionem rerum gerendarum ceperit, non in iis solum quæ inventa sunt consistit, sed etiam multo plura ac sæpe meliora excogitat.

β'. Ἡ μὲν οὖν συνεχὴς γυμνασία τῶν τακτικῶν κινήσεων ὠφέλειαν μὲν πολλὴν τῷ στρατιώτῃ ποιεῖ, κατάδηλος δὲ αὐτὴ εὐχερῶς τοῖς ἐχθροῖς γίνεται διά τε κατασκόπων ἀπὸ τῶν ἐχθρῶν, καὶ τῶν, ὡς εἰκὸς, προσφευγόντων εἰς αὐτούς. Καὶ διὰ τοῦτο πολλάκις μεθοδευομένη καὶ κατανοουμένη ἄπρακτος εὑρίσκεται.

B

2. Assidua enim aliqua bellicorum motuum exercitatio, utilitatem permagnam militi apportat : sed ea hostibus facile indicatur, vel per hostium speculatores, vel per transfugas qui ad hostes defecerunt. Itaque sæpe alia excogitata bene atque exercitata astutia, irrita nulliusque momenti est.

γ. Ἀρκεῖ οὖν ἡ παρ' ὑμῶν (57) ὁρισθεῖσα γυμνασία ἐν τῇ περὶ αὐτῆς ἡμῖν εἰρημένῃ διατάξει, ἁπλῆ οὖσα, καὶ δι' αὐτῆς πάσῃ τάξει ἁρμοζομένη καὶ μηδὲ ποσβλικίζεσθαι (58) ποιοῦσα τὴν πᾶσαν παράταξιν.

3. Quæ a nobis in capite de exercendis militibus commemorata est exercitatio, ea quoniam simplex est, et ad universam aciem accommodari potest, neque facile efferri hostibus aut divulgari potest, satis esse militibus idonea et accommodata potest.

δ'. Ἐὰν δὲ τύχῃ καὶ εὐκαιρία πολλὴ πρὸς μείζονα γυμνασίαν καὶ μετεωρισμὸν, δεῖ τότε διαφόρους μὲν τάξεις καὶ γυμνασίας τὰ μέρη, ἤτοι τὰς τούρμας, ἢ δρούγγους ἢ τὰ βάνδα τῶν κομήτων καθ' ἑαυτὰ ἐπιτηδεύειν, τοῦτ' ἔστι καὶ τὴν λεχθεῖσαν πρὸς τὸ χρειῶδες καὶ ἄλλας ἐκ περισσοῦ, εἰ καὶ οὐκ ἀναγκαίας ἀεὶ, ἀλλ' οὖν ἔν τινι καιρῷ ποτε χρησίμους.

C

4. Sin aliqua opportunitas interveniat ad exercitationem agitationemque militum majorem suscipiendam, diversis formis exercitationibusque turmas, cohortes milliarias, reliquasque cohortes agitabis, tum iis quæ ad usum necessariæ sunt, tum iis quæ supervacaneæ sunt : quæ quanquam omni tempore necessariæ non sint, interdum tamen utiles esse solent.

ε'. Ἵνα τῇ ἑκάστῃ τάξει καὶ γυμνασίᾳ γνώρισμα ἴδιον ἐπιτεθῇ, καὶ οἱ μὲν στρατιῶται τὴν διαφορὰν ἑκάστης παρατάξεως γνωρίζουσιν ἐν συνηθείᾳ τῶν κινήσεων γινόμενοι, καὶ μὴ ξενοφωνοῦσιν ὡς οὐκ εἰδότες ὅταν ἀθρόως αὐτοῖς ἀγγελθῇ τις παράταξις, μὴ οἴδασι δὲ τὴν μέλλουσαν τάξιν ὑπὸ τοῦ στρατηγοῦ γίνεσθαι κατ' αὐτὸν τὸν τοῦ πολέμου καιρόν.

5. Unicuique aciei exercitationique certa quædam nota adhibeatur, ut qui in quotidiano bellicorum motuum usu milites sunt, uniuscujusque aciei differentiam cognoscant, neque quasi peregrini aut hospites ignorent, quando aliquid illis agendum præcipitur, quænam potissimum aciei forma ipso belli tempore ab imperatore præscribatur.

ς'. Εἰσὶν οὖν διαφοραὶ τῶν τάξεων τῶν κατὰ σχῆμα γινομένων τρεῖς. Ὧν μία ἡ χρειώδης, ἥτινι καὶ Ῥωμαίοις χρῆσθαι σύνηθες, καὶ ἡ μέν ἐστιν ἥτις ἀδιακρίτως ἔχουσα τὰ τάγματα, τοῦτ' ἔστιν οὐκ εἰς κούρσωρας ἤτοι προκλάστας καὶ διφένσωρας ἤτοι ἐκδίκους διῃρημένη, ἅτινα χρὴ ἐπὶ μιᾶς παρατάξεως τάττειν, καὶ οὐκέτι εἰς τρεῖς ἀλλὰ εἰς δύο μοῖρας διαιρεῖν, ἐφ' ᾧ κινούντων τῶν δύο κεράτων ὡς πρὸς κύκλωσιν, καὶ πρὸς ἄλληλα ἐπικλινομένων καὶ ἐμπεριλαμβανόντων εὔκαιρον χωρίον, τὸ μὲν δεξιὸν κέρας ἐξώτερον, τὸ δὲ ἀριστερὸν ἐσώτερον, παρερχόμενον κυκλοειδῶς, τὴν ἐναντίαν ἀλλήλων ἐλαύνωσιν, ὃν τρόπον ἐν τῷ Μαρτίῳ μηνί ποτε οἱ καβαλλάριοι ἔπαιζον.

D

6. Forma differentiæ acierum triplex est, una utilis, qua etiam Romani uti consueverunt. Ea est, quæ cohortes suas confuse instructas, et non in proclastas, id est, cursores, aut vindices, id est, defensores divisa est, sed omnes cohortes simul instructas, neque in tres aut in duas partes distributas habet. Qua in parte duobus cornibus, quasi ad circumcludendos alios, satis justum spatium capientibus, et ad se mutuo iterum reclinantibus, dextrum cornu exterius, sinistrum autem interius orbiculatim contrariam inter se profectionem obambulent. Qua forma mense Martio equites inter ludendum utebantur.

NOTÆ.

(56) In cod. Laur. est cap. XVIII.

(57) *Παρ' ὑμῶν.* Scribe, παρ' ἡμῶν

(58) *Μηδὲ ποσβλικίζεσθαι.* Scribebatur, μηδέπου βιγλίζεσθαι. Et mox § 11 μήπου βικίζεται. Scribe, μὴ ποσβλικίζεται. Vide *Glossarium* nostrum in ποσβλικίζειν.

Digitized by Google

7. Alia forma est, quando in acie cursores et defensores instruuntur : cumque hæ partes divisæ ducentos aut quadringentos contineant, longo intervallo a se distent, et inter movendum velut facto agmine cursores ad insequendos alios exeant, deinde redeant, interdum quidem per opportuna loca eo dilabantur, et simul cum defensoribus adversum hostes procedant, interdum per eadem spatia redeant, et in extremis oris duarum partium iidem appareant qui ante in illis collocabantur.

A ζ'. Ἡ δὲ ἄλλη ἐστὶ παράταξις, ὅταν ἐπὶ μιᾶς τάξεως τάσσωνται ὑπὸ κούρσωρας καὶ διφένσωρας, διῃρημένας δὲ τὰς μοίρας ἀπὸ σ', ἢ υ', πολὺ ἀλλήλων ἀποδιεστώσας, καὶ ἐν τῇ κινήσει συνελασίᾳ τῶν κουρσώρων ἐξερχομένων εἰς καταδίωξιν, εἶτα ὑποστρεφόντων, ὁτὲ μὲν εἰς τὰ διαλείμματα ἤτοι εἰς τὰ εὔκαιρα χωρία αὐτοῖς ἐξελίσσεσθαι, καὶ ἅμα τῶν διφενσώρων χωρεῖς κατὰ τῶν ἐχθρῶν, ποτὲ δὲ ὑποστρέφοντας δι' αὐτῶν τῶν διαστημάτων ἀπέρχεσθαι, καὶ ἐπὶ τὰ ἄκρα τοῦ μέρους φαίνεσθαι, τοὺς ἐκ τῶν δύο μερῶν κούρσωρας ἕκαστον ὡς ἐτάχθη.

8. Alia forma est, quando una quædam acies instruitur, et media pars in defensores, reliquæ partes in cursores conferuntur : deinde excursio quædam quasi ad insequendos alios fiat, et media pars quasi defensores consequatur, reliquæ partes utrinque quasi cursores exeant, tum in redeundo una pars cunctatur, et tardat foris, altera quasi facto agmine cedit ad defensores, et cursus procedente jam ea quæ constitit defensores versus, altera in occursum illius currens per unam partem transit, atque hoc modo una pars alteri ex adverso esse invenitur, cum seipsas non pellant.

B η'. Ἡ δὲ ἑτέρα παράταξίς ἐστιν, ὅταν ἐπὶ μιᾶς παρατάξεως τάσσωνται, καὶ ἡ μὲν μέση μοῖρα εἰς διφένσωρας γίνεται, αἱ δὲ ἑκατέρωθεν αὐτῆς μοῖραι εἰς κούρσωρας, εἶτα τῆς ἐλασίας ὡς εἰς ἐπιδίωξιν γινομένης, ἡ μὲν μέση μοῖρα ἐν τάξει ἐπακολουθεῖ ὡς διφένσωρες, αἱ δὲ ἑκατέρωθεν μοῖραι ὡς κούρσωρες ἐξέρχονται. Εἶτα ἐν τῷ ὑποστρέφειν ἡ μὲν μία μοῖρα μένει, ἤτοι ἐμβραδύνει ἔξω, ἡ δὲ ἄλλη συνελασίᾳ ὑποστρέφει ὡς ἐπὶ τοὺς διφένσωρας, καὶ πάλιν κινοῦσι τῆς ἀπομεινάσης ὡς πρὸς τοὺς διφένσωρας· ἡ ἄλλη ὡς εἰς ἀπάντησιν τρέχουσα δι' ἑνὸς μέρους ἐπέρχεται, καὶ τῷ τρόπῳ τούτῳ μία παραμία μοῖρα ἀντιπρόσωποι ἀλλήλων εὑρίσκονται, μὴ ἐγκρούουσαι ἑαυταῖς.

9. Alia quædam forma est huic omnino contraria, quæ mediam partem cursores habet, reliquas utrinque partes ad defensores confert.

θ'. Ἔστιν δὲ καὶ ἄλλη ὁμοιότροπος αὐτῆς εἰς τὸ ἐναντίον τασσομένη, τουτέστιν τὴν μὲν μέσην μοῖραν κούρσωρας ἔχουσα, τὰς δὲ ἑκατέρωθεν δύο μοίρας διφένσωρας, ἐν ταῖς εἰρημέναις κινήσεσιν.

10. Consueta hæc Romanis acies adversus omnes nationes utilis et commoda esse videtur quando acies in propugnatores et subsidiarios, id est, cursores et defensores, lateranos, cornistites, tergistites, et insidias dividitur, quemadmodum supra a me commemoratum est.

C ι'. Ἡ μέντοι συνήθης Ῥωμαίοις τάξις καὶ γυμνασία αὕτη πρὸς πᾶν ἔθνος ἐπιτηδεία ἡμῖν φαίνεται· τουτέστιν ὅταν εἰς δύο τάξεις εἰς προμάχους καὶ βοηθοὺς τάσσεται ὑπὸ κούρσωρας, καὶ διφένσωρας, καὶ πλαγιοφύλακάς τε καὶ ὑπερκεράστας, καὶ ἐνέδρους, καὶ νωτοφύλακας, κατὰ τὸν πρώην λεχθέντα ἡμῖν τρόπον.

11. Hæ exercitationes sic suscipiendæ sunt, ut ne hostibus notæ pervagatæque fiant. Prima igitur acies instructa, secundam simul secum aciem non habeat, sed seipsam solam, sine lateranis et cornistitibus, sine tergistitibus et insidiis, quæ exercitatio maxime simplex et necessaria videtur : et vice secundæ aciei, mediocriter intervallo interjecto, paucos quosdam equites a tergo constitutos habeant, ad quos se recipere discant. Similiter separatim secundam aciem instrues, et paucos ante equites collocabis, ut discat secunda acies eos fugientes idonee recipere.

ια'. Χρὴ οὖν ἡ τὰς εἰρημένας διαφορὰς τῶν παρατάξεων ἐθίζειν τὸν στρατὸν, ἵνα μὴ πουβλικίζεται ἡ ἀναγκαιοτέρα, ἢ τῆς πρώτης τάξεως γυμναζομένης, τὴν δευτέραν τάξιν μὴ φέρειν μετὰ αὐτῆς, ἀλλὰ μόνην τὴν πρώτην ἄνευ πλαγιοφυλάκων καὶ ὑπερκεραστῶν δηλονότι καὶ ἐνέδρων καὶ νωτοφυλάκων, ὅπερ πλέον ἡμῖν ἁπλούστερον καὶ ἀναγκαιότερον φαίνεται, ἀλλὰ τότε ἀντὶ τῆς δευτέρας τάξεως ὀλίγους καβαλλαρίους σχηματικῶς ὄπισθεν ἱστᾷν, ἵνα πρὸς τὸ διάστημα ἐκεῖνο ἐθίζωνται προσφεύγειν οἱ τῆς πρώτης τάξεως. Ὁμοίως δὲ ἰδίᾳ καὶ τὴν δευτέραν τάξιν γυμνάζεις καὶ ὀλίγους ἐν τάξει τῆς πρώτης τάξεως ποιεῖς ἤτοι προτάσσεις, ἵνα ἐθίζηται ἡ δευτέρα ὡσαύτως τοὺς τῆς πρώτης τάξεως καταφεύγοντας εἰς αὐτοὺς δέχεσθαι.

12. Possunt etiam laterani et cornistites suam quamdam ante bellum habere exercitationem, ut hoc modo universus exercitus omnes ad motus assuefiat : hi tamen minime hostibus aut cæteris palam fiant. Hoc fiet, si cornistites, id est, qui dextram in partem ad circumcludendos hostes collocantur, sive dextro cornu clam supponantur, sive a latere æqualiter cum fronte aciei instruantur, ubi occasio cornu transcundi ad includendos hostes

ιβ'. Δυνατὸν δὲ ἰδίως καὶ τοὺς πλαγιοφύλακας καὶ τοὺς ὑπερκεράστας τὴν ἰδίαν τάξιν καὶ γυμνασίαν πρὸ τοῦ πολέμου ποιεῖν· ἵνα καὶ ἐθίζηται ὁ στρατὸς πρὸς τὰς κινήσεις, καὶ μὴ πουβλικίζωνται εἰς τοὺς ἐχθροὺς αἱ χρειώδεις παρατάξεις, τουτέστιν ἵνα οἱ ὑπερκεράσται ἦγουν οἱ ἐπὶ τοῦ δεξιοῦ μέρους πρὸς τὴν κύκλωσιν τῶν πολεμίων ἑστῶτες, εἴτε ὑποτάσσονται λανθανόντως τῷ δεξιῷ κέρατι, εἴτε ἐκ πλαγίου παρατάσσονται ἰσομετώπως, ὅταν καιρὸς, γέ-

Digitized by Google

νηται τῆς ὑπερχειράσεως, ἐπὶ δόρυ κλίναντας αὐτοὺς, εἶτα ὅσον ἀπαιτεῖ ἡ χρεία διάστημα περιπατοῦντας οὕτως εἰς ὀρθὸν ἀποκαθισταμένους, κινεῖν ἐν τάξει, καὶ σπουδάζειν ὡσανεὶ τὴν τῶν ἐναντίων τάξιν περιλαμβάνειν.

A est, ad hastam declinantes, deinde universum spatium quantum necessitas postulat ingambulantes, directe iterum in acie moveant, et hostium aciem intercludere conentur.

ιγ'. Πάλιν δὲ τοὺς πλαγιοφύλακας τοὺς κατὰ τοῦ ἀριστεροῦ μέρους ταττομένους ὁμοίως, ἐπὶ σκουταρίων κλίνοντας, εἶτα ὅσον ἀπαιτεῖ ἡ χρεία διάστημα περιπατοῦντας οὕτως εἰς ὀρθὸν ἀποκαθίστασθαι, καὶ σπεύδειν ὡσανεὶ τῷ ἐναντίῳ κέρατι τῶν ὑπερκερασταῖν ἐξισοῦσθαι.

13. Rursus laterani ad sinistram partem instructi, et ad scuta declinantes, et illud quod opus est spatium ambulantes, rursus directe procedant, et conentur cornistitum adverso cornu exæquari.

ιδ'. Ταύτας δέ σοι τὰς διαφορὰς τῶν παρατάξεων ὑπεσημάναμεν, ὦ στρατηγέ, ἵνα ἐν καιρῷ εὐκαιρίας ἐθίζῃς καὶ ἐν αὐταῖς γυμνάζεσθαι τὸ στράτευμα, καὶ ἔχειν πλείονα ἐμπειρίαν τῆς τῶν πολέμων τακτικῆς, ὥστε καὶ ἐν τισι πολλάκις περιστάσεσι χρειώδεις σοι εὑρίσκεσθαι, ὅταν οὕτως ἡ χρεία καλεῖ.

B

14. Has tibi, imperator, acierum differentias idcirco explicuimus, ut opportuno tempore assuefiat istis exercitus tuus, et majorem bellicorum motuum peritiam habeas, ut multis necessariis rebus sæpe circumstantibus utilis horum usus interdum inveniatur.

ιε'. Καὶ ἑτέρας δὲ διαφόρους παρατάξεις, καὶ ὅσα δέον πράσσειν σε ὑπέρ τε τοῦ οἰκείου στρατοῦ καὶ κατὰ τῶν πολεμίων, ὡς ἐν ἐκθέσει διατάξομεν, ὅσας ἀπὸ διαφόρων ἐθνῶν ἐκ τῆς πείρας Ῥωμαῖοι ἐν γνώσει παρέλαβον, ἵνα γινώσκῃς ταύτας ἐν τῷ δέοντι μὲν καιρῷ χρῆσθαι ὑπὲρ σεαυτοῦ, ἐνίοτε δὲ τῶν πολεμίων αὐταῖς χρωμένων ὑπὲρ ἑαυτῶν ἀντιμηχανᾶσθαι κατ' αὐτῶν.

15. Alias autem diversas acierum formas quæ abs te ad tui exercitus apparitionem, vel ad hostium expugnationem suscipiendæ sunt, tibi explicuimus, quas a diversis nationibus Romani ad usum suum acceperunt, ut eas idoneis temporibus possis ad utilitatem tuam usurpare, interdum etiam hostibus istis utentibus, adversus illorum molitiones aliquid contrarium excogitare.

ις'. Ἴσθι οὖν, ὦ στρατηγέ, ὅτι οὐ μόνον σὺ αὐτὸς ὀφείλεις εἶναι σπουδαῖος (59) καὶ φιλῶν τὴν πατρίδα, καὶ ὑπὲρ τῆς ὀρθῆς τῶν Χριστιανῶν πίστεως ἕτοιμος, εἰ οὕτως τύχοι, καὶ αὐτὴν τὴν ψυχὴν τιθέναι, ἀλλὰ καὶ τοὺς ὑπὸ σὲ πάντας ἄρχοντας καὶ τῶν στρατιωτῶν ἅπαν τὸ πλῆθος τοιούτους παρασκευάζειν γίνεσθαι, ἵνα οἱ μένοντες (60) ἐπὶ τοῦ αὐτοῦ τοιοῦτοι μένωσιν. Τοὺς δὲ μὴ ὄντας ὅσον ἔχεις δυνάμεως διὰ τῆς σῆς ἐπιμελείας καὶ σπουδῆς γυμναζομένους μὴ ἥμαρτεῖν τῆς τοιαύτης ἀρετῆς, ἀλλ' εἶναι αὐτοὺς φιλοπάτριδας καὶ εὐπειθεῖς τοῖς ἄρχουσιν ἢ δι' ἀγάπην ἢ διὰ φόβον.

C

16. Neque vero tu, imperator, solum bonus et amans patriæ, et ad propugnandam Christianorum fidem vitam profundere, si ita usus ferat, paratus sis, sed et omnes præfectos tuos et singulos milites sic tractabis, ut qui tales sint, hoc in statu permaneant : qui non sint, industria studioque tua adducti, hujusmodi virtutes non negligant, sed sive amore sive timore impulsi, patriæ amantes et præfectis obedientes sint.

ιζ'. Εἶναι δὲ αὐτοὺς καὶ καρτερικοὺς πρὸς τοὺς πόνους, καὶ ὑπομένειν τοὺς ὑπὲρ πατρίδος πολέμους.

17. Sint laborum patientes, et ad bellum pro patria suscipiendum parati.

ιη'. Καὶ αὐτὸς βουλῇ καὶ στρατηγίᾳ μᾶλλον τὰ πολλὰ τῶν σπουδαζομένων σοι κατόρθου, καὶ τάξεως ἐπιμελοῦ ἅμα τῷ ὑπὸ σὲ στρατῷ καὶ μὴ θράσους καὶ προπετείας.

18. Tu vero hoc eodem cum illis animo sis, et prudentia quadam imperatoria, non temeritate aut audacia res tuas administres, atque aciem militum instruas.

ιθ'. Καὶ ἐθίζεσθε πάντες ἡμοῦ οἱ διὰ Χριστὸν τὸν Θεὸν ἡμῶν καὶ ὑπὲρ συγγενῶν καὶ φίλων καὶ πατρίδος καὶ τοῦ ὅλου τῶν Χριστιανῶν ἔθνους ἀγωνιζόμενοι εὐκόλως ὑποφέρειν καὶ δίψης ὀχλησιν, καὶ δαπάνης ἔνδειαν, καὶ ψύχους καὶ καύματος ἐπιφοράν, καὶ πρὸς τὰ ἐμπίπτοντα, ὡς εἰκός, δεινὰ γενναίως ἐγκαρτερεῖν. Ἔστι γὰρ τῶν ἀποκειμένων μισθῶν ἔκ τε Θεοῦ αὐτοῦ καὶ τῆς ἐξ αὐτοῦ βασιλείας καὶ ἡμῶν παρ' ὑμῶν ἐργασία· καὶ γὰρ καὶ ἡμεῖς διὰ τῆς ὑπὲρ ὑμῶν ἐπιμόνου μερίμνης συγκακοπαθοῦμεν ὑμῖν.

D

19. Assuefiant omnes qui propter Christum Jesum Dominum nostrum, et cognatorum, amicorum, patriæ, et universæ Christianæ plebis gratia bellum suscipiunt, facile sitis turbulentiam, famis inediam, frigorum calorumque appulsus tolerare, et omnes ingravescentes rerum perturbationes æquo animo sustinere ; namque est horum laborum officiorumque vestrorum reposita apud Deum merces, et apud nos quoque remuneratio. Quanquam etiam nos vestri causa solliciti sæpe sumus, et in vestris ærumnis simul earumdem miseriarum participes sumus.

κ'. Γενοῦ δὲ ἱκανὸς, εἴγε τινὰ συμβῇ ἐν καιρῷ λυπηρὰ, ἐπὶ πολὺ ταῦτα κρύπτειν ἀπὸ τῶν πολεμίων,

20. Si aliquid adversum hoc tempore contingat, ita te para, ut ab hostibus occultetur, et in rebus

NOTÆ.

(59) *Σπουδαῖος*. Scribebatur, πουδαῖος.

(60) *Οἱ μένοντες*. Scribe, οἱ μὲν ὄντες.

Digitized by Google

afflictis circumstantibus constanti altoque animo esse videaris, et contrarium potius demonstres, te hilarem vacuumque a cura esse.

21. Quædam enim nationes, in quibus Persæ fuerant, cum adversus Romanos pugnarent, atque in aliquod periculum inciderent, ne salutem quidem quam exoptabant sibi ipsis proponere volebant, sed eam ab hostibus propositam accipiebant : tanta erat in illis malorum ac gravium rerum perpessio.

22. Ut vero quæ ante demonstrata sunt paucis repetamus, exercitum tuum armis teges ad formam a me ante descriptam. In primis autem arcubus sagittisque plurimis : magna enim arma atque efficacia sunt sagittæ, et præcipue contra Saracenos ac Turcas, quoniam spes omnis victoriæ illorum in sagittis ponitur.

23. Etenim ad sagittarios illorum feriendos valent, qui nudantur cum sagittas jaciunt. Sed etiam ad equos equitum vulnerandos magnopere valent sagittæ a nostris hominibus emissæ, multumque damni inimicis inferunt, optimis equis continua sagittarum conjectione trucidatis ; qua ex re omnis Saracenorum strenuorum alacritas in bello concidit.

24. Non enim servitute et militia ulla, sed lucri et libertatis cupiditate, vel potius prædandi studio et suæ ipsorum fidei, aut infidelitatis potius religione quadam, qua de causa mala patiuntur a nobis, et Deum putantur hostem habere, et offensionem injectam non posse sustinere.

25. Quando ad bellum procedis, extra fossatum firmum, ne castra ponas, si vel intra, vel prope hostilem terram fueris. Quando vero bellum jam instat, fossam undique ducito ad valli formam, reliquaque præsidia omnia adhibeto, ut eo confugere possis, si aliquid adversum in bello cadat.

26. Demonstrabo etiam quemadmodum oratione potero, reliquas in bello acierum instruendarum formas.

27. Est quædam etiam aciei forma in tres æquales partes in bello divisa, cujus supra mentionem feci, mediam, dextram et sinistram. In media parte habet quadringentorum, aut quingentorum virorum multitudinem. Altitudo hujus aciei nullam certam mensuram habet, sed equites, unaquaque in cohorte tum prima, tum secunda in acie collocantur, et aciei frons æqualis densataque est. Apparatum et tuldum a tergo aciei instructæ habet. Quod si tempore prælii, qui ita aciem instructam habet, habeat hastatos, in difficilibus asperisque locis aciem suam instruat, ac sagittariis quamplurimis utatur, ut locorum difficultate dispersi, dissi-

καὶ γενναίως ἐμμένειν καὶ καρτρεῖν ἐν ταῖς περιστάσεσι, καὶ ταύτας εἰς τὸ ἐναντίον ἀποδεικνύειν μᾶλλον ἤγουν εἰς εὐθυμίαν καὶ ἀπάθειαν.

κα'. Ἦσαν γάρ τινα τῶν ἐθνῶν, οἷα τὰ Περσικὰ φῦλά ποτε πρὸς Ῥωμαίους μαχόμενα, ἅπερ ὅταν ἐν τοῖς δεινοῖς ἐνέπιπτε, μηδὲ τὴν σωτηρίαν ἣν ἤθελον ἑαυτοῖς γενέσθαι προτείνειν θέλοντα, ἀλλὰ καὶ ταύτην παρὰ τῶν ἐχθρῶν αὐτῶν προτείνεσθαι ἐκδεχόμενα. Τοσοῦτον ἐν αὐτοῖς ἡ τῶν δεινῶν καρτερία.

κβ'. Ἵνα δὲ καὶ πάλιν τὰ πρώην (61) εἰρημένα μετρίως ἀνακεφαλαιώσωμέν σοι, καθόπλιζε τὸν στρατὸν τοῖς ὅπλοις κατὰ τὸν ἤδη σοι διορισθέντα τύπον, καὶ μάλιστα τοξαρίοις (62) καὶ σαγίτταις πλείοσι. Μέγα γὰρ ὅπλον καὶ δραστήριον ἡ τοξεία, καὶ μάλιστα κατὰ τῶν Σαρακηνικῶν ἐθνῶν καὶ Τούρκων (63), οἷς τὸ πᾶν τῆς νίκης ἐν ἐλπίδι τῆς παρ' αὐτῶν τοξείας κεῖται.

κγ'. Καὶ γὰρ κατά τε αὐτῶν τῶν τοξοτῶν γυμνουμένων ἐν τῷ βάλλειν τὴν σαγίτταν, ἀλλὰ καὶ κατὰ τῶν ἵππων τῶν καβαλλαρίων, μέγα ἰσχύουσιν αἱ παρὰ τοῦ ἡμετέρου στρατοῦ βαλλόμεναι σαγίτται, καὶ πολλὴν τὴν βλάβην τοῖς ἐχθροῖς παρέξουσι, τῶν πολυτιμήτων παρ' αὐτοῖς ἵππων διὰ τῆς συνεχοῦς τοξείας ἀφανιζομένων, καὶ ἐντεῦθεν τοῦ εὐψύχου τῶν εἰς πολέμους ἐξιέναι προθυμουμένων Σαρακηνῶν ἀνακοπτομένου.

κδ'. Οὐ γὰρ δουλείᾳ καὶ στρατείᾳ ἐκστρατεύουσι Σαρακηνοί, ἀλλὰ φιλοκερδίᾳ μᾶλλον καὶ ἐλευθερίᾳ, ἢ τὸ πλέον εἰπεῖν λῃστείᾳ καὶ τῆς ἑαυτῶν πίστεως, μᾶλλον δὲ εἰπεῖν ἀπιστίας τῇ δεισιδαιμονίᾳ, ὡς ἐνταῦθα τάχα πάσχοντες παρ' ἡμῶν, καὶ Θεὸν ἡγοῦνται πολέμιον ἔχειν, καὶ τὴν ζημίαν μὴ ὑποφέρειν.

κε'. Καὶ ὅταν μὲν πρὸς πόλεμον κινήσῃς, ἄνευ φοσσάτου μὴ ἀπλικεύῃς ὀχυροῦ, μάλιστα εἰ καὶ πλησίον ἢ ἐντὸς ὑπάρχῃς τῆς πολεμίας, ὅταν δὲ πρὸς τὸν πόλεμον ἐγγίσῃς, τάφρον ποίει, καὶ ἄλλην ἀσφάλειαν διὰ χάρακος ὡς δύνασαι ἀκριβῶς διὰ τὴν ἐκ περιστάσεως ἐν καιρῷ μάχης καταφυγήν.

κς'. Ὑποδείξω δέ σοι ἑτέρας καὶ τῶν ἐν μάχῃ παρατάξεων διαφορὰς ὡς ἐν ὀλίγοις.

κζ'. Ἔστι μὲν γάρ τις παράταξις μάχης ἐν τρισὶν ἴσοις μέρεσι τασσομένη, ἥς καὶ ἄνω που ἐμνήσθημεν, τουτέστι μέσῳ, καὶ δεξιῷ, καὶ ἀριστερῷ. Ἐν δὲ τῷ μέσῳ μέρει ἔχει ἄχρι τετρακοσίων ἢ πεντακοσίων ἀνδρῶν ἐπιλέκτων κατὰ περίσσειαν, τὰ δὲ βάθη τῆς τοιαύτης τάξεως οὐχ ὡρισμένῳ μέτρῳ γίνεται, ἀλλὰ μᾶλλον οἱ καβαλλάριοι ἐν ἑκάστῳ τάγματι ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ τάξει τάσσονται, καὶ τὸ μέτωπον τῆς τάξεως ἴσον καὶ πεπυκνωμένον ἐστί. Τὴν δὲ ἀποσκευήν, καὶ τὸ τοῦλδον, ὄπισθεν κατὰ νώτου τῆς παρατάξεως ἔχει, καὶ ἐάν ἐν καιρῷ μάχης ὁ οὕτως παρατασσόμενος ἔχῃ πολεμίους κονταράτους, εἰς δυσχερεῖς καὶ τραχεῖς τόπους τὴν πρά-

NOTÆ.

(61) *Πρώην*. Scribebatur, πρώκυ.
(62) *Τοξαρίοις*. Scribebatur, τοξαρία.
(63) Codex Laur. habet κούρτων.

Digitized by Google

ταξιν ὀφείλει τάσσειν, καὶ τόξοις κεχρῆσθαι, ἵνα τῇ δυσκολίᾳ τῶν τόπων διεσπασμένων αὐτῶν οὐκ εὐλύτως καὶ εὐκόλως αἱ ὁρμαὶ τῶν κονταρίων κατὰ αὐτῶν γίνωνται.

A patique, non facile, aut libere impetus hastarum valere possint.

κη'. Καὶ ἐὰν ὁρᾷ ὁ στρατηγὸς, ὅτι πρὸς ἔθνος ἔχει θερμόψυχον, ὀφείλει οὐ μόνον πρὸ τῆς ἡμέρας τοῦ πολέμου τὰς ὑπερθέσεις καὶ ἀναβολὰς ποιεῖσθαι τῆς μάχης, ἐὰν μάλιστα γνῷ ὅτι ἕτοιμοί εἰσι καὶ ἀξιόμαχοι οἱ ἐναντίοι δηλονότι ἐν δυσβάτοις τόποις ἀφόβως ἀπλικεύων.

28. Quod si intelligat adversum nationem bellicosam pugnandum esse, non modo ante diem belli differat, et rejiciat prælium quantum potest, si illos in bello fortiores valentioresque se esse putet, sed etiam in tuto firmoque loco secure castra ponat.

κθ'. Ἀλλὰ καὶ κατ' αὐτὴν τὴν ἡμέραν τῆς μάχης ἐν καιρῷ μάλιστα θέρους καὶ περὶ τὴν θερμοτέραν ὥραν τῆς δείλης τότε τὰς συμβολὰς ποιείτω, ἵνα τῇ τοῦ ἡλίου ζέσει καὶ τῷ τοῦ καιροῦ παρασυρμῷ τὸ θρασὺ καὶ θυμῶδες τῶν ἀντιτατταμένων αὐτῷ παύσηται.

29. Ipso quoque die belli, si æstas potissimum fuerit, ipso diei fervore bellum differas, et in ipso vesperæ calore cum illo confligas, ut solis ardore et temporis ipsius æstu audacia ferociaque illorum reprimatur.

B

λ'. Ταύτην δὲ τὴν τάξιν ἣν προδιεγράψαμεν ἀντιτάττεται ἁρμοδίως πεζικὴ τάξις ἐπιμελῶς συντεταγμένη, καὶ τόπος ὁμαλὸς καὶ γυμνὸς διὰ τὰς τῶν κονταρίων ὁρμὰς, καὶ ἡ κατὰ χεῖρα καὶ ταχέως συμπλοκὴ χωρὶς ἀναβολῆς, διὰ τὸ ἀχρείους ἐγγὺς τὰς βολὰς τῶν σαγιττῶν γίνεσθαι, καὶ μὴ ἔχειν τοὺς τοξότας κοντάρια ἢ σκυτάρια.

30. Huic formæ, quam supra descripsimus, opponitur pedestris acies diligenter instructa, et locus æquabilis, atque expositus, propter hastarum impetum, et conflictationem cominus, et consertis manibus habitam, et sine ulla intermissione, quia inutiles cominus conjectiones sagittarii neque hastas, neque scuta habent.

λα'. Ἐὰν δὲ ἐν τῇ συμπλοκῇ τῆς μάχης καὶ ὤθησις πρὸς αὐτοὺς γένηται, καὶ πρὸς σύντομον φυγὴν ὁρμήσουσι, βλαβήσονται μεγάλα, ἐὰν μὴ γινώσκωσι τὰς αἰφνιδίους ὑποστροφὰς κατὰ τῶν ἐπερχομένων αὐτοῖς.

31. Si in prælio commisso depulsio depressioque fiat, et in fugam convertantur, magnopere ex eo lædentur, nisi subitæ conversionem et invasionis iterum in hostes repellentes artificium habeant.

λβ'. Ἀλλὰ καὶ ἐπελεύσεις καὶ κυκλώσεις διὰ τῶν ὑπερκεραστῶν κατὰ τῶν πλαγίων καὶ τοῦ νώτου τῆς παρατάξεως αὐτῶν γινόμεναι βλάψουσι τὰ μέγιστα αὐτοὺς, εἰ μὴ ἄρα ἔχωσιν ἐν τῇ παρατάξει πλαγιοφύλακας ἀξίους μεγάλῃ ἐπελεύσει ἀντικατασταθῆναι.

C

32. Incursiones autem, et circumventiones per cornistites a lateribus, atque a tergo factæ valde eos lædent, nisi in acie lateranos egregios habeant, qui magnam incursionem repellere possunt.

λγ'. Διὰ τοῦτο οὖν, ὡς εἴρηται, χρὴ ἐν ταῖς τοιαύταις μάχαις καὶ παρατάξεσι τόπους ὁμαλοὺς καὶ ἀνακειμένους καὶ ἵππους ἐπιλέγεσθαι μὴ ἔχοντας τέλματα ἢ ὀρύγματα ἢ θάμνους, ἵνα μὴ διασπᾶται ἡ τάξις.

33. Atque ideo, quemadmodum diximus, in talibus prœliis et aciebus instruendis, loca æquabilia, exposita et plana eligenda sunt, quæ neque arbusta habeant, ut ne acies dissipetur.

λδ'. Ἐμπαρασκεύου δὲ καὶ ἑτοίμου ὄντος καὶ παρατεταγμένου τοῦ στρατοῦ, μὴ ὑπερτίθεσθαι τὴν συμβολήν.

34. Parato jam instructoque exercitu, et ad prœliandum in die belli converso, ne conflictationem ipsam differas, si tibi decretum est eo die prœlium committere.

λε'. Ἐὰν ἄρα καὶ δόξῃ μάχην συγκροῦσαι δημοσίως κατὰ τὴν ἡμέραν τοῦ πολέμου· τὰς δὲ συμβολὰς ἤτοι προσκρούσεις ἐν ταῖς μάχαις πρὸς τὸ μέτρον τῆς σαγίττας, ἴσας καὶ πυκνὰς κατὰ λόγον καὶ συντόμους δεῖ ποιεῖσθαι, ἵνα μὴ τῇ βραδύτητι τῆς συμπλοκῆς διὰ τῆς συνεχοῦς ταξείας τῶν ἐναντίων πλείονα τὰ βέλη καὶ τοῖς στρατιώταις, καὶ τοῖς ἵπποις ἐμπέσωσιν.

D

35. Conflictationes ipsas, vel processus ad confligendum, pro ratione sagittarum æquales, densas et celeres facere oportet, ut ne tarditate procedendi, continuæ et plures sagittarum conjectiones tum milites tum equos magis vulnerent.

λς'. Ἐὰν δέ τις ἀνάγκη γένηται, ἵνα ἐν δυσχερεστέρῳ τόπῳ ἡ μάχη γένηται, καλόν ἐστι τοὺς μὲν ἐν πεζικῇ τάξει καταστῆσαι, τοὺς δὲ ἐπὶ τῶν ἵππων, καὶ μὴ τὴν πᾶσαν παράταξιν ἐν τοιούτοις ἀνωμάλοις τόποις καβαλλαρίους μόνον ποιοῦντα παρατάσσειν.

36. Sin aliqua necessitas urgeat, ut difficiliore in loco prælium committatur, haud abs te fuerit quosdam pedestri in acie collocare, quosdam ex equis, ut ne omnes cum equitibus, in hac locorum inæqualitate admisceamus.

λζ'. Αἱ γὰρ τῶν κονταράτων ἐγχειρήσεις κατὰ τῶν τοξοτῶν, ὡς εἴπομεν, ἐὰν μὴ ἴσοι καὶ ἀδιάσπαστοι ὦσιν, βλάβην πολλὴν ἐκ τῶν σαγιττῶν ὑφίστανται,

37. Hastarum autem adversus sagittas dimicationes, si inæqualia præruptaque loca fuerint, magnas offensiones in bello accipiunt, atque ad con-

Digitized by Google

fligendum impediunt; itaque planis expositisque locis hastati ad dimicandum egent.

38. Sin se ad bellandum cum hostibus minus habilem esse imperator intellexerit, non publicis præliis cum eo conflictari, sed incursionibus, et impressionibus nec opinatis, et locorum opportunitate ad furtivas insidias, et aggressiones hostium utatur; neque causa cur bellum differatur vel suis, vel hostibus patefiat, ut ne ex eo hostes animentur ad prælium, tui a prælio abstrahantur.

39. Revolutiones, id est, conversiones et reversiones in discessionibus, non manifeste atque ex adverso hostium fiant, sed ad latus se obliquando convertant atque iterum a tergo illos intercipiant; quidam enim ex hostibus, ut Persæ, cum aciem dissolvere nolint, facile terga sua objiciunt iis qui contra eos conversi sunt, et quasi fugiendo pugnant. Nam qui discedunt, et subterfugiunt, si conversi voluerint ex adverso hostium se objicere illis, magnopere læduntur, si in illos instructos incidant.

40. Turcæ fugientes hostes confuse insequuntur, unde facillime læduntur, si qui fugæ se mandant, sine aciei suæ perturbatione faciant, et rursum eadem cum ordinis conservatione in illos iterum invadant.

41. Aliæ nationes permultæ ordinatæ, atque instructæ fugientes insequuntur; itaque minime oportet coram, atque ex adverso in illos conversi, sed ad latus, atque a tergo, quemadmodum memoravi, incursionem facere.

42. Quoniam Turcarum mentionem fecimus, haud abs re fuerit universam illorum aciem, et quemadmodum adversum illos nostra acies instruenda sit, explicare. Hoc enim experientia tenebamus, cum Bulgari induciis violatis Thracum regionem populabantur. Bulgaros enim ultio divina, propter hoc perjurium, in Christi Dei nostri, et totius universitatis regis nomine admissum, justo supplicio coercuit. Nam cum nostræ copiæ adversus Saracenos occupatæ essent, Turcas divina Providentia adversum eos Romanorum vice armavit, classe nostra Istrum transmittente, atque illos adjuvante, et Bulgarorum contra Christianos armatum exercitum tribus præliis fuderunt, divinitus ad hoc, ut videtur, missi, ne Romani Christiani Bulgarorum Christianorum sanguine inquinarentur.

43. Scythicæ nationes unam habent aciei apparatusque formam, quamvis diversorum hominum imperiis subjiciantur, et ad negotia facessenda incitati, pastionibus pecoris vitam transmittunt. Solæ autem Bulgarorum et Turcarum nationes similiter

καὶ πρὸς τὴν συμβολὴν ἀνακόπτονται, διὸ καὶ ὁμαλωτέρου δέονται τόπου ἐν ταῖς μάχαις οἱ κονταρίοις χρώμενοι.

λη'. Ἐὰν δὲ κατανοήσῃ ὁ στρατηγὸς, ὅτι οὐκ ἔστιν ἀξιόμαχος ὁ στρατὸς αὐτοῦ πρὸς τοὺς ἐναντίους, οὐ δεῖ αὐτὸν μάχεσθαι πολέμοις δημοσίοις, ἀλλ' ἐφόδοις ἤγουν ἐπελεύσεσι καὶ κλοπαῖς κατὰ τῶν ἐχθρῶν κεχρῆσθαι ἀσφαλῶς καὶ εὐσχημόνως διὰ τόπων ἐπιτηδείων εἰς τὸ μὴ δηλοῦσθαι ἢ τοῖς ἐναντίοις, ἢ τοῖς ἰδίοις τὸν σκοπὸν δι' ὃν γίνεται ἡ ὑπέρθεσις τῆς δημοσίας, ἵνα μὴ ἐκ τούτου τοῖς μὲν πολεμίοις αὐτοῦ θράσος, τῷ δὲ λαῷ αὐτοῦ δειλία γένηται.

λθ'. Τὰς δὲ ἐξελίξεις, ἤγουν, τὰς ἐπιστροφὰς καὶ ἀναστροφὰς ἐν ταῖς ὑποχωρήσεσι, μὴ δι' ὄψεως ποιεῖσθαι τῶν ἐναντίων, ἀλλὰ διὰ τῶν πλαγίων αὐτῶν ἀναστρέφειν καὶ τοὺς νώτους αὐτῶν ἀπολαμβάνειν. Τινὰ γὰρ τῶν ἐθνῶν οἷα καὶ τὰ τῶν Περσῶν ποτὲ μὴ βουλόμενα διαλύειν τάξιν αὐτῶν, εὐκόλως τοὺς νώτους αὐτῶν προδιδοῦσι τοῖς κατ' αὐτῶν ὑποστρέφουσιν οἱονεὶ φυγομαχοῦντες. Ἀλλὰ καὶ οἱ ὑποχωροῦντες καὶ ὑποφεύγοντες αὐτοὺς εἰ βουληθῶσιν ἀντιστρεφόμενοι εἰς ὄψιν τῶν διωκόντων αὐτοὺς ἐλθεῖν βλάπτονται συντεταγμένοις αὐτοῖς περιπίπτοντες.

μ'. Τὰ μὲν γὰρ τῶν ἐθνῶν οἷον οἱ Τοῦρκοι ἐν ταῖς διώξεσιν ἀτάκτως ἐπιτίθενται τοῖς διωκομένοις, ὅθεν καὶ εὐχερέστερον βλάπτονται παρὰ τῶν διωκομένων εὐτάκτως ὑποχωρούντων καὶ ὑποστρεφόντων.

μα'. Τὰ δὲ πράως καὶ συντεταγμένως διώκουσι. Διὸ οὐδὲ χρὴ τοὺς ἀναστρέφοντας κατ' αὐτῶν δι' ὄψεως ἐπιτηδεύειν ἔρχεσθαι, ἀλλὰ καὶ διὰ τῶν πλαγίων καὶ κατὰ τοῦ νώτου αὐτῶν ποιεῖσθαι τὴν ἐπέλευσιν, ὡς μοι εἴρηται.

μβ'. Ἐπεὶ δὲ Τούρκων ἐμνήσθην, οὐκ ἀδόκιμον κρίνομεν, καὶ ὅπως αὐτοὶ παρατάττονται, καὶ ὅπως αὐτοῖς ἀντιπαρατάξασθαι δέον, διασαφῆσαι, διὰ μετρίας πείρας ἀναμαθόντες, ὅτε συμμάχοις αὐτοῖς ἐχρησάμεθα, Βουλγάρων τὰς εἰρηνικὰς παραβεβηκότων σπονδὰς, καὶ τὰ τῆς Θράκης χωρία καταδραμόντων. Οἷς ἡ δίκη ἐπεξελθοῦσα τῆς εἰς Χριστὸν τὸν Θεὸν παροινίας τῶν ὅλων τὸν βασιλέα τάχος ἔφθασεν ἐπιθεῖναι τὴν τιμωρίαν. Καὶ γὰρ τῶν ἡμετέρων δυνάμεων κατὰ Σαρακηνῶν ἀσχολουμένων Τούρκους ἡ θεία Πρόνοια ἀντὶ Ῥωμαίων κατὰ Βουλγάρων ἐστράτευσε, πλωΐμου στόλου τῆς ἡμῶν βασιλείας τὸν Ἴστρον αὐτοὺς διαπεράσαντός τε καὶ συμμαχήσαντος, καὶ τὸν κακῶς κατὰ Χριστιανῶν ὁπλισθέντα Βουλγάρων στρατὸν τρισὶ μάχαις κατὰ κράτος νενικηκότας (64), ὡς ἂν εἰ δημίους ἐξαποστείλασα κατὰ αὐτῶν, ἵνα μὴ ἐκόντες Ῥωμαῖοι Χριστιανοὶ Χριστιανῶν Βουλγάρων αἵμασι χραίνοιντο.

μγ'. Τὰ Σκυθικὰ τοίνυν ἔθνη μιᾶς εἰσιν, ὡς εἰπεῖν, ἀναστροφῆς τε καὶ τάξεως, πολύαρχά τε καὶ ἀπράγμονα νομαδικῶς ὡς ἐπίπαν βιοῦντα. Μόνα δὲ τὰ τῶν Βουλγάρων προσέτι δὲ καὶ τὰ τῶν Τούρκων τῆς ὁμοίας φροντίζουσι τάξεως πολεμικῆς ἰσχυρο-

NOTÆ.

(64) *Νενικηκότας*. Scribe, νενικηκότος.

Digitized by Google

τέρας τῶν ἄλλων Σκυθικῶν ἐθνῶν τὰς κατὰ σύστασιν μάχας ποιούμενά τε καὶ μοναρχούμενα.

μδ'. Ἀλλὰ Βουλγάρων τὴν ἐν Χριστῷ εἰρήνην ἀσπαζομένων, καὶ κοινωνούντων τῆς εἰς αὐτὸν πίστεως Ῥωμαίοις, μετὰ τὴν ἐκ τῆς παρορκίας πεῖραν οὐχ ἡγούμεθα κατὰ αὐτῶν χεῖρας ὁπλίζειν, ἐπὶ τὸ θεῖον ἤδη τὰ κατὰ ἐκείνων ἀναρτῶντες στρατηγήματα· διόπερ οὔτε τὴν αὐτῶν καθ' ἡμῶν παράταξιν, οὔτε τὴν ἡμετέραν κατ' ἐκείνων, ἅτε διὰ τῆς μιᾶς πίστεως ἀδελφῶν ὑπαρχόντων, καὶ ταῖς ἡμετέραις εἶχειν ἐναγγελλομένων εἰσηγήσεσι, διαγράφειν τέως προθυμούμεθα.

με'. Περὶ δὲ τῆς τῶν Τούρκων διαθέσεώς τε καὶ παρατάξεως, μικρῷ τῆς Βουλγάρων ἢ οὐδὲν διαφερούσης, ἤδη ἐροῦμεν. Ὅτι πολύανδρόν ἐστι καὶ ἐλεύθερον τοῦτο τὸ ἔθνος, μελέτην μόνον ποιούμενον, παρὰ τὰς ἄλλας πολυτελείας καὶ τὴν εὐπορίαν, τὸ ἀνδρείως διακεῖσθαι πρὸς τοὺς ἰδίους ἐχθρούς.

μς'. Τοῦτο τοίνυν ὡς μοναρχούμενον, καὶ ἀπηνεῖς καὶ βαρείας τὰς ποινὰς ἐπὶ τοῖς ἁμαρτανομένοις παρ' αὐτῶν ἐκ τῶν ἀρχόντων αὐτῶν ὑφιστάμενον, οὐκ ἀγάπῃ, ἀλλὰ φόβῳ κεκρατημένον, τοὺς πόνους καὶ μόχθους γενναίως φέρουσιν. Πρὸς δὲ καύματα καὶ πρὸς ψύχος ἀντέχονται, καὶ τῆς λοιπῆς τῶν ἀναγκαίων ἐνδείας νομαδικὸν ὑπάρχον.

μζ'. Περίεργα δέ εἰσι τὰ τῶν Τούρκων φῦλα, καὶ κρύπτοντα τὴν βουλὴν αὐτῶν, ἄφιλα δὲ καὶ ἄπιστα ὄντα, καὶ διὰ τῆς ἀπληστίας τῶν χρημάτων κρατούμενα, ὅρκου περιφρονοῦσι, μήτε συνθήκας φυλάττοντα, μήτε δώροις ἀρκούμενα, ἀλλὰ πρὶν τὸ δοθὲν δέξονται, ἐπιβουλὴν μελετῶσιν καὶ ἀνατροπὴν τῶν συνθηκῶν.

μη'. Καὶ τοὺς ἐπιτηδείους καιροὺς δεινῶς στοχάζονται, καὶ σπουδάζουσιν οὐ τοσοῦτον χειρὶ καὶ δυνάμει τοὺς ἐχθροὺς καταπολεμῆσαι, ὅσον δι' ἀπάτης, καὶ αἰφνιδιασμοῦ, καὶ διὰ τῆς τῶν ἀναγκαίων στενώσεως.

μθ'. Ὁπλίζονται δὲ σπαθίοις, καὶ λωρικίοις, καὶ τόξοις, καὶ κονταρίοις. Ὅθεν ἐν ταῖς μάχαις διπλοῦν ἅρμα οἱ πλείονες αὐτῶν ἐπιφέρονται, ἐν τοῖς ὤμοις τὰ κοντάρια ἀναβαστάζοντες, καὶ τὰ τόξα ἐν ταῖς χερσὶ κατέχοντες, καὶ ἀμφοτέροις κατὰ τὴν ἁπάντων χρείαν κεχρημένοι. Διωκόμενοι δὲ μᾶλλον προτεροῦσι τοῖς τόξοις.

ν'. Οὐκ αὐτοὶ δὲ μόνον ὁπλοφοροῦσιν, ἀλλὰ καὶ οἱ ἵπποι τῶν ἐμφανῶν σιδήρῳ ἢ κενδούκλῳ τὰ ἔμπροσθεν μέρη σκέπονται.

να'. Πολλὴν δὲ μελέτην καὶ ἄσκησιν ποιοῦνται περὶ τὴν ἐπὶ τῶν ἵππων τοξείαν.

νβ'. Ἀκολουθεῖ δὲ αὐτοῖς καὶ πλῆθος ἀλόγων ἱππαρίων καὶ φοραδίων (65), ἅμα μὲν πρὸς ἀποτροφὴν καὶ γαλακτοποσίαν, ἅμα δὲ καὶ διὰ πλῆθους φαντασίαν.

A acies suas in bello instruunt, reliquis Scythis longe melius ac fortius ordinati, et unius imperio obedientes bella gerunt.

44. Sed quoniam Bulgari pacem in Christo amplectuntur, et fidem in Christo cum Romanis communicant, quoniam Deus illos propter induciarum violatarum perjurium ulciscebatur, nolumus ulla consilia imperatoria adhibere, et adversus illos nosmet armare. Itaque neque illorum contra nos aciem, neque nostram adversum illos, cum una in fide quasi fratres jungamur, apparationem demonstrare, nuncque potissimum cum jam se nostro imperio administrationique, quemadmodum optavimus, submittunt.

B 45. De Turcarum forma parum aut nihil a Bulgaris differente jam dicamus. Populosa ac libera hæc natio est, reliquarum rerum quæ sunt in hominibus splendida minorem curam habentes; in eo solum laborantes, ut in confligendo cum hostibus fortes sint atque habeantur.

46. Hæc igitur natio sub unius dominatu cum sit, graves acerbasque pœnas dat præfectis suis, si ullius delicti teneantur; neque amore, sed timore ab improbitate coercetur, et labores atque ærumnas omnes strenue perfert; ad calores et frigora toleranda satis paratur; reliquarum rerum egestatem, quemadmodum reliqui, qui nomades sunt, id est, pastionibus pecudum se totos tradiderunt, æquo animo perpetiuntur.

C 47. Laboriosum admodum genus Turcarum est, et tectum in consiliis atque occultum, neque sociale, neque fidum, pecuniarum cupiditate inexplebile, jurisjurandi contemnens, fœdifragum; donis haud contineri potest; nam pene priusquam dona acceperint, insidias moliuntur et induciarum violationem.

48. Temporum opportunitatem diligentissime persequuntur, neque manu et viribus tantum contendunt, quantum dolis, et subitis incursionibus, et rerum necessariarum interclusione, hostes adoriuntur.

D 49. Armantur gladiis, hastis, sagittis, galeis. Unde in prœlio duplicia arma complures ex illis gestant; humeris hastas ferunt, et manibus arcum tenent, et, si quando usus poscit, utrisque utuntur; ubi vero alii eos insequuntur, arcu magis valent.

50. Nec vero soli illi arma gestant, sed equi etiam spectatorum virorum cenduclo, aut ferro anteriora tegunt.

51. Multum operæ collocant in studio sagittarum ex equis jaciendarum.

52. Bestiarum multitudinem secum habent, equarum, jumentorumque aliorum, tum ad lac bibendum, tum propter opinionem multitudinis.

NOTÆ.

(65) In quibusdam hic suppletur vocabulum, ἀγέλαι, deest in cod. Laurent.

Digitized by Google

53. Castra ponunt non in fossato, quemadmodum Romani, sed usque ad belli diem per cognationes et tribus disperguntur. Equos assidue tum hieme tum æstate alunt. Belli autem tempore necessarios ad usum equos retinent, et prope Turcica tentoria pedicis injectis tenent, atque usque ad ipsius prœlii tempus conservant.

νγ'. Ἀπλικεύουσι δὲ οὐκ ἐν φοσσάτῳ, ὥσπερ οἱ Ῥωμαῖοι, ἀλλὰ μέχρι μὲν τῆς τοῦ πολέμου ἡμέρας διεσπαρμένοι κατὰ γένη καὶ φυλὰς, τοὺς ἵππους βόσκοντες διηνεκῶς ἐν θέρει καὶ χειμῶνι. Ἐν δὲ καιρῷ πολέμου τοὺς ἀναγκαίους ἵππους κατέχοντες, καὶ πεδικλοῦντες πλησίον τῶν Τουρκικῶν τεντῶν φυλάττουσι μέχρι καιροῦ τῆς παρατάξεως, ὑπὸ νύκτα τῆς παρατάξεως ἀπαρχόμενοι.

54. Excubias eminus collocatas habent, sed ita crebras, ut non facile subitis impressionibus opprimi possint.

νδ'. Τὰς δὲ βίγλας αὐτῶν ἀπὸ μακρόθεν ἀλλεπαλλήλους ποιοῦσιν, εἰς τὸ μὴ εὐκόλως αὐτοὺς ὑπομένειν αἰφνιδιασμούς.

55. In prœlio, ut Romani faciunt, aciem suam in tres partes non dividunt, sed diversis in partibus drungisti simul et confertim inter se adjuncti, partes ita parum inter se distantes habent, ut una videatur esse acies.

νε'. Ἐν δὲ τῇ μάχῃ οὐχ ὡς οἱ Ῥωμαῖοι παρατάσσουσιν ἐν τρισὶ μέρεσιν, ἀλλ' ἐν διαφόροις μοίραις δρουγγιστὶ συνάπτοντες ἀλλήλαις τὰς μοίρας μικρὸν ἀπ' ἀλλήλων διισταμένας, ὥστε μίαν φαίνεσθαι παράταξιν.

56. Præter aciem instructam copias quasdam præterea habent, quas vel ad insidias mittunt adversum eos qui negligenter in hostili acie illis opponuntur, vel ad subsidium afflictæ oppressæque partis emittunt. Tuldum autem, id est impedimenta, a tergo aciei prope vel ad dextram, vel ad sinistram, unius aut duorum milliarium intervallo habent, et parvam quamdam custodiam militum illi assignant.

νς'. Ἔχουσι δὲ ἔξω τῆς παρατάξεως δύναμίν τινα ἐκ περισσοῦ, ἣν πρὸς ἔγκρυμμα ἐκπέμπουσιν κατὰ τῶν ἀμελῶς ἀντιτασσομένων αὐτοῖς, ἢ καὶ εἰς βοήθειαν τοῦ βαρουμένου μέρους φυλάττουσι. Τὸ δὲ τοῦλδον αὐτῶν ὄπισθεν τῆς παρατάξεως ἔχουσι πλησίον, ἢ δεξιᾷ ἢ ἀριστερᾷ τῆς παρατάξεως, ὡς ἀπὸ ἑνὸς ἢ δευτέρου μιλίου, ἀφιέντες ἐν αὐτῷ καὶ ὀλίγην παραφυλακήν.

57. Sæpe autem superfluos equos a tergo post aciem instructam locant, et manipulos confuse atque inordinate apparant; ut densata altaque sit permultum laborant, frontem vero æquabilem densamque faciunt.

νζ'. Πολλάκις δὲ καὶ συζευγνύντες τοὺς περισσοὺς τῶν ἵππων κατὰ νώτου, ἤγουν ὄπισθεν τῆς παρατάξεως αὐτῶν ποιοῦσιν εἰς φυλακὴν αὐτῆς, καὶ τὰ μὲν βάθη τῶν ἀκιῶν τῆς παρατάξεως ἤγουν τοὺς στίχους ἀορίστως ποιοῦσι, διὰ τὸ παχεῖαν εἶναι τὴν παράταξιν βάθους μᾶλλον φροντίζοντες, καὶ ἴσον ποιοῦσι καὶ πυκνὸν τὸ μέτωπον.

58. Utuntur pugnis eminus habitis, insidiis, circumscriptionibus hostium, simulatis discessionibus, conversionibus, et dispersis aciebus.

νη'. Χαίρουσι δὲ μᾶλλον ταῖς ἀπὸ μήκοθεν μάχαις, καὶ ἐνέδραις, καὶ ταῖς κυκλώσεσι κατὰ τῶν ἐναντίων, καὶ ταῖς ἐσχηματισμέναις ὑποχωρήσεσιν, καὶ ἀντιστροφαῖς, καὶ ταῖς διεσπαρμέναις τάξεσιν.

59. Ubi hostes in fugam verterint, illud primum laborant, ut omni contentione insequantur, nihil prius habentes, quam persequi hostes. Neque, quemadmodum Romani reliquæque nationes, contenti sunt mediocriter illos insequi, et pecunias illorum diripere, sed eo usque invadunt, dum omnibus quibus possunt viis hostes protinus deleant.

νθ'. Ὅταν δὲ τρέψωσι τοὺς ἐχθροὺς αὐτῶν, πάντα ἐν δευτέρῳ τιθέασιν, καὶ ἀφειδῶς ἐπιτίθενται, οὐδὲν ἕτερον λογιζόμενοι, ἢ τὸ διώκειν. Οὐκ ἀρκοῦνται γὰρ, ὥσπερ οἱ Ῥωμαῖοι καὶ τὰ ἄλλα ἔθνη, τῇ μετρίᾳ καταδιώξει, καὶ τῇ τῶν χρημάτων ἁρπαγῇ, ἀλλὰ μέχρι τοσούτου ἐπίκεινται, ἕως ἂν τελείως τὴν τῶν ἐχθρῶν κατάλυσιν ποιήσωνται, πάσῃ μεθόδῳ εἰς τοῦτο κεχρημένοι.

60. Si qui ex hostibus Turcorum ad munitionem aliquam confugerint, confestim conantur commeatus inopiam, si quæ sit, aut virorum, aut jumentorum cognoscere, et ibi in continua obsidione sunt, donec ejus inopia hostes opprimant, vel ad aliquam consensionem, aut deditionem illos compulerint; ac primo leviora illis proponunt, assentientibus deinde graviora imponunt.

ξ'. Ἐὰν δέ τινες τῶν ἐχθρῶν αὐτῶν διωκόμενοι εἰς ὀχύρωμα καταφεύγωσι, σπουδάζουσι ἀκριβῶς κατανοοῦντες τὴν τῶν ἀναγκαίων ἔνδειαν καὶ τῶν ἵππων καὶ τῶν ἀνδρῶν, καὶ προσκαρτεροῦσιν ἵνα τῇ στενότητι τούτων χειρώσωνται τοὺς ἐχθροὺς, ἢ εἰς τὰ ἀρέσκοντα αὐτοῖς σύμφωνα τούτους ἀγάγωσι, πρώτως μὲν ἐλαφρότερά τινα ἐπιζητοῦντες, καὶ τότε συντιθεμένων αὐτοῖς τῶν ἐχθρῶν ἕτερα μείζονα προστιθέασιν.

61. Hi Turcorum mores hoc solo a Bulgarorum distant, quod hi Christianorum complexi fidem, Romanorum moribus assuefacti, morum asperitatem et agrestem vitam simul cum infidelitate abjecerunt.

ξα'. Ταῦτα μὲν τὰ τῶν Τούρκων ἤδη τοσούτῳ μόνῳ διαφέροντα τῶν Βουλγάρων, ὅσῳ τὴν Χριστιανῶν οὗτοι ἀσπασάμενοι πίστιν, καὶ τοῖς Ῥωμαϊκοῖς ἐπ' ὀλίγον μετεβάλοντο ἤθεσι, τό τε τὸ ἄγριον καὶ νομαδικὸν τῷ ἀπίστῳ συναποβαλόντες.

Digitized by Google

ξβ'. Ἐναντιοῦται δὲ πολεμίοις Τούρκοις ἔνδεια βοσκῆς διὰ τὸ πλῆθος ὧν ἐπιφέρονται ἀλόγων. A

62. Pastionum inopia maximo impedimento Turcorum exercitui est, quia multitudinem jumentorum secum semper vehunt.

ξγ'. Καὶ ἐν καιρῷ δὲ συμβολῆς τάξις πεζικὴ συντεταγμένη μάλιστα αὐτοὺς βλάψει, ὡς ἐναντία αὐτῶν καβαλλαρίων ὄντων, καὶ μὴ καταβαινόντων ἀπὸ τῶν ἵππων· οὐδὲ γὰρ στῆναι πεζῇ καρτεροῦσιν ὡς συντραφέντες ἐποχεῖσθαι τοῖς ἵπποις.

63. Conflictationis tempore pedestris acies magnopere illos lædet, quæ adversa equitibus solet esse iis qui ex equis descendere non solent; neque enim stare pedibus diu possunt, quia equis vehi sunt soliti,

ξδ'. Ἐναντιοῦται δὲ αὐτοῖς καὶ τόπος ὁμαλὸς καὶ γεγυμνασμένος, καὶ δὴ καὶ τάξις καβαλλαρικὴ, καὶ πεπυκνωμένη, καὶ ἀδιαστάτως αὐτοῖς ἀκολουθοῦσα.

64. Adversus illis locus æquabilis campestrisque est, et acies equestris densataque, et sine intermissione illos sequens.

ξε'. Ἐναντιοῦται δὲ καὶ ἐκ χειρὸς συμπλοκὴ μετὰ τῶν ὅπλων, καὶ ἔφοδοι νυκτερινὰι ἀσφαλῶς γινόμεναι, οἷον ἵνα οἱ μὲν οἱ προσβάλλοντες αὐτοῖς ἓν μὲν ἔχωσι μέρος τεταγμένον, τὸ δὲ ἕτερον μέρος ἐγκρυπτόμενον, B

65. Adversæ illis sunt manuum concertationes, et incursiones nocturnæ, si ita tuto fiant, ut qui invadunt illos unam partem habeant instructam, alteram autem occultam atque abditam.

ξς'. Λυπεῖ δὲ αὐτοὺς σφόδρα καὶ ὅταν τινὲς ἐξ αὐτῶν προσφύγωσι τοῖς Ῥωμαίοις. Γινώσκουσι γὰρ ὅτι ἄστατον ἔχει γνώμην τὸ ἔθνος αὐτῶν, καὶ φιλοκερδεῖς εἰσιν, καὶ ἐκ πολλῶν φυλῶν συγκείμενοι, καὶ ὅτι διὰ τοῦτο οὐ ποιοῦνται λόγον συγγενῶν καὶ τῆς εἰς ἀλλήλους ὁμονοίας.

66. Hoc vehementer illos vexat, si qui ex illis ad Romanos deficiant. Cognoscunt enim omnes suos inconstantem habere animum, et lucri appetentes esse, ac ex multis tribubus conflatos, atque adeo cognatorum suorum et mutuæ benevolentiæ minorem rationem habere.

ξζ'. Ὀλίγων δὲ τάχα τοῦ προσφυγεῖν ἀπαρχομένων καὶ φιλοφρονουμένων παρ' ἡμῶν, πλῆθος αὐτοῖς ἐπακολουθεῖ. Διὸ καὶ βαρέως φέρουσιν ἐπὶ τοῖς ἀπ' αὐτῶν ἀναχωροῦσιν.

67. Cum paululum ad fugiendum retrocesserint, atque hilarentur, multi e nostris statim consequuntur. Itaque moleste admodum ferunt, si quis ab illis deficiat.

ξη'. Ὅταν οὖν βουληθῇ τις πρὸς αὐτοὺς ἐγγίσαι πρὸς μάχην, πρό γε πάντων ἔχειν αὐτὸν δέον τὰς βίγλας ἐπιμελῶς καὶ συνεχεῖς ἀπὸ διαστημάτων C ὀλίγων, εἶτα μεριμνῆσαι καὶ προευτρεπίσαι τὰ εἰς δευτέραν τύχην συγχανόντα· ἧγουν μήποτε τροπὴ γένηται τῶν ἀντιπολεμούντων αὐτοῖς, ἵνα καὶ ὀχυρὸν τόπον κατανοήσῃ ἐν καιρῷ περιστάσεως, καὶ δαπάνην ἐφεύρῃ ὀλίγων ἡμερῶν, εἰ μὲν δυνατόν ἐστι καὶ τῶν ἀλόγων, ἐπὶ παντὸς τῶν ἀνδρῶν, καὶ μάλιστα τὴν τοῦ ὕδατος εὐπορίαν, εἶτα καὶ τὸ τοῦλδον διαθήσει, ὡς ἐν τῷ περὶ αὐτοῦ κεφαλαίῳ ἡμῖν εἴρηται.

68. Quando quis cominus ad pugnandum cum illis accedere voluerit, excubias habeat multas et crebras, exiguo intervallo disjunctas; deinde præparet, et adversus omnem fortunæ impetum provideat, ut si quando hostium fuga fiat, munitionem aliquam ad illos obsidendos paret; et commeatum aliquot dierum habeat tum hominum, tum etiam, si fieri potest, jumentorum, ac in primis aquæ affluentiam habeat, deinde impedimenta sic instruat, quemadmodum in capite de tuldo diximus.

ξθ'. Καὶ ἐὰν μὲν σύνεστι πεζικὸς στρατὸς ἐν τῇ πρώτῃ μάλιστα μάχῃ, ἐν ὅσῳ ὁ στρατὸς ἐν συνηθείᾳ τοῦ ἔθνους γίνεται, ἐκτάξαι αὐτὸν κατὰ τὸν δηλωθέντα ἡμῖν ἐν ἄλλοις τρόπον, τοῦτ' ἔστιν, ὥστε ἔχειν τοὺς καβαλλαρίους ὑποτεταγμένους τοῖς πεζοῖς. D

69. Si pedestris acies fuerit in prima potissimum pugna, qui exercitus maxime assuetus illis fuerit, eum primo instrues, quemadmodum alibi explicuimus; hoc est, ut equites post se instructos habeant.

ο'. Εἰ δὲ μόνον καβαλλάριοί εἰσιν οἱ ἀντιτασσόμενοι αὐτοῖς, καὶ ἀξιόμαχοι πρὸς τὴν ἐκείνων δύναμιν, κατὰ τὸν λεχθέντα τρόπον καὶ αὐτὸν ἐν τῷ περὶ τάξεως λόγῳ τάξει αὐτούς.

70. Sin equites fuerint, qui adversum Turcos instruuntur, si ad pugnandum cum illis satis habiles fuerint, ita instrues eos, quemadmodum ante memoravimus, ubi de instruendis illis verba fecimus.

οα'. Πλείονας δὲ ἐν τοῖς πλαγίοις ἀφορίσει καὶ χρησίμους. Ἐν τῷ νώτῳ γὰρ αὐτῶν ἀρκοῦσιν οἱ λεγόμενοι διφένσορες καβαλλάριοι, ἤτοι οἱ ἔκδικοι. Τοὺς δὲ κούρσωρας, ἤτοι προμάχους μὴ πλέον τριῶν, ἢ τεσσάρων σαγιττοβόλων τῆς παρατάξεως τῶν διφενσόρων ἐν ταῖς διώξεσι χωρίζεσθαι μηδὲ κατατρέχειν αὐτῶν. Πάντως δὲ καὶ σπουδὴν ποιήσεται ἵνα ἐν γυμνῷ καὶ ἴσῳ τόπῳ κατὰ τὸ δυνατὸν

71. Ad latera multos et strenuos segregabis; ad tergus enim defendendum satis sunt defensores, id est, vindices. Cursores autem plus tribus aut quatuor sagittæ jactibus in persequendis hostibus a defensoribus ne separentur. Omnino autem elaborabis, ut in planis expositisque locis quantum potes aciem tuam instruas, ubi neque silvæ condensæ, neque paludes, neque arbusta perturbare

Digitized by Google

possint, propter insidiarum metum, quas Turci moliri solent.

A αὐτῷ τὴν παράταξιν ἐκτάξῃ, ἔνθα μήτε ὕλαι εἰσὶ δασεῖς, μήτε πάλματα (66), μήτε δὲ κοιλάδες ἐνοχλοῦσι, διὰ τὰ παρὰ τῶν Τούρκων ἐπινοούμενα ἐγκρύμματα.

72. Excubiæ intervallo quodam interposito ad partes quatuor aciei collocabuntur.

οβ'. Καὶ τὰς βίγλας δὲ ἐκ διαστήματος κατὰ τεσσάρων μερῶν τῆς παρατάξεως ποιήσεις.

73. Si fieri possit, fluvium transitu perdifficilem aut paludem, aut lacum, ad tergus aciei in tuto conservandum habeas.

ογ'. Ἐὰν δὲ ἐνδέχεται, καλόν ἐστιν ἵνα ἢ δύσβατον ποταμὸν, ἢ πάλματα, [ἢ] λίμνην κατὰ νώτου τῆς παρατάξεως ἔχῃ, ἵνα ὁ νῶτος ἀσφαλῶς φυλάττηται.

74. Si belli secundus exitus fuerit neque nimis cupide illos opprimas, neque negligenter illos insequaris. Neque enim quemadmodum reliquæ nationes faciunt, sic Turci, ubi primo superantur prœlio, statim profligati discedunt, sed omnes vias postea quærunt, quemadmodum hostes suos incursionibus superare aut fundere possint. Sin permista acies, pluresque pedites fuerint, provisio quædam jumentorum pabuli habenda est. Neque enim imminentibus hostibus omnino equites permittuntur pabulari.

οδ'. Καὶ ἐὰν καλῶς τὰ τοῦ πολέμου ἐξέλθῃ, μήτε καταπτρέχειν αὐτῶν ἁπλήστως, μήτε ἀμελῶς διακεῖσθαι· οὐδὲ γὰρ ὡς τὰ λοιπὰ ἔθνη τὴν πρώτην ἡττώμενα μάχην ἀπολήγουσι τοῦ πολέμου, ἀλλὰ μέχρις ἂν κατακράτος ταπεινωθῶσιν, ἐπιτηδεύουσι διὰ πολλῶν τρόπων κατὰ τῶν ἐχθρῶν αὐτῶν ἐγχειρεῖν. Ἐὰν δὲ σύμμικτός ἐστιν ἡ τάξις, καὶ πλείους εἰσὶν οἱ πεζοὶ, δέον πρόνοιαν ἐν τοῖς τοιούτοις ποιεῖσθαι τῆς ἀποστροφῆς (67) τῶν ἀλόγων. Οὐ γὰρ πάντως συγχωροῦνται οἱ καβαλλάριοι, ἐγγιζόντων τῶν ἐχθρῶν, χορτάσματα τῶν ἀλόγων συνάγειν.

75. Hæc igitur bellica consuetaque Turcorum est exercitatio. A Bulgarorum autem forma paucis quibusdam rebus, quemadmodum ante dictum est, differt : reliquis in rebus similis est.

οε'. Αὕτη τοίνυν ἡ πολεμικὴ τε καὶ συνήθης τῶν Τούρκων συνάσκησις διαφέρει Βουλγάρων, ὡς εἴρηται, κατά τινα μικρὰ, τὰ δ' ἄλλα ἐξωμοίωται.

76. Hæc nos ad te scripsimus, non quasi adversus Turcos bellum suscepturi ; neque enim prope nos sunt, neque hostes nobis nunc sunt, sed se subjectos potius conantur ostendere.

ος'. Ἡμεῖς δὲ τούτου ἕνεκέν σοι ταύτην ὑπεγράψαμεν, οὐχ ὡς Τούρκοις παρατάσσεσθαι μέλλοντ· οὔτε γὰρ γείτονές εἰσιν, οὔτε μὴν πολέμιοι νῦν, ἀλλὰ καὶ μᾶλλον ὑπήκοοι Ῥωμαίοις σπουδάζουσιν ἀναδείκνυσθαι.

77. Sed ut scias acierum et instructionum varietatem, et idoneis temporibus opportune illis utaris, sicubi utile aut commodum judicaveris, quæ multo cum labore ac studio ab aliis inventæ sunt, atque etiam adversum illos alia contraria moliri atque excogitare possis.

οζ'. Ἀλλ' ἵνα ἔχοις, ὦ στρατηγὲ, εἰδέναι τὰ ἕκαστα τῶν διαφόρων παρατάξεων καὶ στρατηγημάτων, καὶ ἐν καιρῷ τῷ προσήκοντι χρῆσθαι αὐτοῖς συντόμως πρὸς ὅ τι ἂν βουληθῇς, καὶ δοκιμάσῃς τὸ χρήσιμον τοῖς ἐκ πολλῆς γυμνασίας παρά τισιν ἐφευρισκομένοις στρατηγήμασί τε καὶ παρατάξεσιν, ἢ ὅτε καιρὸς ἀπαιτεῖ, καὶ ἀντιστρατεύεσθαι πρὸς αὐτὰ τὸ ἐναντίον διὰ τῆς μελέτης προησκημένος καὶ γυμνασάμενος.

78. Sunt quædam nationes, ut Galli et Longobardi, quæ olim in infidelitate versabantur, nunc veram Christianorum fidem nobiscum amplexi sunt : e quibus aliæ sociales nobis, aliæ sub imperium nostrum subjectæ sunt. Atque iis privatæ quædam militares acies, quas partim per manus ab aliis acceperunt, partim bellandi consuetudine invenerunt. Quæ omnia non ideo tibi commemorabo, ut bellum illis inferre possis ; quomodo enim adversus socios et subjectos, et ejusdem fidei participes, et nobiscum conjunctos homines, bellum susciperemus? sed ut iis cognitis, quæ contraria sunt illis, si quid tale usus poscat, adinvenire possis, et adversum quascunque molitiones hostium contrarias illis in promptu habeas.

οη'. Εἰσὶ δέ τινα τῶν ἐθνῶν, οἷον Φράγγοι καὶ Λογγιβαρδοι, πάλαι μὲν ἀσεβείᾳ κρατούμενα, νῦν δὲ τὴν ἀληθῆ τῶν Χριστιανῶν πίστιν ἀσπαζόμενα, ὧν τὰ μὲν φίλια, τὰ δὲ ὑπήκοα τῇ ἡμῶν ἐκ Θεοῦ βασιλείᾳ τυγχάνουσι. Καὶ τούτοις δέ εἰσι πολεμικὰ ἰδιώματα, τὰ μὲν ἐκ παραδόσεως, τὰ δὲ καὶ αὐτῇ τῇ συνηθείᾳ σύμφωνα, ἅπερ παραθήσομέν σοι, ὦ στρατηγὲ, οὐ χάριν τῆς αὐτῶν ἐκστρατείας (πῶς γὰρ τῶν εἰρηνευόντων, καὶ συμμάχων, καὶ ὁμοθρήσκων, καὶ ὑπηκόων ;), ἀλλ' ἵνα καὶ ἐκ τῶν τοιούτων ἐθίμων καὶ συστάσεων, καὶ εἴ γε δεῖ καὶ ἐκ τῶν τοιούτοις ἐναντίων, εἴ τί σοι δόξει χρήσιμον ἀναλεξάμενος καὶ ζηλώσῃς καὶ ἔχῃς ἐν καιρῷ τῷ προσήκοντι γεγυμνασμένον κατὰ τῶν ὁπαίων δήποτέ σοι ἀντιπαρατατομένων πολεμίων.

79. Nam et Sclavi quoque olim erant, quando

οθ'. Καὶ γὰρ καὶ Σκλάβοι ἦν ποτε ὅτε πέραν κατ-

NOTÆ.

(66) *Μήτε πάλματα.* Scribe, μήτε πάλτα, sive βάλται. Nam π et β confunduntur, βάλται autem sunt paludes. Apud eumdem hunc Leonem supra : Ἐκλέγου χωρία χρήσιμα, μὴ ὑλώδη, ἤγουν ὕλας, καὶ πηλὰ, καὶ πάλτας ἔχοντα. Illinc βαλτώδης, *palustris.* Constantinus, *De administrando imperio* : Ἡ μὲν Βενετία τὸ μὲν παλαιὸν ἦν τόπος ἔρημός τις, ἀοίκητος, καὶ βαλτώδης. Idem mendum iterum infra est § 74 : Ἢ δύσβατον ποταμὸν, ἢ πάλματα, ἢ λίμνην. Corrige ad præscriptum, ἢ πάλτην.

(67) Ἀποστροφῆς. Scribe, ἀποτροφῆς.

Digitized by Google

ᾠκουν τοῦ Ἴστρου, ὃν καὶ Δανούβιον καλοῦμεν. Οἷς καὶ προσεπολέμουν Ῥωμαῖοι ἐπιτιθέμενοι, νομαδικῶς καὶ αὐτῶν τότε διαζώντων πρὶν ἢ περαιωθῆναι τὸν Ἴστρον, καὶ ὑπὸ τὸν ζυγὸν τῆς Ῥωμαϊκῆς ἐξουσίας τὸν αὐτῶν αὐχένα ὑποκλῖναι. Οὐδὲ τούτων δὲ τὰ ἔθιμα πρὸς τὰς μάχας καὶ τὴν ἄλλην συνήθειαν ἄγνωστά σοι καταλείψω, ἀλλ' ὥπερ μοι εἴρηται πάντα συλλέξας διαγράψω, καθόσον ἡμῖν ἡ δύναμις ἐγχωρεῖ, ἵνα πανταχόθεν μελίττης δίκην ἐρανίζῃ καὶ συλλέγῃς τὰ χρήσιμα.

A trans Istrum, quem Danubium appellamus, habitabant. Hos expugnabant Romani cum pastorum more vitam transegerunt, qui antequam Istrum transirent, sub jugum Romanæ ditionis colla submittebant. Istorum mores atque instituta nullo modo prætermittenda indicavi, sed omnia tibi percensere pro viribus enitar, ut apis instar ex unoquoque, quod optimum atque utilissimum est delibes.

π'. Φράγγοι τοίνυν καὶ Λογγίβαρδοι λόγον ἐλευθερίας περὶ πολλοῦ ποιοῦνται, ἀλλ' οἱ μὲν Λογγίβαρδοι τὸ πλέον τῆς τοιαύτης ἀρετῆς νῦν ἀπώλεσαν. Ἱλὴν καὶ οὗτοι καὶ Φράγγοι καὶ μάλιστα θρασεῖς ἦσαν καὶ ἀκατάπληκτοι, ἐν τοῖς πολέμοις τολμηροί τε καὶ προπετεῖς, εἰς ὄνειδος ἔχοντες τὴν δειλίαν, καὶ τὴν πρὸς μικρὸν ἀναχώρησιν, καὶ ταύτην οἱονεὶ φυγὴν ἡγούμενοι. Εὐκόλως δὲ διὰ τοῦτο θανάτου καταφρονοῦσι, τὴν κατὰ χεῖρα μάχην σφοδρῶς καὶ καβαλλάριοι καὶ πεζοὶ μαχόμενοι.

B

80. Galli et Longobardi libertatis rationem plurimi æstimant, sed Longobardi magnam hujus virtutis partem amiserunt. Galli autem admodum audaci infractoque animo sunt, in bello strenui, ac pene temerarii. In magno opprobrio ignaviam et parvam retrocessionem ponunt, atque eam fugam esse existimant, et facile ac strenue præ mortis contemptu, tum equites, tum pedites manus cominus conserunt.

πα'. Ὅταν γὰρ, ὡς εἰκὸς, ἐν ταῖς καβαλλαρικαῖς μάχαις στενωθῶσιν, ἐξ ἑνὸς συνθήματος ἀποκαταβαίνουσι τῶν ἵππων αὐτῶν, καὶ πεζῇ παρατάσσονται ὀλίγοι τάχα καὶ πρὸς πλείονας καβαλλαρίους μὴ δειλιῶντες, ἢ ἀπολήγονται τῆς μάχης.

81. Quando igitur in equestribus prœliis in aliquas angustias deducuntur, una omnium consensione ex equis descendunt, et pedites se instruunt, et pauci contra plures se armant, aut si id minus possunt, prœlio desinunt.

πβ'. Ὁπλίζονται δὲ σκουταρίοις καὶ κονταρίοις, καὶ σπαθίοις κοντοτέροις, ἃ καὶ ἐπὶ τῶν ὤμων αὐτῶν διὰ λωρίων ἀναβαστάζουσιν. Ἐνίοτε δέ τινες αὐτῶν καὶ διαζώννυνται αὐτά.

82. Armantur scutis, hastis, spathis brevioribus, quas ex humeris loris quibusdam gestant; quidam autem accinguntur illis.

πγ'. Χαίρουσι δὲ μᾶλλον τῇ πεζομαχίᾳ, καὶ ταῖς μετὰ ἐλάσεως καταδρομαῖς.

C

83. Pedestri prœlio admodum lætantur et vehementibus incursionibus.

πδ'. Τάσσονται δὲ ἐν ταῖς μάχαις, εἴτε πεζοὶ, εἴτε καβαλλάριοι, οὐκ ἐν μέτρῳ τινὶ ὡρισμένῳ καὶ ἐν τάξει, ἢ ἐν μοίραις, ἢ ἐν μέρεσι, καθάπερ Ῥωμαῖοι, ἀλλὰ κατὰ φυλὰς, καὶ τῇ πρὸς ἀλλήλους συγγενείᾳ τε καὶ προσπαθείᾳ, πολλάκις δὲ καὶ συνωμοσίᾳ. Ὅθεν καὶ ἐν καιρῷ περιστάσεως φίλων ἐναπολειφθέντων συνεκινδύνευσαν αὐτοῖς πολλάκις ἐν τῇ μάχῃ τούτους ἐκδικήσαντες.

84. Instruuntur in prœliis sive pedites sive equites, non aliquo certo et definito modo, et in acies, aut turmas, aut cohortes dividuntur, quemadmodum Romani, sed per tribus, et familias, et cognationes, sæpe etiam conjurata quadam amicitia. Itaque quidam amicis interfectis sæpe in prœlio permanentes seipsos in maxima pericula conjecerunt, ut illorum vicem ulciscerentur.

πε'. Ἴσον δὲ τὸ μέτωπον τῆς παρατάξεως αὐτῶν ποιοῦνται καὶ πυκνὸν ἐν ταῖς μάχαις.

85. Frontem aciei æqualem et densam in prœlio habent.

πς'. Τὰς δὲ συμβολὰς, εἴτε καβαλλάριοι εἴτε πεζοὶ, σφοδρῶς καὶ ἀκατασχέτως ποιοῦσιν, ὡς μονότονοι καὶ πάσης δειλίας ἀπεχόμενοι.

86. Confligunt equites et pedites universo cum impetu et vehementer, ac impetuose ruunt omni timore vacui.

πζ'. Ἀπειθεῖς δέ εἰσι πρὸς τοὺς ἄρχοντας αὐτῶν, καὶ μάλιστα Φράγγοι, ἐλευθερίας ὥσπερ ἀντιποιούμενοι, καὶ ἑκουσίως ἐφ' ὅσον καιρὸν ὡρίσωσιν, ἢ παρὰ τῶν ἀρχόντων ὡρισθῶσιν ἐκστρατεύουσι, καὶ μόνον καὶ τούτου παρερχομένου (68), εἰ τύχοι αὐτοὺς ἐπιμένειν, βαρέως φέροντες τὸν παρασυρμὸν τοῦ χρόνου, λύουσι τὴν σύνταξιν τοῦ ἐξπεδίτου, καὶ ἀναχωροῦσιν ἐπὶ τοὺς οἴκους αὐτῶν.

D

87. Minus obedientes præfectis illorum sunt, et potissimum Galli, ac voluntarie ad certum tempus, etiam antequam a præfectis accersantur, in expeditione sunt. Hoc tempus, si prætereat, et illis diutius manendum sit, hunc temporis tractum moleste ferunt, atque ab expeditione sua discedunt, et domum se conferunt.

πη'. Ἀπράγμονες δέ εἰσι καὶ πάσης ποικιλίας καὶ ἀσφαλείας ἐκτὸς, καὶ τῆς τοῦ συμφέροντος γνώμης. Διὸ καὶ τάξεως περιφρονοῦσι, καὶ μάλιστα τῆς καβαλλαρικῆς.

88. Improvidi rerum sunt, neque varietatis, incolumitatis, aut aciei instruendæ, equestrisque potissimum, ullam rationem habent.

πθ'. Ὑποφθείρονται δὲ διὰ χρημάτων εὐκόλως

89. Pecuniis facile corrumpuntur, quia lucri

NOTÆ.

(68) *Παρερχομένου.* Scribebatur, παρεχομένου.

Digitized by Google

admodum cupidi sunt. Hujus rei experientia nobis constat, quod cum ex Italia ad res administrandas permulti eo accesserunt, illorum consuetudine ac moribus imbuebantur, et ab humanitate ad barbariem ac cupiditatem pecuniæ transierunt.

90. Vexant illos admodum ærumnæ ac miseriæ. Quemadmodum enim mentes audaces strenuasque possident, ita corpora delicata ac tenera habent, et ad labores sustinendos minus habilia.

91. Calores, frigora, pluviæ, commeatus, sive rerum necessariarum inopia, et vini potissimum, dilatio belli, illos excruciant.

92. Equestris prœlii tempore adversantur illis loca difficilia et condensa, quia vehementi incursionis impetu directe cum hastis ruere solent.

93. Damna et offensiones facile a tergo, aut ad latus ex insidiis sustinent, quia excubias reliquasque hujusmodi molitiones minus curant.

94. Quod si qui fugam simularent, facile illi dissiparentur, et subito in eos iterum conversi, permultum illos læderent.

95. Sæpe etiam nocturnæ sagittariorum incursiones lædunt illos, quia disperse et disjecte castra ponunt.

96. Sin quis se ad confligendum cum illis parans, iis motibus atque institutis utatur, haud opus fuerit publica cum illis dimicatione contendere, idque in initiis belli potissimum, sed insidiis et improvisis incursionibus illos adoriri, vel dilatione prœlii tempus eludere, vel pacificationem simulando commeatum illorum absumere, vel caloribus et frigoribus audaciam illorum atque alacritatem minuere.

97. Si dilatio et similia maxime fieri possunt, quando ad munitiora et difficilia accessu loca hostilis illorum exercitus accedit, ibi tum hastis usi illum locum invadere non possunt.

98. Si ita prædictis modis contra illos nihil proficiatur, sed ad bellum toti spectent, ubi exercitum instruunt, sic instruant quemadmodum in capite de acie instruenda docuimus.

99. Sclavonica natio simili vitæ cultu et moribus ac Galli utebatur. Libertatis amans, subjici aut imperio parere noluit, quando trans Danubium sua in regione habitavit : unde hunc in locum traducta, atque aliis vi servire coacta, indigenis suis, et non alienigenis obedire voluit; melius enim putabant ab indigenis suis violari, quam Romanis parere, et sub illorum legibus vivere. Qui autem ex illis sacrosancti Baptismatis fontem

φιλοκερδεῖς ὄντες, ἐξ ὧν πεῖρα μαθόντες ἴσμεν, ἀπὸ τῶν ἐξ Ἰταλίας ἐνταῦθα πολλάκις παραγενομένων ἐπί τισι ταῖς διοικήσεσιν, ὡς τῇ ἐκείνων ἐπιμιξίᾳ, οἶμαι, καὶ τούτων βαρβαρωθέντων τε καὶ συνεθισθέντων.

ιγ'. Λυπεῖ δὲ αὐτοὺς κακοπάθεια, καὶ συντριβή. Ὅσον γὰρ τὰς ψυχὰς τολμηρὰς καὶ θρασεῖς κέκτηνται, τοσοῦτον τὰ σώματα εὐπαθῆ, καὶ ἁπαλὰ, καὶ κόπον εὐκόλως φέρειν οὐ δυνάμενα.

ιδ'. Προστίτει δὲ λυπεῖ αὐτοὺς καὶ καῦσος, καὶ ψύχος, καὶ βροχὴ, καὶ ἔνδεια δαπανημάτων, καὶ μάλιστα οἴνου, ἔτι δὲ καὶ ὑπέρθεσις πολέμου.

ιβ'. Ἐν δὲ τῷ καιρῷ τῆς καβαλλαρικῆς μάχης ἐναντιοῦνται αὐτοῖς τόποι δύσβατοι καὶ δασεῖς, διὰ τὸ εἰς ὀξεῖς ἐλασίας ἐπ' εὐθείας μετὰ τῶν κονταρίων αὐτοὺς ἐγγυμνασθῆναι.

ιγ'. Ὑπομένουσι δὲ καὶ διὰ ἐγκρυμμάτων βλάβας εὐκόλως κατὰ τῶν πλαγίων καὶ τοῦ νώτου τῆς ἑαυτῶν παράταξεως· οὐ γὰρ πάνυ φροντίζουσι βίγλας ἢ τῆς λοιπῆς ἀσφαλείας.

ιε'. Ἐὰν δέ τινες καὶ σχηματίζωνται φυγὴν εὐκόλως διαλύονται, καὶ εἰ ἄφνω κατὰ αὐτῶν ἀντιστρέψωσιν, εὐκόλως αὐτοὺς διαφθείρουσι.

ιε'. Πολλάκις δὲ καὶ νυκτεριναὶ ἐπελεύσεις ὑπὸ τοξοτῶν βλάπτουσιν αὐτούς· διεσπασμένοι γὰρ ἀπλικεύουσιν.

ις'. Εἰ δέ τις αὐτοῖς ἐβουλεύθη ποτὲ προσβαλεῖν οὕτως εἰθισμένοις καὶ διακειμένοις, οὐκ ἐχρῆτο κατὰ αὐτῶν ἐν μάχῃ δημοσίᾳ παρατάξει, καὶ μάλιστα ἐκ προοιμίων, ἀλλ' εὐτάκτως δι' ἐγκρυμμάτων καὶ κλοπῆς κατὰ αὐτῶν προσέβαλλεν καὶ διὰ σοφισμάτων ἄλλων στρατηγικῶν, ἢ διὰ ὑπερθέσεως τῆς μάχης διασύρων τὸν καιρὸν, ἢ καὶ σύμφωνα εἰρήνης σχηματιζόμενος πρὸς αὐτοὺς, ἵνα ἢ τῇ τῶν δαπανημάτων ἐπιλείψει, ἢ τῇ τοῦ καύσωνος ἢ καὶ ψύχους τυχὸν ὀχλήσῃ τὸ θράσος αὐτῶν, καὶ τὸ πρόθυμον ἐλαττώσῃ.

ιζ'. Ἡ δὲ ὑπέρθεσις καὶ τὰ ἄλλα μάλιστα ἐδύνατο πρὸς αὐτοὺς γενέσθαι τότε, ὅταν εἰς ὀχυρωτέρους καὶ δυσβάτους τόπους ἠπλίκευεν ὁ πολέμιος ἐκείνων στρατὸς, ἔνθα ὡς ἔχοντες κοντάρια κατὰ τοῦ τόπου ἐγχειρεῖν ἐπιτηδείως οὐκ ἐδύναντο.

ιη'. Ἐὰν δὲ διὰ τῶν εἰρημένων οὐκ ἐνήργουν κατὰ αὐτῶν, ἀλλὰ πρὸς μάχην πάντως ἐώρων, τότε παρετάσσοντο πρὸς αὐτοὺς, ὡς ἐν τῷ περὶ παρατάξεως ἐδηλώσαμεν κεφαλαίῳ.

ιθ'. Καὶ τὰ Σκλαβικὰ δὲ ἔθνη ὁμοδίαιτά τε ἦσαν καὶ ὁμότροπα ἀλλήλοις (69), καὶ ἐλεύθερα, μηδαμῶς δουλοῦσθαι ἢ ἄρχεσθαι πειθόμενα, καὶ μάλιστα ὅτε πέραν τοῦ Δανουβίου κατῴκουν ἐν τῇ ἰδίᾳ χώρᾳ. Ὅθεν καὶ ἐνταῦθα περαιωθέντα, καὶ οἱονεὶ βιασθέντα δέξασθαι τὴν δουλείαν, οὐχ ἑτέρῳ ἡδέως πείθεσθαι ἤθελον, ἀλλὰ τρόπον τινὰ ἑαυτοῖς· κρεῖττον γὰρ ἡγοῦντο ἀπὸ τοῦ ἄρχοντος τῆς αὐτῶν φυλῆς φθείρεσθαι, ἢ τοῖς Ῥωμαίοις δουλεύειν καὶ ὑπο-

NOTÆ.

(69) Ἀλλήλοις In Checi codice videtur fuisse, Γάλλοις.

Digitized by Google

κλίνεσθαι νόμοις. Οἱ δὲ τοῦ σωτηρίου βαπτίσματος τὸν ἁγιασμὸν καταδεξάμενοι ἄχρι τῶν ἡμετέρων χρόνων τοῦτο, ὅσον κατὰ αὐτοὺς, εἰς ἀρχαίας ἐλευθερίας συνήθειαν διατηροῦνται.

A receperunt, ii quantum in illis est, ad antiquæ libertatis formam eum conservant.

ρ'. Πολύανδρά τε ἦσαν καὶ κακοπαθείας ὑπομένοντα, εὐκόλως δὲ πρὸς καύσωνα, καὶ ψύχος, καὶ βροχὴν, καὶ σώματος γυμνότητα, καὶ τὴν τῶν δαπανημάτων ἔνδειαν καρτεροῦντα.

100. Populosa natio est, omnium ærumnarum patiens : calores, frigora, pluvias, nuditatem, commeatus et rerum necessariarum inopiam facile perferi.

ρα'. Ταῦτα δὲ ὁ ἡμέτερος ἐν θείᾳ τῇ λήξει γενόμενος πατὴρ καὶ Ῥωμαίων αὐτοκράτωρ Βασίλειος τῶν ἀρχαίων ἐθῶν ἔπεισε μεταστῆναι, καὶ Γραικώσας, καὶ ἄρχουσι κατὰ τὸν Ῥωμαϊκὸν τύπον ὑποτάξας, καὶ βαπτίσματι τιμήσας, τῆς τε δουλείας ἠλευθέρωσε τῶν ἑαυτῶν ἀρχόντων, καὶ στρατεύεσθαι κατὰ τῶν Ῥωμαίοις πολεμούντων ἐθνῶν ἐξεπαίδευσεν, οὕτω πως ἐπιμελῶς περὶ τὰ τοιαῦτα διακείμενος, διὸ καὶ ἀμερίμνους Ῥωμαίους ἐκ τῆς πολλάκις ἀπὸ Σκλάβων γενομένης ἀνταρσίας ἐποίησε, πολλὰς ὑπ' ἐκείνων ὀχλήσεις καὶ πολέμους τοῖς πάλαι χρόνοις ὑπομείναντας.

B

101. Hanc nationem noster divina quadam sorte imperator Romanus, et pater meus Basilius, a reliquarum gentium feritate traduxit, et Romano more præfectos illis constituens, et Baptismate sacro illos imbuens, a servitute liberavit, et contra Romanorum hostes pugnare instituit; itaque studiose iis in rebus versatus est, ut Romanos hac re securos faceret, qui sæpe antea Sclavorum populationibus infestabantur, et bella multa ab illis illata sustinebant.

ρβ'. Ἦσαν δὲ, οὐκ οἶδ' ὅπως εἰπεῖν, τῇ φιλοξενίᾳ κατακόρως χρώμενα τὰ Σκλάβων φῦλα, ἣν οὐδὲ νῦν καταλιπεῖν ἐδικαίωσαν, ἀλλ' ἔχουσιν ὁμοίως.

102. Erant autem Sclavi ii, nescio quomodo, hospitibus humani, quam hospitalitatem adhuc studiose retinent.

ργ'. Τοῖς γὰρ ἐπιξενουμένοις (70) ἐν αὐτοῖς ἥπιοι καὶ πρᾶοι ἐγίνοντο, φιλοφρονούμενοί τε αὐτὰ καὶ δεξιούμενοι, διασώζοντες, καὶ κατὰ διαδοχὴν ἐκ τόπου εἰς τόπον παραπέμποντες, καὶ ἀβλαβεῖς διατηρεῖσθαι, καὶ ἀδιαλείπτους δαπάνας ἀλλήλοις παρεγγυώμενοι. Ὡς εἴγε διαμέλειαν (71) τοῦ ὑποδεχομένου συμβαίη τὸν ξένον βλαβῆναι, πόλεμον κατὰ ἐκείνου ὁ τοῦτον παραθέμενος ἐκείνῳ, ἀντὶ πίστεως ἀσεβασμίας ἡγούμενος τοῦ ξένου τὴν ἐκδίκησιν.

C

103. Peregrinis enim benigni ac mites erant, et illos lubenter ac humaniter accipiebant, et a loco in locum comiter deducebant, et ab omni noxa offensioneque integros et securos conservabant. Itaque si propter negligentiam hospitis peregrinus lædatur, bellum statim contra eum movet. Nam fidei magnam declarationem esse putat, si peregrini vicem ulciscatur.

ρδ'. Ἐδόκει δὲ αὐτοῖς καὶ ἕτερον συμπαθέστερόν πατε εἶναι. Τοὺς γὰρ ἐν αἰχμαλωσίᾳ παρ' αὐτῶν λαμβανομένους οὐκ ἀορίστως, ἕως ἂν βούλωνται, πρὸς δουλείαν κατεῖχον, ἀλλὰ μᾶλλον ἐν τῇ γνώμῃ τῶν αἰχμαλώτων ἐποίουν, ὁρίζοντες αὐτοῖς ῥητόν τινα τῆς δουλείας χρόνον, ἵνα μετὰ τοῦτον τὸν ὁρισθέντα χρόνον, ἐὰν θέλωσιν, ἐν τοῖς ἰδίοις ἀναχωρῆσαι μετά τινος ὡρισμένου μισθοῦ, ἢ ἐὰν βούλωνται παρ' αὐτοῖς εἶναι, μένειν ἐλευθέρους καὶ φίλους.

104. Aliud præterea non inhumanum hoc apud eos videbatur esse. Captivos enim suos non ad infinitam servitutem obligabant, sed ut captivos potius apud se retinebant, et certum quoddam servitutis tempus præscribebant, ut post hoc tempus expletum, certa quadam mercede data, ad suos redire possint, vel si mallent, apud illos liberi et amici permanerent.

ρε'. Ἐσωφρόνουν δὲ καὶ αἱ θήλειαι αὐτῶν μάλιστα κραταιῶς, ὥστε τὰς πολλὰς αὐτῶν τὴν τῶν ἰδίων ἀνδρῶν τελευτὴν ἰδίαν ἡγεῖσθαι, καὶ ἀποπνίγειν ἑαυτὰς, μὴ δυναμένας φέρειν τὴν ἐγχειρίᾳ (72) ζωήν.

D

105. Feminæ illorum præter cæteras modestæ feruntur. Multæ enim virorum suorum mortem tam graviter ferunt, ac si sua esset, et seipsas suffocant; vitam enim viduam ac solitariam ferre non possunt.

ρς'. Ἔχρῶν τόδε (73) δαπάνῃ κέγχρῳ, μάλιστα ἐφίλουν δὲ καὶ ὀλιγάρκειαν, δυσχερῶς φέροντες τοὺς ἄλλους τῆς γεωργίας πόνους, διὰ τὸ ἐλευθεριωτέραν μᾶλλον φιλεῖν αὐτὰ τὴν διαγωγὴν ποιεῖσθαι καὶ ἄπονον, ἢ σὺν πολλῷ κόπῳ πολυτέλειαν βρωμάτων ἢ χρημάτων ἐπικτήσεσθαι

106. Milio ad commeatum utebantur : temperantiam in victu maxime colunt : reliquos agriculturæ labores minus perferunt, quia vitæ liberaliorem cultum magis diligunt, neque adduci possunt, ut magno cum labore sumptuosas epulas parent, atque eas postea vorent atque exsorbeant.

ρς'. Ὡπλίζοντο δέ ποτε μικροῖς ἀκοντίοις, ἤγουν ῥικταρίοις δυσὶν ἕκαστος ἀνὴρ, τινὲς δὲ καὶ σκουταρίοις μεγάλοις ἐπιμήκεσιν, οἷον θυρεοῖς, ἐκ-

107. Armantur parvis hastulis vel jaculis duobus unusquisque vir : quidem etiam scutis magnis, quos thyreos vocant. Arcubus enim ligneis utun-

NOTÆ.

(70) *Ἐπιξενουμένοις*. Scribebatur, ἐπιξυμένοις.
(71) *Διαμέλειαν*. Scribe, δι' ἀμέλειαν.
(72) *Ἐγχειρίᾳ*. Scribe, ἐν χηρίᾳ.
(73) *Ἔχρῶν τόδε*. Scribe, ἐχρῶντο δέ.

Digitized by Google

tur, et sagittas habent veneno imbutas, quod efficax admodum est; nisi enim, qui plagam accepit, vel theriacam bibat, vel aliquod aliud salutare præsidium, vel statim plagam omnem præcidat ne latius serpat, universum necesse est corpus peroat. Ad loca prærupta et accessu difficilia confugere et ibi commorari gaudent.

108. Quemadmodum in illos Romani incursiones impetusque faciebant, ante a nobis explicatum est, ubi de nec opinatis incursionibus egimus, ut tu imperator, quamvis non in illos nunc, sed in similes tamen illorum, aut in alios barbaros incursionem faciens [siquidem id utile tibi videbitur] habeas ad omnem usum in promptu, quasi exercitatum, quod facto opus erit.

109. Quoniam de diversarum gentium moribus atque institutis verba fecimus, haud abs re fuerit de Saracenis, qui rempublicam nostram perturbant, nunc aliquid commemorare, qua natura sint, quibus armis in bello utantur, quibus modis nostri adversum eos armandi sunt, et quemadmodum impetus in illos faciendi.

110. Saraceni Arabes sunt genere, ad ingressum felicis Arabiæ olim habitantes. Nunc vero genus eorum in Syriam et Palæstinam dispersum est, primum commorandi causa, deinde ubi superstitionis suæ auctor Mahumet fuerat, horum locorum ditionem, et Mesopotamiæ, atque Ægypti reliquorumque, ac finitimorum locorum imperium armis occupabant, id quod Romanorum cum Persis de imperii gloria dimicatio, illorum capiendorum occasionem dabat.

111. Erga Deum impii sunt: blasphemiam suam pro pietate ducunt. Christum verum Deum et mundi servatorem Deum vocare non sustinent. Omnis mali facinoris Deum esse auctorem arbitrantur, et bello delectari dicunt Deum, qui dissipat gentes, quæ bella volunt: suas ipsorum leges sanctissime custodiunt: carnem suam pinguefaciunt, et animum dehonestant. Adversus igitur hanc illorum impietatem pietate ac religione nostra pugnemus, et divinas humanasque leges sanctissime custodiamus, atque illos, si possumus, expugnemus.

112. Camelis sarcinariis utuntur pro curribus, et jumentis, asinis et mulis: et cymbalis in aciebus utuntur, quibus equos suos assuefaciunt: et hujusmodi sonis ac strepitibus hostium suorum equos perturbant et in fugam conjiciunt. Sed et camelorum quoque aspectus equos perterrefacit, et ulterius progredi non patitur.

A χρηντο δὲ καὶ τόξοις ξυλίνοις, καὶ σαγίττας εἶχον κεχρισμένας φαρμάκῳ, ὅπερ ἐστὶν ἐνεργητικὸν, ἐὰν μὴ ὁ λαβὼν τὴν πληγὴν ἢ θηριακὴν ποιῇ (74), ἢ καὶ ἕτερον βοήθημα ἀντιφάρμακον, ἢ καὶ παρευθὺ περικόψῃ τὴν πληγὴν, πρὸς τὸ μὴ διαδραμεῖν. Πάντως γὰρ ἂν καὶ τὸ ὅλον σῶμα ἀπόλλυται, καὶ δάσεσι δὲ καὶ δυσβάτοις οἰκεῖν καὶ καταφαγεῖν (75) φιλοῦσιν.

ρή'. Ὅπως δὲ κατὰ αὐτῶν ἐποιοῦντο τὰς ἐπιδρομὰς καὶ ἐφόδους Ῥωμαῖοι τότε, διηγησάμην ἔμπροσθεν ἐν τῇ περὶ ἀδοκήτων ἐφόδων διατάξει, ἵνα καὶ αὐτὸς, ὦ στρατηγὲ, εἰ καὶ μὴ κατὰ αὐτῶν νῦν, ἀλλ' ἢ κατὰ τῶν ὁμοίων αὐτῶν, ἢ κατὰ ἑτέρων βαρβάρων ποιούμενος ἀδοκήτους ἐφόδους, εἴγε ἄρα χρήσιμόν τι ἐκ τῆς διατυπώσεως ἐκείνης εὑρεθῇ, ἔχῃς καὶ τοῦτο ἐξ ἑτοίμου πρὸς τὴν δέουσαν χρείαν

B ὡς προγεγυμνασμένον.

ρθ'. Ἐπειδὴ δὲ διαφόρων ἐθνικῶν παρατάξεών τε καὶ διαθέσεων ἐμνημονεύσαμεν, φέρε λοιπὸν καὶ τοῦ νῦν ἐνοχλοῦντος τῇ Ῥωμαϊκῇ ἡμῶν πολιτείᾳ ἔθνους τῶν Σαρακηνῶν ἐπιμνησθῶμεν κατὰ δύναμιν, ὅπως τε ἔχουσι φύσεως, καὶ ὅπως τοῖς τε ὅπλοις ἐν ταῖς ἐκστρατείαις χρῶνται καὶ ταῖς ἐπιτηδεύμασι, καὶ ὡς ἂν εἴη δέον κατ' αὐτῶν ἀνθοπλίζεσθαί τε καὶ ἀντιστρατεύεσθαι, καὶ τὰς ἐκ τούτων ἐγχειρήσεις ποιεῖσθαι.

ρι'. Σαρακηνοὶ μὲν οὖν Ἄραβές εἰσι τὸ γένος, παρὰ τὴν εἴσοδον τῆς Εὐδαίμονος Ἀραβίας ποτὲ κείμενον· τῷ χρόνῳ δὲ καὶ πρὸς τὴν Συρίαν καὶ Παλαιστίνην διασπαρὲν, πρῶτα μὲν οἷον μετοικίας χάριν, ὕστερον δὲ ὅτε τῆς αὐτῶν δεισιδαιμονίας

C ἐγένετο ἀρχηγὸς Μουχάμετ, καὶ ὅπλοις κρατοῦντες τῶν τε εἰρημένων ἐπαρχιῶν, καὶ δὴ καὶ Μεσοποταμίας καὶ Αἰγύπτου καὶ τῶν ἄλλων χωρῶν, ἅπερ αὐτοῖς ὁ καιρὸς τῆς Ῥωμαϊκῆς ἀπὸ Περσῶν χώρας ἔδωκε κατασχεῖν.

ρια'. Εἰ δὲ καὶ περὶ μὲν τὸ Θεῖον δοκοῦσιν εὐσεβεῖν, βλασφημίαν δὲ τὴν αὐτῶν δοκοῦσαν εὐσέβειαν ἀποδεικνοῦν τε οἷς (76) Χριστὸν μὲν τὸν ἀληθινὸν Θεὸν καὶ τοῦ κόσμου σωτῆρα καλεῖν Θεὸν οὐκ ἀνέχονται, παντὸς δὲ καὶ κακοῦ ἔργου τὸν Θεὸν εἶναι αἴτιον ὑποτίθενται, καὶ πολέμους χαίρειν λέγουσι τὸν Θεὸν τὸν διασκορπίζοντα ἔθνη τὰ τοὺς πολέμους θέλοντα. Καὶ τοὺς οἰκείους δὲ νόμους ἀπαραβάτους φυλάττουσι, τὴν σάρκα λιπαίνοντες καὶ τὴν ψυχὴν ἀτιμάζοντες. Τῇ οὖν τοιαύτῃ δυσσε-

D βείᾳ διὰ τῆς ἡμῶν εὐσεβείας τε καὶ ὀρθοδόξου πίστεως ἀντιμαχόμενοι, καὶ τοὺς πολιτικοὺς πολλῷ μᾶλλον ἀπαραβάτους διαφυλάττοντες κατὰ αὐτῶν ἀντιστρατευώμεθα.

ριβ'. Χρῶνται δὲ καμήλοις ταῖς ἀχθοφόροις αὐτῶν ἀντὶ ἁμαξῶν καὶ ὑποζυγίων, ὄνοις καὶ ἡμιόνοις· καὶ κυμβάλοις δὲ καὶ τυμπάνοις ἐν ταῖς παρατάξεσιν, ἐν οἷς τοὺς οἰκείους ἵππους ἐθίζουσι, διὰ δὲ τοιούτων κτύπων καὶ ἤχων τοὺς ἵππους τῶν ἀντιπολεμούντων αὐτοῖς ταράσσοντες τρέπουσιν εἰς φυγήν. Ἀλλὰ καὶ τῶν καμήλων ἡ θέα ὁμοίως τοὺς ἀσυνήθεις ἵππους ἐκφοβεῖ καὶ ταράττει, καὶ πρόσω βαίνειν οὐκ ἐᾷ.

NOTÆ.

(74) *Ποιῇ*. Scribe, πίῃ.

(75) *Καταφαγεῖν*. Scribe, καταφυγεῖν.

(76) *Ἀποδεικνοῦν τε οἷς*. Scribe, ἀποδείκνυνται, εἰ.

Digitized by Google

ριγ'. Τὰς δὲ τοιαύτας τῶν τε καμήλων καὶ τῶν A ὑποζυγίων ἀποσκευὰς καὶ εἰς πλήθους πολλάκις φαντασίαν χρῶνται, μέσον μὲν τοῦ στρατιωτικοῦ πλήθους αὐτὰς καθιστῶντες, πυκνὰ δὲ φλάμουλα ἄνωθεν αὐτῶν ἐφιστῶντες, ὡς δοκεῖν στρατιωτῶν εἶναι πλῆθος τὸν ἐκείνων ὄχλον.

113. Camelorum jumentorumque hujusmodi apparitionem sæpe, ut multæ et ingentes copiæ videantur, in medio exercitu collocant, et crebra flamula illis imponunt, ut illorum turba magna multitudo hominum esse videatur.

ριδ'. Θερμοὶ δέ εἰσι τὴν κρᾶσιν τοιούτῳ κλίματι θερμῷ κατοικοῦντες. Χρῶνται δὲ καὶ πεζικῇ στρατιᾷ Αἰθίοψι, φασὶ, γυμνοῖς ὅπλων ἔμπροσθεν τῶν καβαλλαρίων παρατεττομένοις οἱονεὶ ψιλοῖς. Τόξα γὰρ φέροντες καὶ χρώμενοι δυσάντητοι δοκοῦσι τοῖς ἐπερχομένοις.

114. Callida corporis constitutione sunt, in tam callida mundi plaga degentes. Pedestres copias dicunt se Æthiopibus sagittariis, qui armis gravibus nudantur, roborare, et ante equites quasi leves collocare. Istis usi, videntur hostibus inexsuperabiles esse.

ριε'. Τοὺς δὲ πεζοὺς αὐτῶν φέρουσιν ἢ ἐφ' ἵππων ἰδίων ὀχουμένους, ἢ ὄπισθεν τῶν καβαλλαρίων καθημένους, ὅτε πλησίον τῆς αὐτῶν χώρας ἐστὶν ἡ ἐκστρατεία αὐτῶν. Χρῶνται δὲ ὅπλοις καὶ οἱ καβαλλάριοι τόξοις καὶ σπαθίοις, κονταρίοις καὶ σκουταρίοις καὶ πελέκεσι· καὶ πανοπλίαν γὰρ φοροῦσιν· οἷον, λωρίκια καὶ κλιβάνια, καὶ κασσίδας, καὶ ποδόψελλα, καὶ χειρόψελλα, καὶ εἴ τι ἕτερον κατὰ τὸν Ῥωμαϊκὸν τρόπον. Τὰς δὲ ζώνας αὐτῶν καὶ τοὺς χαλινοὺς καὶ τὰ σπαθία ἀργύρῳ ποικίλλουσι φιλοτιμώτερον.

115. Pedites sui equis vehuntur, post equites sedent ex equo, quando prope regionem suam expeditio est. Utuntur armis etiam equites illorum, B sagittis, et spathis, hastis, scutis, et securibus. Armaturam gestant galeas, thoraces, cassides, ocreas æneas, brachialia, et si quæ alia ad Romanorum formam arma sunt. Zonas, et frena, et gladios, reliquaque hujusmodi argento exornant ambitiosius.

ριϛ'. Οὔτε δὲ διώκοντες, οὔτε διωκόμενοι λύουσι τὴν τάξιν αὐτῶν· εἰ δὲ συμβῇ αὐτὴν λυθῆναι, δι' ἑαυτῶν ἀσύστατοι καὶ ἀνεπίστροφοι γινόμενοι μόνῳ τῷ σωθῆναι ἐλαύνουσιν.

116. Neque cum persequuntur alios, neque cum ab aliis exagitantur, aciem dissolvunt; quæ si dissolvatur aliquando, minime ad formam suam revocari facile possunt, sed solum de salute laborant.

ριζ'. Θρασεῖς μὲν γάρ εἰσι νικᾶν ἐλπίζοντες, δειλοὶ δὲ λίαν ἀπειπόντες τῆς νίκης· ὡς ἀπὸ Θεοῦ γὰρ τὸ πᾶν, εἰ καὶ κακὸν εἴη, λέγοντες εἶναι, εἰ συμβῇ αὐτοὺς ἐναντίον τι παθεῖν, ὡς ἀπὸ Θεοῦ C ὁριζομένου οὐκ ἀντιπίπτουσιν, ἀλλὰ τῇ προσβολῇ σφαλέντες χαλῶσι τὸν τόνον. Ὑπνηλοὶ δέ εἰσι, καὶ διὰ τοῦτο τὰς νυκτομαχίας φοβούμενοι, καὶ τὰ ἐν αὐταῖς ἐπιτηδεύματα, μάλιστα ὅταν ἐν ἀλλοτρίᾳ ἑαυτῶν γῇ κατατρέχωσι· διόπερ ἢ εἰς ὀχυροὺς τόπους ἀναχωροῦσι, κἀκεῖ τῆς νυκτὸς ποιοῦνται τὴν φυλακήν, ἢ περιφράττουσιν ἀσφαλῶς τὸ στρατόπεδον αὐτῶν, ὥστε μὴ ἐπιβουλεύεσθαι ταῖς νυκτεριναῖς τῶν ἐναντίων προσβολαῖς.

117. Audaces sunt, si victoriam sperent: sin desperent de victoria, timidi valde sunt. Omnia enim, etiam quæcunque mala sunt, a Deo provenire asserunt. Quod si qua adversa fortuna vexentur, quasi a Deo immissa non repugnant, sed conflictationis offensionem accipientes, omnem contentionem prœlii remittunt. Somnolenti sunt, ac propterea nocturna prœlia pertimescunt, idque potissimum quando alienam terram incursant. Itaque vel ad munita loca discedunt, ibique tota nocte custodiam habent, vel castra sua tam diligenter muniunt, ut nocturnis hostium irruptionibus non perturbentur.

ριη'. Τετράγωνον δὲ καὶ ἐπιμήκη ποιοῦνται τὴν οἰκείαν παράταξιν, ἀσφαλεστέραν, καὶ ῥᾳδίως λυθῆναι μὴ δυναμένην ἐν ταῖς τῶν ἀντιπαρατεττομένων προσβολαῖς.

118. Quadratam et oblongam aciem semper instruunt, quæ tutissima est et ad oppugnandum difficillima in hostium irruptionibus.

ριθ'. Ταύτῃ δὲ χρῶνται καὶ ἐν ταῖς πορείαις, καὶ D ἐν ταῖς συστάσεσι τῆς μάχης· ὡς ἐπὶ τὸ πολὺ δὲ Ῥωμαίους μιμοῦνται, καὶ κατὰ τὰ ἄλλα σχήματα τῶν παρατάξεων τῇ πείρᾳ τῶν προσβολῶν οἷον ἐγγεγυμνασμένοι, καὶ ἐξ ὧν ἔπαθον παρὰ Ῥωμαίων ὁρᾷν κατ' αὐτῶν ἐπιτηδεύοντες.

119. Hac forma utuntur tum in itinere faciendo, tum in manibus conserendis, et magna ex parte Romanos imitantur, tum in aliarum rerum bellicarum formis: et experientia prœliorum exercitati, iisdem modis nos invadunt, quibus a nobis antea profligabantur.

ρκ'. Ἐν δὲ ταῖς παρατάξεσιν αὐτῶν εὐμήχανοι καὶ σταθεροὶ, μηδὲ διὰ τάχος προσβολῆς πτοούμενοι τοὺς ἐπερχομένους, μήτε διὰ προσποιητὴν ἀναβολὴν ἐκλυόμενοι.

120. In aciebus suis firmi stabilesque facile consistunt, neque cum celeritate hostes invadunt, neque facile ad deponendum prœlium jam inceptum pertrahuntur.

ρκα'. Προσμένουσι δὲ τῇ παρατάξει φέροντες καὶ τὰς βολὰς μακροθύμως πρὸς τοὺς θρασέως αὐτοῖς ἐπερχομένους, καὶ ὅταν τὸν τόνον χαλάσαντα ἴδωσι τῶν ἀντιπολεμίων, τότε διαναστάντες εὐτόνως μάχονται.

121. Consistunt in acie, et perferunt impetum illorum, qui in illos acriter invadunt, moderate: ubi vero relanguescere impetum hostium vident, tum excitati vehementer ac strenue prœliantur.

Digitized by Google

122. Hoc non modo in pedestri prœlio, sed etiam in navali faciunt : et postquam feriendo et tela conjiciendo hostes exsatiati sunt, scutis simul addensatis ea omnia cum sustinent, statim conferti se colligunt, et manus conserere incipiunt : cum quibus prudenter semper ac circumspecte dimicandum est.

A ρκβ'. Τοῦτο δὲ ποιοῦσι οὐ μόνον ἐν πεζομαχίᾳ, ἀλλὰ καὶ ἐν ταῖς κατὰ θάλασσαν μάχαις, ἐκ χειρὸς ἀπὸ τῶν πλοίων μαχόμενοι, καὶ μετὰ τὴν τῶν βαλλομένων κατ' αὐτῶν ἀποπλήρωσιν, τὰ σύσκουτα (77) ποιοῦντες καρτεροῦσι δεχόμενοι, εὐθέως ἀνίστανται ἀθρόοι, καὶ ἐκ χειρὸς τῆς μάχης ἀπάρχονται, πρὸς οὓς εὐμηχάνως δεῖ προσβάλλειν ἀεί.

123. Cautione et constitutione quadam rerum bellicarum longe meliore ac probatiore cæteris nationibus utuntur, quemadmodum a præfectis nostris ad illos sæpe accedentibus universumque rerum statum indagantibus cognovimus, et ex aliorum narrationibus ad nos delatis audivimus, et a nostro pientissimo patre, qui persæpe adversum illos bellavit, accepimus.

ρκγ'. Χρῶνται δὲ εὐβουλίᾳ καὶ καταστάσει πρὸς τὰς πολεμικὰς μεθόδους τῶν ἄλλων ἁπάντων ἐθνῶν δοκιμώτερον, ὡς παρά τε τῶν ὑποστρατήγων ἡμῶν πολλάκις αὐτοῖς προσβαλόντων ἐρευνήσαντες ἀνεμάθομεν, καὶ δὴ καὶ ἐκ τῶν ἀνενεχθέντων διηγήσεων τοῖς πρὸ ἡμῶν βασιλεῦσιν ἀνέγνωμεν, καὶ μάλιστα παρὰ τοῦ ἡμετέρου θειοτάτου πατρὸς πολλάκις κατ' αὐτῶν ἐκστρατεύσαντος ἀκηκόαμεν.

124. Frigus illos, et hiems, et largæ pluviæ vexant : itaque iis temporibus potius quam serenis adoriendi sunt, quia arcus illorum propter cœli humiditatem languidi sunt, et universum corpus quasi effœtum debilitatur. Ejusmodi enim temporibus a Romanis capti incursionibus et populationibus, atque interfecti sunt.

B ρκδ'. Λυπεῖ δὲ τοῦτο τὸ ἔθνος ψύξις, καὶ χειμῶν, καὶ ὑετῶν ἐπιφοραί· διὸ καὶ ἐν τοιούτοις καιροῖς χρὴ τὰς κατ' αὐτῶν συμπλοκὰς ποιεῖσθαι μᾶλλον ἢ ἐν εὐδίαις. Καὶ γὰρ καὶ τὰ τόξα αὐτῶν ἀσθενῆ διὰ τὴν ὑγρότητα, καὶ τὸ ὅλον τοῦ σώματος αὐτῶν νωθρὸν διὰ τὸ ψύχος εὐρεθήσεται. Πολλάκις γὰρ ἐν ταῖς κατὰ τοὺς τοιούτους καιροὺς καταδρομαῖς αὐτῶν καὶ ληστείαις καταληφθέντες ὑπὸ Ῥωμαίων διεφθάρησαν.

125. Serenis igitur calidioribusque anni temporibus oblectati in unum conveniunt, ac æstate potissimum, et in Tarso Ciliciæ civitate cum indigenis pacem faciunt : reliquis temporibus ex Tarso, et Adanis, et aliis Ciliciæ civitatibus in Romanos incursiones faciunt.

ρκε'. Χαίροντες οὖν ταῖς εὐδίαις καὶ ταῖς θερμοτέραις ὥραις τότε συλλέγονται, καὶ μάλιστα θέρους. καὶ κατὰ τὴν Ταρσὸν τῆς Κιλικίας τοῖς ἐγχωρίοις ἐκούμενοι τὴν ἐκστρατείαν ποιοῦνται, τοὺς δὲ ἄλλους καιροὺς μόνοι ἐκ Ταρσοῦ καὶ Ἀδανῶν καὶ τῶν ἄλλων C τῆς Κιλικίας πολισμάτων τὰς κατὰ Ῥωμαίων ποιοῦνται καταδρομάς.

126. Tum igitur adoriendi sunt hiemeque potissimum, quando ad prædam exeunt. Hoc fiet, si copiæ nostræ occulto aliquo in loco prope clam permaneant, et egressum ad prædationem animadvertant : sic enim vastabunt eos, vel etiam magno cum numero, et bellico apparatu instructi, illos iterum convenientes adoriantur.

ρκς'. Χρὴ οὖν αὐτοῖς τότε προσβάλλειν, καὶ μάλιστα κατὰ τὸν χειμῶνα ἐπὶ ταῖδαν ἐξερχομένοις. Τοῦτο δὲ γενήσεται, ἐὰν τὰ στρατεύματα παραμείναντά που πλησίον ἀσυμφανῶς, καὶ τὴν ἔξοδον αὐτῶν ἐπισκοπήσαντα, τὴν κατ' αὐτῶν προσβολὴν ποιήσωνται· οὕτως γὰρ διαφθείρουσιν αὐτούς, ἢ ὅταν ὁμοῦ πάντες συνέλθωσιν ἐν πολυπληθίᾳ καὶ καταστάσει πολέμου ἐξηρτισμένοι.

127. Periculosum enim est, quemadmodum ante a me commemoratum est, publico in prœlio periclitari, quanquam admodum videantur hostes suos superaturi : fortunæ enim exitus incertus.

ρκζ'. Σφαλερὸν γάρ, ὡς πολλάκις ἡμῖν εἴρηται, τὸ πρὸς δημόσιον πόλεμον ἀποκινδυνεύειν τινάς, κἂν πάνυ δοκῶσι τῶν χειρῶν (78) περιττεύειν τῷ πλήθει· τὸ γὰρ τῆς τύχης ἄδηλον.

16. Itaque hujusmodi cavenda sunt, ac provisione opportuna efficiendum est ut hostes potius damnosa accipiant, quam exercitus noster ullum damnum accipiat. Robur enim militum, et numerus telorum conjiciendorum dimetiendus est, et ab initio ad finem usque belli hostium constitutio diligenter perspicienda, atque adeo pugna instituenda est.

ις'. Διὸ φυλάττεσθαι χρὴ τὰ τοιαῦτα, καὶ μετὰ τοῦ δέοντος σκοποῦ ποιεῖσθαι τὴν προσβολήν, ἵνα μᾶλλον οἱ πολέμιοι πάθωσι τὰ πρὸς βλάβην γινόμενα, ἢ οἱ ἡμέτεροι στρατιῶται. Δεῖ γὰρ αὐτοὺς τὴν οἰκείαν ἀκμὴν καὶ τὰς βολὰς φυλάττειν ἀπ' ἀρχῆς ἄχρι τέλους τῆς μάχης, καὶ μετρεῖν τῶν ἐναντίων τὴν διάθεσιν, καὶ οὕτως τὴν μάχην διατρεχεύζειν.

17. Ad hæc, imperator, providebis, ut res necessarias commeatumque milites habeant, ut ne iis rebus defecti, vel seditionem faciant vel nostra in regione municipes et subjectos sub imperium nostrum vexent, et injuriis tyrannideque opprimant, inedia necessitateque compulsi. Atque, si fieri potest, hostilem celeriter populaberis terram, et omnem illis commeatum inde suppeditabis; præfectisque mandabis ut nullum sub dominatu tuo militem injuria afficiat, vel ullum munus ab illo capiat, ne ea quidem quæ consueta munera nominantur. De tua autem dignitate quid dicendum est, qui ne de donis accipiendis cogitare quidem debes, neque donum aliquod ab iis, qui sub te subjecti sunt, sive ditioribus, sive tenuioribus ulla ratione capere?

ιζ'. Πρὸς τούτοις φροντίσεις, ὦ στρατηγέ, καὶ τῆς δεούσης τῶν στρατιωτῶν δαπάνης, ὥστε ἔχειν αὐτοὺς τὰ ἀναγκαῖα· ἵνα μὴ τούτων λειπόμενοι ἢ στασιάσωσιν, ἐν τῇ ἰδίᾳ χώρᾳ ὄντες τοὺς συντελεστὰς καὶ ὑπηκόους ἡμῶν τυραννοῦσι καὶ ἀδικοῦσι ὑπὸ τῆς πάνης (7) τῶν ἀναγκαίων συνελαυνόμενοι. Ἀλλ', εἴ γε δυνατόν, ἐν τάχει τὴν πολεμίαν καταλάβῃς γῆν, καὶ ἐξ αὐτῆς ἅπαντα τὰ ἐπιτήδεια πορίσῃ. Παραγγέλλῃς δὲ καὶ τοῖς ἄρχουσι, μηδένα τῶν ὑπ' αὐτοὺς στρατιωτῶν ἀδικεῖν, ἢ τὸ οἰονοῦν δῶρον παρ' αὐτῶν λαμβάνειν, ἢ τὰς λεγομένας συνηθείας. Περὶ γὰρ τῆς σῆς ἐνδοξότητος τί χρὴ λέγειν, ὡς οὐδ' ἐνθυμηθῆναί τι τοιοῦτον δέον, μήτι γε διαπράξασθαι, μήτε δῶρον τὸ οἱονδήποτε ἀπὸ μικροῦ ἢ μεγάλου ἀνθρώπου τοῦ ὑπὸ σὲ τελοῦντος λαμβάνειν τὸ σύνολον;

18. Milites strenuos robustosque et alacres in summa triremis parte potissimum constitue, qui consertis manibus cum hostibus dimicent. Sin quos ex militibus ignaviores esse deprehenderis, eos in inferiorem ordinem remorum depelle, et si quam

ιη'. Τοὺς δὲ στρατιώτας ἀνδρείους ἐπιλέγου, καὶ ῥωμαλέους, καὶ εὐπροθύμους· καὶ μάλιστα εἰς τὰ ἄνω τοῦ δρόμωνος ταττομένους, οἵτινες καὶ ἀπὸ χειρὸς τοῖς πολεμίοις συμπλέκονται. Εἰ δέ τινας τῶν στρατιωτῶν ἀνάνδρους ἐπιγνῷς, τούτους εἰς τὴν κάτω

NOTÆ.

(6) *Καὶ τοῖς μὲν αὐλοῖς.* Scribe, καὶ τοῖς μεναύλοις. Quod sit μέναυλον. Vide *Glossarium* nostrum.
(7) *Τῆς πάνης.* Scribe, τῆς σπάνης.

Digitized by Google

ἐλασίαν τέως παράπεμπε, καὶ εἴ ποτέ τις πληγῇ ἢ πέσῃ τῶν στρατιωτῶν, τὸν ἐκείνου τόπον ἐξ ἀνάγκης ἀναπληρώσῃς.

A plagam superiores milites acceperint, eorum loca inferioribus nautis supplebis.

ιθ'. Χρὴ δέ σε πάντως εἰδέναι τὴν ἑκάστου τῶν ὑπὸ σὲ στρατιωτῶν ἕξιν καὶ διάθεσιν, καὶ τὴν ἄλλην πρὸς ἀνδρείαν ποιότητα. Ὥσπερ οἱ κυνηγέται τῶν κυνῶν ἑκάστου τὰς ἐπιτηδειότητας ἐπιγινώσκοντες ἔχουσιν εὐκαίρως αὐτοὺς πρὸς ὃ βούλονται.

19. Uniuscujusque militis tui habitus, affectus, reliquusque mentis vigor cognoscendus est, quemadmodum venatores canis uniuscujusque naturam cognitam habentes, ad omnem opportunitatem illis utuntur.

κ'. Οὕτως οὖν διαθήσεις ἕκαστα, καθὼς ἂν συνίδῃς ἁρκοῦντα πρὸς τὴν προκειμένην ἐκστρατείαν τούς τε δρόμωνας καὶ τοὺς ἐν αὐτοῖς στρατιώτας, τά τε ὅπλα καὶ τὰς δαπάνας, καὶ τὴν ἄλλην ἐν ἑτέροις πλοίοις ἀποσκευήν· ἥντινα οἶονεὶ τοῦλδον ἐν ἀσφαλέσι τόποις σε χρὴ καθιστᾶν, ὅταν καιρὸς ἐλπίζεταί σοι μάχης. Καὶ προσέτι, εἴ γε χρεία τοιαύτη καλέσοι, ὥστε καὶ ἵππους ἐν τοῖς ἱππαγωγοῖς πλοίοις πρὸς ἐπιρρῖψὴν κατὰ τῆς πολεμίας ἔχειν τινῶν καβαλλαρίων. Καὶ ἁπλῶς πάντα ἐξαρτύσας ὁδοιπορήσῃς δεόντως.

20. Ita igitur institues omnia, quemadmodum ad propositam militiam idonea esse videbuntur, triremes, et milites, arma et commeatum, reliquumque omnem apparatum : quem quasi tuldum in tuto collocabis, ubi prælium speraveris futurum. Quod si necesse fuerit, ut equos aliquos habeas, in navibus equiferis cum equitibus aliquot pones, omniaque ad bellum præparans idonee iter facias.

κα'. Καὶ πρῶτον μὲν πρὸ τοῦ ἀποκινῆσαι ἁγιασθήτωσαν ἅπαντα τὰ φλάμουλα τῶν δρομώνων ἑκάστου διὰ θείας τῶν ἱερέων ἱερουργίας καὶ εὐχῆς ἐκτενοῦς πρὸς τὸν τῶν ὅλων Θεὸν ὑπὲρ εὐοδώσεως τοῦ στρατοῦ, κατὰ τῶν πολεμίων. Ἔπειτα καὶ διαλαλήσῃς πρὸς ἅπαντα τὸν λαὸν καὶ πρὸς τοὺς ἄρχοντας ἰδίως τὰ δέοντα καὶ ἁρμόζοντα τῷ καιρῷ, καὶ οὕτως προθυμοποιήσας τὸν στρατὸν ἀποκινήσεις αἴσιου πνεύματος συμπνέοντός σοι καὶ μὴ ἐναντίου.

21. Et priusquam ad classem procedas, precibus ac piis votis se mutuo milites Deo commendent, et bonum prosperumque iter adversum hostes precentur. Deinde universam plebem simul, et præfectos seorsim adhortaberis, ut officia sua sedulo industrieque faciant : et omnes quantum fieri potest animabis, et vento secundo stante solves.

κβ'. Οὐχ ὡς ἔτυχε πάντων τῶν δρομώνων πορευομένων, ἀλλ' ἐπιστήσεις αὐτοῖς ἄρχοντας, ἢ κατὰ πέντε, ἢ κατὰ τρεῖς δρόμωνας ἕνα τὸν λεγόμενον κόμητα, ὅστις ναύαρχός τε καὶ ἡγεμὼν τῶν ὑπ' αὐτὸν δρομώνων ὑπάρχων φροντίσει προσεχέστερον περὶ πάντων εὐκόλως, καὶ διατάξει πρὸς ἕκαστα.

22. Temere ac fortuito triremes ne procedant, sed tribus, aut quinque triremibus præfectum unum deliges, quem comitem appellabis, qui omnium sub se triremium dux futurus est, et diligenter facileque omnia instrues, quæ ad hastas triremesque pertinent.

κγ'. Οἱ δὲ εἰρημένοι ἄρχοντες ὑπὸ σὲ τελοῦντες ἀπὸ σοῦ καὶ τὰ παραγγέλματα δέξονται, καὶ τοῖς ὑπ' αὐτοὺς μεταδώσουσι. Καὶ ταῦτα μὲν ἐπὶ τοῦ βασιλικοῦ λεγομένου πλωΐμου· ἐπὶ δὲ τῶν θεματικῶν δρομώνων καὶ δρουγγάριοι ἐπιστήσονται, καὶ τουρμάρχαι, καὶ αὐτοὶ τῷ στρατηγῷ ὑποταγήσονται, καὶ τοῖς ἐκείνου παραγγέλμασιν εἴξουσιν.

23. Præfecti qui sub te sunt abs te mandata accipient, reliquisque qui sub eorum potestate sunt tradent. Atque hæc de regia classe. Reliquarum copiarum triremibus drungarii, id est, tribuni et turmarchæ præficientur, qui et ipsi imperatori subjecti erunt, et illius imperatis obtemperabunt.

κδ'. Οὐκ ἀγνοῶ ὅτιπερ κατὰ τὴν ὁμοίωσιν τοῦ βασιλικοῦ πλωΐμου καὶ οἱ τῶν ἄλλων θεμάτων πλώϊμοι στρατηγοὶ δρουγγάριοι ἐκαλοῦντό ποτε τοῖς ἄνω χρόνοις, καὶ οἱ ὑπ' αὐτοὺς κόμητες μόνον καὶ κένταρχοι. Ἀλλὰ νῦν εἰς στρατηγίδα ἡ ἑκάστου τῶν δρουγγαρίων ἀρχὴ ἀναβέβηκεν, καὶ καλουμένη ταῖς στρατηγικαῖς καταμερίζεται τάξεσιν.

24. Neque sane ignoro, quod ad similitudinem regiæ classis, reliquorum auxiliorum præfecti drungarii antiquis temporibus vocabantur, et qui sub illorum dominatu fuerunt, comites centurionesque olim vocabantur. Sed nunc drungariorum singulorum dignitas ad nomen imperatorium pervenit, et sic nunc cum appellatur, in acies imperatorias dividitur.

κε'. Γυμνάσεις δὲ διαφόρως τούς τε πλωΐμους στρατιώτας, καὶ αὐτοὺς τοὺς δρόμωνας, ποτὲ μὲν καθ' ἕνα ἕκαστον ἄνδρα, ποτὲ δὲ καὶ κατὰ πλείους, ὥστε ἄντις ἀλλήλων ἐπέρχεσθαι σπαθίοις καὶ σκουταρίοις χρωμένους. Καὶ αὐτοὺς δὲ ὅλους δρόμωνας κατ' ἀλλήλων ὡς ἐπὶ παρατάξεως ἐπερχομένους καὶ ποτὲ δεσμοῦντας, ποτὲ δὲ ἀπολύοντας καὶ διαφόρως κατ' ἀλλήλων προσβάλλοντας, ποτὲ δὲ ἀκοντίοις ὠθοῦντας τὰ πλοῖα τῶν ἐναντίων, ὥστε μὴ πλησιάζοντας δεσμεῖν. Οὐ γὰρ ἀεὶ τὸ διὰ καμάκων σιδηρῶν δεσμεῖν

25. Nautas ipsos, et triremes exercebis interdum sigillatim unumquemque : interdum junctas complures, ut se mutuo invadant, et gladiis scutisque utantur ; integrasque triremes quasi ad aciem instructam adhibebis, interdum inter se mutuo illigatas, interdum solutas, et diversis modis in se mutuo irruentes. Interdum longis hastis naves hostium depellant, ut ne prope accedentes naves committantur, et ingentia ex eo pericula consequantur. Omnibusque modis exerceantur quem-

Digitized by Google

admodum dignitas tua judicaverit hostes cum illis dimicare velle, ut ad strepitus, clamores, reliquosque motus bellicos assuefiant, neque confestim perturbentur, aut inscitæ et præter opinionem in hæc incurrant.

καὶ τὴν ἄλλην κίνησιν τοῦ πολέμου, καὶ μὴ θροῶνται, ἐρχόμενοι.

A ἀλλήλους τοὺς ἀντιπολεμοῦντας χρήσιμον διὰ τοὺς ἀφύκτους ἀναγκαιοῦσιν κινδύνους. Καὶ ἑτέρως δὲ γυμναζέσθωσαν ὡς ἂν ἐπιβάλῃ ἡ σὴ ἐνδοξότης τὰς κατὰ τῶν ἀντιπάλων ἐνδεχομένας ἐπινοίας, ὡς ἂν ἐνταῦθεν ἐθίζωνται πρὸς τοὺς κτύπους καὶ τὰς βοάς, ὡς ἀγυμνάστως καὶ ἀθρόον καὶ παρὰ δόξαν ἐπὶ ταῦτα

26. Sic igitur exercitati instructique in acie procedentes navigent: tantum a se mutuo in cursu distent, ut ne se mutuo impediant tum in curso maritimo, tum in tempestatibus ingravescentibus, et ventorum flatibus. Aciei instructæ et exercitatæ in morem prodeant, et in appulsibus ad terram ordinate classem instruant, et ad stationem aliquam se applicantes, sine ulla confusione ad littus, ad portum, ad locum portuosum veniant, ut si aliqua tempestas in salo oriatur, minus afflictentur.

κς'. Οὕτως οὖν γυμνασθέντες καὶ διατεθέντες πλεύσουσιν ἐν τάξει συνηγμένοι τοσοῦτον, ἐφ' ὅσον ἀλλήλοις μὴ ἐμποδίζειν ἔν τε ταῖς ἐλασίαις, καὶ ἐν ταῖς, ὡς εἰκὸς, κατὰ θάλασσαν ὑπὸ τῶν ἀνέμων βίαις. Ἀλλ' οἱονεί τις παράταξις γεγυμνασμένη, οὕτω πορευέσθωσαν, καὶ ἐν ταῖς ὁρμησίαις τῶν ἀπλίκτων εὐτάκτως τὸν κατάπλουν ποιείτωσαν, καὶ καταγέτωσαν ἐνορδίνως ἐξορμῶντες πρὸς τὴν ξηράν, ἢ εἰς B λιμένα πάντως, ἢ εἰς ὕφορμον τόπον, ἐν ᾧ ζάλης συμβαινούσης οὐ κλυσθήσονται.

27. Venti flatus ex signis astrorum prænoscendus tibi est, et locus ad quem applicabis eligendus: et nisi aliqua gravis urgeat necessitas, sine aliquo secundo vento aut tranquillitate et tuta spe salutis, in perturbatam aliquam navigationem ne te conjicias; sed significationes astrorum quas nautæ observarunt, reliquaque quæ ad hanc rem idonea sunt observabis, atque ita iter tuum institues.

κζ'. Δεῖ δέ σε καὶ τοῦ ἀνέμου τὴν ἐπιφορὰν προειδέναι διὰ τῶν σημείων κατὰ τὸν καιρόν. Καὶ πρὸς ταύτην καὶ τὸν τόπον τῆς ὁρμησίας ἐκλέξασθαι. Καὶ εἰ μή τις κατεπείγει ἀνάγκη, μὴ ἄνευ πνεύματος αἰσίου καὶ γαλήνης, καὶ ἀσφαλοῦς ἐλπίδος σωτηρίας ἐπιῤῥίπτειν σεαυτὸν εἰς ἀνεπιτήδειον πλοῦν. Ἀλλ' ὑφορᾶσθαι καὶ τὰς λεγομένας παρὰ τῶν ναυτικῶν παρασημασίας τῶν ἄστρων, καὶ ὅσα ἄλλα συμφέροντα, καὶ οὕτω ποιεῖσθαι τὴν πορείαν.

28. In castris ponendis, si ad tuam ipsius appellis terram, nullumque timorem hostium habes, ordinate ibi requiescant milites, neque die aut nocte C indigenarum quemquam lædant, aut injuriam ullam inferant, aut froges diripiant, aut agros populentur.

κη'. Ἐν δὲ τοῖς ἀπλήκτοις, εἰ μὲν ἐν τῇ ἰδίᾳ ὁρμεῖς χώρᾳ, καὶ μηδένα φόβον ἔχεις ἀπὸ τῶν πολεμίων, καὶ οὕτω μετ' εὐταξίας ἀναπαύεσθαι τὸν στρατὸν καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ μηδένα τῶν ἐπιχωρίων βλάπτοντας, ἢ ἀδικοῦντας, ἢ καρποὺς ἁρπάζοντας, ἢ φθείροντας.

29. Si propo hostilem terram fueris, aut hostes prope adfuturos metuis, excubias eminus habere oportet tum mari tum terra, et vigilantem esse, et ordine instructum, paratumque ad dimicandum: multæ enim sunt hostium insidiæ: et si terra te invenerint procedentem, vim afferent tibi, si quam possint, et naves incendent: vel per mare noctu aut interdiu irruptionem in te facient, quod si imparatus ab illis paratis inveniare, facile ab illis opprimere: sin paratus fueris, irrita atque inanis omnis illorum irruptio erit.

κθ'. Εἰ δὲ ἐν τῇ πολεμίᾳ γῇ πλησιάζεις, ἢ πολεμίους παρεῖναί που ἐλπίζεις, πάντως χρεών σε καὶ βίγλας ἔχειν μακρόθεν καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Καὶ ἀγρύπνως διατελεῖν καὶ κατησφαλισμένον καὶ ἕτοιμον εἶναι πρὸς παράταξιν· πολλαὶ γὰρ αἱ τῶν πολεμίων ἐπιβουλαί· καὶ γὰρ ἢ κατὰ γῆς εὑρόντες σε ὁρμοῦντα βιάσονται. Εἰ τύχοι δὲ εὐπορήσαντες καὶ τὰς ναῦς ἐμπρήσουσιν. Ἢ διὰ θαλάσσης ἀναφανέντες προσβολὴν ποιήσονται νυκτὸς ἢ ἡμέρας. Καὶ ἐὰν μὴ ἕτοιμος ἐν ἑτοίμοις εὑρεθῇς, προτερήσουσιν οἱ ἐναντίοι κατὰ σοῦ. Εἰ δέ σε ἕτοιμον εὑρήσουσιν, D ἄπρακτος αὐτοῖς ἡ ἐπιβουλὴ γενήσεται.

30. Quoniam vero horum satis jam mentionem feci, age de cætero, quemadmodum irruptiones, atque aciem instructam in dimicatione parabis, paucis explicabo, sicut in terrestribus copiis instruendis antea fecceramus.

λ'. Ἐπεὶ δὲ τούτων συμμέτρως ἐμνήσθημέν τε καὶ διεταξάμεθα, φέρε λοιπὸν καὶ ὅπως παρατάξεις, καὶ τὰς προσβολὰς τὰς ἐν ταῖς μάχαις ποιήσεις, ὡς ἐν συνόψει διορισώμεθα· καθ' ὃν τρόπον καὶ ἐν ταῖς κατὰ γῆν πολεμικαῖς προσβολαῖς ἄνω που διεταξάμεθα.

31. Quando igitur belli tempus imminere tibi videtur, congregatis militibus per acies, et cohortes, legantur illis militares multæ, quæ a nobis antea, cum de terrestribus copiis agebamus, commemoratæ sunt; verbisque illos idoneis cohortaberis ad pericula suscipienda, ut partim supplicorum timore, partim tua cohortatione atque incitatione strenui fortesque fiant, et in ipso dimica-

λα'. Ὅταν τοίνυν ἐλπίζηταί σοι πολέμου καιρὸς, ὦ στρατηγὲ, συνελθόντων τῶν στρατιωτῶν κατὰ τὰς τάξεις, ἑκάστην διῃρημένως ὑπαναγνωσθήσεται αὐτοῖς τὰ στρατιωτικὰ ἐπιτίμια. Ἅπερ ἡμῖν ἐν τῷ περὶ τῆς κατὰ γῆν στρατιωτικῆς γυμνασίας εἴρηται, καὶ ἐπιῤῥώσεις αὐτοὺς λόγοις προσήκουσι παρορμῶν καὶ ἐπαλείφων πρὸς τοὺς ἀγῶνας· ἵνα τὸ μὲν διὰ τὸν φόβον τῶν ἐπιτιμίων, τὸ δὲ διὰ τὴν τῆς σῆς ἐν-

Digitized by Google

δοξίστητος παραίνεσιν, ἀνδρεῖοι, καὶ εὐτολμοι γέ- A νωνται, καὶ ἐν τοῖς μέλλουσι πολεμικοῖς κινδύνοις ἐκ χειρὸς ἀγωνιζόμενοι.

λβ'. Χρὴ δέ σε μᾶλλον δι' ἐφόδων μὲν καὶ ἄλλων ἐπιτηδευμάτων τε καὶ στρατηγημάτων μεθοδεύειν κατὰ τῶν πολεμίων, ἢ δι' ὅλου τοῦ ὑπὸ σὲ πλωΐμου στόλου, ἢ διὰ μέρους αὐτοῦ. Μὴ μέντοι χωρὶς ἀνάγκης μεγάλης ἐπὶ τοῦτο κατεπειγούσης εἰς δημόσιον πόλεμον σεαυτὸν ἐπιρρίπτειν. Πολλὰ γὰρ τὰ τῆς λεγομένης τύχης ἀντίρροπα, καὶ τὰ τοῦ πολέμου παράδοξα.

λγ'. Διὰ τοῦτο χρὴ σε ἀεὶ παραφυλάττεσθαι, καὶ μὴ πρὸς δημοσίας, ὡς εἴρηται, παρατάξεις ἀποθρασύνεσθαι, μάλιστα ἐν πλοίοις. Ὅπου δεσμούντων ἀλλήλους ἄφυκτος ἡ ἐκ χειρὸς γίνεται καὶ βιαία ἡ μάχη, καὶ οὐκ ἔστι δυνατὸν τοῦ συμφέροντος ἐπι- B λήψεσθαι. Καὶ ταῦτα μὲν φυλάττεσθαι, εἰ μὴ ἄρα θαρρεῖς καὶ τῷ πλήθει τῶν δρομώνων, καὶ τῇ ἀνδρείᾳ καὶ κλίσει καὶ προθυμίᾳ τῶν στρατιωτῶν καθυπέρτερος εἶναι τῶν πολεμίων.

λδ'. Οὔτε γὰρ πλῆθος πλοίων, οὔτε μέγεθος κατορθώσει πόλεμον, εἰ μὴ τοὺς ἐν αὐτοῖς πολεμοῦντας ἔχουσιν εὐψύχους καὶ ῥωμαλέους καὶ προθύμους εἰς τὴν κατὰ τῶν ἐναντίων ἐγχείρησιν, καὶ πρό γε τούτων εἰ μὴ τὴν θείαν εὐμένειαν καὶ συμμαχίαν ἔχουσι διὰ καθαρότητος βίου καὶ δικαιοσύνης. Πρός τε τοὺς συντελεστὰς καὶ πρὸς τοὺς πολεμίους, εἴ τίς ἐστι, τὸ μηδὲν ἀνόσιον ἐν τοῖς αἰχμαλώτοις διαπράττεσθαι (8) ἢ αἰσχρὸν, ἢ ἀφιλάνθρωπον. Καὶ τὸ μὴ ἀδικούμενον μὴ ἀδικεῖν, τοὺς δὲ ἀδικοῦντας μετὰ τῆς τοῦ [Θεοῦ] βοηθείας ἀνταμύνεσθαι. C

λε'. Ἐὰν δὲ πάντως ἀπαιτεῖται καὶ μάχης καιρὸς, διατάξεις τοὺς δρόμωνας ποικίλως καὶ διαφόρως, καθὼς ἂν ὁ τε καιρὸς καὶ ὁ τόπος ἀπαιτῇ. Ὥστε ἐὰν θαρρῇς καθυπέρτερος εἶναι τῶν πολεμίων, ὡς μοι εἴρηται, καὶ διὰ τοῦτο πρὸς μάχην συμβαλεῖν, ὡς ἐλπίζων αἱρήσειν αὐτοὺς, μὴ ἐν τῇ ἰδίᾳ σου γῇ πλησίον ποιήσῃς τὴν μάχην, ἐν ᾗ ἐλπίζουσιν οἱ στρατιῶται, τὸ δὴ λεγόμενον, καταξυλώσαντες σωθῆναι. Ἀλλὰ μᾶλλον πλησίον τῆς τῶν ἐναντίων γῆς. Ἵν' αὐτοὶ τὴν σωτηρίαν ἐλπίσαντες ἐν τῇ ἰδίᾳ γῇ τὴν φυγὴν παρὰ τοὺς ἀγῶνας προτιμήσωνται. Στρατιώτης γὰρ εἰς δειλίαν ἐν ἀνάγκῃ πολέμου περιπίπτων τὴν σωτηρίαν διὰ τῆς φυγῆς ἐλπίσει, καὶ ταχέως ῥίψει τὰ ὅπλα, καὶ οὐδὲν αὐτῆς προτιμήσεται. Ὀλίγοι γὰρ οἱ ἐν καιρῷ παρατάξεως τὸ ἀποθανεῖν ὑπὲρ τοῦ ἀδόξως D φυγεῖν προκρίνοντες, εἴτε ἐν τοῖς Βαρβάροις εἴπῃς, εἴτε ἐν τοῖς Ῥωμαίοις.

λς'. Πρὸ δὲ τῆς τοῦ πολέμου ἡμέρας χρή σε βουλεύεσθαι μετὰ τῶν ὑπὸ σὲ ἀρχόντων τί δεῖ πρᾶξαι, καὶ ὅπερ ἀναφανῇ διὰ τῆς κοινῆς γνώμης χρήσιμον, τοῦτο στοιχεῖσαι, καὶ παραγγεῖλαι τοῖς ἄρχουσι τῶν δρομώνων, ὥστε αὐτοὺς εἶναι ἑτοίμους ἐκτελέσαι τὰ βουλευθέντα, εἴ γε ἄρα μὴ ἀπαντήσῃ γνώμη ἐναντία ἐκ τῆς φόλου (9) τῶν πολεμίων, ἀλλὰ καὶ τότε ἑτοίμους εἶναι πάντας ἀφορῶντας εἰς

tionis discrimine cominus alacriter manus conserant.

32. Incursionibus allisque molitionibus imperatoriis adoriendi potius hostes sunt, quam universa navali classe, vel aliqua ejus ingenti quasi turma, nisi aliqua gravis necessitas ad hoc impulerit; neque enim apertam in dimicationem teipsum conjicias. Multa enim fortunæ momenta sunt, et casus belli, nec opinati.

33. Propterea sedulo abs te cavendum est ne, ad publicam aciem instruendam, quemadmodum dixi, inciteris. Navibus enim inter se vinctis, perdifficilis et inevitabilis quædam præliandi necessitas imponitur, neque, quod maxime ex usu tuo sit, poteris efficere. Ista igitur cavenda sunt, nisi si fidas tum multitudini triremium, tum armaturæ, tum fortitudini, tum alacritati militum, ut hostibus superior sis.

34. Neque enim navium multitudo aut magnitudo bella conficit, nisi milites habeant strenuos, fortes, et ad hostes invadendos alacres, aut, quod maximum, nisi divinum præsidium benevolentiamque habeant, tum puritate, tum integritate vitæ conciliatam; et erga municipes hostes justitiam colas: nihil impium, aut turpe in captivos illorum patres, aut inhumanus sis, cumque, qui nullam tibi injuriam intulit, ne lædas, qui injuria te affecerit eum cum Dei benevolentia repelias.

35. Si omnino prælii tempus id exigat, varie et diverse triremes instrues pro temporum locorumque ratione. Itaque, si confidis te esse superiorem hostibus, quemadmodum prædixi, atque ideo cum illis confligere velis, quasi in spem capiendorum hostium veniens, ne in tua ipsius terra prælium committas, in qua sperant milites, juxta vetus proverbium, si tantum hastas defigant servari, sed prope hostilem terram potius, ut hostes salutem sperantes, sua in terra fugam dimicationi anteponant. Miles enim in formidinem aliquam ipso tempore prælii incidens, et fuga se salutem quæsiturum putans, facile arma abjicit, nihilque fugæ præponit; pauci enim sunt, sive Romanos, sive Barbaros spectes, qui mortem fugæ ingloriæ atque inhonestæ, tempore prælii anteponunt.

36. Ante belli diem deliberatio quædam cum præfectis capienda est, quidnam faciendum sit, et quod communi sententia videtur esse optimum illud constituas, et præfectis triremium mandabis, ut ad imperata facienda prompti sint. Quod si contraria aliqua sententia ex hostium incursione intervenerit, tum omnes in tuam triremem intueantur, et parati sint ex eo signum aliquod capere,

NOTÆ.

(8) *Διαπράττεσθαι*. Scribe, διαπλάττεσθαι.

(9) *Φόδου*. Scribe, ἐφόδου.

Digitized by Google

quid facto opus sit : quo signo ostenso, omnes ad illud explendum quod signo ostenditur se parent.

A τὸν σὸν δρόμωνα, ὥστε ἐξ αὐτοῦ λαβεῖν σημεῖον τί εἰ ἄρα πρᾶξαι δεῖ, καὶ τούτου δοθέντος ὀξέως γενέσθαι τὸ ὑποδειχθέν.

37. Præ cæteris omnibus, triremem habeas eximiam, et delectos in ea milites, magnitudine, strenuitate, crassitudine aliis anteeuntem, atque adeo universæ aciei caput : tibi tamen triremem facias, qualem πάμφυλον nominant.

λζ'. Πάντως γὰρ δεῖ σε, ὦ στρατηγὲ, δρόμωνα ἔχειν τὸν ἴδιον ἐξ ἁπάντος τοῦ στρατοῦ ἐπιλέκτους ἔχοντα τοὺς στρατιώτας, μεγέθει, καὶ ἀνδρείᾳ, καὶ ἀρετῇ, καὶ τῇ ἄλλῃ πανοπλίᾳ διέχοντας· καὶ τὸν δρόμωνα δὲ μεγέθει καὶ ταχύτητι τῶν ἄλλων ἁπάντων διαφέροντα, ὡς ἅτε κεφαλήν τινα τῆς παρατάξεως ἁπάσης· καὶ καταστῆσαι τὸν τῆς σῆς ἐνδοξότητος τοιοῦτον δρόμωνα, τὸ δὴ λεγόμενον πάμφυλον.

38. Similiter reliqui sub te præfecti, quicunque sub se triremes habent, viros ex illis optimos eligant, et in suis secum triremibus habeant, ut et illi cæteris præstent. Isti omnes ac reliqui præterea in tuam intueantur triremem, et ab ea belli tempore regantur, nisi quid aliud interea cadat, quod B alia via ad conficiendum egeat.

λη'. Ὁμοίως δὲ καὶ τοὺς ἄλλους ὑπὸ σὲ ἄρχοντας, ὅσοι ἔχουσιν ὑπ' αὐτούς τινας δρόμωνας, ἐξ αὐτῶν ἐπιλέξασθαι ἄνδρας, καὶ ἔχειν ἐν τοῖς οἰκείοις, ὥστε καὶ αὐτοὺς διαφέρειν τῶν ἄλλων. Καὶ τούτους δὲ πάντας, καὶ τοὺς λοιποὺς πρὸς τὸν σὸν ἀποβλέπειν δρόμωνα, καὶ παρ' αὐτοῦ ῥυθμίζεσθαι κατὰ τὸν τοῦ πολέμου καιρὸν, εἰ μή γε ἄρα ἕτερόν τι παράδοξον τῶν βεβουλευμένων ἀναφανῇ, καὶ δέηται μεθόδου ἑτέρας.

39. Signum aliquod in tua triremi, sive flamulum, sive aliud quidpiam celso aliquo in loco sit, ut tu eo significare possis, quid facto opus sit : ac cæteri hoc a te propositum negotium suscipiant, sive confligendum in bello sit, sive a bello discedendum, sive in circuitionem hostium evolvendum, sive ad afflictæ partis præsidium accurrendum, sive cursum tardare, sive ad celeritatem incitare, sive insidiæ faciendæ, sive ex insidiis adoriendi sint, sive quæ alia signa e triremi tua proficiscuntur, omnia ea intuentes in tuam triremem expleant.

λθ'. Εἶναι δὲ σημεῖον ἱστάμενον ἐν τῷ σῷ δρόμωνι, εἴτε βάνδον, εἴτε φλάμουλον, εἴτε τι ἕτερον, εἰς τόπον περίοπτον, ἵνα δι' αὐτοῦ σημαίνοντός σου τί δεῖ πράττειν, εὐθέως ἐπιλαμβάνωνται τοῦ δόξαντος ἔργου οἱ λοιποὶ, εἴτε συμβάλλειν εἰς πόλεμον χρὴ, εἴτε ἀναχωρεῖν ἀπὸ πολέμου, εἴτε ἐξελίσσειν εἰς κύκλωσιν κατὰ τῶν πολεμίων, εἴτε εἰς βοήθειαν καταπονουμένου μέρους συνδραμεῖν, εἴτε ὀργῆσαι τὴν ἐλασίαν, εἴτε ἐπιδοῦναι εἰς τάχος τὴν κίνησιν, εἴτε ἔγκρυμμα δέον γενέσθαι, εἴτε ἀπὸ ἐγκρύμματος ἐξελθεῖν, ἢ ἄλλα τινὰ καθ' ἕκαστα ἀπὸ σημείων τοῦ C σοῦ δρόμωνος ἅπαντα ὑποδέχεσθαι ἀφορῶντας ὅπως δέον ποιεῖν.

40. Neque enim eo tempore vel voce vel buccina præcipere possis quæ facto opus sunt : quia magnus tumultus, marisque fragor, cæterisque strepitus, et triremium concursus, atque commissio, et quod maximum, clamor hominum prælianthum, illa ut exaudiantur impediet.

μ'. Οὐ γὰρ δύναταί τις ἐν τοιούτῳ καιρῷ ἀπὸ φωνῆς ἢ βουκίνου παραγγέλλειν τὰ δέοντα, διά τε τὸν θροῦν, καὶ τὸν τάραχον, καὶ τὸν τῆς θαλάσσης ἦχον, καὶ τὸν ἄλλον κτύπον τῆς τε συγκρούσεως καὶ κωπηλασίας τῶν δρομώνων, καὶ πολλῷ μᾶλλον τῆς βοῆς τῶν πολεμούντων.

41. Signum autem monstrabitur, si directum stet, vel ad dextram aut lævam inclinetur, aut perpetuo agitetur aut elevetur, aut deprimatur, aut omnino detrahetur, aut commutetur, aut caput vertexque ejus, ut diversum videatur, vel figuris coloribus, ut olim fieri solebat, immutetur. Nam belli tempore confligendi signum habebant, quod D φοινικίδα appellabant. Erat autem camelaucion, hasta longiore elevatum, rubro colore, atque alia quædam hujusmodi. Sed tutius fortassis sua ipsius manu hæc signa demonstrabuntur.

μα'. Τὸ δὲ σημεῖον ὑποσημαινέτω, ἢ ὀρθὸν ἱστάμενον, ἢ ἐπὶ δεξιὰ, ἢ ἐπὶ ἀριστερὰ κλινόμενον καὶ ἐπὶ δεξιὰ πάλιν ἢ ἐπ' ἀριστερὰ μεταφερόμενον, ἢ τινασσόμενον, ἢ ὑψούμενον, ἢ ταπεινούμενον, ἢ ὅλως ἀφαιρούμενον, ἢ μετατιθέμενον, ἢ διὰ τῆς ἐν αὐτῷ κεφαλῆς ἄλλοτε ἄλλως φαινομένης ἀλλασσόμενον, ἢ διὰ σχημάτων, ἢ διὰ χρωμάτων, οἷόν ποτε τοῖς παλαιοῖς ἐπράττετο. Ἐν γὰρ πολέμου καιρῷ σημεῖον εἶχον τῆς συμβολῆς αἴροντες τὴν λεγομένην φοινικίδα. Ἦν δὲ τὸ λεγόμενον καμελαύκιον ἐπὶ κονταρίου ὑψούμενον, ἐρυθρὸν τὴν χροιὰν, καὶ ἄλλα τινὰ ὁμοιοτρόπως ὑποδεικνύμενα. Ἀσφαλέστερον δὲ τάχα διὰ τῆς σεαυτοῦ χειρὸς τὰ σημεῖα ὑποδειχθήσεται.

42. Ita tibi sit consuetudo horum signorum exercitata, ut omnes sub te præfecti, quicunque triremibus præfecti sunt, certam horum signorum notionem habeant, tum qua de causa fiat unumquodque, et quando quomodoque intelligant, ut istis rebus bene exercitati, usus ipsius tempore parati sint ad cognoscenda et agenda ea quæ istis præcipiuntur.

μβ'. Καὶ οὕτως ἔστω σοι ἡ ἐνέργεια, ὦ στρατηγὲ, τῶν τοιούτων σημείων γεγυμνασμένη, ὥστε πάντας τοὺς ὑπὸ σὲ ἄρχοντας, ὅσοι δρομώνων ἡγοῦνται, ἔχειν τὴν πεῖραν ἀσφαλῆ τῶν τοιούτων ὑποδειγμάτων, καὶ διὰ τί γίνεται ἕκαστον, καὶ πότε, καὶ πῶς, καὶ μὴ διασφάλλεσθαι· ἵνα περὶ ταῦτα καλῶς ἐγγυμνασάμενοι ἐν καιρῷ χρείας ἕτοιμοι γένωνται πρὸς τὸ διαγινώσκειν αὐτὰ, καὶ πράττειν τὰ δι' αὐτῶν κελευόμενα.

Digitized by Google

μγ'. Τὴν δὲ τῶν δρομώνων παράταξιν ἐν καιρῷ προσβολῆς, εἴ γε ἄρα, ὡς εἴρηται, τοσαύτη πάρεστιν ἀνάγκη, ἢ κατὰ χεῖρας τὴν νίκην ἐλπίζεις, ποιήσεις καθὼς ἂν συνίδῃς ἁρμόδιον τῷ καιρῷ καὶ τῷ τόπῳ πρὸς τὴν τῶν πολεμίων παρασκευὴν καὶ παράταξιν. Οὐ γὰρ νῦν ἐστι λέγειν ἀσφαλῶς περὶ τῶν τότε μελλόντων ἀπαντήσεσθαι.

43. Triremium instructionem conflictationis tempore, si quidem tanta adsit necessitas ut necessario manus conserendæ sint, aut si victoriam te comparaturum speraveris, quemadmodum loco ei tempori idoneum ad hostium apparatum instructionem indicaveris, ita instrues. Neque enim hoc loco dici potest, quid futurum, aut usu venturum sit.

μδ'. Ποτὲ μὲν μηνοειδῶς οἷον ἡμικυκλίου τάξιν, τοὺς μὲν ἄλλους δρόμωνας ἔνθεν κἀκεῖθεν, οἷον κέρατά τινα ἢ χεῖρας καὶ μάλιστα ἐν τῷ ἄκρῳ προάγοντας τοὺς ἀλκιμωτέρους καὶ μείζονας. Ἐν δὲ τῷ κοίλῳ τοῦ ἡμικυκλίου οἱονεί τινα κεφαλὴν τὴν σὴν ἐνδοξότητα, ὥστε πάντα περισκοπεῖν, καὶ διατάττειν, καὶ διοικεῖν, καὶ εἴ που δεῖ καὶ βοηθείας, ἐπικουρεῖν μεθ' ὧν ἂν βούλῃ ἐπὶ τούτῳ εὐκαιρούντων. Τὸ δὲ σχῆμα τὸ μηνοειδὲς γινέσθω, ὥστε τοὺς ἐμπίπτοντας πολεμίους ἐντὸς ἀποκλείεσθαι τῆς κυκλώσεως.

44. Interdum enim lunabis classem, id est, ad semicirculi formam instrues, aliis triremibus hinc atque illinc quasi cornibus aut manibus collocatis: et in summa fronte potissimum strenui atque alacres constituantur. In ipsius semicirculi ambitu quasi caput dignitas tua consistat, ut omnia perlustres, instruas, et administres, et si- B cubi præsidio opus est, eo præsidia mittas ad sublevandos eos idonea. Hæc lunata forma ad hostes circumcludendos potissimum valet.

με'. Ποτὲ δὲ παρατάξεις κατὰ μέτωπον ἐπ' εὐθείας, ὥστε χρείας καλούσης ἐπιπίπτειν τοῖς πολεμίοις κατὰ πρῶραν, καὶ διὰ τοῦ πυρὸς τῶν σιφώνων ἐμπυρίζειν τὰς ἐκείνων ναῦς.

45. Interdum frontem classis directam instrues, ut ubi usus ferat in hostium proras irruat, et siphonibus ignem ejicientibus naves illorum incendat.

μς'. Ποτὲ δὲ καὶ εἰς διαφόρους μερίζεσθαι παρατάξεις, ἤτοι δύο, ἢ τρεῖς κατὰ τὴν ποσότητα τῶν ὑπὸ σὲ δρομώνων. Καὶ τῆς μιᾶς παρατάξεως συμβαλούσης, ἡ ἄλλη εἰσπεσεῖται κατὰ τῶν πολεμίων ἤδη ἐμπεπλεγμένων, ἢ ὄπισθεν, ἢ κατὰ πλευράν, καὶ διὰ τῆς βοηθείας τῆς ἐπελθούσης κατ' αὐτῶν ἀπείπωσιν οἱ πολέμιοι τοῦ τόνου.

46. Interdum in diversas tribuantur acies duas aut tres, pro numero triremium quæ in classe tua sunt: cumque una cum hostibus dimicaverit, altera in hostes jam junctos sive ad latus, sive a tergo irruat; ita fiet, ut hæc subsidia ad defendendam primam aciem missa, ab hostibus sustineri nequeant.

μζ'. Ποτὲ δὲ καὶ δι' ἐγκρύμματος. Ἀποπλανωμένων γὰρ τῶν πολεμίων καὶ ἐμπιπτόντων, ὡς ὀλίγοις ἀναφανὲν ἀθρόως τὸ ἔγκρυμμα καὶ θροῆσαν αὐτοὺς, ἐκλύσει τὸν τόνον τῆς ἐνστάσεως. Ἄλλοτε δὲ δι' ἐλαφρῶν καὶ ταχινῶν δρομώνων συμβαλλόντων αὐτοῖς καὶ προσποιουμένων φυγεῖν· κἀκείνων ἐν τῇ διώξει κοπουμένων, καὶ βιαζομένων μὲν, μὴ καταλαμβανόντων δὲ τοὺς φεύγοντας, ἢ καί τινων τῆς συνεχείας ἀποτεμνομένων ἕτεροί σου δρόμωνες ἄκοποι καὶ ἀναπεπαυμένοι κατὰ τῶν κατασκόπων ὁρμήσαντες αἱρήσουσιν αὐτούς· ἢ εἰ καὶ τὰ δυνατὰ τῶν ἐχθρῶν πλοῖα παρελθεῖν ἰσχύσας τις τοῖς ἀσθενεστέροις ἐπιτεθῇ· ποτὲ δὲ συμβαλὼν καὶ ἱκανῶς ἐκ χειρὸς πολεμήσας ταῖς ἐναντίαις ναυσὶ μέχρι ἄκρας κοπώσεως, ἀποπλήξεις μὲν τοὺς δρόμωνας, ἑτέρους δὲ πάλιν ἐπαφήσεις τοῖς πολεμίοις εὐρώστους τοῖς κεκοπωμένοις καὶ ἐκλυθεῖσι τὸν τόνον ἀπὸ τῆς μάχης, καὶ οὕτως τὴν κατ' αὐτῶν νίκην περιποιήσῃ, μάλιστα καὶ τοῦτο γίνεται, ὅταν περιττεύῃς αὐτὸς τῷ πλήθει τῶν δρομώνων ὑπὲρ τοὺς πολεμίους.

47. Interdum insidiæ apparentur. Cum enim vagantur hostes, et in nostros, quos paucos esse vident, invadunt, subito hæ intervenientes insidiæ et hostium classem perturbantes, omne robur illorum debilitabunt. Interdum vero expeditis et celeribus triremibus confligentibus et fugam postea simulantibus, et hostibus ad insequendum omnibus remis navigantibus, et prementibus pene semper, sed nunquam intervertentibus eos quos insequuntur, aliæ tum triremes recentes et minime antea exercitatæ, eos tum nec opinato adoriantur, atque adeo illos capiant: vel si quis instructiores fortioresque hostium naves prætermittat, debiliores et imparatiores capiat. Interdum cominus et conser- D tis manibus cum hoste confligens usquedum obscura nox est, alias a labore vacuas et recentes triremes strenuas ac robustas immittes, quæ illorum in prælio ferocitatem omnem comprimant, atque adeo victoriam de illis reportes: hoc potissimum fiet, ubi hostes multitudine atque apparatu navium longe superaveris.

μη'. Ποτὲ δὲ φυγεῖν προσποιούμενος μετὰ δρομώνων ταχινῶν πρὸς δίωξιν ἐκκαλέσῃ τοὺς πολεμίους κατὰ πρύμναν ἔχων αὐτούς. Κἀκεῖνοι ὁρμήσαντες διώκειν διαλύσουσι τὴν τάξιν αὐτῶν. Καὶ οὕτως ἀνθυποστρέψας τάχος διεσπαρμένοις τοῖς διώκουσι, μάλιστα καὶ πλέον ἐκείνων δρόμωνας ἔχων, ἐπέλθῃς αὐτοῖς κατὰ πρῶραν καὶ ἢ καθ' ἕνα, ἢ κατὰ δύο

48. Interdum fugam simulans cum triremibus celeribus atque incitatis, ad persequendas naves tuas hostes quodam modo provocabis, puppe tua ad illos conversa. Illi autem ad insequendum concitati, facile aciem instructam dissolvent: itaque tu in illos dispersos dissipatosque irrues, et plures quam illi triremes cum habeas, duas aut tres ad

Digitized by Google

unamquamque illorum triremem separans, de hostibus nullo negotio victoriam reportabis.

49. Navale prælium cum hostibus faciendum est, vel ubi contigerit illos naufragium facere, vel quando tempestate aliqua conturbati elanguerint, vel noctu incendendæ illorum naves sunt : vel quando in continentem terram hostes discesserint, vel quemadmodum opportunitas rerum se offert, irruptionem facere oportet.

50. Nam cum magna varietas humanæ mentis sit, haud facile est futuros rerum eventus vel præscire aliquem, vel prædicere. Itaque fieri non potest, ut contra omnes classium apparationes aliquid in præsenti tractatione explicetur, sed ad divinam providentiam hæc referenda sunt, precandusque Deus est, ut hujusmodi temporibus incidentibus, et deliberent et cogitent et efficiant quæ utilissima ac opportunissima sunt.

51. Multæ molitiones tum ab antiquioribus tum a recentioribus rei militaris peritis, tum contra naves tum contra nautas ipsos excogitatæ sunt : cujus generis sunt, ignis cum tonitru et fumo iguito per siphones emissus, et incendens naves.

52. Sagittarii in puppibus et proris et lateribus duobus sagittas parvas jaciant, quas musculos vocant.

53. Feras venenatas alii in ollas inclusas gestabant, et in hostium naves injiciebant, ut serpentes, nepas, scorpios, et hujus generis mortifera animantia, quæ si tangantur, mordent, et veneno suo hostes interficiunt.

54. Ollas calce viva plenas alii injiciunt, quibus confractis, calcis vivæ pulvis dissipatus suffocat et strangulat hostes, et magno ad prœliandum impedimento est.

55. Tribuli, id est, murices ferreæ in hostium navem conjectæ non parum vexant illos, et ad dimicationem ingrediendam magnopere impediunt.

56. Nos autem in primis jubemus, ut ignis parati plenæ ollæ in hostium naves ejiciantur, quibus confractis naves illorum statim incendentur.

57. Utantur et siphonibus manu conjectis, quæ milites post ærea scuta teneant, atque hæc cheirosiphona nominantur : hæc enim parato igne referta, hostium in faciem conjicient.

58. Tribuli majores ferreæ aut clavi in sphæris ligneis infixi, et stuppa aliaque materia adjuncta

ἐπάγων τοὺς σοὺς δρόμωνας τῷ ἑνὶ πλοίῳ τῶν πολεμίων αἱρήσεις τὴν νίκην κατ' αὐτῶν.

μθ'. Προσβάλλειν δὲ πολεμίοις χρεὼν ἐν ναυμαχίᾳ, καὶ ὅταν τύχῃ αὐτοὺς ναυαγῆσαι, καὶ ὅταν ἀπὸ ζάλης διαταραχθέντες ἀτονήσουσιν (10), ἢ ἐν νυκτὶ ἐπελθόντα ἐμπρῆσαι τὰς ἐκείνων ναῦς, ἢ ἐν τῇ χέρσῳ ἀσχολουμένων, ἢ ὡς ἂν ἡ χρεία καλέσοι, καὶ αὐτὸς ἐπινοήσοις ποιῆσαι τὰς προσβολάς.

ν'. Ποικίλης γὰρ οὔσης τῆς τῶν ἀνθρώπων γνώμης, ἀδύνατόν τινα τὰ μέλλοντα ἐμπίπτειν (11) ἐν ταῖς τοιαύταις παρατάξεσιν ἢ προγινώσκειν, ἢ προλέγειν ἅπαντα. Διὸ οὐδὲ τὰς κατ' αὐτῶν μεθοδεύειν ἀντιπαρατάξεις ἐν τῷ παρόντι λόγῳ δυνατὸν, ἀλλὰ τῆς θείας ἅπαντα ταῦτα προνοίας ἀναρτᾶν, καὶ δίεσθαι τοῦ Θεοῦ, ἵνα ἐν τοῖς τοιούτοις ὀξέσι καιροῖς καὶ βουλεύεσθαι δύναταί τις καὶ πράττειν τὰ δέοντα.

να'. Πολλὰ δὲ καὶ ἐπιτηδεύματα τοῖς παλαιοῖς καὶ δὴ καὶ τοῖς νεωτέροις ἐπενοήθη κατὰ τῶν πολεμικῶν πλοίων καὶ τῶν ἐν αὐτοῖς πολεμούντων. Οἷον τό τε ἐσκευασμένον πῦρ μετὰ βροντῆς καὶ καπνοῦ προπείρου διὰ τῶν σιφώνων πεμπόμενον, καὶ καπνίζον αὐτά.

νβ'. Καὶ τοξοβολίστραι δὲ ἔν τε ταῖς πρύμναις, καὶ ταῖς πρώραις, καὶ κατὰ τῶν δύο πλευρῶν τοῦ δρόμωνος ἐκπέμπουσαι σαγίττας μικρὰς τὰς λεγομένας μυίας.

νγ'. Καὶ θηρία ἕτεροι ἐπενόησαν ἐν χύτραις κεκλεισμένα, καὶ κατὰ τῶν πλοίων τῶν πολεμίων ῥιπτόμενα · οἷον ὄφεις, καὶ ἐχίδνας, καὶ σαύρας, καὶ σκορπίους, καὶ τὰ ὅμοια τούτων ἰοβόλα, ὧν συντριβομένων τὰ θηρία δάκνουσι καὶ συμφθείρουσι διὰ τοῦ ἰοῦ τοὺς πολεμίους ἔσωθεν τῶν πλοίων.

νδ'. Καὶ χύτρας δὲ ἀλλ' οὐς ἀσβέστου πλήρης (12) ὧν ῥιπτομένων καὶ συντριβομένων, ὁ τῆς ἀσβέστου ἀτμὸς συμπνίγει καὶ σκοτίζει τοὺς πολεμίους, καὶ μέγα ἐμπόδιον γίνεται.

νε'. Καὶ τριβόλοι δὲ σιδηραῖ ῥιπτόμεναι ἐν τοῖς πλοίοις τῶν πολεμίων οὐ μικρὰ λυπήσουσιν αὐτούς, καὶ ἐμποδίσουσιν πρὸς τὸν κατὰ τὴν ὥραν ὀφείλοντα ἀγῶνα.

νς'. Ἡμεῖς δὲ κελεύομεν καὶ πυρὸς ἐσκευασμένου πλήρεις ἀκοντίζεσθαι καὶ χύτρας κατὰ τὴν ὑποδειχθεῖσαν μέθοδον τῆς αὐτῶν σκευασίας. Ὧν συντριβομένων ἐμπρησθήσεσθαι ῥᾳδίως τὰ πλοῖα τῶν πολεμίων.

νζ'. Χρήσασθαι δὲ καὶ τῇ ἄλλῃ μεθόδῳ τῶν διὰ χειρὸς βαλλομένων μικρῶν σιφώνων ὄπισθεν τῶν σιδηρῶν σκουταρίων παρὰ τῶν στρατιωτῶν κρατουμένων, ἅπερ χειροσίφωνα λέγεται, παρὰ τῆς ἡμῶν βασιλείας ἄρτι κατεσκευασμένα. Ῥίψουσι γὰρ καὶ αὐτὰ τοῦ ἐσκευασμένου πυρὸς κατὰ τῶν προσώπων τῶν πολεμίων.

νη'. Καὶ τριβόλοι δὲ μείζονες σιδηραῖ ἢ ἐν σφαιρίοις (13) ξυλίνοις ἦλοι ὀξεῖς ἐμπεπηγμένοι, στυπ-

NOTÆ.

(10) Ἀτονήσουσιν. Scribebatur, αὐτονήσουσιν.

(11) Ἐμπίπτειν. Scribebatur, ἐνπιπτιπτει.

(12) Ἀλλ' οὐς ἀσβέστου πλήρης. Scribe, ἄλλοι ἀσβέστου πλήρεις.

(13) Ἢ ἐν σφαιρίοις. Scribebatur, ἢ ἐσφαιρίοις.

Digitized by Google

πίοις δὲ καὶ ἑτέρᾳ ὕλῃ ἐνειλημμένῃ ἐμπυρισθέντα καὶ κατὰ τῶν πολεμίων βαλλόμενα, εἶτα πίπτοντα ἐν τοῖς πλοίοις διὰ πολλῶν μερῶν ἐμπρήσουσιν αὐτά.

A incensi, et in hostes conjecti et in multas variasque navium partes decidentes, naves triremesque incendent.

νθ'. Ἀλλὰ εἰ καὶ διὰ τὸ σβέσαι οἱ πολέμιοι πατήσουσι αὐτῶν φλόγα οἱ πλεῖστοι τοὺς πόδας πληγήσονται κατ' αὐτὴν τὴν ἀκμὴν τοῦ πολέμου, καὶ οὐ μικρὸν ἔσται τοῖς ἐναντίοις ἐμπόδιον.

59. Sed et ad hæc exstinguenda si milites pedibus usi fuerint, atque in iis occupati permulti læsi pedibus erunt, et ipsum prælii impetum debiliorem facient, et non parvum hostibus erit impedimentum.

ξ'. Δυνατὸν δὲ καὶ διά τινων γερανίων λεγομένων, ἢ τινων ὁμοίων ἐπιτηδευμάτων γαμματοειδῶς (14) κύκλῳ περιστρεφομένων, ἢ πίσσαν ὑγρὰν πεπυρωμένην, ἢ σκευὴν, ἢ τινα ἑτέραν ὕλην ἐπιχύσαι τοῖς πολεμικοῖς πλοίοις διὰ τῶν δρομώνων δεσμουμένοις· καὶ τοῦ μαγγάνου στρεφομένου κατ' αὐτῶν.

60. Quibusdam etiam geraniis, id est gruibus, aut aliis hujusmodi instrumentis ad sublevanda onera idoneis, quæ orbiculate ac scite versantur, aut picem liquidam ignitam, aut alium apparatum, aut materiam aliam in hostiles naves tuis triremibus adjunctas, et mangano aliquo in illos vibrato.

ξα'. Δυνατὸν δὲ καὶ ἀνατρέψαι ὁλόκληρον τὴν ναῦν τῶν πολεμίων, ἐὰν πλευρὰν παρὰ πλευρὰν δήσας αὐτὴν τῷ δρόμωνι, καὶ τῶν πολεμίων ἐφ' ἓν μέρος, ὡς εἰώθασι, πρὸς τὴν ἐκ χειρὸς μάχην συνδραμόντων, καὶ δοκούντων ἐπερείδεσθαι τὴν ἑαυτῶν ναῦν τῷ δρόμωνι, ἐπέλθῃ μὲν ἕτερος δρόμων κατὰ τῆς πλευρᾶς ἐν τῇ πρύμνῃ τῆς πολεμίας καὶ ταύτην ὠθήσῃ σφοδρῶς τῇ συγκρούσει, καὶ ὁ μὲν δρόμων δυνηθῇ λύσας ἑαυτὸν τοῦ δεσμοῦ ὑποχωρῆσαι μικρὸν, ὥστε μὴ εἶναι ὡς ἔρεισμα τῆς πολεμίας, βαρήσῃ δὲ ὁ ἕτερος δρόμων πάσῃ δυνάμει πάντως ἀνατρέψει αὐτανδρον τὴν πολεμίαν ναῦν. Δεῖ δὲ κανονίσαι τὸν δεσμὸν μὴ πάντως κατ' ἰσότητα γενέσθαι· ἀλλὰ μικρὸν ἀφεῖναι γυμνά τινα πλευρὰ κατὰ πρύμναν τῆς πολεμίας δι' ὧν ἐμπεσὼν ὁ δρόμων ὠθήσει πρὸς τὴν ἀνατροπὴν τῶν πολεμίων τὴν ναῦν.

61. Universam hostium classem evertes, si latus classis tuæ hostium lateri adjunxeris, et hostibus unam in partem, ut solent, ad conserendas manus concurrentibus et triremibus illorum in nostras triremes innixis, invadat eos alia triremis ad latus puppis hostilis, et impulsu vehementi illam conquasset. Triremis autem nostra tum seipsam solvens paululum retrocedat, ut ne ullo stabilimento hostium triremi sit, et hostilem triremem alia omnibus viribus deprimat, atque adeo ipsis cum viris integram navem evertet. Providendum autem est, ut ne vinculum omnino æquale fiat, sed ad hostilis navis puppim nuda aliquantum latera relaxet, quibus irruens triremis hostium navem usquedum deprimatur invadet.

ξβ'. Πρὸς τούτοις καὶ τὸ νῦν ἐπινοηθὲν μήτε ἀπὸ τῆς κάτω τοῦ δρόμου σελασίας διὰ τῶν ὀπῶν τῶν κωπίων ἐξαγόμενα μέναυλα κατασφάττειν τοὺς πολεμίους τῶν λίαν μοι ἀναγκαίων δοκεῖ.

62. Ad hæc præterea excogitemus, ut ab inferiore remorum ordine, remigibus per foramina hastas longas emittentibus, hostes interficere possint, quod in primis necessarium esse videtur.

ξγ'. Ἀλλὰ καὶ ἕτερον τούτων ἀναγκαιότερον, εἴ γε χειρῶν εὐφυῶν ἐπιτύχοι· τὸ διὰ τῆς κάτωθεν τοῦ δρόμωνος ἐλασίας τῇ ὑποδειχθείσῃ μεθόδῳ, δι' ὁπῆς παρασκευάσει πλησθῆναι ὕδατος τὴν ναῦν τῶν πολεμίων. Εἰσὶ δὲ καὶ ἕτερα τοῖς ἀρχαίοις ἐπινοηθέντα ἐν τῷ πλωΐμῳ πολέμῳ ἐπιτηδεύματα, καὶ ἔτι δὲ ἐπινοηθῆναι δυνάμενα· ἅπερ ἐν τῷ παρόντι τεύχει γράφειν διὰ τὴν συντομίαν ἀνοίκειον. Τινὰ δὲ καὶ ἀσύμφορον διὰ τὸ μὴ πουβλικίζεσθαι τοῖς πολεμίοις καὶ μᾶλλον ἐκείνους αὐτοῖς χρῆσθαι καθ' ἡμῶν. Τὰ γὰρ στρατηγήματα ἅπαξ κατανοηθέντα, ἀντιστρατηγεῖσθαι καὶ καταμεθοδεύεσθαι παρὰ τῶν πολεμίων δύνηται· ἀλλ' ἕκαστον τὸ ἐπινοηθὲν μέχρι τῆς πράξεως ἔχειν ἐν μυστηρίῳ.

63. Sed et aliud hoc magis necessarium est, si quis operas idoneas habeat per inferiores triremis remorum ordines efficere, ut hostium navis aqua compleatur. Sunt et alia quædam bellica consilia ab antiquioribus in navali prælio excogitata, et plura etiam quæ excogitari possunt, quæ in præsentia propter longitudinem minime perscribenda sunt: quædam vero etiam commemorare hoc loco inutile est, ne hostibus divulgentur, et illis adversus nos hostes utantur. Nam hæ molitiones bellicæ si semel usurpatæ fuerint, facile aliquid contra eas suscipi et quodque inventum usquedum geritur, occultandum et secreto tenendum est.

ξδ'. Ἐν δέ γε τῷ συνειλημμένῳ τῶν τε ἀρχαίων τακτικῶν καὶ στρατηγημάτων βιβλίῳ ζητῶν τις εὑρήσει, καὶ τὰ τούτων πλείονα· οὐ γὰρ δυνατὸν, ὡς εἴρηται, πρὸς ἕκαστα τὰ ἐμπίπτειν μέλλοντα, διὰ τὸ ἄπειρον αὐτῶν γράφειν τὰ ἱκανά.

64. In aliis libris quæ de consiliis factisque imperatoriis scribuntur, permulta quis hujusmodi, atque iis etiam plura inveniet: neque enim fieri potest, ut de omnibus rebus quæ cadere in bello possunt verba facianus, quæ ipso genere immensa infinitaque sunt.

ξε'. Πλὴν κεφάλαιον εἰπεῖν, ἑστωσαν οἱ δρόμωνες ἐξοπλισμένοι τελείως ἀπό τε στρατιωτῶν ἀνδρείων

65. Ad summam autem sint triremes instructæ viris fortibus ac strenuis, qui cominus conserta

NOTÆ.

(14) *Γαμματοειδῶς*. Scribe, γαμματοειδῶν.

Digitized by Google

manibus pugnare possint, et qui alacri incitataque mente sint, et omnes in partes exercitati. Armis autem talibus exerceantur, qualibus quivis terrestri in prælio miles armatur, iique potissimum qui in superiore remorum ordine consistunt.

66. Pro hostium viribus numeroque navium tuam classem, imperator, instrues, ut ne minorem numerum navium nos hostium classe habeamus, sed æqualem potius, ut cum hostibus classe juncta pugnemus, aut majorem etiam, si fieri potest. Nam si utrique fortiter ac strenue dimicent, qui plures fuerint prævaleant necesse est.

67. Si hostes videris naves omnibus refertas ac ingentes copias habere, exæquabis tu tuas triremes, eodemque numero complebis. Eliges autem ex omnibus optimos quosque, et ex illis satis magnas copias triremibus perfectis ac fortibus conficies, ut duarum triremium milites in unam triremium conferas : vel ex omnibus, ut dixi, optimos eliges, et ducenti milites vel eo plures una in triremi erunt, ut multitudine, viribus, alacritate, hostium classem superes, et victoriam ab illis Deo propitio reportes.

68. Minores instruendæ triremes sunt, et vulgatis triremibus expeditiores, ut se insequentes hostes capere possint : sin ab hostibus invadantur, non capiantur tamen. Istasque ad opportunitatem temporis conserves, ut possint vel hostibus malum inferre, vel providere ut nullum malum ab hostibus accipiant.

69. Parvas magnasque triremes pro hostium ratione, contra quos pugnas apparabis. Neque enim Saracenorum et Bosphoriorum Scytharum eadem est classis apparatio : Saraceni enim cumbariis utuntur majoribus, et ad cursum tardioribus, Scythæ autem acatiis utuntur minoribus, expeditioribus, et celerioribus. Nam per fluvios quosdam in Euxinum pontum prolabuntur, neque majoribus hac de causa uti poterunt. Atque hæc a nobis de acie instruenda dicantur.

70. Ubi vero discedere e prælio cogitas, classem tuam lunabis, atque ita discedes : hujusmodi enim forma, quemadmodum antiquiores quidam tradiderunt, tum ad progressiones, tum ad discessiones permultum valet.

71. Bello jam confecto, omnia belli spolia ex æquo et bono militibus tuis distribues, et prandia epulasque, et multa convivia apparabis, et eos qui se in bello strenue gesserunt, honoribus præmiisque muneraberis : qui aliquid milite indignum gesserit, supplicio ac pœna coerceatur.

καὶ ἐκ χειρὸς μάχεσθαι δυναμένων, καὶ τῷ τῆς ψυχῆς παραστήματι τολμηρῶν, καὶ πεπαιδευμένων καὶ γεγυμνασμένων. Οὗτοι δὲ ἔστωσαν καθωπλισμένοι ὅπλοις οἵοις καὶ ὁ ἐν τῇ ξηρᾷ στρατιώτης ὁπλισθῆναι διώρισται· δηλονότι κατάφρακτος. Καὶ οὕτω πάντες οἱ τῆς ἄνω ἐλασίας ὁπλισθήσονται.

ξς'. Πρὸς δὲ τὴν τῶν ἐχθρῶν ποιότητα καὶ ποσότητα τῶν πλοίων, καὶ αὐτὸς, ὦ στρατηγὲ, διασκευάσεις τοὺς δρόμωνας, ὡς ἂν μὴ ἐλάττονα στρατὸν ἔχῃ ὁ ἡμέτερος δρόμων τοῦ πολεμίου, ὅστις μάλιστα εἰς ἰσόπαλον ἐλθεῖν εὐτρεπίζεται μάχην, διὰ τοῦ εἰς ἀλλήλους δεσμοῦ, ἀλλ' εἰ δυνατὸν καὶ πλείονα. Ἀμφοτέρων γὰρ ἀνδρείως, εἰ τύχοι, μαχομένων, οἱ πλείονες προτερήσουσιν.

ξζ'. Ἐὰν γὰρ συνορᾷς ἔχειν τοὺς πολεμίους πολυανδρούμενα πλοῖα καὶ πλείονα στρατὸν ὑποδεχόμενα, οὐσιώσεις (15) καὶ αὐτὸς τοὺς σοὺς δρόμωνας ἐν πλήθει. Ἐκλέξῃ δὲ ἀπὸ πάντων τοὺς ἀρίστους, καὶ ἐξ αὐτῶν ἐξοπλίσεις τὴν ἀρκοῦσαν δύναμιν διὰ δρομώνων τελείων καὶ ἀλκιμωτάτων· ὥστε εἰ οὕτω τύχοι, ἢ τῶν δύο τὸν στρατὸν εἰς ἕνα ἐμβιβάσῃς, ἢ ἐκ πάντων ἐπιλέξῃ τοὺς ἀρίστους, ὡς εἴρηται· καὶ γενήσονται ἄχρι καὶ διακοσίων στρατιωτῶν ἢ καὶ πλείω κατὰ δρόμωνα· ὡς ἂν καὶ τῷ πλήθει καὶ τῷ μεγέθει καὶ τῇ εὐψυχίᾳ τῶν τε δρομώνων καὶ τῶν στρατιωτῶν καθυπέρτερος τῶν πολεμίων πλοίων γενόμενος σὺν Θεῷ τὴν κατ' αὐτῶν ἐπιλήψῃ νίκην.

ξη'. Δεῖ δέ σε καὶ μικροτέρους ἐξοπλίζειν δρόμωνας καὶ ἐλαφροτέρους (16) τῶν συνήθων, ὥστε καὶ διώκοντας καταλαμβάνειν τοὺς πολεμίους, καὶ διωκομένους μὴ καταλαμβάνεσθαι, καὶ τούτους ἔχειν ἐν καιρῷ τῆς ἁρμοζούσης αὐτοῖς χρείας, ὡς δύνασθαι αὐτοὺς, ἢ δρᾶσαί τι κακὸν τοῖς ἐχθροῖς, ἢ μὴ παθεῖν τι κακὸν παρ' αὐτῶν.

ξθ'. Μικροὺς δὲ καὶ μεγάλους δρόμωνας κατὰ τὴν ποιότητα τῶν πολεμίων ἐθνῶν κατασκευάσεις. Οὐ γὰρ ὁ αὐτός ἐστιν στόλος τῶν πλοίων τῶν τε Σαρακηνῶν Βαρβάρων, καὶ τῶν λεγομένων Βορείων Σκυθῶν. Οἱ μὲν γὰρ κουμβαρίοις χρῶνται μείζοσι καὶ ἀργοτέροις, οἱ Βάρβαροι, οἱ δὲ οἷον ἀκατίοις ἐλάττοσι καὶ ἐλαφροτέροις καὶ ταχινοῖς οἱ Σκύθαι. Διὰ ποταμῶν γὰρ εἰς τὸν Εὔξεινον ἐμπίπτοντες πόντον οὐ δύνανται μείζοσι χρήσασθαι πλοίοις. Καὶ ταῦτα μὲν περὶ παρατάξεων εἰρήσθω.

ο'. Ὅταν δὲ ἀπαλλαγῆναι βούλῃ τῆς μάχης, μηνοειδῶς, ὡς εἴρηται, τὴν παράταξιν τῶν δρομώνων ποιήσας οὕτως ὑποχωρήσεις, διὰ τὸ ἀσφαλὲς εἶναι τὸ τοιοῦτον σχῆμα ἐν ταῖς τοιαύταις καὶ προόδοις καὶ ὑποχωρήσεσι, ὥς τινες τῶν παλαιῶν μαρτυροῦσι τῷ τρόπῳ τούτῳ χρησάμενοι.

οα'. Μετὰ δὲ τὴν λύσιν τοῦ πολέμου δέον σε, ὦ στρατηγὲ, τὰ, ὡς εἰκὸς, κερδηθέντα ἀπὸ τῶν πολεμίων λάφυρα ἐξ ἴσου διαμερίζειν τοῖς στρατιώταις, καὶ ἀριστοποιεῖν καὶ φιλοφρονεῖσθαι αὐτοὺς, καὶ πανδαισίαν ποιεῖσθαι καὶ εὐωχίας εἰς αὐτοὺς, καὶ τοὺς μὲν ἀριστεύσαντας καὶ δωρεῶν καὶ τιμῶν ἀξιῶσαι, τοὺς δέ τι ἀνάξιον στρατιώτου ποιήσαντας ἐπιτιμῆσαι δεόντως.

NOTÆ.

(15) *Οὐσιώσεις*. Scribe, ἰσώσεις.

(16) Ab ἐλαφροτέρους usque ad finem hujus constitutionis nihil legitur in codice Laurentiano.

Digitized by Google

οβ'. Ἴσθι δὲ, ὦ στρατηγὲ, ὅτι πλῆθος δρομώνων ἀνάνδρους ἐχόντων στρατιώτας οὐδὲν ἰσχύει, οὐδ' ἂν καὶ πρὸς ὀλίγους μαχήσωνται τοὺς ἐναντίους ἀνδρείου, καὶ εὐψύχους. Οὔτε γὰρ πολυπληθία ἀνδρῶν κατὰ ὀλίγων ἰσχύσει, εἰ μὴ καὶ τῇ προθυμίᾳ καὶ τῇ ὁπλίσει στρατιῶται ἀληθεῖς ἀποδείκνυνται. Τί γὰρ οὐκ ἐργάσονται δεινὸν καὶ ὀλίγοι λύκοι πρὸς πολλὰς χιλιάδας ποιμνίου;

A

ογ'. Διὸ χρὴ σε ὁρᾷν ἅπαντα μετὰ ἀκριβείας ἁπάσης τὰ τῶν ἐχθρῶν, ὡς διάκεινται, καὶ οὕτως τήν τε τῶν στρατιωτῶν ὅπλισιν, καὶ τὸ πλῆθος αὐτῶν καὶ τὸ μέγεθος, καὶ τὰ ἄλλα ἐπιτηδεύματα ἁρμοδίως κατὰ τῶν ἐναντίων παρασκευάζειν.

οδ'. Ἔχειν δὲ καὶ μικροὺς δρόμωνας καὶ ταχεῖς, οὐ πρὸς πόλεμον ἐξωπλισμένους, ἀλλὰ πρὸς τὰς βίγλας, καὶ τὰ μανδάτα, καὶ τὰς ἄλλας ἁπαντώσας ὁμοίως χρείας. Καὶ ἔστι τά τε μονήρια λεγόμενα, καὶ τὰς γαλέας, πλὴν καὶ αὐτοὺς ἐνόπλους, διὰ τὰ τυχηρῶς συμπίπτοντα.

B

οε'. Καὶ σὲ δὲ αὐτὸν διὰ πάντων εἶναι δεῖ σπουδαῖον καὶ γενναῖον καὶ ἀτάραχον καὶ ὀξὺν ἐν ταῖς ἀναγκαίαις μάλιστα τῶν πραγμάτων ἐγχειρήσεσίν τε καὶ πράξεσιν ἵνα καὶ Θεῷ εὐάρεστος, καὶ τῇ ἡμετέρᾳ ἐκ Θεοῦ βασιλείᾳ εὔχρηστός τε καὶ δόκιμος ἀναφανεὶς στρατηγὸς ἀμφοτέρωθεν κερδήσῃς τὰς ἀξίας τῶν πόνων ἀμοιβὰς, ἐκ Θεοῦ μὲν μισθοὺς ἀθανάτους ὑπὲρ τῆς αὐτοῦ κληρονομίας ἀγωνιζόμενος, ἐξ ἡμῶν δὲ καὶ τιμὰς καὶ δωρεὰς τὰς προσηκούσας, μὴ ψευδόμενος τὴν κλῆσιν, ἀλλ' ἀληθὴς στρατηγὸς καὶ ὢν καὶ καλούμενος, τοσαῦτα καὶ περὶ ναυμαχίας ὡς ἐν συνόψει μὲν μετρίως εἰρήσθω.

ΔΙΑΤΑΞΙΣ Κ' (17).

Περὶ διαφόρων γνωμικῶν κεφαλαίων.

α'. Μετὰ δὲ τὰς εἰρημένας παραγγελίας τε καὶ διατάξεις, ὦ στρατηγὲ, χρεὼν τῇ σῇ ἐνδοξότητι καὶ ταῖς ἤδη ῥηθησομέναις ἐγκρύψαι γνώμαις, ἃς ἐκ πολλῶν παλαιῶν καὶ στρατηγικῶν συνταγμάτων ἀναλεξάμενοι συνόψεως χάριν τῶν εἰρημένων ἐνταῦθα παρατεθείκαμεν. Ἐκ τούτων γὰρ καὶ ἐπὶ τὰς μείζονας πράξεις τῆς τακτικῆς θεωρίας ἀναβῆναι δυνήσῃ, κατὰ τὸν σοφὸν Παροιμιαστὴν βασιλέα· Σοφῷ γὰρ ἀνδρὶ ἀφορμὴ διδομένη σοφώτερον ἀπεργάζεται.

β'. Ἐν πρώτοις μὲν ἐγχειρεῖν μέλλων ἀναγκαίων πραγμάτων, ὦ στρατηγὲ, μὴ χώριζε σεαυτὸν τοῦ πλήθους τῶν ἐν τοῖς ἔργοις πονούντων, ἀλλὰ καὶ αὐτὸς ἀπάρχου τῶν τοιούτων ἐγχειρήσεων, καὶ συμπόνει τοῖς ἔργοις κατὰ τὸ δυνατόν σοι, εἴτε τάφρους ῥύσσειν, εἴτε προσχωννύειν, εἴ τε πολιορκίαις ἐπιβάλλειν, εἴτε ὅπλων κατασκευαῖς, εἴτε μηχανημάτων, εἴτε φρουρίων ἁλώσεσι, πρὸς εἴτι ἔργον χρειῶδες ἐπινοήσεις καὶ κοινωφελὲς ἡ πόλει, ἢ στρατεύματι πραχθησόμενον, τούτου χερσὶν (18) ἰδίαις πρῶτος ἀπάρχου. Ἐκ τούτου γὰρ ὥσπερ αἰδούμενοι καὶ οἱ στρατιῶται θερμότερόν σοι ὑπακούσονται, καὶ τὸ πραττόμενον εὐχερέστερον τελεσθήσεται. Εἰ δέ τις καὶ τῶν ἐπιτηδείων σπάνις ἐνοχλήσει, πρῶτος αὐτὸς

72. Multitudo triremium ignavos viros continentium nullius momenti est, ne si adversus paucos quidem ac strenuos dimicandum sit. Neque enim multitudine virorum aut paucitate bellum cernitur, sed alacritate et strenuitate milites veri demonstrantur. Quid enim mali non inferent pauci lupi permagno gregi ovium?

73. Itaque res hostium diligenter abs te perlustrandæ sunt, et pro illorum ratione triremium apparatum, militum armaturam, multitudinem illorum et magnitudinem, reliquaque omnia idonee adversus omnes præparabis.

74. Habeas in promptu parvas triremes et crassas, non ad bellum armatas, sed ad excubias et commeatum ac reliquum usum bellicum: et unius remorum ordinis naves, quas galeas vocant, easque armis instructas ad omnem belli eventum.

75. Tu vero ipse in omnibus industrius strenuusque sis, et acer sedatusque in omnibus rebus aggrediendis atque instruendis, ut Deo complacitus probatusque ilas imperator, et utrinque laborum reportes dignam mercedem, a Deo quidem immortalem, quia ejus sortem religionemque propugnas, a nobis vero munera honoresque idoneos, vocationem tuam nullo modo frustrans, sed re et verbo verus imperator sis atque habearis. Et hæc de navali prælio pro brevitatis ratione satis dicta sint.

C

CONSTITUTIO XX.

Diversarum sententiarum militarium summa.

1. Deinceps post hæc præcepta institutionesque, in has sententias diligenter intueberis, quas ex multis et antiquis de re militari libris collegimus, et hic brevitatis causa collocavimus: ex iis enim ad majorem rei militaris scientiam pervenire poteris: quemadmodum sapiens rex Proverbiorum conficientissimus dicit: Hæc enim, si sapiens vir non adsit, sapientiorem tamen te facient [1].

2. In primis autem aliquod negotium susceptu-rus, ne te ab iis segreges qui laborem alicujus rei conficiendæ suscipiunt, sed et ipse quoque labora- D bis, et illos quantum potes in opere faciendo promovebis, sive fossas duces, sive eas ductas exaggeres, sive obsidionem, sive armorum apparatum, sive machinationum instructionem adhibeas, sive castella capienda tibi sint, sive aliquod opus publicum atque utile excogitaveris, aut in exercitum aut in civitatem faciendum, hoc primum tuis manibus incipias: nam illi in pudorem conjicientur, nisi in opere diligentes fuerint, et alacrius tibi obtemperabunt, et negotium susceptum facilius conficietur. Sin aliqua commeatus inopia exercitum

[1] Prov. I, 5; XII, 5.

NOTÆ.

(17) In codice Laurent. est cap. 18.

(18) *Χερσίν*. Scribebatur, χεσίν.

Digitized by Google

vexaverit, primus tu temperantiam ac moderationem in victu demonstrato, reliquis militibus leviorem et faciliorem rerum necessariarum perpessionem efficias. Seu in cominus conserendis manibus, a dimicatione teipsum retrahe, ut consilio et descriptione rerum, reliquaque administratione, in ipsa temporis opportunitate exercitum juvare possis. Neque vero incircumspecte aut periculose, nisi si necessitas vehementer urgeat, cum hostibus conseras manus: non enim tantum, quemadmodum supra dixi, pugnando aciem adjuvabis, quantum cadendo lædes. Quod futurum est autem, incertum est.

A τῆς ἐγκρατείας τὴν καρτερίαν ἐπιδείξον, ἵνα καὶ τοῖς ὑπὸ χεῖρα κούφην καὶ εὐκολωτέραν τὴν ὑπομονὴν τῆς ἀνάγκης ἐργάσῃ. Ἐν δὲ ταῖς κατὰ τὰς μάχας παραβούλοις ἐκ χειρὸς συμπλοκαῖς φύλασσε σεαυτόν, ἵνα τῇ μὲν γνώμῃ καὶ τῇ διατάξει καὶ ταῖς ἄλλαις διευθετήσεσιν ἐν αὐτῷ τῷ ὀξεῖ τοῦ καιροῦ συμπαρῇς μὲν, καὶ τῶν τοιούτων ἀγώνων ἐφάπτῃ, μὴ μέντοι ἀφυλάκτως οὕτω καὶ ἐπικινδύνως, ὅτε μὴ τούτου χρεία καλεῖ, διὰ χειρῶν ἐμπλέκῃ τοῖς πολεμίοις. Οὐ τοσοῦτον γὰρ, ὥς μοι καὶ ἄνω που εἴρηται, συμπλεκόμενος ὡς εἷς τῶν στρατιωτῶν ὠφελήσεις, ὅσον εἴ γε συμβῇ τι τοιοῦτον πεσὼν βλάψεις. Τὸ γὰρ μέλλον ἀόρατον.

3. Mores tui et rerum agendarum studium militibus tuis legis vice sint: ita enim, qui tibi subjecti sunt, imperatoris sui virtutem animo repetentes, Deum colent, imperata facient, et ea quasi divinitus proposita explebunt.

γ'. Νόμος γινέσθω τοῖς στρατιώταις, ὦ στρατηγὲ, ὁ τρόπος ὁ σὸς, καὶ ἡ περὶ τὰ πρακτέα σπουδή σοι. B Οὕτως γὰρ τῆς τοῦ οἰκείου ἄρχοντος ἀρετῆς ὁ ὑπεχείριος μεμνημένος, καὶ τὸν Θεὸν θεραπεύσει, καὶ τοῖς κελευομένοις ὑπακούσεται, καὶ ὡς ἀπὸ Θεοῦ ταῦτα δεχόμενος τελέσει.

4. Ubi militum magna multitudo unum aliquem in locum convenerit, illorum delicta leniter et sedato animo feras, neque judicia nimis severa crudeliaque facias, ut ne communis dolor in magnam perturbationem et ordinis confusionem illos conjiciat, sed pedetentim in auctores horum flagitiorum animadvertere oportet.

δ'. Ὅταν τὸ πλῆθος τῶν στρατιωτῶν ἐπὶ ἕνα τόπον συναχθῇ, τότε δεῖ σε τὰ παρ' αὐτῶν ἁμαρτανόμενα μακροθύμως φέρειν, καὶ μὴ τὰς ἐπεξελεύσεις καὶ κατακρίσεις ἀπαραιτήτους ποιεῖσθαι, ἵνα μὴ ἡ κοινὴ λύπη εἰς σύναρσιν καὶ ἀταξίαν συνάψῃ αὐτοὺς, ἀλλὰ κατ' ὀλίγον μᾶλλον κατὰ τῶν προκαταρξάντων τῶν τοιούτων ἁμαρτημάτων ποιεῖσθαι τὴν παίδευσιν.

5. Sobrius ac vigilans sis, imperator, tum multis aliis de causis, tum vel maxime, ut in victu simplex, in reliqua vita militibus tuis expositus sis. Paternum geras erga illos affectum: cum omni lenitate omnia tum facito, tum dicito, nisi necessaria aliqua causa te ad severitatem vocet. De rebus necessariis semper per te apud illos verba facias. Procurabis etiam, ut nulla cura rerum necessariarum sollicitentur, aut commeatus aliorumque inopia premantur. Neque enim ordine aliquo contineri possunt, nisi hæc necessaria omnia illis ad manum sint. In justis supplicüis inferendis terribilis aliis sis. Initia et causas tumultuum et seditionum præcidas, neque exspectes dum in majus crescant. Hæc enim imperatoria virtus est, constantem et justum militibus videri, et ex suis finibus injustitiam omnem expellere, injurios homines coercere, milites municipesque suos tutos ab aliorum insultibus conservare.

ε'. Νήφειν καὶ ἐγρηγορεῖν καὶ πρὸς τὰ ἄλλα κελεύομέν σοι, ὦ στρατηγὲ, τὸ δὲ πλέον, ὥστε σε εἶναι ἁπλοῦν ἐν τῇ διαγωγῇ, καὶ κοινὸν ἐν τῇ διαίτῃ μετὰ C τῶν ὑπὸ σὲ στρατιωτῶν. Καὶ πατρικὴν σε ἔχειν στοργὴν πρὸς αὐτοὺς, μετὰ πραότητος καὶ τὰ πράγματα καὶ τοὺς λόγους ποιούμενον, εἰ μή τις ἀναγκαία χρεία καὶ συμφέρουσα πρὸς τραχύτητά σε καλέσει. Χρὴ δὲ καὶ συνεχῶς διὰ σεαυτοῦ τὰ περὶ τῶν ἀναγκαίων αὐτοῖς παραινεῖν καὶ διαλέγεσθαι. Φροντίσεις δὲ καὶ περὶ τῆς ἀπαθείας αὐτῶν καὶ τῆς ἄλλης διοικήσεως· καὶ ἀποτροφῆς. Ἐκτὸς γὰρ τούτων οὐ δυνατόν ἐστι κρατῆσαι στρατοῦ κατὰ στάσεως. Ἐν δὲ ταῖς δικαίαις ἐπεξελεύσεσι κατὰ τῶν ἁμαρτανόντων δέον σε φοβερὸν εἶναι, καὶ τὰς ἀρχὰς μάλιστα τῶν ἀταξιῶν ἐκκόπτειν, καὶ μὴ ἀναμένειν, ὥστε ἐπὶ μείζονα ταύτας προκόπτειν. Καὶ γὰρ στρατηγοῦ προτέρημά ἐστι τὸ ἀκατάπληκτον αὐτὸν τοῖς D στρατιώταις φαίνεσθαι καὶ δίκαιον, καὶ τὴν ἀδικίαν ἅπασαν ἀπὸ τῆς ἑαυτοῦ ἐνορίας ἐκκόπτειν. Καὶ τοὺς ἀδικοῦντας ἀμύνασθαι καὶ ἀνεπηρεάστους τούς τε στρατιώτας καὶ τοὺς συντελεστὰς ἐν πᾶσι διατηρεῖν.

6. Neque humanitas neque severitas importuna, sed digna imperatore sit, et omnia opportune dimetiatur, atque ita supplicia inferat, et agentis animum, tempus, locum, modum rei gerendæ, causam, ipsius rei gestæ magnitudinem consideret, et pro istarum rerum ratione puniat.

ς'. Οὔτε τὸ φιλάνθρωπον ἀκαίρως, οὔτε τὸ ἀπηνὲς ἄξιόν ἐστι στρατηγοῦ, ἀλλὰ τὸ σταθμίζειν ἐν καιρῷ πάντα, καὶ οὕτως ἐπὶ τοῖς ἁμαρτανομένοις ἐπάγειν τὰς τιμωρίας, ἐπιβλέποντα καὶ τὴν τοῦ πράξαντος διάνοιαν, καὶ τὸν καιρὸν, καὶ τὸν τόπον, καὶ διὰ ποίου τρόπου ἐπράχθη, καὶ διὰ ποίαν αἰτίαν· καὶ αὐτοῦ τοῦ πράγματος τὴν ποιότητα, καὶ οὕτως ἐπὶ τὰς δεούσας τιμωρίας ἔρχεσθαι.

7. Magna imperatoria laus est, temperantem in victu, et vigilantem esse: noctu enim de rebus gravibus magis deliberamus, faciliusque noctu conclu-

ζ'. Μέγα προτέρημα στρατηγοῦ τὸ συμμέτρως διαιτᾶσθαι, καὶ ἀγρυπνεῖν, καὶ ἐν ταῖς νυξὶ μᾶλλον βουλεύεσθαι τὰ περὶ τῶν ἀναγκαίων. Καὶ γὰρ εὐχε-

Digitized by Google

;ῶς ἐν νυκτὶ τελειοῦται βουλὴ, ὅταν ἡ ψυχὴ ἐκ τῶν ἔξωθεν θορύβων ἡρεμεῖ.

η'. Ἄλλα φήμιζε τοῖς ἐχθροῖς, καὶ ἕτερα πράττε, καὶ τὰ περὶ τῶν ἀναγκαίων κρύπτεσθαι δέοντα μὴ πολλοῖς ἀνατίθου, ἀλλ' ὀλίγοις καὶ τοῖς γνησιωτέροις σου μᾶλλον. Τὸ γὰρ οὕτως ἐξαπατᾷν τοὺς ἐχθροὺς ἀναγκαῖον ἀπεδείχθη πολλάκις.

θ'. Τὸ βουλεύεσθαι βραδέως καὶ ἀσφαλῶς, καὶ ὅσα δόξει τῇ βουλῇ, μὴ ἀναβάλλεσθαι τοὺς καιροὺς διά τινα ὄκνον ἢ δειλίαν, ἀναγκαιότατόν ἐστιν. Ἡ γὰρ δειλία οὐ μόνον οὐκ ἀσφαλὲς πρᾶγμά ἐστιν, ἀλλὰ καὶ τῆς τοῦ καλοῦ ἐναντιώσεως ἐπίνοια.

ι'. Ἴσθι ὅτι τὸ μήτ' ἐπαίρεσθαι ἐν ταῖς εὐτυχίαις μήτε πάλιν καταπίπτειν ἐν ταῖς δυστυχίαις, ἐρρωμένου ἐστὶ λογισμοῦ καὶ ψυχῆς ἀνδρείας, καὶ δυναμένης ἀσφαλῶς ἐν τοῖς ἀναγκαίοις πάντοτε πράγμασιν ἐπιβάλλειν.

ια'. Οὐκ ἀναγκαῖόν ἐστιν, ὡς ἡ πεῖρα δείκνυσι, τὸ ταῖς αὐταῖς ἐγχειρήσεσι κατὰ τῶν ἐχθρῶν συνεχῶς κεχρῆσθαι, κἂν πολλάκις δόξῃς ἐν αὐταῖς εὐτυχεῖν. Διὰ γὰρ τῆς συνεχείας προσεπινοοῦντες οἱ ἐχθροὶ τὰ ἐναντία, καὶ κανονίζοντες συμφορὰς πολλάκις προσάγουσι ταῖς τοιαύταις κατ' αὐτῶν ἐπιβολαῖς.

ιβ'. Τὸ διὰ βουλῆς μᾶλλον καὶ στρατηγίας κρατεῖν τῶν ἐχθρῶν, ἀσφαλὲς ἐμοὶ δοκεῖ καὶ ὠφέλιμον, ἢ τὸ χειρὶ βιάζεσθαι καὶ δυνάμει, καὶ πρὸς τὰς κατὰ πρόσωπον μάχας ἀποκινδυνεύειν. Τὸ μὲν γὰρ μεθ' ἑκουσίου γνώμης γίνεται, καὶ ὡς ἂν ὁ προσβαλὼν τὸ συμφέρον γινώσκῃ τὸ δὲ μετά τινος ζημίας πάντως ἔχειν τὴν ἔκβασιν (19).

ιγ'. Ὑπερτίθεσθαι ἢ ἀναβάλλεσθαι πρὸς τὰ φημιζόμενα κακὰ ἢ δολερὰ καὶ ἐπίβουλα, οὐ δίκαιον, οὐδὲ πρέπον, οὐδὲ καταφρονεῖν αὐτῶν κἂν τε περὶ τῶν ἐχθρῶν λέγωνται, κἂν τε περὶ ἰδίων. Ἀλλὰ μᾶλλον σπουδάζειν σε χρὴ, ὦ στρατηγὲ, μεθοδεύειν καὶ καταπαύειν αὐτὰ πρὶν εἰς ἔργον ἔλθωσιν· ὅτε τάχα οὐδὲ ἀναστέλλειν ταῦτα δύνασαι.

ιδ'. Ποιήσει θάρσος τοῖς στρατιώταις ἐν καιρῷ πολέμου ἀγγελία ἐρχομένη, ὅτι Ἐν ἄλλοις τόποις τοὺς πολεμίους νενικήκαμεν. Οὕτως γὰρ καὶ τὰ δειλὰ φρονήματα διαναστήσονται, καὶ τὰ ἀνδρεῖα μᾶλλον θαρσήσουσιν, ἀγαθὸν σύμβολον τὸ τῆς νίκης ὄνομα καὶ τὴν πρᾶξιν ὡς ἐκ Θεοῦ δεξάμενοι.

ιε'. Ἀπατήσεις μᾶλλον τοὺς πολεμίους, ἐὰν διὰ προσφύγων ἀπὸ σοῦ πρὸς αὐτοὺς ἐναντία φημίσῃς ὧν σὺ βουλεύῃ ποιῆσαι κατὰ τῶν ἐχθρῶν· ἢ γὰρ ἀπιστήσαντες ἀμελήσουσιν, ἢ πιστεύσαντες ἀστοχήσουσιν. Καὶ τὰ μὲν σὰ βουλεύματα τελεσθήσονται, τὰ δὲ ἐκείνων ἄπρακτα ἀποβήσονται.

ις'. Τὸ κρύπτειν τὰ ἀπαγγελλόμενα ἀτυχήματα ὅσα συμβαίνειν εἴωθεν, ὡς εἰκὸς, ἐν πλήθει στρατοῦ καὶ τὰ ἐναντία τῶν ἀληθῶν ποιεῖν ἀπαγγέλλεσθαι, στρατήγημά ἐστιν ἀνδρὸς ἔμφρονος, καὶ ἀνιστᾷν φρονήματα στρατιωτῶν καταπίπτοντα δυναμένου.

ιζ'. Ῥώμην ἐντίθησι στρατηγὸς ἡττηθέντι στρα-

A ditur, quando animus ab omni externo rerum tumultu quiescit.

8. Alia inimicis dicito, alia ipse facito. Res graves atque secretas cum multis ne communices, sed paucis, iisque fidelioribus amicis tuis. Ita enim hostes decipere, sæpe necessarium esse diximus.

9. Tarde ac circumspecte deliberare, et ea quæ deliberata constitutaque sunt, aliqua cunctatione aut formidine non rejicere, necessarium cumprimis est : timor enim non solum tuta res non est, sed etiam rebus bonis inventis adversissima est.

10. Neque rebus prosperis efferri nec adversis dejici, firmi animi constantisque est, qui possit tuto ad omnem rerum eventum consilium ex tempore B capere.

11. Iisdem aggressionibus hostes semper invadere, quanquam illis sæpenumero feliciter usus sis, utile non est : hostes enim cum te assidue uti iisdem vident, aliquid adversum molientur et excogitabunt, et permulta damna inferent tibi utenti.

12. Consilio et prudentia imperatoria hostes superare potius, quam manu et vi et pugna conserta, tutum mihi videtur esse et utile. Illud enim ex animi sententia, et quemadmodum optimum judicaveris, procedit, hoc autem semper aliqua cum offensione belli exitum habet. C

13. Rejicere bellum aut differre, quoniam fama aliqua mali aut doli aut insidiarum percrebuit, neque justum neque decorum est : neque contra fama hæc omnino contemnenda est, sive de hostibus sive de nostris commemoretur, sed adversum hæc omnia potius aliquid moliendum conficiendumque est, priusquam ea in opus aliquod exeant.

14. Animabit milites magnopere, si belli tempore hic rumor differatur, hostes in aliis lociis a nobis victos esse : ita enim fiet ut timidæ mentes excitentur, et fortes magis exacuantur. Bonum enim omen est victoriæ nomen, et felicitatem ejus a Deo capimus.

15. Hostes decipies, si per profugos tuos contraria iis quæ facturus es, aut deliberas facere, narraveris : si enim non credant, negligent : sin credant, ab eo tamen quod tu proposuisti aberrabunt, et consilia quæ tu susceperis proficient, illorum autem conatus irriti erunt. D

16. Infortunia, et si quæ alia hujusmodi in exercitu accidunt, occultare, et quæ veris contraria sunt militibus divulgare, consilii imperatorii et prudentis viri est, qui dejectos militum animos sublevare possit.

17. Exercitui jam superato robur afferre poteris,

NOTÆ.

(19) Paragraphus duodecimus in codice Laurentiano anteit undecimum.

Digitized by Google

si variis modis, spe bona, tum re tum verbo illos pertractes : exprobrare enim et vehementer insultare iis qui jam offensionem acceperunt, animorum debilitationem desperationemque affert, quæ in primis mihi periculosum noxiumque esse videtur.

A τῷ, ἐὰν ποικίλοις τρόποις καὶ ἐλπίσιν ἀγαθαῖς διά τε λόγων καὶ δι' ἔργων μεθοδεύσῃ αὐτούς· τὸ γὰρ κατονειδίζειν καὶ ἐπικεῖσθαι τῶν ἡττωμένων τῷ πλήθει, καὶ διὰ τούτων εἰς ἀπόνοιαν αὐτοὺς ἄγειν, σφαλερόν μοι δοκεῖ καὶ λίαν ἐπιβλαβές.

18. Quando belli tempore a militibus aliquid peccatur, dissimulandum ad tempus et tegendum est; post belli exitum auctores seditionum si cognoscas, pœna illos justa afficias.

ιη'. Ὅταν ἐν καιρῷ πολέμου παρὰ τῶν στρατιωτῶν ἁμαρτήματα γίνωνται, δέον προσποιεῖσθαί σε ἄγνοιαν αὐτῶν, καὶ τέως αὐτὰ παροράν. Μετὰ δὲ τὸν καιρὸν τῆς τοῦ πολέμου λύσεως τοὺς αἰτίους τῶν στάσεων ὡς ἂν συγγινώσκῃς τὸ δίκαιον ὑπεξέρχου.

19. Militum ignavia dissimulanda, non exprobranda est, ne animi illorum concidant admodum, ac quotidie magis magisque debilitentur.

ιθ'. Συγκαλύπτειν σοι προσήκει τὰς δειλίας τῶν στρατιωτῶν, καὶ μὴ προχείρως ἐλέγχειν, ἵνα μὴ καταπίπτῃ τὰ φρονήματα αὐτῶν παντελῶς, καὶ ταπεινότεροι ἑαυτῶν ἀποδειχθῶσιν.

20. Magnam animi perturbationem hostibus tuis injicies, si post bellum ubi commodissime poteris B tuos in prælio cadentes congregaveris, hostium cadavera insepulta jacere permittas, ac secure iterum discedas, si opportunitas talis incidat.

κ'. Κατασκευάσεις ἀθυμίαν τοῖς πολεμίοις, ὅταν ἐν καιρῷ μετὰ τὸν πόλεμον ποιῆσαι δυνηθῇς τὴν ταφὴν ἀφανῶς τῶν ἀπὸ τοῦ σοῦ στρατοῦ πεσόντων, τὰ δὲ σώματα τῶν πεσόντων πολεμίων ἐάσῃς.

21. Et id clam hostes facere poteris, si ignes multos uno in loco accenderis, et alio in loco ipse requieveris. Hostes enim ad ignes accedent et decipientur, tu vero quod proposuisti efficies.

κα'. Ἀκινδύνως φεύξῃ, εἴ ποτε καιρός σοι τοιοῦτος γένηται τοὺς πολεμίους λαθεῖν, ἐὰν πυρὰ πολλὰ ἀλλαχοῦ ἀνακαύσῃς, καὶ ἐν ἄλλῳ τόπῳ ἡσυχάσῃς. Οἱ γὰρ πολέμιοι ἐπὶ τὰ πυρὰ χωρήσαντες ἀπατηθήσονται· καὶ σὺ τὸ πρακτέον διανύσεις, καθώς σοι καὶ ἐν ἄλλοις ὑπεθέμεθα.

22. Ut dissensionem et suspicionem inter primarios et optimates belli injicias, quando agros hostium popularis, illorum agros non vastabis, quædam cum illis signa amicitiæ vel per litteras vel aliis modis ostendes. Hoc idem facies si per captivos, quos ad exercitum suum iterum remit- C tis, occulte illis secreta quædam narraveris. Hæc vero si sæpe abs te fiant, quanquam dolus hostibus solum atque illusio fiant, in suspicionem tamen et dubitationem quamdam illorum incidit.

κβ'. Ἵνα δὲ διχόνοιαν καὶ ὑπόνοιαν κατασκευάσῃς κατὰ τῶν ἐπισήμων ἀνδρῶν ἐν τοῖς πολεμίοις, ὅταν κατατρέχῃς τὴν πολεμίαν σου χώραν, τὰ ἐκείνων χωρία μὴ ἐμπύριζε, ἀλλὰ καί τινα σημεῖα φιλίας τῆς πρὸς αὐτοὺς ἢ διὰ γραμμάτων, ἢ δι' ἑτέρου τρόπου καταλίμπανε. Τὸ αὐτὸ δὲ ποιήσεις, καὶ ἐὰν διὰ τῶν κρατουμένων παρὰ σοῦ αἰχμαλώτων κρυφαίως αὐτοῖς ἐπιτηδεύσῃς δηλοποιεῖν περί τινων ἀπορρήτων. Εἰ πολλάκις τὰ τοιαῦτα γεγονότα φανερὰν ἀπάτην δοκεῖ τοῖς πολεμίοις καὶ δόλον γίνεσθαι, ἀλλ' οὖν εἰς ὑποψίαν καὶ διχόνοιαν τὴν περὶ τῶν ἀνδρῶν ἐκείνων πάντως ἐμπέσωσι.

23. Deditionem hostium abs te obsessorum facile comparabis, si sagittis litteras alligaveris quas in civitatem aut munitionem jacies, et libertatem illis securitatemque promittas. Hoc idem feceris si per captivos illis libertatem promiseris.

κγ'. Τρόπον εὐπειθείας ὑποδείξω σοι, ὥστε τοῖς πολιορκουμένοις διὰ βελῶν ἀπὸ τόξου πεμπομένων ἐπιστολὰς ἐκπέμπειν, καὶ δι' αὐτῶν ἐλευθερίαν καὶ ἀπάθειαν αὐτοῖς ἐπαγγέλλεσθαι. Τὸ αὐτὸ δὲ ποιήσεις δηλοποιῶν αὐτοῖς καὶ δι' αἰχμαλώτων ἀφέσεως.

24. Neque hostium humanitate, neque discessionis et fugæ simulatione decipiaris : dolosa enim hostium sunt consilia, et ad suam utilitatem hostes D omnia excogitant. Itaque utilitas illorum tibi magnæ offensioni erit : et dolus illorum, noxa tua erit.

κδ'. Οὔτε ταῖς φιλανθρωπίαις τῶν πολεμίων ἐξαπατᾶσθαί σε δέον, οὔτε ἐάν ποτε προσποιοῦνταί σε ἀναχώρησιν· δολερὰ γὰρ ἀεὶ τῶν ἐχθρῶν τὰ βουλεύματα, καὶ πρὸς τὸ οἰκεῖον συμφέρον ὁ ἐναντίος τὰ πάντα ἐπινοεῖ, ὥστε τὸ ἐκείνου συμφέρον ἀσύμφορόν σοι ἀποδειχθῆναι, καὶ διὰ τῆς ἐναντίας ἀπάτης ἐμποιήσει σοι βλάβην.

25. Suspiciosum esse debet hostes per ea loca insequi, quæ ad insidias capiendas opportuna sunt : quare recedendum celeriter est, et incursio impetuosior facienda est ad tempus : quod consilium imperatorium laudandum in primis est.

κε'. Ὑφορᾶσθαί σε προσήκει τὰς διώξεις τὰς ἀγούσας εἰς χωρία ἐπιτήδεια πρὸς ἐγκρύμματα. Διὸ καὶ τὸ ἀναχωρεῖν εὐκαίρως τὸν στρατηγὸν, καὶ πάλιν σφοδροτέραν ποιεῖσθαι τὴν ἐπέλευσιν κατὰ τῶν πολεμίων, μάλιστά ἐστι στρατηγικόν.

26. Suspicionem timoris habet cunctatio et pallor : ubi igitur tales videris milites, a dimicatione prælii illos semoveas, et ad opus aliquod necessarium faciendum amandabis.

κς'. Ὑπόνοια δειλίας ἐστὶν ὄκνος καὶ ὠχρίασις. Ὅταν οὖν τοιούτους ἴδῃς τινὰς τῶν στρατιωτῶν, καὶ πρὸ ἐρωτήσεως, χώριζε αὐτοὺς τῆς ἀναγκαίας ἐγχειρήσεως τοῦ πολέμου, καὶ δεόντως αὐτοῖς ἐπίτρεπε τὰ ἁρμόζοντα πράττειν τῷ τοιούτῳ καιρῷ.

Digitized by Google

κζ'. Ἴσθι λίαν ἀσφαλὲς καὶ ἐν καιρῷ τάχα φιλίας ἔνθα ἂν ὑπάρχῃς πλησίον πολεμίων στρατοπεδεύων περιβάλλειν φοσσάτον δι' ὀρύγματος, ἢ κτίσματος λίθου, ἢ πλίνθου, ἢ χάρακα διὰ ξύλων, καὶ οὕτως πέριξ ὀχυροποιῆσαι τὸν στρατόν. Ἐὰν γάρ τι συμβῇ τῶν ἐναντίων, καὶ λέγῃς, ὅτι Τοῦτο οὐκ ὑπενόουν, οὐκ ἔστι στρατηγικόν.

κη'. Ὅταν Θεοῦ διδόντος πόλις παρὰ σοῦ τῶν πολεμίων ἁλίσκεται, ἀνοίγεσθαι συγχώρει τὰς πύλας ὥστε φεύγειν τοὺς πολλοὺς καὶ μὴ χωρεῖν εἰς ἀπόγνωσιν. Τὸ αὐτὸ δὲ καὶ φοσσάτου ἁλισκομένου τῶν ἐχθρῶν παρὰ σοῦ ποιήσεις· ἀναγκαῖα γάρ εἶναι ταῦτα καὶ ἀκινδυνότερα πρὸς τὴν τῶν ἁλισκομένων κατακράτησιν.

κθ'. Ὑφόρασιν προδοσίας καὶ ὑπόνοιαν δώσεις τοῖς πολεμίοις κατὰ τῶν προσφευγόντων ἀπὸ σοῦ πρὸς αὐτούς, ὥστε αὐτοῖς ἢ ἀπιστεῖν, ἢ ἀποκτείνειν, ἐὰν γράμματα πέμπῃς καὶ ὡς δῆθεν ἐκπεσόντα τῶν διακομιζόντων τοῖς πολεμίοις ἐγχειρισθῶσιν. Ἐνοῖς ὡς ἐν τάξει ὑπομιμνήσκεις τοῖς προσφύγοις καιροῦ προδοσίας συντεθειμένου καὶ πραγμάτων τινῶν πιθανῶν. Ἐντεῦθεν γὰρ ἢ κατασχεθήσονται οἱ προσφυγόντες, ἢ ἀπιστηθήσονται, καὶ φοβηθέντες πάλιν ὑποστρέψουσι πρὸς τὰ ἴδια.

λ'. Καὶ ἑτέρως δὲ τὴν τῶν δειλῶν διάκρισιν ἐν τοῖς ἀναγκαίοις καὶ αἰφνιδίοις ἐγχειρήμασι ποιήσεις, ἐὰν τοὺς ἀῤῥώστους ἢ τοὺς κεκτημένους ἵππους ἀδυνάτους προστάξεις χωρίζεσθαι ἰδίως· οἱ γὰρ δειλοὶ ἢ ἀῤῥωστίαν προσποιούμενοι, ἢ τῶν ἵππων ἀσθένειαν, εὐθέως χωρισθήσονται τῶν ἀναγκαίων τοῦ πολέμου ἐγχειρήσεων. Τοὺς δὲ τοιούτους ἢ εἰς παραφυλακὴν κάστρου, ὡς ἄνω που εἴρηται ἡμῖν, ἢ εἰς ἄλλων ὀχυρωμάτων, ἢ εἰς ἑτέρας ἀκινδύνους χρείας διατάξας ἐκπέμψεις, ἵνα μὴ τῇ δειλίᾳ καὶ τοὺς ἀνδρείους μολύνωσιν. Εἰ δὲ τῆς παρατάξεως ἱσταμένης πρὸς μάχην παραυτὰ κηρύξεις, Ὁ βουλόμενος πρωτοστάτης ὑποχωρείτω, καὶ ὁ βουλόμενος ἀντ' ἐκείνου εἰσίτω, οὐ μόνον τοὺς δειλοὺς τότε νοήσεις, ἀλλὰ καὶ τοὺς ἀνδρείους ἀναμάθῃς. Οἱ μὲν γὰρ δειλοὶ καὶ τὸ ἄρχειν προδώσουσιν ὑπὲρ τοῦ μὴ κινδυνεύειν, οἱ δὲ ἀνδρεῖοι μετὰ τοῦ ἄρχειν καὶ τὸ συγκινδυνεύειν αἱρήσονται.

λα'. Ἀκμὴν καιροῦ ἐπιτηρεῖν σε δέον, μὴ παρούσης ἀνάγκης, καὶ οὕτως ἐκστρατεύειν κατὰ τῶν πολεμίων, ἵνα καὶ σὺ περὶ τὴν δαπάνην μὴ στενοῦσαι, καὶ οἱ πολέμιοι πλέον λυποῦνται τῶν καμάτων αὐτῶν ληΐζομένων.

λβ'. Ἱκανά σε χρὴ φυλακὴν περιποιεῖσθαι καὶ μετὰ τὴν τῶν πολεμίων σου νίκην, καὶ μὴ ἀμελῶς ἔχειν, ἀλλὰ φυλάττεσθαι τὰς αἰφνιδίους ἐπελεύσεις τῶν ἡττηθέντων· οὐ γὰρ ἡρεμεῖ τὸ ἀντίπαλον ἀεί, ἀλλὰ τὴν οἰκείαν ἧτταν πολλάκις ἀναμαχήσασθαι προθυμότερον γίνεται.

λγ'. Τῶν ἐναντίων τοὺς πρεσβευτὰς ὑβρίζειν οὐ δίκαιον, οὐδ' ἂν πολὺ προέχωμεν τῇ δυνάμει. Φιλίας γὰρ τρόπῳ παραγίνονται, καὶ λόγῳ ἀτρέπτῳ ὑπὸ τὰς χεῖρας ἑαυτοὺς τὰς σὰς καταπιστεύουσιν, εἰ καὶ παρὰ πολεμίων ἀποστέλλονται. Τὰ οὖν ὅσια ἐπὶ ἑκάστῳ καὶ πρέποντα παραφυλακτέον. Εἰ μὴ

27. Castra munire semper tutum est, et amicitiæ pacisque tempore. Si prope hostes fueris, fossatum circumducito vel ex lapidibus vel ex lateribus circumvallatum, et ita castra tua in tuto ponas. Si enim aliquid adversum contingat, minus imperatorium erit dicere aliquando, Non putaram.

28. Quando sine deditione hostium civitas aliqua aut munitio capiatur, jube aperiri portas ut multi aufugiant, et non in summam animi desperationem cadant. Hoc idem fossato hostium capto præstabis. Necessarium autem hoc est et securum in primis ad captivos retinendos.

29. Suspicionem proditionis et opinionem falsitatis injicies hostibus de iis, qui abs te ad eos profugerunt, ut illis vel diffidant, vel interficiant, si litteras ad eos miseris, ut statim post has litteras perlatas hostes invadant, et proditionis tempus inter te et profugos cæteraque probabilia constituta videantur. Hoc pacto fiet, ut in custodia teneantur profugi, vel ut fides illis non habeatur, vel ut ad te iterum redeant.

30. Timiditatem militum tuorum aliqua necessaria et nec opinata incursione hoc modo explorabis, si infirmos et eos qui debiles equos habent jubebis ab aliis separari : timidi enim vel valetudinem, vel equorum imbecillitatem simulabunt, atque adeo ab hac bellica incursione separabuntur. Tales vel ad castelli, vel ad alterius munitionis custodiam, vel ad alios usus securos emittes, ut ne ignavia sua etiam strenuiores milites labefactent. Sin acie jam instructa ad prælium mandaveris, ut qui præstes discedere vult discedat, et qui vult in illius locum ingrediatur, non modo timidos milites cognosces, sed etiam fortes strenuosque scies. Timidi enim initio prodent se priusquam bellum incipiat, fortes autem post bellum incœptum simul periclitari cupient.

31. Temporis opportunitas, nisi aliter necessitas urgeat, abs te conservanda est, atque adeo hostes invadas, ut neque tui commeatu deficiantur, et hostes magis vexentur omni labore, et agris jam depopulatis.

32. Victis jam hostibus idonea abs te custodia ad tuos defendendos collocanda est : vitamdæ enim subitæ incursiones hostium sunt : non enim quiescunt hostes ullo tempore, sed belli offensionem, occasionem sibi ad res melius et cautius gerendas accipiunt.

33. Hostium legati, quamvis magnitudine copiarum admodum valeas, abs te minime violandi sunt : sociali enim modo adsunt tibi, et quanquam ab hostibus mittuntur, seipsos tamen quodammodo in manus tuas tradunt. Sanctum et justum quod est, erga omnes servandum est. Alias enim de sua

Digitized by Google

salute laborantes legati nunquam ad te venient, et legationis genus ipsum apud omnes nationes minus usitatum erit.

34. Quando magnis cum copiis civitatem aut castellum obsides, castra tua haud munita custodiis relinquere non oportet, neque solo vallo aut fossis contentum esse, sed et excubias habeas accuratas, et exercitus tuus ad portas civitatis sedeat, propter excursiones quæ e portis fiunt, et propter irruptiones quæ ab externis locis eo confluunt.

35. Proditores quidam persæpe in exercitu tuo esse timentur. Ut igitur ex iis utilitatem capias, percommodum fuerit contraria eorum quæ facturus es illis narrare, ut hoc modo deceptis hostibus, facilius et melius consilia tua procedant.

36. Sine ingenti utilitate aut necessitate periculum ingrediendum non est. Qui enim talia suscipiunt pericula, similes hominibus sunt qui auri impostura inescantur, et propter coloris solum suavitatem aurum hoc possidere vehementer cupiunt.

37. Vigilans et sobrius in omnibus rebus gerendis, et adversus omnes hostium aggressiones sis, ut neque intermissionis belli tempus socordiæ tempus putes, neque ante pacis perfectæ tempus ullam rem tibi negligendam arbitreris, sed hostium insidias sedulo vitabis, et prudenter illorum perfidiam qualis sit cogitabis : ubi enim malum acceperis, hæc sera pœnitentia nullum momentum afferre potest.

38. Qui ad te ab hostibus profugerunt, facile tibi hostium consilia nuntiare possunt : sed certius cognosces, si qui in incursionibus abs te capti sunt, ad te de hostibus aliquid referant. Quod si quæ a transfugis et captivis dicuntur conveniant, veritatem magis eorum quæ quæruntur intelliges.

39. Nullo modo nullave de causa jusjurandum hostibus firmatum violes : magnum enim malum perjurii crimen est. In quibus enim rebus Deus intercedit, firma necesse est pacta esse. Ignominia enim magna est Romanis ac Christianis, si cum reliquæ nationes jusjurandum fidemque conservent, ii perfidi Deo intercedente ac mediatore deprehendantur.

40. Vallo aut fossato circumseptus, si quando res exigat, ne in sola munitione spem salutis reponas, quasi ad te defendendum idonea, sed secundum Deum armis tuis confidas : neque quamvis tutissimo in loco fueris, cætera arma contemnas, si vere Romanus sis. Prima enim, et extrema vero militi salus erit armorum suorum

A γὰρ τοῦτο φυλάττηται, ἀπιστοῦντες οἱ πρέσβεις ἑκάστου ἔθνους τὴν ἑαυτῶν σωτηρίαν οὐδέποτε πρεσβεύσουσιν (20), καὶ πολλῶν τῶν ἐκ τῆς πρεσβείας ἀγαθῶν τοῖς ἔθνεσι γινομένων ἑκάστοις ἀποστέρησις ἔσεται.

λδ'. Ὅταν πολλῇ δυνάμει πόλιν ἢ φρούριον πολιορκῇς, οὐ δεῖ σε ποιεῖν ἀφύλακτον τὴν στρατοπέδειαν, οὐδὲ μόνῳ τῷ χάρακι ἢ ταῖς φόσσαις ἀρκεῖσθαι εἰς ἀσφάλειαν, ἀλλὰ καὶ βίγλας ἔχειν ἀσφαλεῖς, καὶ παρὰ τὰς πόρτας τῆς πόλεως ἐγκαθίζειν, διὰ τὰς ἀπ' αὐτῆς ἐκ τῶν πορτῶν καταδρομάς, μάλιστα δὲ κατὰ τὰς ἀπὸ τῶν ἔξωθέν ποθεν ὑφορωμένας προσβολάς.

λε'. Ὑποπτεύονταί τινες προδόται καὶ παρὰ σοὶ πολλάκις ὄντες. Ἵνα δὲ καὶ ἐκ τῶν τοιούτων ὠφέλειαν σεαυτῷ περιποιήσῃ, τὰ ἐναντία ὧν βουλεύῃ λέγε πρὸς αὐτοὺς, ὥστε δι' αὐτῶν ἐξαπατωμένων τῶν πολεμίων εὐχερέστερον κατορθοῦνται τὰ σὰ βουλεύματα.

λς'. Ἄνευ ὠφελείας ἢ ἀνάγκης ἐπί τινι πράγματι οὐ δέον παρακινδυνεύειν. Οἱ γὰρ τοιούτοις ἐπιχειροῦντες κινδύνοις οὐδὲν διαφέρουσιν ἀνθρώπων τῶν ἀπάτῃ χρυσοῦ δελεαζομένων, καὶ διὰ τὸ τὴν εὐχροιαν μόνον ὁρᾷν τὴν κτῆσιν αὐτοῦ ἔχειν ἀγωνιζομένων.

λζ'. Γίνου πάντοτε νήφων καὶ ἐγρηγορὼς πρὸς τὰς τῶν πολεμίων ἀντικαταστάσεις, ὥστε μηδὲ τὸν τῆς ἀνοχῆς τοῦ πολέμου καιρὸν ποιεῖσθαι ἀμελείας καιρὸν, μηδὲ πρὸ καιροῦ εἰρήνης βεβαίας γενομένης καταμελήσῃς· ἀλλὰ πάντοτε τὰς τῶν ἐχθρῶν ἐπιβουλὰς φυλάττου, καὶ ἀσφαλῶς κατανόει τὸ τούτων ἄπιστον· μετὰ γὰρ τὸ παθεῖν ἡ μεταμέλεια οὐδεμίαν τίκτει ὠφέλειαν.

λη'. Ἱκανοὶ μὲν ἴσως καὶ οἱ προσφεύγοντες ἀπὸ τῶν πολεμίων παρασχεῖν σοι πίστιν περὶ τῶν ἐρωτωμένων αὐτοί. Ἀλλὰ μᾶλλον ἀσφαλέστερον ἀναμάθοις τὰ παρὰ τῶν ἐξ ἐπιδρομῆς ἁθρόως κρατουμένων λεγόμενα· καὶ γὰρ ὅταν ἀμφότερα τά τε παρὰ τῶν αὐτομόλων, καὶ τὰ παρὰ τῶν αἰχμαλώτων λεγόμενα συμβαλὼν διακρίνῃς, τότε τὸ ἀληθὲς μᾶλλον γνώσῃ περὶ ὧν ἐπιζητεῖς.

λθ'. Οὐδενὶ τρόπῳ, οὐδὲ οἱαδήποτε προφάσει τὸν πρὸς τοὺς πολεμίους ὅρκον παραβήσῃ ποτέ· μέγα γὰρ κακὸν ἐπιορκίας ἔγκλημα. Ἐν οἷς γὰρ Θεὸς μεσιτεύει, βέβαια (21) χρὴ μένειν τὰ συντιθέμενα. Αἰσχύνη γὰρ Ῥωμαίοις καὶ μάλιστα Χριστιανοῖς, τῶν ἄλλων ἐθνῶν τὰς οἰκείας πίστεις τηρούντων, τούτους ἀπίστους περὶ τὰ συμφωνούμενα ὑπὸ Θεῷ μεσίτῃ ἐλέγχεσθαι.

μ'. Ὑπὸ χάρακός ποτε ἢ φοσσάτου περιφρουρούμενος, ὅτε καλέσει καιρὸς, μὴ τῷ τοιούτῳ μόνον ὀχυρώματι τὰς ἐλπίδας τῆς σωτηρίας καταπίστευε, ὡς ἑτοίμῳ ὄντι πρὸς παράληψιν, ἀλλὰ μετὰ Θεὸν καὶ ἐν τοῖς ὅπλοις ἔχῃς τὴν πεποίθησιν, καὶ μὴ τούτων ἀμέλει διὰ τὴν ἄλλην φρουράν, εἴγε Ῥωμαῖος ὑπάρχεις ἀληθής. Πρώτη γὰρ σωτηρία καὶ τελευταία τῷ

NOTÆ.

(20) *Πρεσβεύσουσιν*. Scribebatur, πρεσβεύουσιν.
(21) *Βέβαια*. Scribebatur, βίβαι.

Digitized by Google

ἀληθινῷ στρατιώτῃ ἡ τῶν ὅπλων ἐστὶν ἐπιμέλεια καὶ μεταχείρισις, τὰ δὲ ἄλλα καὶ τοῖς χυδαίοις τῶν ὄχλων ἐπινοεῖται πολλάκις. Καὶ γὰρ καὶ τοῖς πάλαι Ῥωμαίοις κατ' ἀρχὰς ἀντὶ τειχῶν τῇ Ῥώμῃ φόσσαν καὶ τὰ ὅπλα χρηματίζειν λέγεται. Καὶ Λακεδαιμονίων ποτὲ στρατιώτης ἐρωτώμενος, Ποῦ οἱ τῆς γῆς ὑμῶν ὅροι, λέγεται εἰπεῖν, Ὧδε, δείξας τὸ ἐν τῇ χειρὶ κατεχόμενον δόρυ.

A cura, et conservatio : reliqua omnia præ hoc plebeia et vulgaria existimanda sunt. Antiquos enim Romanos murorum vice fossam, et arma usurpasse legimus. Et Lacedæmonius miles olim interrogatus, ubi ditionis suæ termini essent, dixisse fertur, Hic, hastam vibratam manu ostendens.

μα'. Παρακελεύου τοίνυν τοῖς στρατιώταις, οὕτως εἶναι παρεσκευασμένους ἀεὶ (22) ὡς καὶ ἐν ἑορτῇ καὶ ἐν ὄμβρῳ, καὶ ἐν νυκτὶ, καὶ ἐν ἡμέρᾳ, καὶ ὅταν ἡ χρεία καλέσῃ, μέλλειν αὐτὸν ἐξιέναι κατὰ τῶν πολεμίων· διὰ τοῦτο γὰρ ἐπὶ τὸν τοιοῦτον καιρὸν οὐδ' ἡμέραν αὐτοὺς δεῖ προλέγειν ὡρισμένην, διὰ τὸ ἑτοίμους αὐτοὺς εἶναι διὰ παντός.

41. Adhortaberis milites semper, ut ita parati sint, ut omni tempore, sereno, pluvio, noctu, interdiu, ubi usus fert, adversum hostes instruantur : talibus enim temporibus ne horam quidem aliquam constitutam assignare oportet, ut in promptu omnino sint.

μβ'. Νίκης σοι παρὰ Θεοῦ ἐν δημοσίᾳ μάχῃ παρεχομένης, ἐὰν συμβῇ τοὺς ἀντιπάλους ἢ ἐν χάρακι ἢ ἐν ἑτέρῳ ὀχυρῷ τόπῳ καταφυγεῖν, μὴ ἐνδώσῃς αὐτοῖς καιρὸν ἀνέσεως, ἀλλὰ τοῦ φόβου νεάζοντος αὐτοῖς ἐπέρχου καὶ ἐπιτίθου, ἵνα μὴ τῇ ἐνδόσει ἀσφαλέστεροι γενόμενοι θαρρήσωσι τὴν ἧτταν αὐτῶν ἀναμαχήσασθαι.

B 42. Victoria tibi [in publico prælio a Deo objecta, si forte hostes, vel ad vallum vel ad aliquem munitum locum confugiant, nullum relaxandi tempus illis tribue, sed terrore recente impendente illos adoriaris, ne relaxatione aliqua illis concessa, firmiores et paratiores fiant ad victoriam amissam quantum possunt recuperandam.

μγ'. Ἐάν τινες ἱκέται προσφεύγωσιν ἀπὸ τῶν πολεμίων πρὸς σὲ, μὴ ὡς ἔτυχε τούτους προσδέχου· πολλάκις γὰρ ὑπὸ τῶν ἐχθρῶν πέμπονται δόλῳ ὡς ἱκέται καί τινων δεόμενοι, καὶ οὕτως τοῖς δεξαμένοις ἐπιβουλεύουσιν.

43. Si qui servi hostium ab illis ad te confugerint, ne quosvis statim recipias : sæpe enim ab hostibus dolo mittuntur quasi servi et cæterarum rerum egentes, atque adeo illis, qui se recipiunt insidiantur.

μδ'. Ὑπονοεῖν δεῖ καὶ παραφυλάττειν ἀσφαλῶς τοὺς προσρυομένους ταῖς πολιορκουμέναις ἡμῶν πόλεσι παρὰ τῶν ἐχθρῶν, διὰ τὸ μὴ παρ' αὐτῶν τινα βλάβην ὑποστῆναι· πολλάκις γὰρ ἐμπρησμοὺς ποιοῦσιν, καὶ τῶν ἔσωθεν ἀνθρώπων περὶ τοὺς ἐμπρησμοὺς ἀσχολουμένων, ἔξωθεν οἱ πολέμιοι ἀδεέστερον ἐπιτίθενται.

44. Cavendum sedulo observandumque est ab iis, qui ab hostibus ad obsessas urbes vestras dilabuntur : sæpe enim hujusmodi civitates solent C incendere, et civibus in restinguenda flamma occupatis, obsessores civitatem melius invadunt.

με'. Μάχης προκειμένης ἐὰν ἄρα δοκιμάζῃς ἀξιόμαχος εἶναι τῶν ἐχθρῶν, ὦ στρατηγὲ, ἐν τῇ ἐκείνων χώρᾳ τὴν μάχην ἐπιτηδεύσεις· τοῦτο γὰρ μᾶλλον ἁρμόδιον ἢπερ ἐν τῇ ἰδίᾳ· τῶν γὰρ ἐν τῇ πολεμίᾳ γῇ μαχομένων καὶ τὰ φρονήματα μείζονα γίνονται, καὶ ὁ ἀγὼν οὐκ ἔστι ὡς ὑπὲρ τοῦ ἰδίου ἔθνους μόνου πρόκειται αὐτοῖς ὁ τοῦ πολέμου, ἀλλὰ καὶ ὑπὲρ τῆς αὐτῶν σωτηρίας. Καὶ γὰρ οἴδασιν, ὡς ἐὰν μὴ στερρῶς ἀντικαταστάντες εἰς φυγὴν ἐν τῇ πολεμίᾳ γῇ τραπῶσιν, ἀνέλπιστος αὐτοῖς ἡ σωτηρία γίνεται, ὅπερ ἐν τῇ ἰδίᾳ γῇ πολεμούντων αὐτῶν γίνεσθαι οὐκ ἀναγκαῖον. Καὶ γὰρ καὶ φυγόντες, ἐλπίζουσιν ἀκινδύνως σωθῆναι, καὶ ὀχυρωμάτων ἐπιλαβέσθαι ἐν οἷς σωθήσονται· καὶ διὰ τοῦτο γενναίως ἀντιστῆναι τοῖς πολεμίοις οἱ στρατιῶται μὴ συγχωρούμενοι εἰς φυγὴν ἀκίνδυνον συνωθοῦνται ἐλθεῖν.

45. Bello proposito si speraveris te habilem ad oppugnandos hostes esse, illorum in regione prælium committas : hoc enim magis idoneum erit, quam si in tua ipsius regione pugnes, et animos tuorum strenuiores facit : et de sua natione bellum non erit, sed de sua ipsorum salute. Noverunt enim se, si non strenue atque alacriter in bello cum hostibus dimicent, in fugam vertendos esse, et de salute sua nullam spem esse posse. At regione in sua contra sperant : nam et fuga salutem D quærere se posse sperant, et ad munitiones venire, quibus serventur : atque adeo cum strenue hostibus resistere non necesse habent, ad fugam securam se convertunt.

μς'. Ἀεί τι πραττέτωσαν οἱ στρατιῶται, ὅταν μὴ ὁ πόλεμος ἐνοχλῇ, καὶ μὴ ἀργείτωσαν· ἡ γὰρ ἀργία στρατιώταις συντρεφομένη ταραχῆς ὑπάρχει γεννητική.

46. Ubi belli nulla perturbatio est, non otio torpescant milites, sed hæc agant potius : otium enim militibus magnarum seditionum et turbarum causa est.

μζ'. Τὸ θεραπεύειν τὸ Θεῖον διὰ παντὸς χρεών

47. Colendus omnino Deus est. Bellorum autem

NOTÆ.

(22) Post ista, παρεσκευασμένους ἀεί, typotheta omisit, ὡς ἐν ἑορτῇ, καὶ ἐν ὄβρῳ. Scribe vero, ἐν ὄμβρῳ. Sed nec illud, ἐν ἑορτῇ, istius loci videtur : nam ἑορτὴ καὶ ὄμβρος, non sunt ἀντίθετα, ut ἡμέρα καὶ νύξ.

Digitized by Google

In exordiis maxime illum veneraberis : si enim illum colueris pure ac religiose, sicuti fas est, in omnibus periculis et perturbationibus supplicabis illi quasi amico, et salutem ab illo comparabis.

48. Vigilans imperator, et exercitum suum contentione corporis, et laboribus occupatum tenens, minus omnibus periclitabitur.

49. Milites in prælium educendi non sunt priusquam illorum periculum feceris, sed cognoscendus unusquisque miles est, quam ad rem, et qua in acie sit utilis, itaque instruendus est.

50. Hæc sola adversus hostes deliberabimus quæ incognita illis sunt, antequam a nobis gerantur : si enim aliquam harum rerum notitiam habeant, facile adversus conatus nostros aliquid molientur.

51. Dolis, incursionibus, fame, hostes lædendi vexandique sunt, et crebrioribus aggressionibus insultibusque adoriendi : neque ad commune publicumque prælium evocandi, ubi valere fortunæ instabilitas solet, potius quam ulla virtutis constantia.

52. Milites laboribus assuefacti strenuiores in dies fiunt, otiosi autem magis ac magis debilitantur. Efficiendum igitur est ut laboribus exercitati sint, quemadmodum tibi alias præscripsimus.

53. Ad omnes vitæ partes, præterquam in bello, incallidum te esse præcipimus. Ibi autem, et in iis te imperatoriis consiliis dolus adjuvat, ubi hostes eo decepturus es.

54. Cognosce, et expende tuas vires, atque hostium diligenter : hoc si feceris, imperator, et singula diligenter fideliterque perlustraveris, ægre in bellicis rebus superaberis, aut expugnaberis.

55. Fortitudine ac instructione militari longe majores res in bello geruntur, quam multitudine militum ignavorum confusa.

56. Locorum situs sæpe pugnantes vehementer juvant, et imbecillioribus victoriam promovent. Itaque iis in locis te ad pugnandum præpares in quibus cognoveris exercitum tuum meliores partes, hostium autem deteriores habiturum.

57. Imperatoris solertia generosos milites reddit : natura enim paucos fortes creat; cura autem, et industria, si imperatoria solertia adjungatur, multos strenuos facit.

58. Bonum mihi videtur esse justam habere causam bellandi; nam qui injuriam illatam propulsat, hic justus est, et divinam justitiam adjutricem ha-

A ἐστιν. Μάλιστα δὲ τοῦτο θεραπεύσεις, ὦ στρατηγὲ, τῶν πολεμικῶν κινδύνων ἀπάρχεσθαι μέλλων· ἐὰν γὰρ γνησίως τότε τὸν Θεὸν θεραπεύσῃς, τάχα θαῤῥήσεις ἐν τοῖς δεινοῖς ὡς πρὸς φίλον σοι τοῦτον τὰς ἱκεσίας ποιεῖσθαι, καὶ τὴν σωτηρίαν μετὰ παῤῥησίας ἐπιζητεῖν.

μη'. Ὁ συναγρυπνῶν τῷ στρατεύματι στρατηγὸς, καὶ πλέον πονῶν ἐν τῷ γυμνάζεσθαι τοὺς στρατιώτας, ἧττων εἶναι οὐ κινδυνεύσει κατὰ τὸν πόλεμον.

μθ'. Στρατιώτας ἐξάγειν ἐπὶ μάχην ἐκείνους οὐ δέον, ὧν μὴ πρότερον εἴληφας τὴν πεῖραν ἱκανὴν ἐπὶ ἀνδρείαν, τυγχάνουσαν· ἀλλὰ δεῖ σε γινώσκειν, εἰ δυνατὸν, ἕκαστον τῶν στρατιωτῶν ἐν ποίῳ πράγματι καὶ ἐν ποίῳ τάγματί ἐστιν ἀρμόδιος, καὶ οὕτως αὐτοὺς διατάττειν.

B ν'. Ταῦτα μόνα καλῶς βουλευσόμεθα κατὰ τῶν πολεμίων, ὅσα πρὶν ἢ πράξομεν ἠγνόησαν ἐκεῖνοι· ἐὰν δὲ τούτων τὴν γνῶσιν λάβωσιν, ταχέως κατὰ τῶν βουλευμάτων ἡμῶν μεθοδεύσουσιν.

να'. Ἡ δόλοις ἢ ἐπιδρομαῖς, ἢ λιμῷ τοὺς πολεμίους βλάπτειν καλόν ἐστιν, καὶ λυπεῖν αὐτοὺς κατὰ μακρὸν διὰ συχνοτέρων ἐπαγωγῶν καὶ ἐπιτηδεύσεων· οὐχὶ δὲ πάντως ἐπὶ δημόσιον ἐγκαλεῖσθαι πόλεμον, ἔνθα πολλάκις τὸ πλέον ὁρῶμεν τῆς τύχης προτέρημα, ἢ τῆς ἐπιδεικνυμένης ἀνδρείας.

νβ'. Στρατιῶται πρὸς πόνους γυμναζόμενοι προκόπτουσιν εἰς ἀνδρείαν. Ἀργοῦντες δὲ νωθροὶ καὶ ἀσθενεῖς μᾶλλον γίνονται. Διὸ φροντίσεις μὴ ἀργεῖν αὐτοὺς, ἀλλὰ πρὸς τὰς γυμνασίας πονεῖν, καθὼς σοι καὶ ἐν ἑτέροις διεταξάμεθα.

C νγ'. Ἄδολον μὲν ἐν τοῖς ἄλλοις ἅπασι διαζῆν σε παρακελευόμεθα, ἐν δὲ τοῖς κατὰ πόλεμον στρατηγήμασι μόνοις καὶ δόλος ὠφελήσει πολλάκις, ὅταν τοὺς ἐχθροὺς καὶ πολεμίους ἐξαπατᾷν μέλλῃς δι' αὐτοῦ.

νδ'. Γίνωσκε καὶ σύγκρινε τάς τε σὰς δυνάμεις, καὶ τὰς τῶν πολεμίων, ὅπως ἔχουσι. Τοῦτο γὰρ ποιῶν στρατηγὸς, καὶ ἀνακρίνων κατὰ μέρος τάς τε τῶν οἰκείων καὶ τὰς τῶν πολεμίων ἀρετὰς, δυσκόλως ἐν τοῖς κατὰ πόλεμον ἔργοις σφαλήσεται.

νε'. Ἴσθι ἀκριβῶς, ὦ στρατηγὲ, ὅτι ἀνδρεία μᾶλλον καὶ τάξις στρατηγικὴ εἰώθασιν ἐν πολέμῳ εὐεργετεῖν, ἢ πλῆθος τῶν μαχομένων ἀνανδρον καὶ D ἄτακτον.

νς'. Αἱ τῶν τόπων θέσεις πολλάκις μεγάλα τοὺς μαχομένους ὠφέλησαν· καὶ γὰρ ἐνίστε καὶ τοὺς ἀσθενεστέρους καλλίονας ἔδειξαν, διὸ χρή σε μάλιστα τοιούτοις τόποις ἁρμόζεσθαι πρὸς μάχην, ἐν οἷς ἂν γινώσκῃς τὸν μὲν σὸν στρατὸν προτερῆσαι, τὸν δὲ τῶν πολεμίων ἐλαττωθῆναι.

νζ'. Στρατηγοῦ ἀγχίνοια γενναίους τοὺς στρατιώτας ποιεῖ. Ἡ μὲν γὰρ φύσις ὀλίγους ἀνδρείους ἀπογεννᾷ, ἡ δὲ ἐπιμέλεια καὶ γυμνασία μετὰ στρατηγοῦ φρονήσεως γινομένη πολλοὺς χρησίμους ἀποδεικνύει.

νη'. Καλόν μοι δοκεῖ δικαίαν εἶναι τὴν ἀρχὴν τοῦ πολέμου. Ὁ γὰρ τοῖς ἀδικήσασιν ἀντεμπνέμενος οὗτος δίκαιός ἐστιν καὶ τὴν θείαν ἔχει δι-

Digitized by Google

καιοσύνην βοηθόν τε καὶ σύμμαχον κατὰ τῶν ἀδίκων ἐκστρατευόμενος. Ὁ δὲ πρῶτος καταρξας ἀδικίας παρ' αὐτῆς τῆς θείας δίκης ἀφαιρεῖται τὴν νίκην.

A bet, dum injurios homines repellit. Qui vero primus injuriam intulerit, divina vindicta, ac justitia a victoria belli abest.

νθ'. Ἀσφαλῶς δίωκε τοὺς πολεμίους μετὰ νίκην, ὦ στρατηγέ, καὶ μὴ διεσπαρμένως ἐπέρχου, μάλιστα συντεταγμένοις ἐκείνοις. Ὁ γὰρ τοῦτο ποιῶν, τὴν ἑαυτοῦ νίκην τοῖς πολεμίοις προδίδωσι. Καὶ γὰρ ἀντιστρέψαντες μετὰ συντάξεως οἱ ἐχθροὶ κατὰ σοῦ ἀσυντάκτως καὶ διεσπαρμένως διώκοντος, ῥᾳδίως σου περιγένωνται, καὶ πρὸς τὸ ἐναντίον ἀντιπνεύσουσι τὴν κατ' αὐτῶν μάχην.

59. Circumspecte post victoriam hostes insequaris, neque dissipatis copiis tuis illos in acie instructa fugientes persequaris : qui enim hoc facit, victoriam suam hostibus prodit : nam hostes acie instructa conversi in tuos confuse, et disjecte insequentes facile te superabunt, et momenta victoriæ ad se transferent.

ξ'. Ἰσχύσεις μᾶλλον, ὦ στρατηγέ, κατὰ τῶν σῶν πολεμίων, ὅταν ἀφορᾷς (23) πρὸς τὴν ποιότητα τῶν καιρῶν καὶ τῶν τόπων καὶ τῶν ἀντιμαχομένων ἐχθρῶν. Καὶ οὕτως πρὸς τὴν ἑκάστου χρείαν ταῖς οἰκείαις τέχναις καὶ μεθόδοις συγκέχρησαι.

60. Hostes maxime expugnabis quando in locorum temporumque opportunitates, et hostium pugnantium vires intueris, atque ad omnem usum B bellicum consilia conatusque tuos conferas.

ξα'. Οὔτε συνάγειν ὁμοῦ βουλῆς ἕνεκα τὸ στράτευμα πρέπον ἐστὶν, οὔτε συνεχῶς καλεῖν τὸν στρατηγὸν πρὸς ἑαυτὸν ἀργοῦντας καὶ πρὸς μηδὲν ἀσχολουμένους ἕτερον· ταῦτα γὰρ ἀκαίρου μελέτης καὶ στάσεως αἴτια τοῖς στρατεύμασι γίνεται.

61. Neque congregare simul exercitum consilii causa par est : neque idoneum, ut singulos otiosos milites, et nulla in re occupatos ad te voces, atque increpes : hæc enim seditionis et importunarum turbarum causa esset.

ξβ'. Μεγάλη σύνεσις στρατηγοῦ, ὅταν χρῆται μὲν συμμάχοις μετρίοις εἰς τὴν ἑαυτοῦ χώραν, ἀλλὰ μὴ πλέον τῆς οἰκείας δυνάμεως, τούτους εἰσάγων μάλιστα, δυσμενεῖς ποτε τοὺς τοιούτους ἔσεσθαι ἐλπιζομένους, μήποτε συμφρονήσαντες ἀντάρωσι καὶ τῆς χώρας κρατήσωσιν, δι' ἣν εἰς (24) συμμαχίαν ἐκλήθησαν. Οἱ γὰρ ἕνεκεν χρημάτων ὑπὲρ σοῦ C κινδυνεύειν ἑλόμενοι, τάχα καὶ πλειόνων χρημάτων πορισμοῦ ἕνεκεν καὶ κατὰ σοῦ παρακινδυνεύσουσιν.

62. Magna prudentia imperatoris est, quando iis sociis ad regionem suam defendendam utitur, qui minores et non plures propriis copiis exsistunt, quosque alias inimicos sibi maxime futuros arbitretur, ne, si plures fuerint, et inter se consenserint, eam invadant regionem, et superent, propter quam in societatem tuam asciti sunt. Qui vero pecuniarum causa pro te periclitari volunt, fortassis majoris summæ causa contra te ex contraria parte dimicarent.

ξγ'. Ὅταν μὴ τοῖς στρατεύμασι τὰ ἐπιτήδεια καὶ τὰς ἀναγκαίας τροφὰς προευτρεπίσῃς, τότε καὶ πολεμίων χωρὶς ἡττηθήσῃ. Ἡ γὰρ σπάνις καὶ ἔνδεια τῆς δαπάνης καὶ τοὺς στρατιώτας καὶ τοὺς ἵππους ἐκλυθῆναι παρασκευάσει.

63. Quando exercitui commeatum, et res necessarias non præparas, facile absque hostibus superaberis : egestas enim, et inopia commeatus, tum milites, tum equos etiam contabefacit.

ξδ'. Ὅταν τοῖς ἰδίοις καβαλλαρίοις θαῤῥῇς καὶ μάλιστα τοῖς μετὰ κονταρίων πολεμοῦσιν τοὺς στενοὺς καὶ ἀνωμάλους τόπους ἔκφευγε, ἐπιζήτει δὲ τόπους ὁμαλοὺς καὶ ἴσους· οὗτοι γάρ εἰσι τοῖς οὕτω παρατασσομένοις ἁρμόδιοι, καὶ ἐνταῦθα συγκρότει τὸν πόλεμον. Εἰ δὲ πεζικαῖς θαῤῥεῖς δυνάμεσιν, ἀνωμάλους καὶ δασεῖς καὶ τραχυτέρους D ἐπιλέγου τόπους, καὶ ἐν τούτοις ἐπιτέλει τὴν μάχην.

64. Si quando equestribus copiis tuis fretus es, et iis in primis, qui hastati sunt, angusta atque inæqualia loca devita, et loca plana expositaque exquire ; hæc enim sunt iis qui sic instruuntur idonea, ibique committe prælium. Sin pedestribus copiis fretus sis, inæqualia, condensa et asperiora loca elige, et in illis bellum geras.

ξε'. Ὑπὲρ σεαυτοῦ καὶ τοῦ σοῦ λαοῦ ἀντιβουλεύσῃ (25) κατὰ τῶν πολεμίων, καὶ τὴν τοιαύτην βουλὴν ἀκούσῃς προδεδομένην αὐτοῖς, καθόλου τὰ βεβουλευμένα, εἴτε ἐν παρατάξει, εἴτε ἐν ἄλλαις παραγγελίαις, ἢ σχήμασιν, ἐναλλάσσειν ὀφείλεις.

65. Si de te tuisque copiis adversum hostes, aliquid deliberaveris, et consilium tuum hostibus patefactum esse intellexeris, omne consilium tuum, quod intenderas, sive in acie instruenda, sive in aliis præceptionibus formisque sit, repudiato.

ξς'. Σὺν πλείοσι μὲν περὶ ὧν μέλλεις πράττειν βουλεύου, τί δὲ πράξεις σὺν ὀλίγοις καὶ τούτοις πιστοῖς, τὸ δὲ συμφέρον σου, ἧγουν τὴν πασῶν

66. Cum plurimis de rebus gerendis delibera : quid tu ipse facturus sis, cum paucis, iisque fidelibus admodum communica. Quid vero potissimum

NOTÆ.

(23) Ἀφορᾷς. Scribendum, ἀφορμάς.
(24) Δι' . . . εἰς. Scribe, δι' ἣν εἰς.
(25) Ἀντιβουλεύσῃ. Scribe, ἄν τι βουλεύσῃ.

Digitized by Google

factu sit, et quod ex omnibus consilium est optimum apud teipsum solum serva.

A καλλίονα βουλὴν κατὰ σεαυτὸν ἐπιλεξάμενος κάτεχε.

67. Ut exercitus integer, ac sine ulla perturbatione sit, vel eo exercitum ducito, ubi commeatus rerumque necessariarum abundantia est, aut ipsum commeatum, et res necessarias exercitui apportabis.

ξζ'. Ἵνα δέ σοι ἡ ἐκστρατεία ἄλυπος διατηρῆται καὶ ἐρρωμένη, δέον σε ἢ πρὸς τὰ ἐπιτήδεια τῆς χρείας τὸ στράτευμα ἀπάγειν, ἢ αὐτὰ τὰ ἐπιτήδεια πρὸς τὸ στράτευμα μετακομίζειν.

68. Non per speculatores solum perlustranda via exercitus tui est, sed et tu imperator, si commode, et clam poteris, tuis ipsius oculis omnia loca pervestigabis : neque vias solum, sed etiam hostium adventantium multitudinem, et illorum aciem, ut inde tu instructus possis ad tuorum salutem, et hostium offensionem omnia excogitare.

ξη'. Οὐ διὰ σκοπῶν δεῖ μόνον προερευνᾶν τὰς ὁδούς, ἀλλὰ καὶ αὐτὸν, εἰ δυνατὸν, τὸν στρατηγὸν λαθραίως τοῖς οἰκείοις ὀφθαλμοῖς μετὰ ἀκριβείας ταύτας κατανοεῖν· καὶ οὐ μόνον τὰς ὁδοὺς, ἀλλ' εἴγε δυνατὸν καὶ τὸ πλῆθος τῶν ἐπερχομένων πολεμίων, καὶ τὴν τάξιν αὐτῶν, ὡς ἂν ἐντεῦθεν διδασκόμενος δύναται καὶ κατ' αὐτῶν καὶ ὑπὲρ ἑαυτοῦ ἀσφαλῶς τὰ ἐνδεχόμενα ἐπινοεῖν καὶ μεθοδεύειν.

B

69. Formidinem militum, ac animorum demissionem ad magnitudinem animi revocabis, et artibus variis, ac modis illos exsuscitabis, interdum oratione, interdum donis sublevabis, et abjectas illorum mentes ad aliquam tranquillitatem ac strenuitatem eriges.

ξθ'. Ὑψηλῇ διανοίᾳ τὴν ἐμπεσουμένην ποτὲ δειλίαν τοῖς στρατιώταις ἀνακαλοῦ, καὶ τέχναις διαφόροις εἰς θάρσος τούτους ἐπάναγε, ποτὲ μὲν λόγοις, ποτὲ δὲ δώροις ἀνακτώμενος, καὶ πρὸς εὐθυμίαν μεθέλκων τὴν ἀθυμίαν.

70. Aliqua etiam sacrorum templorum atque asilorum religio sit, et conserventur, qui ad ea loca profugerunt : neque tu neque ex tuis quisquam eos, qui ad sacra confugerunt violes. Eos autem, qui tale aliquid patrant, justo supplicio coercebis.

ο'. Καλὸν, ἐν παντὶ καιρῷ τιμᾶν καὶ σέβεσθαι τοὺς ἱεροὺς τοῦ Θεοῦ ναοὺς, μάλιστα δὲ καὶ ἐν τῷ ἀσύλους αὐτοὺς διατηρεῖσθαι εἰς τοὺς ἐν αὐτοῖς προσφεύγοντας· διὰ τοῦτο παραφύλαττε, ὦ στρατηγὲ, καὶ μήτε σὺ αὐτὸς, μήτε εἴς τινα ἕτερον καταδέξῃ ἀπὸ θείου ναοῦ ἀποσπᾶσαί τινα ἱκέτην καθήμενον, ἕως ἂν τοῦ δικαίου αὐτοῦ ἐπιτύχῃ. Τοὺς δέ τι τοιοῦτον τολμῶντας ὡς ἀσεβεῖς κόλαζε, ἵνα μὴ τὰ θεῖα καταφρονοῦνται.

71. Ab omni negotio domestico, atque injuria liberam plebem tuam conservabis, quæcunque in exercitu est, et quæ exauctorata est. Satis enim illis est tributum publicum pendere, nullaque alia re premi. Si castellum aliquod, aut porta, aut pons conficiendus sit, vel via aliqua sternenda, aut aliud quid publicum exstruendum est, neque publicis ærarii expensis absolvi potest, unusquisque tum ex æquo huic operi inserviat, nemoque ab hac re excusetur neque amicitia, neque donis, ut ab officio suo absit, sed justa et certa cum proportione unusquisque tum dives, tum pauper pro viribus suis publicum servitium præstet.

C

οα'. Ἀγγαρείας ἁπάσης ἰδιωτικῆς καὶ ἀδικείας ἐλεύθερον φύλαττε τὸν ὑπὸ σὲ τεταγμένον λαὸν, ὅσοι τοῦ στρατοῦ εἰσι, καὶ ὅσοι τῆς λεγομένης ἐξατωρίας (26)· ἀρκεῖ γὰρ αὐτοῖς τελεῖν τούς τε δημοσίους φόρους καὶ τὰ ἐπικείμενα αὐτοῖς ἀεικὰ καὶ μηδὲν πλέον καταβαρεῖσθαι. Ἐὰν δέῃ (27) καστροκτισία γένηται, ἢ καραβοποιία, ἢ γεφύρας ἀνάκτισις, ἢ ὁδοῦ κατάστασις, ἢ ἀνάγκη τις ἑτέρα τῶν δημοσίων διοικήσεων, καὶ οὐκ ἐπαρκεῖ τὸ κατὰ τὸν τόπον δημόσιον διὰ μισθοῦ ταῦτα ἐργάζεσθαι. Τότε μετὰ τοῦ δικαίου λόγου καὶ τῆς ἰσότητος ἅπαντες δουλευέτωσαν, καὶ μηδεὶς παρά τινος ἐξκουσευέ[τω]σθω, μήτε διὰ δώρων, μήτε διὰ φιλίαν τῆς τοιαύτης δουλείας ἀπολιμπανέσθω, ἀλλὰ κατὰ ἀλογίαν τῆς (28) δυνάμεως αὐτοῦ ἕκαστος καὶ πλούσιος καὶ πένης τὴν δημοσίαν δουλείαν ἐπιτελείτωσαν.

72. Militum in bello cadentium, atque eorum potissimum, qui strenue se gerunt, et pro fide Christiana mortui sunt, corpora honeste sepeliantur, eosque bona atque honesta commendatione mortuos prosequamur. Sed et liberi illorum, et conjuges, universaque familia, tua providentia ac præsidio alantur. Ita enim milites alacres, atque incitati ad bellica pericula suscipienda erunt, si in illorum excessu e vita cernant, quid postea se, ac suis fiat, si se strenuos in bello gesserint.

D

οβ'. Ἱερά εἰσι τὰ τῶν τελευτώντων ἐν πολέμῳ στρατιωτῶν σώματα, καὶ μάλιστα τῶν ἀριστευσάντων, ἐν τῇ ὑπὲρ τῶν Χριστιανῶν μάχῃ. Καὶ ταῦτα χρεὼν ἐκ παντὸς τρόπου τιμᾶν ὁσίως καὶ ταφῆς ἀξιοῦν καὶ μνήμης ἀειμνήστου, ἀλλὰ καὶ τὰ τέκνα τούτων καὶ τὰς γαμετὰς καὶ τοὺς ὅλους οἴκους αὐτῶν δέον τῆς παρὰ σοῦ προνοίας ἀπολαύειν, ὦ στρατηγὲ, καὶ ἐπιμελείας καὶ ἀντιλήψεως. Οὕτως γὰρ οἱ στρατιῶται καὶ εὔψυχοι καὶ πρόθυμοι πρὸς τοὺς πολεμικοὺς κινδύνους γενήσονται, ἐν ἐκείνοις βλέποντες τί αὐτοῖς συμβήσεται μετὰ τὸ τέλος, ἐὰν προθύμως ἀριστεύσαντες ἀγωνίζωνται.

NOTÆ.

(26) *Ἐξατωρίας*. Scribe, ἐξαυτωρείας. Jam ἐξαυτωρεία, est Latinum, *Exauctoratio*. Vide *Glossarium* nostrum.

(27) *Ἐὰν δέῃ*. Scribe, ἐὰν δὲ ᾖ.

(28) *Ἀλογίαν*. Scribe, ἀναλογίαν.

Digitized by Google

ογ'. Παρασκευῆς τῆς ἐν πολέμοις ὀφειλούσης μὴ ἀμέλει, ὦ στρατηγέ, κατὰ τὸν καιρὸν τοῦ χειμῶνος· ἵνα τοῦ ἔαρος ἐπιγινομένου ἀνυστερήτως καὶ ἀνεμποδίστως τὴν στρατείαν ἐξάγῃς.

A 73. Ea quæ ad bellum pertinent hieme parabis, ut vere ineunte nulla re defectus, aut destitutus prælium inire possis.

οδ'. Ῥήμασι πειθηνίοις ὁμίλει συνεχῶς τῷ πλήθει τῶν στρατιωτῶν, ὥστε ὁμονοεῖν αὐτοὺς ἐν τῷ καιρῷ τῆς μάχης, καὶ φιλικῶς αὐτοὺς διακεῖσθαι ἐπιτήδευε, ἵνα ἡδέως ὑπὲρ ἀλλήλων συναγωνίζωνται.

74. Oratione blanda ac benigna milites semper appellabis, et exhortaberis ut inter se consentiant, et benevolo animo toto hoc prælii tempore inter se sint, ut alacrius se mutuo defendant.

οε'. Ὅταν δημοσίως παρατάξῃς σύμμικτον στρατὸν, ἧγουν πεζῶν ὁμοῦ καὶ καβαλλαρίων, τοὺς μὲν πεζοὺς δέκα τὸ βάθος, ἧγουν ἐπὶ δέκα τὸ πάχος ποιήσεις τοὺς ὀρδίνους· τοὺς δὲ καβαλλαρίους ἐκτάξεις ὥσπερ δύο κέρατα ἔνθεν κἀκεῖθεν πρὸ τῆς παρατάξεως.

75. Ubi publicam aliquam aciem et permistam ex equitatu et peditatu instruis, peditatum ad decem virorum altitudinem per contubernia instrues, equites autem quasi duo cornua hinc atque illinc peditum collocabis.

B

ος'. Στρατιωτῶν γενναίων δοκιμασία γίνεται, ἐὰν ἀγνοούντων αὐτῶν ἀθρόον κτύπον τινὰ, ἤτοι ἦχον μέγαν ἢ τυμπάνου, ἢ ἑτέρου τινὸς ἐξαισίου, προσφέρῃς ἀπροσδοκήτως· τό τε γὰρ τοὺς μὴ καταπλησσομένους, ἀλλ' ἀτρεμοῦντας πρὸς τὸν ἐξαίσιον κτύπον, ἐκλέγου ὡς σταθεροὺς καὶ ἀνδρείους, ἐξ ὧν καὶ ἄρχοντας καταστήσεις.

76. Spectati milites hoc modo explorantur, si imprudentibus illis, sonus quidam, ac strepitus, vel tympani, vel alterius novæ atque inauditæ rei de improviso personet. Eos enim qui intrepidi sunt, neque ad hunc sonitum expavescunt, quasi stabiles fortesque eliges, et præfectos ex illis deliges.

οζ'. Κατὰ τὸν καιρὸν τοῦ πολέμου δεῖ μὲν εὐχὰς πρὸς Θεὸν καταβαλέσθαι, καὶ σύμμαχον ἐκεῖνον καλεῖν, μὴ μέντοι τῶν προκειμένων ἀγώνων καταμελεῖν, ἢ τῶν ὀφειλομένων πράξεων κατολιγωρεῖν. Σὺν Θεῷ γὰρ δεῖ καὶ τὰς χεῖρας σαλεύειν, καὶ ὡς ὄργανα παρέχειν ὑπηρετοῦντα. Οὔτε γὰρ τοξότης ἐὰν μὴ ῥίψῃ τὸ βέλος εὐστοχήσει ποτὲ, οὔτε ὁ μὴ μένων, ἀλλὰ φεύγων, κρατήσει τῶν ἐχθρῶν, οὔτε ὅλως ὁ μὴ πράξεως ἀρξάμενος εὐπραγήσει· ἀλλ' εὔχεσθαι μὲν δεῖ τὴν νίκην λαβεῖν τοῦ πολέμου παρὰ Θεοῦ, ὁμοῦ δὲ καὶ τὰ ὅπλα κατέχειν. Καὶ μαχόμενον σύμμαχον ἐπικαλεῖσθαι τὸ Θεῖον.

77. Initio belli preces Deo adhibendæ sunt, adjutorque invocandus est, ut ne in discrimina aliqua delabantur, aut aliquid quod facto opus sit prætermittant. Nam Deo propitio, manus admovendæ ad res agendas sunt, et quasi instrumenta obedientia, corpora nostra præbenda sunt. Neque enim qui non manet, sed fugit, hostes superabit: neque qui rem non inceptat, fortunatus erit, sed precandum est ut victoriam belli a Deo consequamur, ut armis nostris utamur, et in pugna adjutorem illum habeamus.

C

οη'. Ὑπό τινος συνηθείας πολλάκις ὁ στρατὸς ἀπὸ συμβόλων ἢ σημείων τινῶν εἰς δειλίαν εἴωθε τρέπεσθαι, ἀλλ' εἴποτε τοιοῦτόν τι γένηται, ἀναζητήσεις αὐτὸς, καὶ εὑρὼν ἀντιμεταλλάξεις αὐτῶν τὴν διάνοιαν διὰ τῆς σῆς ἀγχινοίας μεθερμηνεύων τὰ σύμβολα ὡς ἐνδέχεται· ἵνα δι' ὧν εἰς δειλίαν κατέπεσον, διὰ τούτων εἰς θάρσος αὐτοὺς καὶ ἐλπίδας ἀγαθὰς διαναστήσεις.

78. Signorum quorumdam et portentorum spectra, milites in timorem conjiciunt: quæ si contingant, exquires, et ipse aliquid, quo possis illorum mentes in contrariam sententiam vertere, et oratione tua aliquo traduces, ut quibus rebus in animi dimissionem inciderunt, iisdem iterum in alacritatem et spem bonam erigantur.

οθ'. Νίκης φημιζομένης προθυμότερον πρὸς τὰς μάχας τὸ στράτευμα γίνεται. Ἐὰν τοίνυν διὰ μὲν τοιαύτης φήμης θάρσος ἐμποιήσῃς τοῖς στρατιώταις· μετὰ εὐψυχίας δὲ καὶ ἀνδρείας ἐπιμελῶς ἐγχειρήσῃς τῆς μάχης, ἔλπιζε σὺν Θεῷ τὴν φημιζομένην νίκην παρέσεσθαι.

D 79. Rumore de victoria injecto, alacrior ad prælium suscipiendum exercitus erit. Si igitur tali rumore alacritatem militibus attuleris, et fortiter ac strenue in bellum ingressus fueris, bonam spem habe propitio Deo victoriam adfuturam.

π'. Τὴν ποτε (29) καιρὸς ὅτε, Σκιπίων Ῥωμαίων ᾑρέθη ἀπὸ ψήφου κοινῆς στρατηγὸς, καὶ ἡλικίας ἦν ἐτῶν τῶν ὀκτωκαίδεκα στρατηγικῶν ἀπαρχόμενος ἔργων. Παρευθὺ δὲ τῆς ἀρχῆς ἐκέλευσεν ἀποπέμπεσθαι τοῦ στρατοῦ κραββάτους καὶ τραπέζας καὶ διάφορα ἐκπώματα, καὶ τὰ ἄλλα σκεύη πάντα, πλὴν χύτρας χαλκῆς, καὶ σουβλίου σιδηροῦ, καὶ ποτηρίου, τοῖς ἔχουσι (30) μὲν, ἀργυροῦ, τοῖς δ' ἄλλοις, ξυλί-

80. Scipio autem olim Romanis communibus suffragiis, cum decem et octo annorum esset, imperator delectus est. Initio autem magistratus sui jussit omnes lectulos, mensas, varia pocula, et reliqua vasa omnia amandari, præter ollam æneam, et subulam ferream, et poculum aliis argenteum, aliis ligneum. Ut vero nemo lavaret se, aut ullo oleo inungeret, præcepit: et ut omnes obsonium in

NOTÆ.

(29) *Τὴν ποτε*. Restituo, Ἦν ποτε.

(30) *Τοῖς ἔχουσι*. Scribe, τοῖς ὄρχουσι.

Digitized by Google

prandio incoctum, quod ad ignem nunquam admovebatur, haberent, in cœna autem carnes, aut coctas, aut elixas, et parvo sub tegmine præfectus recubaret. Itaque universum tempus imperii sui transmittens victoriis, et prudentia imperatoria cum primis illustris habebatur. Astrologiam autem, et portentorum præsensiones, et auguria, et insomniorum divinationes, reliquasque hujusmodi prænotiones, et judicationes aliaque omnia quæ providentiam solertiamque imperatoriam reprimere possent, repudiavit, atque abdicavit. Hunc si imiteris, consimilem gloriam, similia victoriæ tropæa reportabis.

A νου. Μὴ λούεσθαι δέ τινα, μήτε ἀλείφεσθαι μύρον ἐκέλευσε τὸ οἰονοῦν. Ἀριστᾷν δὲ ὄρθρου ἄπυρον βρῶσιν, δειπνοῦντας δὲ προσφέρεσθαι κρέας ἢ ὀπτὸν, ἢ ἐψητὸν, ἀνακλίνεσθαι δὲ ἐπὶ μικρᾶς σκέπης τοὺς ἄρχοντας. Καὶ οὕτως τὸν ὅλον χρόνον τῆς αὐτοῦ στρατηγίας διανύσας, περιβόητος ἐν ταῖς στρατηγίαις καὶ ταῖς νίκαις ἐγένετο. Ἀπεσείετο δὲ καὶ ἀστρολογίας, καὶ μαντείας, καὶ τὰς ἀπὸ συμβόλων ἢ σημείων δηλώσεις, καὶ ὀρνεοσκοπίας (31), καὶ δι' ὀνείρων μαντείας, καὶ τὰς ἄλλας τοιαύτας προγνώσεις τε καὶ κρίσεις, καὶ τὰ ἄλλα ὅσα τῆς ὀφειλομένης προνοίας τὸν στρατηγὸν ἀναστέλλουσι. Τοῦτον ἐὰν μιμήσῃ, ὦ στρατηγὲ, καὶ αὐτὸς τῆς ὁμοίας δόξης ἐκείνῳ, καὶ τῶν νικητικῶν ἐπιτεύξῃ τροπαίων (32).

81. Arcus, et sagittæ arma sunt parabilia, et ubi usus requirit magnam afferunt utilitatem. Præcipimus igitur tibi, ut mandes omnibus tuis, qui in castellis, vicubus, et aliis locis sub imperium tuum subjectis habitant, atque adeo omnibus ut, si fieri possit, unusquisque vir, sin minus unaquæque saltem domus arcum habeat, et sagittas quadraginta, illisque se exerceant, tum in locis planis atque asperis, tum condensis. Milites enim in bello illis utantur; alii autem suis locis, si quando contingat subita aliqua incursio in illos esse. Nam et in saxis præruptis, et in angustiis locorum, et condensis in silvis viri stantes, magna damna hostibus sagittas jaciendo inferent, neque audebunt hostes fortiter illos invadere. Itaque hujusmodi sæpe loca tuta, et sine aliqua noxa conservantur, hostibus præ timore sagittarum eo accedere formidantibus.

B πα'. Τὰ τόξα ὅπλα εἰσὶν εὐπόριστα, ἐν καιρῷ δὲ χρείας μεγάλην ἔχει τὴν ὠφέλειαν. Παρακελευόμεθα οὖν σοι διατάξασθαι πᾶσι τοῖς ὑπὸ σὲ καὶ κάστροις καὶ χωρίοις καὶ κωμοπόλεσι καὶ ἁπλῶς ἅπασιν, ὥστε, εἰ δυνατὸν, ἕκαστον ἄνδρα ἴδιον τόξον ἔχειν. Εἰ δὲ μήγε κατ' οἶκον ἕνα τόξον καὶ σαγίττας μέχρι τεσσαράκοντα, καὶ γυμνάζεσθαι ἐν αὐτοῖς, καὶ εἰς δυσχωρίας, καὶ εἰς ὁμαλοὺς τόπους, καὶ εἰς κλεισούρας, καὶ εἰς δάση. Οἱ μὲν γὰρ στρατιῶται ἐν τοῖς πολέμοις τούτοις χρήσονται, οἱ δὲ λοιποὶ ἐν τοῖς ἰδίοις τόποις, εἰ ἄρα τύχῃ τῶν ἐχθρῶν αἰφνίδιος ἐπιδρομὴ κατ' αὐτῶν· καὶ γὰρ καὶ κατὰ πετρῶν ἀκροτόμων ἱστάμενοι ἄνδρες καὶ ἐν στενοῖς τόποις καὶ εἰς δάση ὕλης, πολλὴν ἐμποιήσουσι (33) τὴν C βλάβην τοῖς ἐχθροῖς τοξεύοντες, καὶ οὐ ταχέως θαῤῥήσουσιν αὐτοῖς ἀδεῶς ἐπελθεῖν οἱ πολέμιοι, καὶ ἐντεῦθεν ἀνάλωτα τὰ τοιαῦτα χωρία καὶ ἀβλαβῆ διαφυλαχθήσονται, δεδοικότων τὰς ἐκ τῶν βελῶν πληγὰς τῶν πολεμίων.

82. Ubi Deus tibi pugnanti victoriam dederit, ut hostes tuos profliges, ne permittas, ut milites dissipata et disjecta acie, vel arma diripiant, vel apparatum hostium populentur, ut ne conversi hostes damnum inferant iis qui insequebantur. Superati enim prælio, ne apparatum quidem proprium retinebimus, victores autem tum nostrum, tum hostium arma habebimus.

πβ. Ἡνίκα Θεὸς παράσχῃ σοὶ μαχομένῳ τρέψασθαι τοὺς ἐχθροὺς, μὴ ἐάσῃς τοὺς στρατιώτας λύσαντας τὴν ταγὴν διαρπάζειν, ἢ τὰ ὅπλα, ἢ τὰ σκεύη τῶν πολεμίων, ἵνα μὴ ἀντιστραφέντες βλάβην ποιήσωσι κατὰ τῶν διωκόντων οἱ διωκόμενοι. Ἡττηθέντες μὲν γὰρ οὐδὲ τὰ ἴδια σκεύη κερδήσομεν, νικήσαντες δὲ καὶ τὰ ἡμέτερα κατὰ τῶν πολεμίων (34) ἕξομεν.

83. Imperator munera capiens res gravis ac perniciosa civitati est; nam et milites attenuati ex eo pauperiores fiunt, et præfecti omnes tum majores, tum minores, hoc malo latius serpente, minus strenui ad res gerendas redduntur.

πγ'. Στρατηγὸς δωρολήπτης πρᾶγμα δεινὸν καὶ ὀλέθριον τῷ στρατεύματι. Δύο γὰρ τὰ μέγιστα D ἐντεῦθεν συμβαίνει κακά. Καὶ γὰρ καὶ οἱ στρατιῶται λειξουρευόμενοι (35) ἄποροι γίνονται, καὶ οἱ ἄρχοντες ἀνανδροι προχειρίζονται, ἀπὸ τῶν πρώτων ἕως τῶν ἐσχάτων νεμομένου τοῦ τῆς δωροληψίας κακοῦ, ἐξ οὗ στράτευμα κατ' ἐχθρῶν ἀνδραγαθεῖν οὐ δύναται.

84. Speculatores elige firmos, celeres, fideles,

πδ'. Τοὺς κατασκόπους ἐπιλέγου σταθεροὺς, καὶ

NOTÆ.

(31) *Ὀρνεοσκοπίας*. Legebatur, ὀρνο...πίας.

(32) *Ἐπιτεύξῃ τροπαίων*. Legebatur, ἐπι... τ.

(33) Ab πολλὴν ἐμποιήσουσι paragraphi 81 ad ἄχρηστον γενήσεται paragraphi 96, nihil legitur in cod. Laurent.

(34) *Κατὰ τῶν πολεμίων*. Scribe, καὶ τὰ τῶν π.

(35) *Λειξουρευόμενοι*. Rectius scribe, λειξουριεύομενοι. Nam, λειξουριεύειν dicebant, quod Latini *luxuriari*. Male Checus interpretatur, *affligere*. Sic λειξουρία, *luxuria*. Apud Nicetam in Alexio Angelo, lib. II: Οὐκ ἔλαττον δὲ καὶ ἡ λειξουρία τῶν περὶ αὐτὸν, καὶ τὸ πρὸς συλλογὴν χρημάτων ἄκλητον τινων καὶ ἀκόρεστον. Apud Suidam scribitur, λειξούρα. Minus recte.

Digitized by Google

ὀξεῖς, καὶ πιστοὺς, καὶ σπουδαίους, δόξαν μᾶλλον καὶ τιμὴν ἢ χρήματα ἀγαπῶντας. Οἱ γὰρ τοιοῦτοι ὄντες μηνύουσι τὴν ἀλήθειαν, οἱ δὲ ἐλαφροὶ τὴν γνώμην, καὶ δειλοὶ, καὶ ὅσοι περὶ τὴν κτῆσιν τῶν χρημάτων σπουδάζουσιν, οὐ δύνανται ἀπαγγέλλειν τὴν ἀλήθειαν. Διὸ καὶ κινδύνου πολλάκις αἴτιοι καὶ αὐτῷ τῷ στρατηγῷ καὶ τῷ στρατεύματι γίνονται.

A industrios, existimationis suæ gloriam pecuniis anteponentes. Nam qui tales fuerint, veritatem ad nos referunt. Qui autem levi animo, timidi, pecuniæ cupidi sunt, veritatem nobis explicare non possunt. Itaque magnarum offensionum auctores sæpe fiunt tum imperatori, tum universo exercitui.

πε'. Ῥᾳδίως οἱ στρατιῶται ἐν ταῖς ἐκστρατείαις διὰ δώρων καὶ ἐλπίδων ἀγαθῶν καλλίονες γίνονται· ἐν δὲ καιρῷ εἰρήνης ἢ διὰ φόβου, ἢ διὰ κολάσεως ἐπὶ τοῖς, ὡς εἰκὸς, ἁμαρτανομένοις γινομένης ἀνορθοῦνται.

85. Facile milites in expeditionibus, donis, ac spe bona illustriores redduntur; pacis tempore vel timore, vel pœna eorum, qui deliquerunt, a nefariis factis reprimuntur.

πς'. Ἴσθι ὅτι μᾶλλον κατορθώσεις, ὦ στρατηγὲ, λιμῷ καὶ συχναῖς ἐπιδρομαῖς τὴν τῶν πολεμίων δύναμιν καταλύειν, ἢ τοῖς ὅπλοις αὐτὴν πειρώμενος καταστρέφειν.

86. Scias te, imperator, fame et frequentibus incursionibus hostes magis lædurum, quam si armis coneris illos opprimere.

πζ'. Ἀσφαλῆ καὶ ἰσχυρὰ, καὶ ἀπαθῆ ὄντα τὰ ἡμέτερα κατανοῶν, ἐὰν ἐπ' αὐτοῖς κατάσκοπον κρατήσεις ἐν πολέμου καιρῷ, μὴ κατάσχῃς τοῦτον, ἀλλ ἔασον, ὡς ἂν ἀπαγγείλας τοῖς πολεμίοις τὰ περὶ τῆς σῆς καταστάσεως καταπλήξῃ τὰ τούτων φρονήματα. Ἐὰν δέ τι παρὰ σοὶ γινώσκεις ἀσθενὲς, κόλαζε τοῦτον, ἵνα τῶν πολεμίων ἐξείπωι τὰ μυστήρια, καὶ τελευταῖον ἢ διάφθειρε, ἢ ἀσφαλῶς ἀλλαχοῦ τοῦτον ἐκπεμπε.

87. Si res tuas firmas, robustas, et perturbationi minus obnoxias cognoveris, et hostium speculatorem aliquem belli tempore ceperis, ne eum apud te retineas, sed permitte, ut ad suos redeat, et universas copias tuas, atque apparatum illis ostendat; ea enim res illorum animos vehementer perturbat. Sin imbecilles tuæ fuerint copiæ, hunc ita coerceas, ut tibi hostium secreta concilia enuntiet, et ad extremum, vel illum trucidabis, vel aliquo alio ablegabis.

πη'. Δυνατὰ γενέσθαι καὶ μεγάλα βουλόμενος, ἐμβράδυνε μικρὸν τῇ βουλῇ ἐρευνῶν τὸ χρήσιμον. Ἐπὰν δὲ τὴν πρέπουσαν βεβαιώσῃς γνώμην, ἐπιτέλει ταχέως τὰ βουλευθέντα χωρὶς ἀναβολῆς, μάλιστα ἐν πολέμου καιρῷ· καὶ γὰρ καὶ Ἀλέξανδρόν ποτε τὸν βασιλέα ἐρωτώμενον, πῶς ἐν ὀλίγοις ἔτεσι τοσαῦτα καὶ τηλικαῦτα μεγάλα κατώρθωσε πράγματα, λέγεται εἰπεῖν, Ὅτι οὐδὲν δεόμενον τῇ σήμερον ὑπερεθέμην εἰς τὴν αὔριον.

88. Ea quæ geri abs te possunt, et magna sunt, cum provisa, ac circumscripta deliberatione, quid maxime ex usu tuo sit, suscipias; ubi susceperis, sine ulla dilatione, quæ deliberata sunt conficias. Nam Alexander aliquando rex, quomodo paucis annis tot tantasque res administrasset interrogatus, respondisse fertur, Quia nihil, quod hodie faciendum fuit, in proximum diem distulerim.

πθ'. Ὅταν χρεία σοι γενήσεται συμμάχων, οὐ δεῖ σε τούτους μετὰ τοῦ οἰκείου συμμιγνύειν στρατοῦ, μάλιστα ἑτέρας ὑπάρχοντας πίστεως. Ἀλλὰ καὶ τὰ ἅπληκτα αὐτῶν καὶ τὰς ὁδοιπορίας ἰδίᾳ καὶ χωρὶς γίνεσθαι παρασκεύαζε, καὶ παντοίως αὐτῶν ἀπόκρυβε τὰ στρατηγήματα τῆς σῆς παρατάξεως, ἵνα μὴ ταῦτα γινώσκοντες ἐν καιρῷ ἔχθρας εὐμηχανώτεροι γένωνται ἐν ταῖς κατὰ σοῦ πολεμικαῖς συμπλοκαῖς. Ἀλλὰ μηδὲ πλείονα στρατὸν ἐπάγου τῶν σῶν δυνάμεων, ἵνα μὴ, καθὼς καὶ ἐν ἄλλοις ἡμῖν εἴρηται, ἢ εὐκόλως παρ' αὐτῶν ἐπιβουλευθῇς, ἢ τῆς σῆς γῆς ἐγκρατεῖς γένωνται.

89. Ubi tibi societate opus est, eam cum exercitu tuo non miscebis, tumque minime, si fide ac religione alia sit, quam tu es, sed castra, atque itinera illorum a tuis longe separabis, et consilia, conatusque aciei tuæ ab illis quantum potes occulta, ut ne si ea cognoverint, ubi inimicitiæ inter vos postea fuerint, ad confligendum tibi habiliores sint. Sed neque majorem societatem asciscas, quam tuæ ipsius copiæ sunt, ut ne, quemadmodum antea diximus, vel tibi insidientur, vel locum abs te expugnatum præripiant.

ρ'. Στρατηγὸς εἰρήνης ἐπιθυμῶν εὐτρεπὴς ἔστω πρὸς τὸν πόλεμον. Ἐὰν οὖν βούλει ποιῆσαι τοὺς πολεμίους, καὶ ἀγωνίαν, ἢ εἰρήνην αἰτεῖσθαι παρὰ σοῦ, ἕτοιμον ἀεὶ πρὸς τὸν κατ' αὐτῶν πόλεμον σεαυτὸν ἀποδείκνυε. Οὕτως γὰρ δειλιάσουσιν, καὶ τὴν εἰρήνην ἀσπάσονται.

90. Imperator qui pacem affectat, ad bellum se præparet. Si enim volueris facere, ut hostes abs te aut dimicationis tempus, aut pacem petant, teipsum paratum ad bellum demonstrato; ita enim timidiores redduntur, et pacem amplectentur.

ρα'. Τρυφὴν μηδέποτε φιλήσεις, ὦ στρατηγὲ, μάλιστα δὲ σὺν τῷ στρατῷ διάγων, κοινὸς ὄλεθρος αὕτη καὶ τῷ στρατηγῷ καὶ τῷ στρατεύματι γίνεται.

91. Luxum nunquam amabis, tum autem minime, quando cum exercitu es: communis enim clades ea exercitui et imperatori est.

ρβ'. Οὔτε ἐν ταῖς εὐπραγίαις ἐπαίρεσθαί σε χρεὼν,

92. Neque prosperitate rerum elatus sis, ne-

Digitized by Google

que adversis rebus deprimaris. Neque enim mollis, aut fractus exercitui tuo videri debes, sed constans et gravis, et ad omnem fortunam accipiendam fortis. Nam qui facile lætitia gestit, facile etiam dolore contrahitur, et languidine mentis effeminatæque hoc magnum argumentum est.

93. Quidquid immoderatum est, haud probandum est. Itaque neque admodum terribilis subjectis tuis, neque nimis facilis sis: utraque enim minus apta imperatori in exercitu sunt. Multus enim timor odium ingenerat, magna facilitas contemptum parit. Moderatio igitur quædam adhibenda est, ut in utramque partem moderatus sis, neque supplicia nimis crudeliter, atque iracunde inferas, neque rursus omnia soluta, atque impunita relinquas, ut ne magna in confusione, ac perturbatione rerum exercitus tuus videatur esse.

94. Belli tempore noctu de rebus agendis deliberabimus, interdiu autem deliberata faciemus. Neque enim idem tempus esse debebit consilii, et actionis suscipiendæ.

95. Victor terribilis hostibus imperator censebitur, non qui verbo solum adversus hostes gloriari poterit, sed qui re ipsa firmare, quod verbis dixit poterit.

96. Si quando parvum habes exercitum, et hostium tuorum copiæ longe plures sunt, minorem angustioremque locum capito, et copiis tuis idoneum. Itaque fiet, ut multitudo hostium inutilis fiat, ubi locus multitudinis minus est capax.

97. Inducias, et fœdera belli cum hostibus faciens, ne propterea in negligentia aliqua aut socordia sis, sed majoribus custodiis castra, aut regionem tuam munias. Si enim fœdera violare hostes voluerint, præter indignationem, iramque Dei, perfidiam tibi accerserunt, tu vero, undique munitus, et Dei præsidium habes et fidem conservas, et honesto in loco apud omnes propterea es. Turpe est enim imperatori dicere, Non putaram.

98. Hoc etiam ad imperatoriam laudem magnopere pertinet, reputare tecum, et experientia certa cognoscere, hostium castra quanta sint. Hoc fiet, si teipsum exercueris, ut cognoscas quantus unusquisque locus, et qualis sit, quotque milites, quemadmodum nobis ante descriptum est, capere possit.

99. Par est autem, quemadmodum hostium copias studeas cognoscere, sic et hostibus minus cognitæ tuæ sint. Ubi vero multitudinem copiarum tuarum clam hostes esse cupis, militibus præcipies, ut densati ambulent: addensatio enim, et contractio hebetat hostium oculos, et perfecte numerum tuorum comprehendere non sinit. Contra autem, si exiguas copias tuas efficere cupis, ut plures videantur, rariores inambulent et consistant milites, et ampliorem spa-

A οὔτε ἐν ταῖς δυσπραγίαις καταπίπτειν. Οὐδὲ γὰρ δεῖ σε τοιοῦτον τῷ στρατεύματι φαίνεσθαι, ἀλλὰ σταθερὸν ἀεὶ, καὶ πρὸς τὰ τοιαῦτα ἀνεπίγνωστον· τὸ γὰρ ταχέως πρὸς χαρὰν ἐπαίρεσθαι φανερῶς, καὶ πρὸς λύπην πάλιν προδήλως καταπίπτειν, ψυχῆς ἐστιν μαλακῆς καὶ ἀναξίας στρατηγοῦ.

ιγ'. Ὑπερβολὴ παντὸς πράγματος οὐκ ἀπόδεκτόν ἐστι, διὸ μήτε λίαν φοβερὸς τοῖς ὑπηκόοις ὑπάρχῃς, ὦ στρατηγὲ, μήτε λίαν ἐπιεικής· ἀμφότερα γὰρ ἀκατάλληλα τῷ στρατηγῷ πρὸς τὸ στράτευμα γίνεται. Ὁ μὲν γὰρ πολὺς φόβος μῖσος ἀπογεννᾷ, ἡ δὲ πολλὴ ἐπιείκεια καταφρόνησιν ἐργάζεται. Ἀρίστη δὲ ἡ τοῦ μέσου διάθεσις, ὥστε σύμμετρόν σε εἶναι πρὸς ἀμφότερα, καὶ μήτε τὰς ἐπεξελεύσεις τῶν ἁμαρτανομένων μετὰ ἀπονοίας ποιεῖσθαι καὶ ἀμέτρου B ὀργῆς, μήτε πάλιν παντελῶς ἀφιέναι ἀτιμώρητα, ὥστε εἰς ἀναρχίαν δοκεῖν περιίστασθαί σου τὴν ἀρχήν.

ιδ'. Ἐν πολέμου καιρῷ βουλεύου μὲν ἐν νυκτὶ τὸ πρακτέον, τὰ δὲ δόξαντα τῇ βουλῇ ἐπιτέλει μεθ' ἡμέραν. Οὐ γὰρ ὁ αὐτὸς ὀφείλει καιρὸς εἶναι βουλῆς τε καὶ παρατάξεως.

ιε'. Νικητὴς καὶ φοβερὸς τοῖς πολεμίοις λογισθήσεται ὁ στρατηγὸς, οὐχ ὁ τῷ λέγειν μόνον καὶ ἐγκαυχᾶσθαι κατ' αὐτῶν δυνατὸς, ἀλλ' ὁ ταῖς πράξεσιν αὐτοῦ τοὺς λόγους βεβαίους ἀποδεικνύς.

ις'. Ὅταν ὀλίγον ἔχῃς στράτευμα, τῶν πολεμίων δὲ εἰς πλῆθός ἐστιν, σπεῦδε καταλαβεῖν μικρότερον χωρίον καὶ στενώτερον, καὶ σύμμετρον τῷ σῷ στρα- C τεύματι. Τὸ γὰρ περισσὸν τῶν πολεμίων πλῆθος ἄχρηστον γενήσεται, τοῦ τόπου μὴ ἐπιδεχομένου τὸ πλέον.

ιζ'. Συνθήκας καὶ ἀνοχὰς πολέμου πρὸς τοὺς πολεμίους ποιούμενος, μὴ διὰ ταύτας ἐν ἀμελείᾳ διατελῇς, ἀλλὰ μᾶλλον μείζοσι καὶ ἀκριβεστέραις περιλάμβανε ταῖς φυλακαῖς τὸ στρατόπεδον, ἢ τὴν χώραν. Ἐὰν γὰρ παρασπονδῆσαι βουληθῶσιν οἱ πολέμιοι, ἐκεῖνοι μὲν μετὰ τῆς τοῦ Θεοῦ δυσμενείας καὶ ἀπειλῆς ἕξουσι τὸ ἄπιστον, σὺ δὲ μετὰ τῆς ἀσφαλείας εὑρισκόμενος ἕξεις τὸ πιστὸν μετὰ τῆς τοῦ Θεοῦ βοηθείας. Ἀνάξιον γὰρ στρατηγοῦ τὸ λέγειν, Τοῦτο οὐ προσεδόκων.

ιη'. Καὶ τοῦτο δέ σοι ἀναγκαῖον, ὦ στρατηγὲ, πρὸς στρατηγικὴν τελειότητα, τὸ συλλογίζεσθαι καὶ D γινώσκειν ἀκριβῶς ἐκ τῆς πείρας τὸ τῶν πολεμίων στρατόπεδον πόσον ἐστίν. Τοῦτο δὲ γίνεται, ἐὰν προγυμνασάμενος γινώσκῃς πόσος τόπος καὶ ποῖος πόσους στρατιώτας ἐπιδέχεσθαι δύναται, καὶ ὡς ἐν ἄλλοις ἡμῖν προδιώρισται.

ιθ'. Ἄξιον δέ σοι, ὦ στρατηγὲ, ὥσπερ τὴν εἰρημένην γνῶσιν τῆς τῶν πολεμίων στρατείας ὀφείλεις ἔχειν, οὕτως καὶ τοὺς πολεμίους λανθάνειν τὸ πλῆθος τῶν σῶν στρατευμάτων. Ὅταν δὲ βούλῃ λαθεῖν τοὺς ἐχθροὺς τῆς σῆς δυνάμεως τὸ πλῆθος, πυκνοὺς περιπατεῖν ἢ ἑστάναι παράγγελλε τοὺς στρατιώτας. Ἡ γὰρ συνέχεια καὶ σφίγξις σφάλλειν ποιεῖ τὴν ὄρασιν τῶν πολεμίων, καὶ ἀκριβῶς εἰκάζειν τὸν ἀριθμὸν τῆς σῆς δυνάμεως οὐκ ἐᾷ. Ὁμοίως καὶ ἐπὶ τοῦ ἐναντίου, εἰ βούλει παραδεῖξαι τὴν σὴν δύναμιν πολλὴν,

Digitized by Google

ὀλίγην οὖσαν, ἀραιοτέρους καὶ περιπατεῖν καὶ ἵστα- A tiosioremque locum, quam multitudo illorum re-
σθαι τοὺς στρατιώτας ποιήσεις, ὡς ἂν καὶ πλείονα quirit, exigant. Utraque enim horum, si idoneo
τοῦ συμμέτρου τόπον περιλαμβάνωσιν. Ἀμφότερα tempore locoque fiant, ad decipiendos hostes ma-
γὰρ ἐν καιρῷ ἰδίῳ γενόμενα, καὶ χρεία χρήσιμα gnopere valebunt.
πρὸς ἀπάτην τῶν ἐχθρῶν εὑρίσκεται.

ρ'. Ἴσης καὶ ὁμοίας οὔσης τῆς τε τῶν πολεμίων 100. Si æquales tuæ hostiumque copiæ fuerint,
παρασκευῆς, καὶ τῆς ἡμετέρας, ὁ κάλλιον παρα- ille melius instruit exercitum imperator sive tu,
τασσόμενος στρατηγὸς, εἴτε σὺ, εἴτε ὁ πολέμιος, sive hostis fuerit, qui plurimis ad bellum con-
μᾶλλον πλεονεκτήσει, περιττὴν ἔχων τῆς δυνά- siliis factisque imperatoriis valuerit.
μεως τὴν ἐκ τῶν στρατηγημάτων ἢ τάξεων ἰσχύν.

ρα'. Μὴ πρώτους ἐάσῃς παρὰ σὲ τὴν οἰκείαν δύ- 101. Ne patiaris, ut hostes suas copias prius-
ναμιν τοὺς ἐναντίους ἐκτάξαι, ἀλλὰ σπεῦδε πρό- quam tu instruant, sed contende, ut ante illos
τερος ἐκείνων τὴν παράταξίν σου διατάξαι. Ἐὰν γὰρ tuæ paratæ sint. Si enim prior instruxeris pro
πρότερος φθάσῃς παρατάξασθαι, σὺ μὲν ὃ βούλῃ arbitratu tuo, jam paratus quidvis suscipias:
κατ' ἐξουσίαν ὡς ἕτοιμος πράξεις· ὁ δὲ πολέμιος hostis autem fortasse ne tempus quidem seipsum
οὐδὲ τοῦ καθοπλισθῆναι τάχα λάβοι καιρὸν τὴν σὴν B armandi, jam nunc tuam metuens incursionem,
ταχεῖαν φοβούμενος ἐπέλευσιν. habebit.

ρβ'. Οὕτως οὖν ἐὰν προεκτάξῃς, καὶ κατὰ τὴν συμ- 102. Si igitur ita te ad confligendum præparave-
βολὴν ἐξ ἑτοίμου τοῖς ἐναντίοις ἐγχειρήσῃς ἀσφαλῶς, ris, hostes tuos tuto ac idonee adorieris, et au-
θάρσος μὲν τῷ σῷ στρατεύματι ἐμποιήσεις, δειλίαν daciam copiis tuis afferes, et timorem hostibus
δὲ τοῖς πολεμίοις ἐνθήσεις. injicies.

ργ'. Νόμον ἔχε ἀπαράβατον, τὸ πολλὴν ποιεῖσθαι 103. Maximæ tibi curæ sint milites sauciati,
τῶν πληγάτων στρατιωτῶν τὴν πρόνοιαν. Ἐὰν γὰρ ut serventur. Si enim eos neglexeris, militum
ἀμελήσῃς αὐτῶν, τοὺς λοιποὺς στρατιώτας ἀθελοκα- animos a prælio abhorrentes et dejectos effi-
κοῦντας ἐν ταῖς μάχαις καὶ λυπουμένους εὑρήσεις. cies: neque id solum, sed etiam, qui diligen-
Καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ αὐτοὺς τοὺς τραυμα- tia, et cura conservari poterant, negligentia a-
τισθέντας, καὶ δι' ἐπιμελείας δυναμένους ἀνασωθῆναι, mittes.
διὰ ῥᾳθυμίαν ἀπολέσεις.

ρδ'. Ὅταν εἰς φυγὴν τρέψῃς τοὺς πολεμίους ἀντ- 104. In fugam jam conversis hostibus, præcipo
έχεσθαι τῆς πραΐδας παράγγελλε τοῖς στρατιώταις, C militibus, ut præda abstineant ne, dum illi dispersi
ἵνα μὴ περὶ ταύτην διαπειρομένους, καὶ ἐν αὐτῇ in præda colligenda occupati sint, hostes illis in-
ἀσχολουμένους, εὑρόντες οἱ πολέμιοι ἐπιβουλεύσουσεν sidientur, atque opprimant; sed milites illos in
αὐτοῖς, καὶ διαφθείρουσιν. Ἀλλ' οἱ μὲν στρατιῶται acie instructi tuto insequantur. Qui ad colligendam
ἐχέσθωσαν τῆς διώξεως μετὰ ἀσφαλείας, οἱ δὲ περὶ τῇ συλλογῇ τῆς πραΐδας τεταγμένοι, οἵτινες prædam instructi sunt milites, in prælio sauciatos
καὶ τοὺς τραυματίας στρατιώτας ἐν αὐτῇ τῇ μάχῃ colligent, et accurabunt, et cadaverum spolia
ἀναλέξονται καὶ θεραπεύσουσιν, αὐτοὶ καὶ τὰ τῶν decanis tradant, qui, quemadmodum supra a no-
τεθνηκότων πολεμίων σκύλα συλλέγοντες, καὶ τοῖς bis præscriptum est, diligenter procurabunt, ut ad
δεκάρχαις παραδιδόντες, ὡς καὶ ἐν ἄλλοις ἡμῖν εἴρηται, παραφυλάξουσιν αὐτὰ, ὥστε διαμερισθῆναι supradictum modum æquabiliter tribuantur.
ἐξ ἴσου κατὰ τὸν περὶ αὐτῶν ὁρισθέντα τύπον.

ρε'. Ὑποπτεύων στρατηγὸς συχνότερον τὰ τῶν 105. Qui sæpius consilia conjectat imperator,
πολεμίων ἐπιτηδεύματα ἀσφαλής μοι δοκεῖ κατά is ad bellum et apparatum bellicum maxime ido-
τε τὸν πόλεμον καὶ τὴν ἄλλην αὐτοῦ διαγωγὴν ἀνα- D neus esse videtur.
δειχθῆναι.

ρς'. Ἁμάρτημα στρατηγοῦ μέγιστον οἶδα, τὸ μιᾷ 106. Maximum imperatoris peccatum est, uno
μάχῃ φθαρῆναι τὸ πολὺ του στρατεύματος. Ἐὰν prælio omnes copias superandas tradere. Si enim
γὰρ νουνεχῶς τὴν κατὰ τῶν πολεμίων ποιήσηται prudenter se adversum hostes instruxerit, ita exer-
παράταξιν, καὶ μετὰ φρονήσεως περιστρέφηται, κἂν citum apparabit, ut si quæ offensio ei contingat,
συμβῇ τι πταῖσμα περὶ τὸν ἑαυτοῦ στρατὸν, ἢ εὐ- vel ordinate discedat, vel facile offensionem belli
τάκτως ἀναχωρήσῃ, ἢ ταχέως τὴν ἧτταν ἀναμα- recuperet.
χέσηται.

ρζ'. Λυπήσει τοὺς πολεμίους ἡ μετὰ εὐταξίας καὶ 107. Hostes maxime excruciat ordinate, atque
ἁρμοδία παρὰ σοῦ γινομένη παράταξις καὶ οὕτως æquabiliter acies instructa, quæ sic totum tempus
φυλαττομένη ἐν ὅλῳ τῷ τῆς μάχης καιρῷ. Μέγιστον prælii permanet. Caput enim omnium in acie est,
γὰρ ἐν παρατάξει κεφάλαιον, καὶ πρὸς σωτηρίαν et ad salutem firmissimum, ut milites in bello
βέβαιον, τὸ φυλάττειν τοὺς μαχομένους τήν τε τάξιν tum aciem, tum intervalla locorum conservent.
αὐτῶν καὶ μετὰ τάξυ (36) διαστήματα.

NOTÆ

(36) *Καὶ μετὰ τάξυ.* Scribe, καὶ τὰ μεταξύ.

Digitized by Google

108. Solem, et ventum, et pulverem a tergo tuorum habeas, et ex adverso facici hostium : hoc enim in primis utile est; siquidem hostium oculi vel sole hebetati, vel spiritus pulvere obstructus, vel corpora vento transverberata, facile tibi victoriam concedent.

ρη'. Ἥλιον καὶ ἄνεμον καὶ κονιορτὸν ὄπισθεν μὲν ποίει τοῦ σοῦ στρατεύματος, κατὰ πρόσωπον δὲ τῶν πολεμίων· τοῦτο γὰρ πάνυ συμφέρον εὑρήσεις· οἱ γὰρ πολέμιοι τὴν ὅρασιν συσχεθέντες, ἢ τὴν ἀναπνοὴν ἐπεχόμενοι καὶ κρατούμενοι, ἢ παρὰ τοῦ ἀνέμου τυπτόμενοι, ταχεῖάν σοι παραδώσουσι τὴν νίκην.

109. Temerarium hostem tuum ad temeritatem, e: motus quosdam inanes evoca : sin timidus fuerit, continuis incursionibus, et nec opinatis illum adoriaris. Imperatori enim hostium natura cognoscenda est, et pro ejus ratione consilia factaque tua omnia institues.

ρθ'. Θρασὺν ὄντα τὸν πολέμιον, στρατηγὲ, εἰς ἄκαιρον προπέτειαν ἐκκάλει καὶ ματαίας κινήσεις· ἐὰν δέ ἐστιν δειλὸς, ἐν ταχείαις αὐτὸν ἐπελεύσεσι καὶ συνεχέσι κατάπληττε. Δεῖ γάρ σε γινώσκειν τοῦ στρατηγοῦ τῶν πολεμίων τὴν διάθεσιν, καὶ πρὸς ταύτην κεχρῆσθαι τοῖς σοῖς στρατηγήμασιν.

110. Qui ad dicendum instructus imperator est, timidos multorum animos ad prælium accendit, et calamitatibus acceptis facile suos consolatur, et strenuos viros magis roborat, et multorum bonorum universo exercitui auctor est.

ρι'. Ἱκανὸς ὢν ἐν τῷ λέγειν, ὦ στρατηγὲ, καὶ τοὺς δειλιῶντας πολλάκις εἰς μάχην ἀναστήσεις, καὶ τὰς ἐν τοῖς στρατοπέδοις συμφορὰς εὐκόλως παραμυθήσῃ, καὶ τοὺς ἀνδρείους μᾶλλον ἐπιῤῥώσεις, καὶ πολλῶν ἀγαθῶν διὰ τῆς σῆς ἐμφρονος δημηγορίας τὸν ὑπήκοον στρατὸν ἀναπλήσεις.

111. Sobrius sis et vigilans, et omnium militarium laborum perferentior cæteris militibus. A lucri cupiditate absis; ita enim benevolentiam, et cupiditatem bonam tibi apud omnes comparabis, et cum ab illis diligeris, prompti ad omnes labores suscipiendos erunt.

ρια'. Νήφειν ὀφείλεις καὶ λίαν ὑπάρχειν ἐγρήγορος, καὶ μᾶλλον τῶν ἄλλων στρατιωτῶν τῶν πολεμικῶν μετέχειν πόνων, ὦ στρατηγὲ, ὀλίγου δὲ τοῦ κέρδους. Οὕτως γὰρ καὶ τὴν παρὰ πάντων εὔνοιαν μετὰ δόξης κτήσῃ, καὶ φιλούμενος ὑπ' αὐτῶν συναγωνιζομένους σοι προθύμως ἐν τοῖς κινδύνοις ἕξεις.

112. Ubi victoriam tibi Deus dederit, et hostis pacem utilem exoptat, ne nimis durus sis, sed concede hoc illi, et pacem cum illo facias. Cogitare enim debes ancipitem belli exitum, et quotidianam rerum mutationem, atque conversionem.

ριβ'. Ὅταν μετὰ νίκην ἡν ὁ Θεός σοι παράσχῃ ἐπιζητῇ ὁ πολέμιος εἰρήνην ἐπωφελῆ, μὴ γίνου ἀκαμπὴς, ἀλλ' ὑπάκουε τούτῳ, καὶ εἰρήνευε, ἐννοῶν τὸ τῶν πολέμων καὶ τῆς τύχης ἄδηλον.

113. Hoc autem, quod sæpe commemoravi, in primis memoria teneas, majorem te curam provisionemque armorum facere debere, quam aliorum, quæ ad arma pertinent. Nam commeatus, cæteraque necessaria, vel ex hostium regionibus suppeditari possunt : sine armis autem, aut etiam iis deficientibus, hostes profligare non potes.

ριγ'. Ὑπομιμνήσκου ἀεὶ καὶ τῶν πάλαι σοι εἰρημένων παρὰ τῆς ἡμῶν βασιλείας, ὦ στρατηγὲ, ὅτι μᾶλλον τὴν ἐπιμέλειαν τε καὶ πρόνοιαν τῶν ὅπλων χρεωστεῖς ποιεῖσθαι, ἢπερ τῶν ἐπιτηδείων περὶ τὰ ὅπλα. Οἶδας γὰρ ὅτι τὰ ἐπιτήδεια μὲν οἷον διατροφὰς, καὶ τὰ ἄλλα ἀπὸ τῆς χώρας τῶν πολεμίων πορίζεσθαι δυνατόν ἐστιν. Ὅπλων δὲ χωρὶς, ἢ τούτων ἐπιλιπόντων, τοῖς χρῄζουσιν οὐ κρατήσεις τῶν δυσμενῶν.

114. Clamosus, et vocalis exercitus, atque ad ovandum idoneus, hostium aciem magnopere perturbabit.

ριδ'. Θαρσαλέως ἀναφωνῆσαν μεγαλόφωνον στράτευμα καὶ ἐπιτήδειον πρὸς ἀλαλαγμὸν, καταπλήξει πάντως τὴν τῶν πολεμίων παράταξιν.

115. Si multitudine arcuum hostes freti sunt, humidius cœlum observabis, tum enim languidiores illorum arcus fient. Quod si tum cum hostibus confixeris, minus de illorum sagittis laborabis.

ριε'. Ἐὰν ἐν πλήθει τοξοτῶν οἱ πολέμιοι πεποίθασιν, ὑγροτέρους ἀέρας ἐπιτήρει, διὰ τὸ ἀπαλώτερα γίνεσθαι τὰ τόξα. Οὕτως γὰρ τὴν πρὸς τοὺς ἐναντίους ποιούμενος συμπλοκὴν εὐκαταφρόνητα αὐτῶν καταστήσεις τὰ βέλη.

116. Qui suis rebus gestis præ ucet, non qui generis dignitate commendatur, illustris imperator est, quemadmodum neque aurea hasta utilis ad bellum, sed ferrea et acuta est.

ριϛ'. Ὁ ταῖς οἰκείαις καλλωπιζόμενος πράξεσι στρατηγὸς, ἐκεῖνός ἐστιν ἄριστος, ἀλλ' οὐχ ὁ ἀπὸ τοῦ γένους λαμπρὸς, ὥσπερ οὐδὲ χρυσέα λόγχη χρησίμη πρὸς πόλεμον, ἀλλὰ σιδηρέα καὶ ἄκρως ἠκονημένη.

117. Magna gravitate videberis esse, quando non præsentia solum recte gubernas, sed quæ futura etiam sunt prospicis, illaque idonee administras.

ριζ'. Ὑψηλὸς τὴν διάνοιαν λογισθήσῃ, ὅταν οὐ τὰ παρόντα μόνον καὶ προσπίπτοντα διοικῇς ὀρθῶς, ὦ στρατηγὲ, ἀλλ' ὅταν τοῦ μέλλοντος τὴν δέουσαν ποιήσῃ καὶ φροντίδα καὶ πρόνοιαν.

118. A voluptatibus se temperare, omnibus est

ριη'. Ἡδονῆς κρατεῖν καὶ ἐν παντὶ καιρῷ ἀφι-

Digitized by Google

στόν (37) ἐστιν, στρατηγῷ δὲ μάλιστα πολέμου ἐν καιρῷ λίαν ὑπάρχει τοῦτο χρησιμώτατον.

ριθ'. Μήτε μάχης ἐπικινδύνου καὶ πολλὴν ἐχούσης ἀδηλίαν ἑκουσίως ἀπάρχου, μήτε τοῖς παραβόλως μᾶλλον δ' ἐπιβούλως χρησαμένοις ποτὲ τοῖς πράγμασι καὶ θαυμασθέντας διὰ τύχην, μηδὲ τούτους ζηλοῦν καταδέχου, ἀλλ' ὅταν χρεία γένηται πολέμου. Τοὺς μὲν πολεμίους ὑποδέχου μετὰ ἀσφαλείας, ταῖς δὲ οἰκείαις ἐπιβολαῖς ὡς ἂν δοκιμάσῃς εἶναί σοι τὸ χρήσιμον καὶ συμφέρον ἑκάστοτε κέχρησο. Τύχη μὲν γὰρ ἅπαξ ἐνίκησε καὶ πολλάκις ἔπταισε. Στρατηγία δὲ διαφόροις τέχναις κεχρημένη πολλάκις μὲν ἐνίκησε, πρὸς ἅπαξ δ' ἴσως ἔπταισεν.

ρκ'. Ὀλέσας (38) σου τοὺς ὑποχειρίους, ὦ στρατηγέ, ἐὰν ὑπάρχῃς χρημάτων ἐραστής, καὶ οὐ μόνον τοῖς οἰκείοις ὀλέθριος ὑπάρχεις, φιλοχρήματος ὤν, ἀλλὰ καὶ τοῖς πολεμίοις γενήσῃ εὐκαταφρόνητος.

ρκα'. Νουνεχῶς ἐπίβαλλε καὶ μετὰ πολλῆς συζητήσεως τοῖς πολεμικοῖς ἔργοις. Ἐν γὰρ τοῖς λοιποῖς πράγμασιν πταίσας τις μετὰ ὀλίγον ἴσως τὸ πταῖσμα ἐπανορθώσασθαι δύναται· ἐν δὲ τοῖς κατὰ πόλεμον ἁμαρτήμασιν ἡ βλάβη μένει· οἱ γὰρ τεθνηκότες διεφθάρησαν.

ρκβ'. Λογίζου καὶ κατανόει τοῦ ἀπλήκτου τὸ χωρίον, ὦ στρατηγέ, ἐάν ἐστιν ὑγιεινὸν καὶ σωτήριον, ἢ νοσερὸν, καὶ τοῖς οἰκείοις πολέμιον, καὶ αὐτὰς δὲ τὰς ἐπιτηδείους χρείας, ὕδωρ καὶ ξύλα καὶ χόρτον, ἐὰν πλησίον εἰσίν. Εἰ γὰρ πόρρωθέν εἰσιν, δυσχερὴς ἐστι καὶ ἐπικίνδυνος ἡ τούτων συγκομιδὴ, καὶ μάλιστα πολεμίων ἐπικειμένων. Καὶ βουνὸν δέ τινα δέον παρακεῖσθαι, ἵνα, εἰ οὕτω τύχῃ, ἐπὶ τοῦτον ἀνέλθῃς, πρὸ τοῦ φθάσαντες καταλάβωσιν αὐτὸν οἱ πολέμιοι.

ρκγ'. Ἐὰν πολέμιοι παράκεινταί σοι, ὦ στρατηγέ, καὶ προσποιηθῇς πρὸς αὐτοὺς ἐναντία ὧν ἐλπίζουσιν, οὐ μικρὰ ὠφελήσεις. Δόξας γὰρ ἐνίοτε χάρακα πηγνύειν, ἢ ἕτερόν τι κυκλοῦν ὀχύρωμα, καὶ διὰ τοιαύτης δόξης εἰς ὁμοίαν πρᾶξιν τοὺς ἐναντίους παρορμήσας, δύνασαι συντεταγμένος αὐτὸς διασκεδασμένοις ἐκείνοις εἰς τὰ ἐπιτήδεια συντόμως ἐπιπεσεῖν, ἢ ἐὰν καὶ τοῦτο συμβῇ ἐκ τόπων δυσχερῶν ἀκινδύνως ἀπαγάγῃς τὸ στράτευμα.

ρκδ'. Ὥσπερ ἀγαθὸν παλαιστὴν, οὕτως δεῖ ἐν ταῖς πράξεσι τὸν στρατηγὸν δεικνύειν μὲν ἕτερα, καὶ διὰ τούτων πειρᾶσθαι τοὺς ἐναντίους ἐξαπατᾷν, κεχρῆσθαι δὲ τοῖς ἁρμόζουσι τῷ καιρῷ, καὶ οἷς ἂν τῶν μαχομένων πολεμίων κρατήσῃς.

ρκε'. Νίκης καὶ ἥττης ἀμφοτέρων ἐν ἀδήλῳ κειμένων, ἄριστος καὶ σοφὸς λογισθήσῃ στρατηγὸς καὶ ἐν πολέμοις καὶ ἐν πάσῃ σου κατ' ἐχθρῶν (39) ἐγχειρήσει, ἐὰν πρὸς δευτέραν τύχην καὶ ἐναντίαν ἔκβασιν ἀποβλέπῃς, καὶ ὡς αὐτῆς παρούσης τὰ δέοντα περὶ αὐτῆς προνοήσῃς. [Ἐὰν] γάρ τι συμβῇ ἐναντίον, ἕτοιμος πρὸς τὴν σωτηρίαν εὑρεθήσῃ.

optimum, imperatori autem præcipue, bellicis vero temporibus in primis necessarium est.

119. Neque anceps prælium, et multam habens varietatem libenter inchoa, neque eos, qui temere, vel insidiose potius rebus suis usi sunt, et propter fortunam suam in admiratione sunt, imiteris, sed quando bellum futurum est, hostes excipias, quam tutissime poteris; insidiis adversum eos utaris, quemadmodum opportunissimum esse judicaveris. Fortuna si semel vicerit, multas iterum offensiones accipit. Ars imperatoria autem, quæ consilio artificioque utitur, persæpe vincit, raro, aut nunquam expugnatur.

120. Pecuniæ cupidus si fueris, non solum milites tuos perdes, et perniciem ingentem illis afferes, sed hostibus etiam contemptui eris.

121. Circumspecte, magnaque cum industria bellum suscipias. Nam reliquis in rebus, si damnum est, recuperari facile potest: in bello offensio semel accepta perpetuo permanet, mortuis enim corrumpuntur.

122. Castrorum loca utrum ne salubria sint et salutaria, an morbida et infesta, diligenter considerandum est, et num res necessariæ, cujus generis sunt, aqua, lignum, fenum, prope sint: si enim eminus fuerint, perdifficilis erit comparatio, hostibus præsertim imminentibus. Collemque aliquem prope adesse oportet, quem conscensuri sunt, priusquam irruentes hostes eum anticiparint.

123. Si hostes immineant, et simulaveris te contraria eorum, quæ facturus sis facere, non parum tibi ipsi proderis. Nam si videaris interdum vel vallum ducere, vel aliam quampiam munitionem exstruere, et tali conatu tuo ad simile factum suscipiendum hostes impellantur, poteris instructus in dissipatos illos atque operi intentos secure irruere, vel, si id necesse est, ex locis asperis difficilibusque exercitum educere.

124. Quemadmodum bonum luctatorem, ita bonum imperatorem par est alia præ se ferre, et aliis modis conari hostes decipere, et iis quæ tempori maxime idonea sunt uti, quibus hostes ipsos superare possis.

125. Cum victoria, et offensio in incerto ponantur, optimus et prudentissimus imperator habendus est, qui in bello et omnibus hostium aggressionibus, ea quæ ad offensionem belli et adversos casus spectant, præparat, et quasi ea imminerent, omnia in promptu habet. Nam si quid adversum contingat, ad illud jam paratus, meditatusque est.

NOTÆ.

(37) *Ἀόριστον*. Scribe, ἄριστον.
(38) *Ὀλέσας*. Scribe, ὀλέσεις.
(39) *Κατ' ἐχθρῶν*. Scribebatur, κατεχρῶν.

Digitized by Google

126. Cautus imperator non modo quæ verisimiliter accidere possint, sed etiam, quæ præter opinionem incidunt, prospicienda, et propulsanda judicat.

ρκς'. Ὁ ἀσφαλὴς στρατηγὸς οὐ μόνον τὰ εἰκότα γενέσθαι ἐν τοῖς κινδύνοις εὐδιάθη, ἀλλὰ καὶ τὰ παράδοξα λογιζόμενος τὴν περὶ αὐτῶν ποιήσεται πρόνοιαν.

127. Si quis ex præfectis tuis in rebus majoribus, et gravioribus sæpius hallucinatus fuerit, illi ne minimarum quidem rerum administrationem tuto committes.

ρκζ'. Εἰ δέ τις τῶν περὶ σὲ ἀρχόντων πολλὰ πράττων ἀνάξια καὶ φαῦλα εὑρεθῇ, μηδὲ περὶ καὶ μικρῶν τῶν τυχόντων πραγμάτων αὐτῷ καταπιστεύσῃς.

128. Tales deliges præfectos, qui subjectis suis præstantiores sint. Solet enim subditorum vulgus semper se ad magistratuum suorum mores accommodare: vetus enim verbum ita verum fiet, non cervos leonibus imperare, sed leones cervis.

ρκη'. Ἴσθι γὰρ ὅτι τοιούτους ὀφείλεις προβάλλεσθαι ἄρχοντας, οἵτινες τῶν ὑποχειρίων αὐτῶν κρείττονες ἔσονται· φιλοῦσι γὰρ ἀεὶ τὰ φρονήματα τῶν ἀρχομένων συνδιατίθεσθαι τοῖς ἄρχουσιν. Οὕτως γὰρ ὁ ἀρχαῖος πληρωθήσεται λόγος, μὴ ἐλάφους ἄρχειν λεόντων, ἀλλὰ λέοντας ἐλάφων.

129. Robustum efficies exercitum, si omne intermissionis belli tempus ad exercitationem, et laborem militarem assuefacias, nam belli tempore non studium, sed peritiam militarem demonstrabunt.

ρκθ'. Ῥωμαλέον κατασκευάσεις τὸ στράτευμα, ἐὰν τὸν τῆς ἀνοχῆς τοῦ πολέμου καιρὸν εἰς ἄσκησιν καὶ γυμνασίαν τῶν κατὰ πόλεμον ἔργων ἀφοσιώσῃ. Τότε γὰρ ἐν καιρῷ πολεμικῶν ἀγώνων οὐκ ἔτι (40) μελέτην ἀλλ' ἐπίδειξιν τῆς ἀνδραγαθίας παρασκευάσεις (41).

130. Dum cubitum is, rerum necessariarum cogitatio animum tuum subeat. Neque prius in somnum te tradas, quam repetieris animo quid sit, quod faciendum fuit, et a te tamen prætermissum est, aut quid crastino die agendum sit, et hoc diligenter facias.

ρλ'. Ἡ μελέτη σοι τῶν ἀναγκαίων πραγμάτων ἠρεμοῦντι γινέσθω, καὶ μὴ πρότερον εἰς ὕπνον τρέπου πρὶν ἂν κατανοήσῃς τί μὲν ἔδει πραχθῆναι, καὶ τοῦτο παρέλιπες· τί δὲ εἰς τὴν αὔριον πραχθῆναι καλὸν, καὶ τούτου ταχέως ἀπάρξῃ.

131. Contemptui habeberis, si cuivis promittenti fidem habueris, et surdo deterior esse putaberis. Sin expendas, atque exquiras, quæ proponuntur, vilis unusquisque ac plebeius vir tuam prudentiam, ac solertiam veritus, nihil ad dolum loqui audebit, sed et animi tui constantiam subjecti tui admirabuntur.

ρλα'. Νομισθήσῃ κοῦφος καὶ εὐκαταφρόνητος τοῖς ἐντυγχάνουσιν, ἐὰν προχείρως πιστεύῃς τοῖς ὑποσχομένοις σοί τι πράξειν. Ἐὰν δὲ ἐξετάζων καὶ γυμνάζων τὸ πρᾶγμα φανῇς, αἰδούμενος ἕκαστος τῶν φαύλων τὴν σὴν ἀκρίβειαν καὶ ἀγχίνοιαν, οὐδέν σοι πρὸς ἀπάτην εἰπεῖν τολμήσει, ἀλλὰ καὶ θαυμάσονταί σου τῆς στερρότητος οἱ ὑποχείριοι, καὶ τῆς ἀληθείας οὐκ ἀστοχήσεις.

132. Bellicæ incursiones, quæ judicio susceptæ sunt, bonos exitus habere solent. Temerarii autem, et præcipites imperatores, quemadmodum experientia ipsa indicat, magnas sæpe offensiones habent.

ρλβ'. Ἴσθι ὅτι ἡ μετὰ λογισμοῦ κατὰ πόλεμον ἔφοδος ἀσφάλειαν ἔχει πολλήν. Οἱ γὰρ ὀξεῖς καὶ προπετεῖς στρατηγοὶ, ὡς ἡ πεῖρα ἔδειξεν, πλεῖστα διαμαρτάνουσι.

133. Si consilia tua clam hostes tuos esse volueris, ne familiaribus quidem multis ea communicabis. Ægre enim occultatur, quod multorum hominum labiis custodiendum creditur.

ρλγ'. Καλῶς ποιήσεις, ὅταν τὰ σὰ βουλεύματα λανθάνειν θέλεις τοὺς πολεμίους, ἐὰν οὐδὲ τοῖς πολλοῖς τῶν οἰκείων ταῦτα θαῤῥήσῃς. Δύσκολον γὰρ κρυβῆναι λαθραίαν βουλὴν πολλοῖς χείλεσι πεπιστευμένην (42).

134. Uniuscujusque affectum, motumque animi cognoscas, et ad quid unusquisque maxime idoneus sit, ut unumquemque ordine instruere possis: horum enim ignoratio confusas atque inæquales facit acies.

ρλδ'. Ὁρμὴν ἑκάστου καὶ κίνησιν καὶ ἄρχοντος καὶ στρατιώτου δεῖ σε γινώσκειν, ὦ στρατηγὲ, καὶ εἰς ὁποίαν ἕκαστος πρᾶξιν ἁρμόδιός ἐστιν, ἵνα ἕκαστον δεόντως ἐκτάξῃς. Ὡς ἔοικε γὰρ, τὸ ἀγνοεῖν ταῦτα ἀνωμάλους ποιεῖται τὰς παρατάξεις.

135. Imperator bonus, ac similiter malus, exemplum subjectis suis rerum gerendarum est. Te igitur cohortamur ut militibus tuis bonum te exemplum præbeas, tum ad optima te assuefaciens, tum quæ facienda sunt suscipiens, et iis rebus abstinens, a quibus milites tui omnes abstinere debent.

ρλε'. Στρατηγὸς ἀγαθὸς εἰκὼν γίνεται τῶν πρακτέων τοῖς ὑποχειρίοις αὐτοῦ, καὶ ὁ φαῦλος ὁμοίως. Σὺ οὖν τῆς ἡμετέρας βασιλείας δεχόμενος τὴν παραίνεσιν, ὦ στρατηγὲ, ἀγαθὴ γενοῦ τοῖς ὑπηκόοις εἰκὼν, καὶ ἄριστα γυμναζόμενος, καὶ ποιῶν ἅπερ δεῖ, ἀπεχόμενος δὲ, ὅσα καὶ τοὺς στρατιώτας καὶ πάντας τοὺς ὑπὸ σὲ τεταγμένους ἀπέχεσθαι χρήσιμον.

NOTÆ.

(40) *Οὐκ ἔτι.* Scribebatur, οὐκ ἔστι.

(41) *Παρασκευάσεις.* Scribebatur, παραστήσεις.

(42) *Πεπιστευμένην.* Scribebatur, πεπιστευμένοις.

Digitized by Google

ρλς'. Ἔνδοξόν τι πρᾶγμα καὶ λίαν ὀνήσιμόν ἐστιν ἡ στρατηγικὴ ἐπιστήμη· καὶ γὰρ ἄνευ μάχης πολλάκις νικᾷ τοὺς πολεμίους. Ταύτης οὖν ἐπιμελεῖσθαί σε χρὴ, καὶ διὰ ταύτης τὰς ἐγχειρήσεις ἄνευ φανεροῦ πολέμου κατὰ τῶν ἐναντίων ποιεῖσθαι. Ὅταν δὲ ἀνάγκη ταύτην μὴ ἐνεργεῖν, τότε διὰ τῆς τῶν σωμάτων ῥώμης παρακινδυνεύειν ἀναγκαῖον, καὶ μάχῃ πρὸς τοὺς πολεμίους διαγωνίζεσθαι.

A

136. Nobilis res, atque in primis utilis, militaris est scientia; nam sine bello facile hostes vincit. Hanc igitur omni studio cognoscere oportet. Hujus disciplina multæ aggressiones hostium suscipiendæ sunt. Ubi vero hæc nihil efficere amplius potest, tum labore corporis ac dimicatione periclitandum est, et cum hostibus decertandum.

ρλζ'. Νεάζειν ὀφείλει ὁ στρατηγὸς καὶ τῇ ῥώμῃ τοῦ σώματος διὰ τῆς στρατηγικῆς τέχνης ὀφείλει θαυμάζεσθαι, ἤγουν τῶν ἐπιτηδευμάτων αὐτῆς (43). Ἔθος γάρ ἐστι παλαιὸν, ὥστε τοὺς μέλλοντας στρατηγεῖν, οὐ μόνον ἀπὸ ἔθνους καὶ γένους ἕλκειν τὴν συγγένειαν ἐν ταῖς νίκαις λαμπρυνομένου, ἀλλὰ καὶ τοῖς πᾶσι πράγμασιν ἄχρι καὶ αὐτοῦ τοῦ ὀνόματος εἶναι τῆς νίκης σημαντικήν.

137. Non modo scientia imperatoria, sed etiam actionibus illius, roboreque corporis florere imperator debet. Veteri enim consuetudine, qui imperatores futuri fuerant, non modo genus ducebant ab illis gentibus et familiis, quæ strenuitate et rebus in bello gestis claræ essent, sed omnia alia, atque adeo nomen ipsum victoriæ omen habebant.

B

ρλη'. Χρήσιμόν τι στρατήγημα διηγήσομαι, καὶ τοῦτο ὅπερ ἀναγνοὺς ἀνέμαθον (44)· ἵνα ἐάν ποτε συμβῇ σοι μέλλειν πρὸς πολεμίους πλείονά σου δύναμιν ἔχοντας διαγωνίζεσθαι, καὶ βούλει πρὸς αὐτοὺς μὴ συνάψαι πόλεμον, ἀλλὰ ἀκινδύνως ἐπεξελθεῖν, ἐπιτήρησον ἐὰν παράκειται ποταμὸς, καὶ τοῦτον ἐπιστρέψας ἐπάγαγε τοῖς πολεμίοις κατὰ τοῦ πεδίου ἐν ᾧ ἡ παράταξις πρόκειται, καὶ οὕτως τὸν μέλλοντα πόλεμον ἀνενέργητον ποιήσεις.

138. Consilium perutile tibi narrabo, quod olim legeram. Si quando cum hostibus tibi res fuerit longe numero pluribus, neque cum illis propter multitudinem contendere audeas, sed secure discedere vis, observa si fluvius aliquis vicinus sit, hunc tu alio transferens in hostes derivabis, per eum campum ubi conflictatio futura est, atque adeo bellum omne irritum facies.

ρλθ'. Ῥᾳδίως ἀναστείλῃ βουλὴν πολεμίων ὁ στρατηγὸς ἐὰν καὶ αὐτὸς, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν κρατῇ ὑποχειρίων τινῶν· καὶ οἱ πολέμιοι δὲ γῆς ἠπείρου κρατοῦντες κατὰ τῶν αὐτοῦ νηῶν ἢ ἑτέρων παραλίων τόπων ἐκστρατεύειν βουλεύωνται. Ἐὰν γὰρ φημίσῃ ὅτι αὐτὸς διὰ τῆς ἠπείρου βούλεται κατ' αὐτῶν στρατεῦσαι, καταπλήξει αὐτοὺς, καὶ ἀναστείλῃ τῆς κατὰ θάλασσαν ἐγχειρήσεως.

C

139. Facile reprimet hostium consilium imperator, et si ipse tum terra, tum mari habeat suo imperio obedientes quosdam: et hostes, qui in continente habitant insulas quasdam, aut maritima quædam loca oppugnare se velle dicant. Si enim percrebescat te velle illos in continente terra oppugnare, perterrefacies eos, et reprimes a navali classe instituenda.

ρμ'. Ἴσθι εὐσεβὲς εἶναι πρᾶγμα, ὦ στρατηγὲ, καὶ λίαν ὀνήσιμον τὸ ἐν ταῖς ἀναγκαίαις καὶ κοιναῖς χρείαις μηδέποτε ἰδίως μιμνήσκεσθαι ἔχθρας, μηδὲ δι' ὑπόνοιαν ἰδίαν ἐμποδίζεσθαι τὰ δέοντα γίνεσθαι, ἀλλὰ ἐν ταῖς τῶν κοινῶν προνοίαις τὰ τοιαῦτα πάντα κατατίθεσθαι καὶ περὶ προσώπων καὶ πραγμάτων, καὶ πρὸς μόνον τὸ χρήσιμον ἀποβλέπειν, καὶ τοῦτο πράττειν· ἡ γὰρ τοιαύτη αἰτία πολλοῖς παρορωμένη μεγάλας βλάβας πολλάκις ἐποίησεν.

140. Pium admodum, religiosumque est, communibus in negotiis privatarum inimicitiarum recordationem deponere, neque propter privatam aliquam malevolentiam, rem communem impedire. Sed in republica procuranda, omnia hujusmodi abjicienda sunt, tum quod ad personas, tum quod ad res pertinet, et solum id quod utile est intuendum, atque id agendum est: hoc enim sæpe neglectum, permagnas offensiones attulit.

ρμα'. Σοφιζόμενος, ὦ στρατηγὲ, χρείας οὕτω καλούσης, ὠφελήσεις τὰ μέγιστα. Ἐὰν γὰρ διά τινος ἐπινοίας προνοήσῃς τὰ μέλλοντα γίνεσθαι, καὶ μάλιστα ἐπὶ ἀστέρων ἐπιτολῆς, καὶ ταῦτα προείπῃς, ὅτι ἐπ' ἀγαθῇ σημασίᾳ μέλλουσι γίνεσθαι, ὑπὲρ τῶν παρὰ σοῦ ἐγχειρουμένων πραγμάτων ἐπιῤῥωσθήσονται οἱ ὑπὸ σὲ στρατιῶται, ὥσπερ ἀπὸ οὐρανοῦ ἐπιτολήν τινα σημαίνουσαν αὐτοῖς ἀγαθὰ ὑποδεχόμενοι, καὶ θαῤῥαλέοι ἔσονται κατὰ τῶν πολεμίων.

D

141. Ubi opus fuerit, si artificio utaris, magnum adjumentum ex eo habebis. Si enim solertia aliqua, quæ futura sunt provideris, maxime autem ex siderum ortu, hæcque prædixeris bonum omen vobis portendere, in rebus vestris agendis magnopere milites animabuntur, quasi de cœlo bonum aliquod illis portenderetur, quod illi approbantes, animosiores adversum hostes ferocioresque erunt.

ρμβ'. Τοὺς παρὰ σοῦ ἐν ὁμαλῷ καὶ πεδινῷ τόπῳ ποτὲ παρατασσομένους πεζοὺς ἐνόπλους πρὸς καβαλλαρίους ἐχθρῶν μηδέποτε ἐάσῃς, κἂν πολλὴν ἀνάγκην ὑποστῶσιν, καταλιπόντας τὴν παράταξιν ἐκφυγεῖν. Μενόντων γὰρ αὐτῶν πολλαὶ τοῦ νικᾷν

142. Pedites tuos armatos, et adversum hostium equitatum in plano campestrique loco structos, ne permittas, quamquam magnas perturbationes sustineant, aciem deserentes fugere: quandiu enim permanent, aliqua victoriæ spes est, ubi aufugerint

NOTÆ.

(43) Αὐτῆς. Scribebatur, οὗ τῆς.

(44) Ἀνέμαθον. Scribebatur, ἀνέμα.

Digitized by Google

nullus salutis locus reliquus est, dissipatis jam peditibus, et equitibus insequentibus.

ἐλπίδες, φευγόντων δ' οὐδεμία σωτηρίας ἐλπὶς, πεζῶν διασκορπισθέντων καὶ ὑπὸ καβαλλαρίων διωκομένων.

143. Quemadmodum vita jucunda expetenda est, sic bellica pericula libenter a militibus suscipienda sunt: ea enim tranquillam suavemque vitam afferunt. Tum enim felices belli exitus sperantur, quando patientes ac tolerantes laborum sunt: hæc enim nobis jucundam vitam pacemque suppeditant.

ρμγ'. Ὥσπερ τὸ ζῆν ἡδέως ἐπιθυμητὸν, οὕτως καὶ τῶν κατὰ πόλεμον κινδύνων τοὺς στρατιώτας προθύμως ἀπάρχεσθαι χρέος ἐστίν· ἐκεῖνοι γάρ εἰσι τοῦ ζῆν ἡδέως οἱ αἴτιοι. Τότε γὰρ τὰ κατορθώματα τῶν πολεμίων ἀληθῶς γινώσκεται, ἡνίκα τῇ καρτερίᾳ τῶν πόνων ἐμμένωσιν· ταῦτα δὲ τὸ ζῆν ἡδέως καὶ εἰρηνεύειν ἀπὸ τῶν πολεμίων πορίζουσιν.

144. Minore cum labore castra, locaque hostium incursionibus terra populaberis, si milites tuos indigenis illorum locorum similes, ut sint apparaveris. Mari autem, si navale prælium faciens, vel naves hostium compares, vel alias naves iis persimiles facias, et in iis milites tuos imponas, et ad terram hostium cum illis navigaveris. Ita fiet, ut ad eas quasi ad sociales naves hostes accedant, et facilius capiantur.

ρμδ'. Ἀπονώτερον διὰ ἐφόδων ἀγρεύσεις καὶ κάστρα ποτὲ καὶ χωρία τῶν πολεμίων διὰ μὲν τῆς ξηρᾶς, ἐὰν σχηματίσῃς τοὺς σοὺς στρατιώτας ὁμοίως τοῖς ἐγχωρίοις· διὰ δὲ θαλάσσης, ἐάν ποτε ναυμαχῶν φθάσῃς τὰ πλοῖα τῶν πολεμίων κρατῆσαι, ἢ ἕτερα ὅμοια ἐκείνων κατασκευάσαι, καὶ τούτοις τοὺς σοὺς στρατιώτας ἐμβιβάσαι, καὶ τῇ γῇ τῶν πολεμίων σὺν αὐταῖς καταπλεῦσαι. Οὕτως γὰρ ὡς φιλίαις ταῖς ναυσὶ προσχόντες οἱ ἐναντίοι οὐ φεύξονται, καὶ εὐχερέστερον ἁλωθήσονται.

145. Materiam tibi nunc, et quasi silvam præceptorum ostendam, quibus accurate omnia circa te gerantur. Accurata erit nocturna custodia, et excubiæ, quæ fossatum defenduut, si diveris, velle te certis et diversis temporibus faces accendere in excelso quodam et constituto loco, ut custodes ad unamquamque facem tuam, contra suas faces sustollant et demonstrent: ita enim fiet, ut tempus quo facem ostensurus es ignorantes, et assidue exspectantes, vigilent et diligenter excubias suas observent. Sin quidam tradent, statim deprehendentur.

ρμε'. Ὕλην ἀγρυπνίας σοι διηγήσομαι. Ἀκριβὴς γὰρ ἂν γένοιτο καὶ πάννυχος παραφυλακὴ, εἴτε φοσσάτου ὑπὸ βίγλας φυλαττομένου, ἐὰν εἴπῃς, ὅτι Μέλλω κατὰ διαφόρους οὓς θέλω κατροὺς ἀνάπτειν λαμπτῆρας εἰς τόνδε τὸν περίοπτον τόπον, ἵνα καὶ οἱ φύλακες πρὸς ἕκαστον τῶν παρὰ σοῦ λαμπτήρων ἀντανέχωσι καὶ δεικνύωσιν ἰδίους λαμπτῆρας· οὕτως γὰρ τὴν ὥραν τῆς σῆς ἀναλάμψεως ἀγνοοῦντες καὶ ἐκδεχόμενοι διὰ παντὸς ἐγρηγορήσουσι, καὶ ἀποσκοπὴν τὰς βίγλας αὐτῶν παρασκευάσουσιν. Εἰδέ τινες ὑστερήσουσιν (45) εὐθέως γνωσθήσονται.

146. Desperatorum hominum pugnas devitare, prudentis imperatoris est. Desperatio enim necessitate quadam impellente, audacissimos fortissimosque milites facit. Desperatio autem est, quando quis salutis locum nullum inveniens, in hostem ruit, et vel vincere cogitat, vel mori. Si castra posueris contra hostes, et ventus illorum castra versus spirat, incendendæ segetes agrorum sunt, ut flamma ad illos perlata, in fugam conjiciantur.

ρμς'. Τὸ φυλάσσεσθαι τὰς ἐξ ἀπονοίας μάχας τῶν πολεμίων ἐχέφρονός ἐστι στρατηγοῦ. Ἡ γὰρ ἀπόνοια τὴν ἀνάγκην ἔχουσα παροτρύνουσαν, θρασυτάτους καὶ ἀνδρειοτάτους τοὺς μαχομένους ποιεῖ. Ἀπόνοια δέ ἐστιν, ὅταν τις σωτηρίας ἐλπίδα εὑρεῖν μὴ δυνάμενος ἐνστῇ πρὸς τὸν ἐναντίον, ὥστε ἢ νικῆσαι ἢ ἀποθανεῖν. Ἐὰν δὲ στρατοπεδεύῃς κατέναντι πολεμίων, καὶ ὁ ἄνεμός ἐστι πρὸς αὐτοὺς ἐπερχόμενος, ἐμπύριζε τὸν ἀπὸ τῆς γῆς ἀναφυέντα χόρτον, ἵνα πρὸς αὐτοὺς ἐπερχόμενον τὸ πῦρ τροπῆς αἴτιον γένηται.

147. Quando in regionem hostium incursionem facturus sis, circa lumen insidias diversas diversis in locis collocato: ita enim diversis locis in illos irruens vehementius conturbabis, et dispersos eos facilius capies. Hoc præterea tibi præcipiendum est, ut hujusmodi nec opinatis incursionibus tribulos ferreos noctu circum conjicies, et pedites tui ligneos saccos vice corii calceorum habeant. Ita fiet ut, si qui ex hostibus pedites, aut equites, rejicere tribulos voluerint, facile prohibeantur, et pedites tui officium suum faciant.

ρμζ'. Ὅταν μέλλῃς κατὰ χωρίου τινὸς τῶν πολεμίων ἔφοδον ποιεῖσθαι, περὶ τὸ αὔγος ἐγκρύμματα διάφορα ἄλλα ἀλλαχοῦ κατάστησον διὰ τῆς νυκτός· οὕτως γὰρ διαφόρως προσβαλὼν καὶ πλέον θορυβήσῃς, καὶ διεσπαρμένους ἐπισυνάξεις τοὺς ἁλισκομένους. Καὶ τοῦτο δέ σοι προστίθημι, ἵνα ἐν ταῖς τοιαύταις κατὰ χώρας ἀδοκήτοις ἐπιλεύσεσι τριβόλους σιδηροῦς νυκτὸς διαρίπτῃς ἐν κύκλῳ, τοὺς δὲ πεζοὺς τοῦ σοῦ στρατεύματος προστάξεις στερεὰ ἤτοι ξύλινα ἔχνη ἀντὶ κασσυμάτων ἔχειν τὰ ὑποδήματα. Οὕτως γάρ, ἐάν καί τινες βουληθῶσιν ἢ πεζοὶ, ἢ καβαλλάριοι ἀμύνασθαι τοῖς τριβόλοις ἐμπεσόντες κωλυθήσονται, οἱ δὲ πεζοὶ τὸ οἰκεῖον ἔργον ἀνύσουσιν.

148. Pretiosa res est temperantia tum imperatori, tum exercitui, stuprum contra perniciosum

ρμη'. Κτῆμα τίμιον ἡ σωφροσύνη καὶ στρατηγῷ καὶ στρατεύματι, ὥσπερ ἡ πορνεία ἐναντίον καὶ

NOTÆ.

(45) Ὑστερήσουσιν. Scribebatur, ὑστερήσουσ...

Digitized by Google

ὀλέθριον. Καὶ μάλιστα ἐν αἰχμαλωτίσι γυναιξὶ γινομένη, καὶ μαρτυρεῖ τὰ κατὰ τὸν Φινεὲς εἰς τὴν Μαδιανίτιδα γυναῖκα καὶ τὸν Ζαμβρῆ γεγονότα. Μιᾶς γὰρ γυναικὸς αἰχμαλώτου πορνεία ὅλον τὸ στρατόπεδον τῶν νενικηκότων μικροῦ διέφθειρεν, εἰ μὴ ἔστη Φινεὲς καὶ ἐκκεντήσας τοὺς ἁμαρτάνοντας καὶ θανατώσας ἐξιλάσατο. Καὶ ἐκόπασεν ἡ θραῦσις, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

A et fœdum, captivarum potissimum. Hujus rei testimonium dat Phinees factum, quod in Madianitidem et Zambre suscepit : unius enim feminæ captivæ constupratio victorem exercitum pene delevisset, nisi stetisset Phinees, et utrumque peccatorem transfodisset, et illorum morte Deum placasset. Itaque cessavit plaga, et habitum est ei ad justitiam.

ρμθ'. Ῥώμην ἐνθήσεις τοῖς στρατιώταις ἐν ἡμέρᾳ πολέμου, ἐὰν ἐξαναστὰς ἕωθεν ὡς ἀπὸ Θεοῦ σοι ὀφθέντα ὄνειρον ἐπιφημίσῃς, ἢ ὡς ἀπό τινος ἁγίας δυνάμεως προτρεπούσης ἐπελθεῖν κατὰ τῶν πολεμίων καὶ ἐπιφανείσης σοι πρὸς συμμαχίαν.

149. Alacritatem ad pugnam militibus attuleris, si ipso belli die mane consurgens, insomnium quoddam divinitus tibi immissum esse dicas, quod te ad invadendos hostes incitet, et auxilium quoddam ad pugnandum tibi monstret.

ρν'. Ἀπὸ χρημάτων πολλάκις καὶ ἄνευ πολέμου κατορθώσεις κατὰ πολεμίων σου νίκην, ὅταν ἑτέρων πολεμίων αὐτοῖς που παρακειμένων τούτους χρήμασι πείσας πολεμεῖν τοῖς σοῖς ἐναντίοις ποιήσεις. Ἢ γὰρ ἀλλήλους φθεροῦσιν, ἢ τὸ ἓν μέρος ἐπικρατήσει, πολλοὺς ἀρίστους ἀποβαλὸν ἐν τῷ κατὰ τὴν μάχην ἀγῶνι. Καὶ γὰρ τῶν ἄμφω πολεμίων οὕτως ἠλασσωμένων ὁμοῦ ἀπαθὴς αὐτὸς καὶ ἰσχυρότερος ἐκείνων ἀναδειχθήσῃ.

B

150. Pecunia sæpe, sine prælio, victoriam de hostibus reportabis. Ubi alii hostes illis immineant, eos pecunia tua adduces, ut bellum illis inferant, vel enim se mutuo vastabunt, vel altera pars superiores habebit, prælio cum altera dimicans, et multos tamen ex suis amittet. Utrisque igitur sic imminutis, tu omnium malorum vacuus, illis fortior robustiorque eris.

ρνα'. Τοῖς βουλομένοις βιαίως ἐν καιρῷ πολέμου τὴν σὴν παράταξιν διαρρῆξαι, καὶ διεκθεῖν, δίοδον ἑκουσίως πάρεχε, καὶ μετὰ ταῦτα ἐπίστρεψον, καὶ ὥσπερ φεύγουσι κατὰ νώτου ἐπιτεθεὶς ῥᾳδίως καταδιώξεις αὐτούς.

151. Si qui aciem tuam tempore prælii perrumpere volunt, transitum illis liberum dato, et ubi transierint, a tergo quasi fugitivos adoriaris, et facile capies eos.

ρνβ'. Ὥστε μὴ φόβον εἰσάγεσθαι εἰς τὸ στρατόπεδον διὰ τοὺς ἀκαίρως λιποτακτοῦντας, ταχέως αὐτοὺς καὶ συντόμως ἀποχωρίσας τῆς παρατάξεως ἐν ἑτέραις χρείαις κατάστησον.

C

152. Ut nullus timor exercitum tuum pervadat per eos qui aciem deserunt, celeriter illos ex acie tua amoveas, atque ad alios usus transferas.

ρνγ'. Ῥώμη στρατηγοῦ χερσὶ μὲν συμπλεκομένου πολλάκις οὐδὲν μέγα ὠφέλησεν, εἰ μὴ ἄρα μικρὸν ἐν δειλίᾳ στρατοῦ ἐπιῤῥῶσαι τούτους βουλομένου διὰ τῆς κοινωνίας τῶν κινδύνων· πεσόντος δὲ τὰ μέγιστα ἔβλαψεν. Στρατηγίαι δὲ καὶ ἐπιτηδεύματα, ὅταν σώζηται καὶ διαφυλάττηται ὁ στρατηγός, παρ' αὐτοῦ γινόμενα, μεγάλας ὠφελείας ἐν ταῖς μάχαις ἀποτελοῦσιν.

153. Robur imperatoris manus in prælio conserentis nihil aut parum adjuvat, nisi ubi exercitum relanguescentem excitare iterum, et societate periculorum animare studet. Sin in prælio cadat, magna incommoda universo exercitui afferuntur. Consilia autem, et facta imperatoria, si opportune adhibeantur, maxima præsidia universo exercitui apportant.

ρνδ'. Πλήθους φαντασίαν τοῦ σοῦ στρατεύματος ποιήσεις, εἴγε τοῦτο βουληθῇς, ἐὰν καὶ τοῖς ὑποζυγίοις καὶ τοῖς ὄνοις καὶ ταῖς βουσὶν ἐποχεῖσθαί τινας καβαλλαρίους ποιήσῃς· ἐνίοτε γὰρ καὶ τοῦτο ἐπιδεικνύμενον χρήσιμον.

154. Magnum numerum et multitudinem militum præ te feres, quando tibi hoc commodum videbitur, jumentis, asinis, et bobus vehantur quidam equites, nam hoc in loco perutile est.

ρνε'. Ἱκανῶς καταπλήξεις τοὺς πολεμίους ἐν παρατάξει, ὅταν τοὺς ὁπλίτας τοῦ σοῦ στρατεύματος πρῶτα μὲν κατὰ βῆμα μετὰ εὐταξίας προσάγῃς, ὅταν δὲ ἔσωθεν σαγιττοβόλου γένωνται, τότε δρομαίως μετὰ ὀξύτητος συμπλέκεσθαι ποιήσῃς. Οὐ γὰρ βλαβήσονται ὑπὸ τῶν τοξευομένων βελῶν, καὶ ἀπαθεῖς (46) προσβαλόντες τρέψουσι τοὺς ἐναντίους.

D

155. Vehementer admodum hostium aciem perturbabis, si copias tuas primo pedetentim cum ordinis quadam conservatione progredi facias, ubi vero intra sagittæ factum fueris cum cursu, et celeritate ad illos contendas. Ita fiet, ut ab hostium telis, et sagittis non lædaris, et secure irruptione facta cum hostibus confligas.

ρνς'. Σοφοῦ στρατηγοῦ ἔργον σοι διηγήσομαι· ποτὲ γὰρ παρατασσομένου αὐτοῦ βροντὴ γέγονε βαρεῖα, καὶ τοῦ στρατοῦ αὐτοῦ δὲ δειλιάσαντος (47), ὡς ἐπὶ κακῷ αὐτοῖς συμβόλῳ, ἀντεπήνεγκεν εἰπών·

156. Prudentis hoc est imperatoris, si quando, quod sæpe fiet, tonitru magnum fiat, et copiæ ad ejus auditum expavescant, quasi malum omen sit, contra afferre hostium causa hoc fieri, quos Deus

NOTÆ.

(46) Ἀπαθείας. Scribe, ἀπαθεῖς.

(47) Δειλιάσαντος. Scribebatur, δε...άσαντος.

Digitized by Google

attonitos faciens, nos jubet bono animo in illos impetum facere.

157. Hostes in contemptum adduces, si populares illorum qui in ditione tua sunt, cum in gymnasiis luctantur, inferiores, tuos autem strenuiores effeceris.

158. Ubi occultare a cæteris volueris eos qui ex tuis in prælio interfecti sunt, quamvis hoc post belli exitum fiat, ne permittas contubernia simul cibum capere, sed sparsim et fortuito, quemadmodum casus tulerit ; itaque non in timorem aliquem cadent, sed animo strenuo fortique erunt.

159. Hostium imperator quasi caput viperæ est in exercitu tuo. Omnem igitur diligentiam adhibebis, vel multitudine armatorum in illum solum omni impetu ruente, vel telis omnium in eum quasi in scopum jactis, aut alio quopiam conatu, molitioneque tua cadat, et e medio tollatur. Nam si caput viperæ semel comminuatur, reliquum corpus inane atque inutile est.

160. Belli tempore familiares, amicos, cognatos, prope inter se collocabis : amor enim mutuus illos ad pericula subeunda animat, et ad res bene gerendas incitat.

161. Suspicionem sui mutuo in hostium aciem injicies, si nobilissimorum et præstantissimorum virorum agros incolumes esse permittas, cæteris finitimis locis populatis.

162. Exercitus tibi idoneus, justusque sit; qui autem ibi ad bellum idonei non sunt, illi ad servitutem, et multitudinem augendam, ubi usus fueris, asciscendi sunt, vel jam imminuto exercitu ad integrum numerum explendum recipiendi sunt, ut ad oppugnandos hostes valeant. Vetus enim verbum est, ubi leonina pellis non sufficit, assuenda vulpina est.

220. Ad quæ loca vel civitates classem emissurus es nemini indicare oportet, sed occultandæ animo civitates sunt, ut nemo de classis itinere quidquam præsentiat. Mandatum autem quoddam litteris conscribes, quod ubi scriptum fuerit obsignabis, et navarcho trades, præcipiesque illi ut ubi mare ingressus fuerit, sigillum aperiat, et cognoscat quo iturus sit. Ita clam hostes quo volueris pervenies.

221. Leges militares atque imperatoriæ si custodiantur, victores duces honoratos et memorabiles faciunt, et regibus lætitiam oblectationemque afferunt, et ad deditionem pacemque hostes cogunt, et ab omnibus perturbationibus subjectos nostros liberant, imo vero multorum bonorum atque salutarium causæ sunt, et Dei erga illos benevolentiam augent, et ad laudandum Deum omnes homines pios impellunt. Has igitur leges quasi maximas, omnium bonorum secundum Deum conservatrices, et communis salutis prospicientissimas, omni diligentia atque observantia coles, et ante omnia divinas leges, veraque illius præcepta quibus pietas continetur, summo studio et perpetuo sequaris : ita enim optimum imperium fiet, et Deo universitatis Regi Dominoque nostro Jesu Christo, et nobis qui per illum reguamus, complacitus eris.

Argumentum libri in Epilogo.

1. Ut igitur omnia quam brevissime a nobis universo hoc libro conclusa, summatim repetamus, hoc in primis dignitati tuæ præcipimus, ut qua de causa imperatores, quantum potes efficias, ut omnes qui sub imperio tuo sunt, vitam quam maxime tranquillam et securam degant.

2. Ac primum quidquid dicturus facturusve es, a Deo principium habeat, nihilque sine illius commemoratione ac deprecatione agatur.

3. Cur enim non principium omnium rerum agendarum a Deo capiendum sit, cum Deus pater noster factor et inspector dictorum factorumque omnium, judex cogitationum omnium notionumque cordis, nullaque creatura abdita coram eo sit, sed omnia nudata et explicata ante oculos ejus sint, quemadmodum divinissimus Paulus loquitur? Itaque præter sententiam ejus nihil a nobis agendum est.

4. Cognatio enim quædam a vobis cum illo est, talisque affectus qualis erga patrem esse debet : nam illius munere in lucem aspectumque venimus, pro illo et vivere et mori debemus, benignitate illius alimur, in ipso vivimus, movemur et sumus; tantum illi obedimus, quantum subjecti præfecto, servi domino, magistratus regi; omnes illius su-

τι ὅμοιον ἐπράχθη ποτὲ ἢ παρὰ σοὶ ἢ παρ' ἑτέρῳ ἔθνει · ἵνα ἐν ταῖς ἐρωτήσεσιν καὶ συντυχίαις ἐκπλήσῃς αὐτοὺς ὡς πάνυ μνημονικὸς καὶ πολύπειρος.

σκ'. Ὧν ἕνεκα ἢ τόπων ποτὲ ἢ πόλεων ἐκπέμπειν μέλλεις ναυτικὸν στόλον, κρύπτειν σε δεῖ καὶ τοὺς τόπους καὶ τὰς πόλεις, ὥστε μηδένα προγνῶναι, ποῦ μέλλει γίνεσθαι ὁ κατάπλους. Ἔνταλμα δὲ γράψας, τοῦτο σφραγισάμενος ἀσφαλῶς ἐπίδος τῷ καθισταμένῳ παρὰ σοῦ ναυάρχῳ, ἵνα κατὰ τὸ πέλαγος ἐξελθών, τότε λύσῃ τὴν σφραγῖδα, καὶ μάθῃ ποῦ μέλλει πορεύεσθαι. Οὕτως γὰρ ποιήσας λάθῃς τοὺς πολεμίους.

σκα'. Νόμοι στρατηγικοὶ φυλαττόμενοι καὶ τοὺς στρατηγοὺς νικηφόρους καὶ ἐνδόξους καὶ δὴ καὶ ἀειμνήστους ἀποτελοῦσιν, καὶ τοῖς βασιλεύουσι χαρᾶς καὶ εὐφροσύνης αἴτιοι γίνονται, καὶ πρὸς εἰρήνην καὶ ὑποταγὴν τοὺς πολεμίους καταναγκάζουσι, καὶ κακῶν ἐλευθερίας παντὶ τῷ ὑπηκόῳ γινόμενοι, μᾶλλον δὲ καὶ ἀγαθῶν εὐπορίαν προξενοῦντες αὐτοῖς, τὴν εἰς Θεὸν εὐχαριστίαν ἕξουσι, καὶ πρὸς δοξολογίαν αὐτοῦ πᾶσαν εὐσεβῆ ψυχὴν διεγεροῦσι. Τούτους οὖν, ὦ στρατηγέ, καθάπερ σωτῆρας μετὰ Θεὸν καὶ εὐεργέτας τοὺς στρατηγικοὺς νόμους διὰ παντὸς περιφύλαττε. Καὶ πρό γε τούτων τοὺς θείους καὶ παναληθεῖς νόμους, δι' ὧν ἡ εὐσέβεια κρατύνεται (66), περίθαλπε, καὶ ἀνενδοιάστως τούτοις ὑπάκουε · ἐκ τούτων γὰρ ἀρίστη ἀρχὴ γένοιτο, καὶ εὐάρεστος ὀφθήσῃ στρατηγὸς αὐτῷ τε τῷ Θεῷ τῶν ὅλων καὶ Βασιλεῖ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ ἡμῖν τοῖς δι' αὐτοῦ βασιλεύουσιν.

Ὑπόθεσις ἐπιλόγῳ.

α'. Ὡς ἐν συνόψει δὲ τὰ προειρημένα ἡμῖν ἅπαντα οἷον ἀνακεφαλαιωσάμενοι ἐνταῦθα παρακελευόμεθα καὶ ὑποτιθέμεθα τῇ σῇ ἐνδοξότητι. Ἐξ ὧν, ὡς εἴρηται, καὶ αὐτὸς στρατηγὸς ἀναδειχθεὶς ἀγαθὸς, καὶ βίον ἀκινδυνότατόν τε καὶ ἀλυπώτατον τοῖς ὑπὸ σὲ ἀρχομένοις περιποιήσῃ.

β'. Καὶ πρῶτον μὲν πᾶν ὅπερ μέλλεις ἢ λέγειν, ἢ πράττειν ἀπὸ Θεοῦ λάμβανε τὴν ἀρχὴν, καὶ μηδὲν ἄνευ τῆς ἐκείνου μνήμης τε καὶ ἐντεύξεως μήτε λόγου ἄρξῃ μήτε πράξεως.

γ'. Οὕτω γὰρ ἐγὼ κρίνω χρεὼν εἶναι ἀπὸ Θεοῦ λαμβάνειν ἅπαντα τὴν ἀρχήν· καὶ γὰρ ὁ Θεὸς πατὴρ ἡμῶν καὶ ποιητὴς καὶ ἐπόπτης καὶ τῶν λόγων ἡμῶν καὶ τῶν πράξεων, καὶ κριτικός ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, καὶ οὐκ ἔστιν κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. Πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ κατὰ τὸν θεολογικώτατον Παῦλον. Διὸ οὐδὲν τῆς αὐτοῦ γνώμης χωρὶς πράττειν ὀφείλομεν.

δ'. Ἕπεταί γάρ τις ἡμῖν οἱονεὶ συγγένεια πρὸς αὐτὸν καὶ σχέσις, ὡς οἷα γένοιτο παισὶ πρὸς πατέρα. Καὶ γὰρ παρ' αὐτοῦ εἰς φῶς καὶ βίον ἤλθομεν, καὶ ὑπὲρ αὐτοῦ καὶ ζῆν καὶ θνήσκειν ὀφείλομεν. Ἐπὶ δώροις γὰρ τοῖς ἐκείνου τρεφόμεθα, καὶ ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν. Καὶ τοσοῦτον αὐτῷ πειθόμεθα, ὅσον ἰδιῶται ἄρχοντι, καὶ Δεσπότῃ ἀγαθῷ

NOTÆ.

(66) *Κρατύνεται.* Scribebatur, ἀκρατύνεται.

Digitized by Google

δοῦλοι, καὶ ἄρχοντες Βασιλεῖ. Καὶ πάντες αὐτοῦ ἐσμεν, ὡς κατὰ πάντων κεκτημένου τὸ κράτος. Καὶ ἡμῖν μὲν ἐξ ἐκείνου δεδούλωται πάντα τὰ ἔμψυχα, καὶ τὰ ἄψυχα. Ἡμεῖς δὲ αὐτὸν θεραπεύομεν. Καὶ ἡ μὲν ἄλογος πᾶσα ἀγέλη ὑφ' ἡμῶν ποιμαινομένη ἄγεται, ἡμεῖς δὲ ὑπὸ τοῦ Θεοῦ ποιμαινόμεθα τοῦ καλοῦ ποιμένος, καὶ δι' ἡμᾶς φιλανθρώπως φορέσαντος τὸ ἡμέτερον.

A mus, qui omnium habet imperium : nobis per illum omnia subjecta sunt, tum animata, tum inanima, nos vero illum colimus : universa bestiarum natura a nobis gubernatur, nos vero ab illo pascimur principe pastorum, qui nostra causa nostram naturam induit.

ε'. Καὶ οὐδεὶς ἔξαρνός ποτε γένοιτο ὅτι ἔστι Θεός, εἰ μὴ καὶ τὴν ψυχὴν διεφθαρμένος ὑπάρχει. Μετὰ γὰρ (67) τὰ πάντα Θεοῦ, καὶ αὐτὸς ἐκ μὴ ὄντων ταῦτα παρήγαγεν, καὶ πάντα πληροῖ, καὶ πάντα διαπράττει, καὶ προνοεῖται, καὶ διοικεῖ.

5. Nemo autem qui mente depravata perditaque non est, Deum esse negare potest. Omnia enim Dei plena sunt, qui ea quæ non sunt eduxit ut essent, qui omnia complet, omnia agit, omnia providet, et administrat.

ς'. Ἔλεγχος δὲ τῆς ἀληθείας τὰ ποιήματα αὐτοῦ· οὐρανὸς, καὶ τὰ ἐν αὐτῷ· γῆ, καὶ τὰ ὅσα ἐν αὐτῇ· καὶ μέντοι καὶ θάλασσα, καὶ τὰ ἐν ἐκείνῃ ἅπαντα, καὶ ὅσα ἐν αὐτοῖς ὠφέλιμα, μαρτύρια τῆς ἐκ Θεοῦ εἰς ἡμᾶς κηδεμονίας τε καὶ προνοίας ἀναδείκνυται.

6. Opera manuum ejus quæ ab illo facta sunt, cœlum et quæ cœlo continentur, terra et quæ terra continentur, mare et quæ mari continentur, veritatem Factoris indicant, et certa testimonia dant divinæ erga nos benevolentiæ et providentiæ.

ζ'. Καὶ αὐτὸς καὶ βασιλεῖς καθιστᾷ· καὶ γάρ φησι· *Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι*· καὶ στρατηγὸς δι' αὐτοῦ προχειρίζεται, ὁ πάσης ἀρχῆς ἐξουσίας καὶ ἀγαθῆς αὐτός ἐστιν αἴτιος. Διὸ καὶ χρὴ μὴ πρότερόν τινα τὴν ἀρχὴν ὑποδύεσθαι, πρὶν ἢ διὰ τῆς εὐχῆς καὶ ἐντεύξεως πρὸς αὐτὸν ὥσπερ ἑαυτὸν ἀφιερώσει τῷ Θεῷ, καὶ τῇ ἐκείνου προνοίᾳ τὴν ἑαυτοῦ διοίκησιν καταπιστεύσει.

7. Ipse reges designat, dicit enim : *Per me reges regnant*[1]. Imperatores ab eo eliguntur, qui omnis potestatis atque imperii auctor est. Itaque nemo imperium aut magistratum in se recipiat, priusquam prece et supplicatione seipsum quasi Deo consecraverit, et illius providentiæ voluntatem suam subjecerit.

η'. Διὰ τοῦτο δεῖ σε πάντα τὰ εἰς Θεοῦ θεραπείαν, ὦ στρατηγὲ, πρὸ τῶν ἄλλων ἁπάντων ἐπιτηδεύειν καὶ διαφυλάττειν, ἐξαιρέτως τὴν εἰς τοὺς ἱερεῖς τε καὶ ἀρχιερεῖς αὐτοῦ τιμὴν καὶ θεραπείαν· καὶ τοὺς ἁγίους αὐτοῦ ναοὺς ὥστε ἀσύλους εἶναι, καὶ μὴ αὐτῶν ἁναρπάζεσθαι τοὺς ἐν αὐτοῖς καταφεύγοντας ἄνευ διαγνώσεως τῆς ἡμετέρας βασιλείας.

8. Quæ igitur ad Dei cultum pertinent, in primis observanda et constituenda sunt, ut qui spiritus est, in spiritu et veritate ab omnibus colatur ; et quæ fidei vitæque præcepta reliquit, ea precibus impetremus ut faciamus, quæ divinis Litteris imperat ut agamus, et fide in illum, amore ac dilectione omnium in Christo Jesu renatorum, ad Christum perfectionem legis aspiremus, ut per illum in quo omnia Deo complacita sunt, nos quoque Deo placeamus, et justitiam erga omnes, etiam inimicos, æquitatemque teneamus.

θ'. Καὶ τὰ ἱερὰ δὲ τῶν μοναχῶν ἀσκητήρια, καὶ τοὺς ἐν αὐτοῖς τὴν παρθενείαν ἀσκοῦντας, ἀβλαβῆ καὶ ἀβίαστα καὶ σεμνὰ διατηρεῖσθαι. Καὶ ἁπλῶς εἰπεῖν, ὅσα τῷ Θεῷ ἀνάκεινται παραφυλάττειν ἀνεπηρίαστα, καὶ τίμια, καὶ αἰδέσιμα ὡς ἅγια πάντα καὶ τῷ ἁγίῳ Θεῷ ἀνακείμενα.

9. Religione in Deum non modo cognita, verum etiam culta, et honoribus regi secundum Deum delatis, qui gladium a Deo sibi commendatum non temere gestat.

ι'. Καὶ μηδένα βεβήλων ἢ τυραννικῶν χεῖρας ἐπαίρειν κατ' αὐτῶν, ἢ ἄλλως ἀποθρασύνεσθαι, μήτε σεαυτὸν, μήτε ἄλλον τινὰ τῶν ὑπὸ τὴν σὴν ἐξουσίαν οἵαν δή ποτέ τινα πεπιστευμένον ἀρχὴν, ἢ στρατιωτικὴν, ἢ πολεμικήν. Ἀλλ' εἶναι αὐτοὺς ὡς κτῆμα τοῦ Θεοῦ πάσης βλάβης καὶ ἐπηρείας ἐλευθέρους.

10. Et profanorum vel tyrannicorum nemo manus eis inferat ; aut aliter audeat neque tu ipse, neque alius quisquam eorum, qui sub tua potestate sunt, qualicunque præfectura ei credita fuerit, sive militaris, sive bellica ; sed sint ipsi, ut Dei possessio, ab omni noxa et læsione liberi.

ια'. Καὶ μάλιστα τοὺς ἀρχιερεῖς, ὡς Πατέρας καὶ ποιμένας τῶν ἀνθρωπίνων ψυχῶν, ὅσαι τε ἀρχόντων, καὶ ὅσαι ἀρχομένων, καὶ τὰ πρὸς Θεὸν ἡμῖν μεσιτεύοντας· τούτους διὰ πάσης ἄγειν τιμῆς καὶ αἰδοῦς, καὶ μηδὲν ἐφ' ὕβρει τούτων καταδέχεσθαι.

11. Et maxime pontifices, tanquam Patres et pastores humanarum animarum, tam principum, quam subditorum, et ii qui apud Deum pro nobis intercedunt. Hos omni honore et reverentia prosequi oportet, et eorum nihil injuria et contumelia afficere.

ιβ'. Καὶ γὰρ τὰ εἰς αὐτοὺς γινόμενα εἰς τὸν Θεὸν ἀναφέρεται, παρ' οὗ καὶ τὴν ἀρχιερωσύνην εἰλή-

12. Etenim quæ in eos fiunt, in Deum referuntur, a quo et pontificatum accepere ; per quem et

[1] Prov. VIII, 15.

NOTÆ.

(67) *Μετὰ γάρ.* Scribe, μεστὰ γάρ.

Digitized by Google

regere animas, et pro ipsis apud Deum intercedere, obtinuerunt. Sacerdotes enim veluti anima quædam diffusa et vivificans universum Christiani populi cum principum tum subditorum corpus, ducem regem omnium Deum possidet, et ab ipso totius corporis procurationem moderatur, gubernat atque circumagit.

φασι, δι' ἧς καὶ τὸ ποιμαίνειν τὰς ψυχὰς, καὶ τὰ πρὸς Θεὸν αὐταῖς μεσιτεύειν ἀνεδέξαντο. Οἱ γὰρ ἱερεῖς ὥσπερ ψυχή τις διεσπαρμένη καὶ ζωογονοῦσα ὅλον τὸ σῶμα τοῦ Χριστιανικοῦ λαοῦ καὶ ἀρχόντων καὶ ἀρχομένων καθέστηκεν οὖν καὶ ἡγεμόνα τὸν βασιλέα τῶν ἁπάντων Θεὸν κεκτημένη, καὶ ἀπ' αὐτοῦ τὰς τοῦ ὅλου σώματος διοικήσεις διαπορθμεύουσα καὶ κυβερνῶσα καὶ περιάγουσα.

13. Deinde sacerdotibus Dei, qui, quantum in se est, pascere debent gregem Christi, aliqua in veneratione habitis, atque adeo divinis fidei legibus summa observantia omnique animi inductione ab omnibus observatis, regias leges minime transgrediamini, ut justitia et judicium in medio terræ nostræ fiat.

ιγ'. Οὕτως οὖν περὶ Θεὸν εὐσεβῶς καὶ ὀρθοδόξως καὶ περὶ τοὺς ἐκείνου θεράποντας διακείμενος, ἐπιμελοῦ μετὰ τοὺς θείους τῆς πίστεως νόμους καὶ τοὺς βασιλικοὺς διαφυλάττεσθαι νόμους ἀπαραβάτους· ὥστε ποιεῖν σε κρῖμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς σου.

14. Militarem laborem et arma bellica sic accurabis, non ut injuriam alicui inferas, aut injustum bellum moveas, aut prædationes et iniquas adversus integros homines incursiones facias, sed ut religiose vivens, et cum hostibus etiam, quantum in te est, pacem habens, ita pie et Deo complacite vitam transigas, ut ad injuriosorum hominum vim depellendam arma abs te sumantur.

ιδ'. Ἐπιμελοῦ δὲ καὶ τῶν στρατηγικῶν ἔργων, καὶ τῶν πολεμικῶν ὅπλων· οὐχ ἵνα ἀδικήσῃς, ἢ ἀδίκου πολέμου κατάρξῃς, ἢ λῃστείας τινὰς καὶ ἀδίκους κατὰ τῶν οὐδὲν ἠδικηκότων ἐπιδρομὰς ποιήσῃς, ἀλλ' ἵνα σὺν εὐσεβείᾳ ζῶν, ἀλλὰ καὶ τοῖς πολεμίοις, ὅσον τὸ ἐπὶ σοὶ, εἰρηνεύων, καὶ οὕτως εὐσεβῶς καὶ θεαρέστως (68) πολιτευόμενος, ἔχῃς τὰ ὅπλα πρὸς ἄμυναν τῶν ἀδικούντων πολεμίων.

15. Si enim vitam religiosam ac piam degas, et justa de causa bellum moveas, Deum justum in omni bellandi ratione adjutorem habebis.

ιε'. Ἡ γὰρ εὐσεβής σου ζωὴ ταῦτα παραλαβοῦσα, εὖ οἶδ' ὅτι καὶ Θεὸν αὐτὸν μετὰ τῆς δικαιοσύνης ἕξει συνεκστρατεύοντα.

16. Si enim quis certo statuat non se injuriam alicui inferre, sed injuria affectum esse, et ad bellum necessario suscipiendum, ad depellendam injuriam provocatum esse, is omnino credere debet justo bello bonum finem a Deo imponi, injusto autem contrarium.

ις'. Καὶ ἡ πίστις τοῦ μὴ ἀδικεῖν ἀλλ' ἀδικεῖσθαι στρατηγὸν καὶ ἡγεμόνα τὸ Θεῖον ἕξει, καὶ ἀνάγκη πιστεύειν, ὅτι δικαίῳ πολέμῳ ἀπὸ Θεοῦ ὀφείλεται τὸ τέλος ἀγαθὸν, ὥσπερ τῷ ἀδίκῳ τὸ ἐναντίον.

17. Quemadmodum enim qui injurius est, non potest non iniquitatis suæ pœnam a Deo justo reportare : sic is qui injuriam propulsat, fieri haud potest quin a Deo victoriam assequatur : Dominus enim justus judex est, et cum justitia pertractat omnia.

ιζ'. Ὥσπερ γὰρ τὸν ἀδικοῦντα ἀδύνατον μὴ παθεῖν ποτε τὴν τῆς ἀδικίας ποινὴν παρά γε Θεῷ κριτῇ, οὕτως ἀδύνατον καὶ τὸν τὴν ἀδικίαν ἀμυνόμενον, καὶ ἀντιπολεμοῦντα, μὴ τῆς παρὰ Θεοῦ νίκης ἐπιτυχεῖν· ὁ γὰρ Θεὸς κριτὴς δίκαιος, καὶ σὺν δίκῃ ἐξάγει τὰ σύμπαντα.

18. Hujus rei gratia arma abs te exercenda sunt, reliquaque militaris industria huc conferenda est.

ιη'. Τούτων τοίνυν χάριν ἀσκεῖν σε δεῖ ὅπλων καὶ γυμνασίας καὶ τῆς ἄλλης στρατηγικῆς ἐπιμελείας.

19. Belli ipsius tempore hostium tuorum natura et constitutio diligenter abs te cognoscatur, utrum illorum copiæ primo congressu impetuosiores ardentioresque sint, an patientes plagarum et telorum initio, postea autem ad prælium dimicationemque vehementiores exsistant.

ιθ'. Εἰδέναι δέ σε ἐπὶ τούτοις βούλομαι, ὅτι δεῖ σε ἐν πολέμου καιρῷ τῶν τε ἀντιπολεμούντων τὴν φύσιν γινώσκειν καὶ τὴν ἄλλην κατάστασιν, καὶ δὴ καὶ τὸ ἐκείνων στράτευμα πότερον ὀξύτατόν ἐστιν πρὸς τὰς ἐπιχειρήσεις, καὶ πρὸς τὰς πρώτας ὁρμὰς δραστικὸν, ἢ πρὸς μακρόθυμα καὶ χρονοτριβῆ ἔργα μᾶλλον ἐγγεγύμνασται..

20. Bellum etiam ipsum tibi cognoscendum est, nunquid breve, propter celeritatem dimicandi, et propter commeatus pecuniæque inopiam, an potius impetu animorum et incitatione celere exsistat et vehemens.

κ'. Χρὴ δέ σε διαγινώσκειν καὶ αὐτὸν τὸν πόλεμον, πότερον πολυχρόνιός ἐστιν, καὶ διά τινος δαπάνης χρημάτων, ἢ μᾶλλον ὀξύτητι ῥώμης ὀλιγοχρόνιος καὶ ἐπιχειρητικός.

21. Talibus in bellis pro hostium natura et conatu, et pro universis illorum copiis, exercitum tuum apparabis, vel ad fortitudinem celeritatemque illorum, vel contra ad audaciam timoremque, iras

κα'. Ἐν δὲ τοῖς τοιούτοις πολέμοις ἀντιπαρασκευάζου πρὸς τὰς τῶν ἐναντίων ψυχὰς, καὶ πρὸς τὸ ὅλον αὐτῶν στράτευμα, ἤτοι πρὸς ἀνδρείας καὶ ὀξύτητας, ἢ καὶ πρὸς τὰ τούτων ἐναντία, ἤγουν φό-

NOTÆ.

(68) *Καὶ θεαρέστως.* Legebatur, καὶ θεαρ...

Digitized by Google

βους καὶ θράση καὶ ὀργὰς καὶ τιμωρίας καὶ φιλοτιμίας καὶ ῥαθυμίας, ὥστε τὰ τοιαῦτα πάθη τῶν σῶν στρατευμάτων ἢ καὶ τῶν πολεμίων δύνασθαί σε καὶ αὔξειν καὶ ταπεινοῦν.

A et supplicia, studia gloriæ et ignaviam teipsum comparabis, et hujusmodi affectiones animi sive in tuo exercitu, sive in hostium copiis sint, vel augere vel minuere possis.

κβ'. Καὶ μάλιστα τὰ παρὰ σοὶ διὰ παραγγελμάτων ἐντέχνων καὶ προσποιήσεως προγνωστικῆς καὶ τῆς περὶ τὸ Θεῖον ἐπιμελείας, καὶ τῆς διὰ λόγων δημηγορίας. Ταῦτα δὲ παραφυλάττειν ὥστε γίνεσθαι ἐν τῷ χρόνῳ καθ' ὃν αἱ ψυχαὶ ὑπὸ τοῦ λόγου κινηθεῖσαι διαμένειν δύνανται διὰ τῆς μνήμης πρὸς τὴν διάθεσιν τῆς κινήσεως· ἀλλὰ μὴ παρὰ τὰς ἀνάγκας αὐτὰς, ὅτε πρὸς τὸ διαμάχεσθαι παρασκευάζονται. Συμβαίνει γὰρ ἀπαρασκεύους διαγωνιζομένους τοὺς στρατιώτας ἀτάκτως ἔχειν πρὸς τὸν τῆς μάχης κίνδυνον.

22. Præcepta autem tua potissimum, simulatio prædictionum, cultus divinus, disertæ cohortationis tuæ opportune per tempus adhibeantur, ut mentes omnium oratione permotæ, voluntariæ in hoc statu affectuque consistant, neque necessitate inviti ad dimicandum pertrahantur. Qui enim milites minus ad pugnandum parati sunt, iidem confusionem ordinis et perturbationem in prælio afferunt.

κγ'. Χρὴ οὖν πρὸ τῶν κινδύνων μεθαρμόζειν τὰς ψυχὰς τῶν στρατιωτῶν πρὸς τὰς παρούσας δόξας χρησίμως, ἀλλὰ καὶ τὰς τῶν ἀντιπολεμίων ψυχὰς καταδουλοῦν ἐντέχνως εἴς τε φόβους καὶ ῥαθυμίας καὶ μαλακίας, καὶ τότε ἐπιτίθεσθαι αὐτοῖς, καὶ ἄνευ παντὸς ὄκνου διαμάχεσθαι. Μηδαμῶς δὲ ἄλλως δυνατόν σε περιγενέσθαι τῶν ἐναντίων, εἰ μὴ πρότερον εἰς ἀνάγκας αὐτοὺς περιστήσεις.

23. Antequam igitur pericula subeant milites, animi illorum ita pertractandi sunt, ut ad omnem B impetum sustinendum alacres sint : hostium autem mentes perturbandæ sunt, et in formidinem, mollitiem, desperationemque conjiciendæ, atque adeo tum adoriendi hostes, et sine ulla dilatione invadendi. Nulla enim alia ratione hostes sperabis, nisi in aliquas angustias illos prius deducas.

κδ'. Μηδὲ ἄγειν εἰς τοιούτους κινδύνους, ἐξ ὧν βελτίονες μᾶλλον ἔσονται οἱ ἐχθροὶ, παρ' ὃ βούλονται.

24. Neque in hujusmodi pericula hostes impellantur, in quibus, ut in desperatis rebus solent, meliores, quam illorum natura fert, et impetuosiores sint.

κε'. Εἰ δὲ πίστεις εἰσὶ καὶ ὁμολογίαι, ταύτας χρή σε φυλάττειν ἀπαραβάτους.

25. Sin induciæ fœderaque sint, nullo modo abs te violentur.

κς'. Ἐν δὲ ταῖς τῶν πραγμάτων ἐκβάσεσι δέον σε μήτε εὐτυχοῦντα καὶ τῆς τῶν πολεμίων ἀτυχίας κρατοῦντα μέγα φρονεῖν διαπράξασθαι, μηδὲ πρὸς C τὰ κατεργασθέντα ἐναπομένοντα τῶν πόνων ἀμελεῖν, ἀλλ' εἰς τὰ μακρόθεν καὶ ἔμπροσθεν ἀποβλέπειν, καὶ βουλεύεσθαι τί χρὴ ποιεῖν· μήτε δὴ δυστυχῶν φάνερὸς γίνου ὡς καταπεπληγμένος μήτε τοῖς στρατιώταις μήτε τοῖς πολεμίοις.

26. Ex rerum eventu si prospera tibi omnia et secunda sint, et hostium victoria potitus fueris, ne nimis animo efferaris : neque in rebus gerendis ita tardus sis, ut post initia negotiorum confecta circumspicias, et deliberes quid deinceps agendum sit : nec rursus si adversæ res ingravescant, stupidus et attonitus vel tuis vel hostibus videaris.

κζ'. Ἀλλὰ μηδὲ πρὸς τοὺς πολέμους (69) διάλυε, ἐν οἷς καιροῖς δυνατὸς ὑπάρχεις κατ' αὐτῶν ἀντέχειν καὶ καταγωνίσασθαι, εἰ μὴ βεβαίαν εἰρήνην καὶ ἐπωφελῆ οἱ ἐναντίοι αἰτήσονται· μεγάλαι γὰρ ἐλαττώσεις πολλάκις ἐκ τοῦ τοιούτου τρόπου γίνονται.

27. Sed neque iis temporibus cede hostibus ubi poteris illis resistere, et incursiones illorum propellere, nisi pacem hostes utilem ex te petant : magnæ enim rerum offensiones hujusmodi ex causis oriuntur.

κη'. Χρεὼν δέ σε καὶ τὸ στράτευμα εἰς πόλεμον ἐξάγειν μὴ ἀτελὲς διὰ τὸ πλῆθος, μηδὲ τῶν συνεργῶν τεχνῶν καὶ πραγμάτων ἀπολειπόμενον, μηδ' ἄλλην μηδεμίαν ἔχον ἐλάττωσιν, ἐξ οὗ μάλιστα τρόπου οἱ κακοὶ στρατηγοὶ διαβάλλονται.

28. Exercitus tuus ad bellum educendus est, multitudinem justam habens, cæteris armis bellicis minime defectus, nullaque alia re ad bellum necessaria destitutus : quibus in rebus mali imperatores D facillime reprehensiones habent.

κθ'. Χρὴ δέ σε σπουδαῖον ἀναφανῆναι, καὶ μάλιστα ἐν τῇ διοικητικῇ προνοίᾳ τῶν στρατευμάτων.

29. Industrius admodum debes esse, præcipue autem in iis administrandis quæ ad procurationem rei bellicæ pertinent.

λ'. Καὶ τὰς δαπάνας εἰς τὸ δυνατὸν ὀλίγας καὶ συνεσταλμένας κελεύειν, καὶ τὰ ἄλλα τὰ κοινὰ διασώζειν ἐμπείρως.

30. Sumptus quam minimos et frugales admittes, et rem communem diligenter asservabis : deinde quæ facto opus sunt, omnia accures.

λα'. Καὶ ἐπὶ τούτοις μελετᾷν σε μετὰ πόνου τὰ δέοντα ἔν τε τοῖς ἀρχαίοις καὶ τοῖς νέοις, ὥστε ἱστορικὸν εἶναι πάντων τῶν κατὰ πόλεμον, καὶ ἔμπειρον παλαιῶν στρατηγημάτων ὅσα ἀξιάγαστα γεγόνασιν.

31. Itaque historias antiquorum et recentiorum diligenter cognoscas, et omnium factorum consiliorumque imperatoriorum, quæ digna cognitione sunt, rationem teneas.

NOTÆ.

(69) *Πολέμους*. Scribe, πολεμίους.

Digitized by Google

32. Quod si quis vel artifex vel plebeius aliquid A præ se ferat dicturum quod ad rem militarem atque imperatoriam pertinet, illum admitte libenter, et eorum quæ loquitur judex sis.

λβ'. Καὶ εἴ τις ἐπαγγέλλεταί σοι περὶ στρατηγίας τι εἰπεῖν ἢ τεχνίτης, ἢ ἰδιώτης, πάντων ἄκουε, καὶ γίνου τῶν λεγομένων κριτής.

33. Consilium tibi cum senibus capiendum est, et iis qui rei bellicæ periti sunt, et qui aliqua dignitate ac nobilitate prælucent, et qui cum benevolentia consilium fidele in rebus gerendis dare possunt.

λγ'. Συμβουλεύεσθαι δέ σε χρὴ μετὰ γερόντων ἅμα ἐμπείρων γενομένων τῶν κατὰ πόλεμον ἔργων, καὶ ἀξιώμασι διαπρεπόντων, καὶ μετὰ εὐνοίας ἐν τοῖς πράγμασι, περὶ ὧν ἂν ἡ ᾖ βουλή, διακειμένων.

34. In periculis bellicis nunquam dimices, aut manus conseras, sed cautionem tui ipsius diligentem habeas, et universo exercitui præscribas, quid gerendum in universa dimicatione sit.

λδ'. Δεῖ δέ σε ἐν τοῖς κινδύνοις τῆς μάχης μὴ ἐχ χειρὸς μάχεσθαι, ἀλλὰ φυλακὴν ἔχειν περὶ σεαυτὸν, καὶ ἑρμηνέα γίνεσθαι τοῦ στρατοῦ κατὰ τὴν ὥραν τῆς μάχης πρὸς τὴν κατεπείγουσαν χρείαν.

35. Consiliorum et factorum imperatoriorum excogitator sis, et in aggressionibus tuis solers exsistas, tum quando hostes invasurus, tum quando B ab illis invadendus es.

λε'. Ὀξέως ποιητικόν τε εἶναι στρατηγημάτων, καὶ ἀγχίνουν ἐν ταῖς ἐπιχειρήσεσιν ὑπάρχειν, καὶ ὅταν αὐτὸς ἐπιτίθεσθαι βούλει τοῖς πολεμίοις, καὶ ὅταν ἐπιβουλεύεσθαι μέλλῃς παρὰ τῶν πολεμίων.

36. Ad repellendas hostium incursiones habilis, ad machinationes hostibus inferendas gravis, et ad id quod futurum est animo anticipandum solers.

λς'. Ἔσο δὲ καὶ ἐν τοῖς αἰφνιδίοις φόβοις εὔπορος, καὶ πρὸς τὰς τῶν πολεμίων κακουργίας δεινὸς προϊδεῖν, καὶ τὸ μέλλον προστοχάσασθαι.

37. Ad tesseras quasdam contra hostes excogitandas diligens et assiduus, prudentia, ingenio, industria cæteris omnibus præfectis antecedens.

λζ'. Εἶναι δέ σε χρὴ καὶ πρὸς τὰ συνθήματα, ὅσα κατὰ τῶν πολεμίων ἐπινοήσεις, σύντονον καὶ ἐπιμελέστατον, συνέσει τε καὶ φύσει καὶ ἐπιμελείᾳ διαφέροντα τῶν ὑπὸ σὲ ἀρχόντων.

38. Corpore robustus, et ad omnem armaturam utendam habilis atque expeditus : forma decora ac liberali, omni armorum constructione decorus atque illustris, ætate florens, corpore atque animo strenuus.

λη'. Καὶ τῷ σώματι δὲ ῥωμαλέον καὶ πρὸς πᾶσαν ὅπλισιν, ὥστε χρῆσθαι αὐτῇ δυνατῶς καὶ ἀνεμποδίστως, καὶ εὐτρεπῆ δὲ ἐντεῦθεν γίνεσθαι τὴν εἰδέαν, καὶ κατεσκευάσθαι τῇ παντευχίᾳ τῶν ὅπλων καλῶς καὶ εὐπρεπῶς καὶ ἀπόνως, ὡς γενναίων τὴν ἡλικίαν, καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα εὔρωστον.

39. Abstinens pecuniæ, continens voluptatum omnium, laboriosus ad res tolerandas, fortis ad pericula sustinenda, intrepidus ad discrimina subeunda, ad justas res persequendas acris, magnanimus in rebus cum militibus obeundis, gerendis, magna in existimatione exsistens, non propter generis nobilitatem, civitatem aut rempublicam ab aliis administratam, sed sua virtute, et in omni usu bellico diligenti sedulitate gloriam sibi comparans benevolentia ac animi promptitudine : cæteros omnes in singulis negotiis suscipiendis superans, et perinde ac de privatis rebus negotium esset, publicos labores tolerans

C

λθ'. Εἶναι δέ σε μάλιστα καὶ ἐγκρατῆ χρημάτων καὶ ἡδονῶν ἁπασῶν, φιλόπονον δὲ πρὸς τὰς καρτερίας, ἀνδρεῖον δὲ πρὸς τοὺς κινδύνους, καὶ μὴ ταρασσόμενον ἐν τοῖς ἀγῶσιν, φιλότιμον περὶ τὰς πράξεις τὰς μετὰ δικαιοσύνης, μεγαλόψυχον δὲ ἐν τοῖς ἔργοις τοῖς πρὸς τοὺς στρατιώτας, ἀξίωμα ἔχοντα ἀντὶ πόλεως καὶ γένους καὶ πολιτείας εὐνομουμένης τὴν οἰκείαν ἀρετὴν, καὶ τῷ προέχειν ἁπάντων ἐν τῇ κατὰ πόλεμον ἐμπειρίᾳ, εὐνοίᾳ τε καὶ φιλοτιμίᾳ ἐν τοῖς παροῦσιν ἀεὶ πράγμασιν τοὺς ἄλλους νικῶντα, καὶ ὡς ὑπὲρ ἰδίων πραγμάτων τοὺς κοινοὺς κινδύνους ἀναδεχόμενον.

40. Disertus præterea et eloquens sis, et certissimis rationibus in re vera utens, nisi ubi interdum D ad excitandos militum animos, et ad mentes illorum præsenti rerum opportunitati aptandas, mentiri interdum et fictam orationem adhibere oporteat, quo melius in contrariam sententiam traducantur.

μ'. Προσέτι δὲ δημηγορικόν σε εἶναι χρὴ, καὶ ἀγωνιστὴν, καὶ τοῖς ἀληθεστάτοις τῶν λόγων χρώμενον περὶ τὴν ἀλήθειαν. Πλὴν ὅσον συμφέρειν οὐδὲ ἐπιψεύδεσθαι, ὥστε εἰς ἄλλο ἦθος μεταστῆσαι καὶ κινῆσαι τὰς τῶν ἀκουόντων ψυχὰς χρήσιμον, καὶ βελτίους ποιῆσαι πρὸς τὸν παρόντα καιρόν.

41. Erga illos qui in bello ceciderunt, et erga bonos viros potissimum, magnificus, liberalis, et munificus sis, et honores illis tum beando, tum memorabili sepultura afficiendo habebis.

μα'. Περὶ δὲ τοὺς ἐν ταῖς μάχαις ἀποθνήσκοντας μεγαλοπρεπὴς γενοῦ, καὶ φιλότιμος, καὶ τιμητικὸς, μάλιστα περὶ τοὺς ἀγαθοὺς ἄνδρας, δόξαν αὐτοῖς διὰ τοῦ μακαρισμοῦ καὶ τῆς ἐντίμου ταφῆς περιποιούμενος.

42. Ægrotos quam diligentissime sanari curabis, erga pauperes de tuo liberalis, gloriæ non nimis expetens, et liberalis tum in privatis tum in communibus hominum consuetudinibus.

μβ'. Τῶν νοσούντων θεραπευτικὸς, περὶ τοὺς ἀπόρους εὔπορος ἐκ τῶν ἰδίων, ἀφιλόδοξος δὲ καὶ ἐλευθέριος ἐν ταῖς ἰδίαις καὶ ἐν ταῖς κοινῇ συνερχομέναις ὁμιλίαις.

43. Neque contentiosus, neque curiosus, neque

μγ'. Μὴ δύσερις ὑπάρχῃς μηδὲ πολυπράγμων,

Digitized by Google

μηδὲ πολύλογος, τῇ δὲ ἐσθῆτι μέτριος, καὶ τῷ σχήματι, καὶ τῷ βαδίσματι. Καὶ μᾶλλον τῶν ἄλλων τὸ ἀνεπίφθονον παραφύλαττε, ὥστε μὴ δάκνεσθαι τῷ φθόνῳ περὶ τοὺς συστρατήγους τι κατορθοῦντας, ἀλλὰ ζηλοῦν μᾶλλον καὶ μιμεῖσθαι καὶ συναγωνίζεσθαι τοῖς στρατευομένοις πρὸς ἅπαντα τὰ συμφέροντα.

μθ'. Τῷ δὲ ἀγαθῷ στρατηγῷ χρέος ἐστὶν πρὸς πᾶν ἔθνος ἁρμοζομένῳ, διαφόρους πρὸς ἕκαστον τὰς στρατηγίας ἐπινοεῖσθαι.

μ'. Εἰ δέ ποτε καὶ ναυαρχίας ἐπιστήσεται, ἀκύμαντον τὴν τοῦ στόλου τάξιν διαφυλάξει, ἐμπείρως ἔχων τῆς τοῦ ἀέρος φορᾶς, καὶ τὰς οὐραγίας (70) δὲ, ἤτοι τοὺς ὀπισθοφύλακας εὐτάκτως συνάγειν, ἵνα μὴ ὑπὸ τόπου, ἢ ὑπὸ ζάλης θαλαττίας, ἢ ὑπὸ πολεμίων ἀναγκαζόμενοι φθείροιντο.

μ'. Δεῖ δέ σε γινώσκειν, ὦ στρατηγὲ, καὶ ἐξ ὅσων τρόπων αἱ μάχαι συνάπτονται. Ἢ γὰρ ἐκ παρατάξεως; κατὰ πρόσωπον, ἢ ἐκ παραλογισμοῦ κατὰ μέθοδον, ἢ τόπων ἀποστερίσκοντας ὀχυρῶν, ἢ χώραν ἐξ ἐφόδου φθείροντας, ἢ δενδροτομίας, ἢ σιτοφθορίας, ἢ δώματα ἐμπυρίζοντας, ἢ λεηλατοῦντας, ἢ αἰχμαλωτίζοντας, ἢ ὑδάτων ἀποστεροῦντας, ἢ ἐξ ἐνέδρας ἐπερχομένους.

μ'. Συνάπτονται δὲ αἱ μάχαι ἐκ τούτων, ὅταν αἰφνιδίως ἐπιστῇ στράτευμα στρατεύματι, καὶ ποταμὸν διαβαίνοντι τῷ πολεμίῳ συνάπτειν, καὶ ὡς στενοὺς τόπους ἐξ εὐρυχωρίας μεταλλασσομένῳ, καὶ ἀπὸ στενῶν τόπων εἰς εὐρυχωρίαν καθισταμένῳ, καὶ μήπω συντεταγμένῳ. Καὶ ὅταν μεταλλαγῇ (71) ἀθρόα τοῦ στρατοῦ τῶν πολεμίων γένηται, καὶ ὅταν ἐν τόποις κατακλεισθῶσι δυσδιεξοδεύτοις, καὶ ὅταν τῶν ἀναγκαίων ἀπορήσωσιν, καὶ ὅταν εἰς νόσον τὸ στράτευμα τῶν ἐναντίων ἐμπέσῃ, καὶ ὅταν ὑπὸ χειμῶνος παραλόγως ἐνοχληθῶσιν ἢ ἐναπολειφθῶσι χειμῶνι, καὶ ὅταν ἀπὸ τῶν ἡμερινῶν πόνων τὰ σώματα κατάκοποι γενόμενοι ἄσιτοί εἰσι καὶ νηστεύοντες. Ἢ πορείας μακρᾶς ἐμπεσούσης καὶ κόπος τῶν ἀλόγων καὶ ἀνδρῶν γένηται, ἢ ὅταν ἄγρυπνοι γένωνται διά τινας αἰτίας. Ἐν δὲ τοῖς ναυτικοῖς μάχαι συνάπτονται ἢ ὅταν οἱ πολέμιοι ναυαγήσωσιν, ἢ ὅταν ὑπὸ χειμῶνος ταλαιπωρηθῶσιν.

μη'. Δεῖ δὲ εἰδέναι τὰ τοιαῦτα τὸν στρατηγὸν, καὶ τὰ ἐκ τούτων ἐναντία γινόμενα, προσέτι δὲ καὶ τοὺς καταμερισμοὺς τοῦ στρατοῦ, καὶ τὰς παρατάξεις, καὶ τὰς παραγωγὰς τῶν τάξεων, ἵνα δι' ὀλίγων πείθωνται. Εἰδέναι δὲ καὶ τὰ εἴδη τῶν παραγγελμάτων.

μθ'. Καὶ πρὸς μὲν τὰς ἀπηριθμημένας ἁπάσης τῆς μάχης ἐπιβολὰς νουνεχῶς ἐπιβάλλειν σε παρακελευόμεθα, ὦ στρατηγὲ, καθόσον ἐπινοήσεις ἐνδέχεσθαι τὰς ἐγχειρήσεις, φυλάττεσθαι δὲ ἀπ' αὐτῶν τὰς τῶν πολεμίων ἐπιθέσεις. Καὶ πρὸς πάντα τὰ τοιαῦτα, εἰ οὕτω τύχοι, ἐμπίπτοντά σε φεύγειν τὰς ἐγχειρήσεις· ἃ γὰρ ἑτέροις δράσεις, δι' αὐτῶν τὰ

A loquax. Vestitu, habitu, incessu moderatus; invidiam ex omnibus rebus summe devita, neque militibus strenue rem aliquam gerentibus ea te mordeat, sed laudes eos potius et imiteris, et adjuves ad honesta omnia suscipienda.

44. Unumquemque imperatorem par est adversus ullam nationem bellum suscipientem, cogitare, et cognoscere, quænam forma aciei illorum sit, et quibus potissimum artificiis machinationibusque in bello utuntur.

45. Sin navali classi præficiatur, provideat, ut ne classis aliquibus sali tempestatibus jactetur, et astrorum, aerisque motus observet. Ultima agmina B classis, aut aciei ordinate ad se colligat, ne locorum importunitate, aut tempestate maritima, aut hostibus oppressa pereant.

46. Cognoscendum tibi præterea est, quibus modis prælia committuntur, vel in acie ad frontem instructa, vel ex dolo quadam circuitione, vel loca occupando munitiora, vel regionem incursione diripiendo, vel ligna cædendo, vel fruges populando, vel ædes incendendo, vel agros vastando, vel captivos abducendo, vel aquas illorum detrahendo, vel insidiis adoriendo, bella cum hostibus geruntur.

47. Committuntur etiam pugnæ in bello, quando subito invadit exercitus exercitum, et fluvium transeuntem hostem adoritur, et e spatiosis locis C in angustum compellit, et ex angustis locis in spatiosiora hostem nondum instructum educit, et quando commutatio subita est ejus qui hostes vicerat, et quando in locis includuntur ad exeundum difficilibus, et quando rebus necessariis destituuntur, et quando in aliquam offensionem valetudinis hostium copiæ cadunt, quando adventante hieme graviter perturbantur, aut ipsa in hieme defecti necessariis sunt, quando diurnis laboribus lassati, inedia cibi, potionisque vexantur. Vel si iter magnum contingat, tum homines, tum jumenta lassentur, vel quando nimis vigiles certis de causis sunt, vel quando prælium navale illis accidit, vel quando hostes naufragium fecerint, vel quando D hieme excruciantur.

48. Hæc omnia, horumque contraria imperator cognoscat. Divisiones præterea exercitus, deductiones acierum, ut facile obtemperent, genera quoque mandatorum cognoscant.

49. Præter has prædictas omnes belli irruptiones, prudenter ut hostes adoriaris præcipimus, quantum subitæ rerum aggressiones prudentiam admittere possunt. Hostium autem incursiones quantum potes devites, et omnia hujusmodi, quæ incidere possunt, propulses. Quæ enim in hostes inferre cogites, eadem sæpe numero ab illis patie-

NOTÆ.

(70) *Καὶ τὰς οὐραγίας*. Scribebatur, τὰς οὐρανίας.

(71) *Ὅταν μελλαγῇ*. Scribe, ὅταν μεταλλαγῇ.

Digitized by Google

ris, et aliis quoque quibusdam molitionibus ab hostibus invaderis, nisi caute, et prudenter circumspicias, et quæ facto opus sunt illis opponas.

50. Iis anni temporibus exeursio faciendu, quando fruges sunt.

51. In acie instruenda solem a tergo, et ventum habeas, et in hostium oculis utrumque collocabis.

52. Vocalis in mandandis rebus eris, animosus, concinnam habens vocem.

53. Naturam belli artes ipsæ adjuvant, cujus generis sunt disciplinæ armandi, rationum subducendarum, acierum instruendarum, architecturæ, astrorum, medicinæ.

54. Disciplina armandi hoc in se continet, ut corpora armis moderatis, idoneis, firmis, exquisite confectis tegantur. Eligenda hujusmodi corpora sunt, quæ ad arma capienda idonea sunt.

55. Quantus, qualisque armorum usus esse debeat, demonstrandum militibus est, horumque exercitationes, et contentiones ad omnem necessitatem, et apparitionem prælii ostendendæ sunt.

56. Cura etiam sit honorum, dignitatum, et abundantiæ pecuniarum, quibus arma, reliquæque expensæ necessariæ adhibendæ suppeditentur. Hæc de armatura hactenus.

57. Disciplinæ rationis subducendæ munus erit, exercitum in contubernia, acies, turmas, drungos, cohortes, quincurias, decurias, centurias, reliquasque partes, atque acies dividere, atque ex iis omnibus eos separare, et quot castra custodiant, qui et quot minores natu, et provectiores, quique claudi sunt, aut propter ægritudinem languentes, quique ad civilem magistratum, et ad rem publicam gerendam delecti sunt; corpora præterea florentia a languidis secernere, et horum quoque rationem habere tum magnitudinis, tum parvitatis corporum; præfectus provecta ætate homines constituere, stationem tum quod ad longitudinem, tum quod ad altitudinem spectat collocare; quali cum numero, et quibus cum partibus unaquæque pars ad necessarios motus belli constituatur. Hæc omnia hujus disciplinæ sunt.

58. Disciplina acierum instruendarum hæc in se habet: formas acierum demonstrare, quibus aut invadas alios, aut ab aliis invadere, et quæ ad hostium impetum excipiendum valent, et quæ ad impressionem in hostes faciendam maximum mo-

ὅμοια πάθοις πάλιν ὑφ' ἑτέρων δι' αὐτῶν (72), εἰ μὴ λίαν ὀξέως καὶ νουνεχῶς ἐπιβάλῃς τοῖς ἐμπίπτουσι καὶ ἀντιτιθῇς ταῖς ἀνάγκαις τὰ δέοντα.

ν'. Ἐν δὲ τούτοις τοῖς χρόνοις τοῦ ἐνιαυτοῦ δέον σε τὰς ἐκστρατείας ποιεῖσθαι, ὅταν εἰσὶν οἱ καρποί.

να'. Ἐν δὲ ταῖς στάσεσι τῶν παρατάξεων τὰ ἐναντία πνεύματα κατὰ νώτου ποιεῖσθαι, καὶ τὸν ἥλιον δὲ ὡσαύτως κατὰ τὰς πολεμικὰς ἀγωνίας ἐν ὄψει τῶν ἐναντίων ποιεῖν.

νβ'. Εἶναι δέ σε δεῖ μεγαλόφωνον ἐν τοῖς παραγγέλμασιν, καὶ εὐθαρσῆ, καὶ ἐμμελῆ ἔχειν τὸ φθέγμα.

νγ'. Συνεργοῦσι δὲ τῇ φύσει τοῦ πολέμου αὗται αἱ τέχναι, οἷον ὁπλιτική, λογιστική, ἀρχιτεκτονική (73), ἀστρονομική, ἱερατική, ἰατρική.

νδ'. Ἔργα δὲ τῆς ὁπλιτικῆς, ὥστε περιφράττειν τὰ σώματα ὅπλοις συμμέτροις καὶ ἁρμόζουσι καὶ ἰσχυροῖς καὶ ἀκριβῶς εἰργασμένοις, καὶ εὐπρέπειαν παρέχουσι τῶν φερόντων αὐτὰ σωμάτων. Ἐκλέξασθαι δὲ δεῖ καὶ τὰ σώματα, ὅσα πρὸς πανοπλίαν ἁρμόζουσιν.

νε'. Δεῖ δέ σε ὑποδεικνύναι τοῖς στρατιώταις οἵας καὶ ὅσας εἶναι χρὴ τῶν ὅπλων τὰς χρήσεις, καὶ τὰς μελέτας τούτων, καὶ πάσας τὰς ἀγωνίας πρὸς πᾶσαν συσκευὴν καὶ γυμνασίαν πρὸς τὰς μάχας.

νς'. Φροντίζειν δὲ καὶ τιμῶν καὶ οὐσιῶν καὶ εὐπορίας. Ἐξ ὧν αἱ κτήσεις τῶν ὅπλων καὶ αἱ δαπάναι αἱ περὶ τὰ σώματα ἀρκοῦσαι ἔσονται. Ταῦτα μὲν τὰ ὁπλιτικά.

νζ'. Λογιστικῆς δὲ ἔργον ἐστὶν, ὥστε μερίζειν τὸ στράτευμα κατὰ κοντουβέρνια, καὶ τάξεις καὶ τούρμας, καὶ δρούγγους, καὶ βάνδα, καὶ κενταρχίας τε, καὶ δεκαρχίας, καὶ πενταρχίας, καὶ τοὺς ἄλλους ἀριθμοὺς καὶ ὅλας παρατάξεις, καὶ πάντων τούτων ποιεῖσθαι διαίρεσιν, τίνες καὶ ὅσοι τὰ κάστρα φυλάξουσιν, καὶ τίνες καὶ ὅσοι νέοι ἢ γέροντές εἰσιν, ἢ ἀνάπηροι τὰ μέλη, ἢ διὰ νόσου ἀδύνατοι, καὶ ὅσοι τῆς πολιτικῆς ἀρχῆς, ἢ περὶ τὰ δημόσια πράγματα τεταγμένοι. Ταῦτα λογιστικῆς εἰσι· διακρῖναι δὲ καὶ ἐπιλέξασθαι τὸ λοιπὸν τὰ ἀκμάζοντα σώματα πάσης τῆς στρατιᾶς, καὶ τούτων τὸν μερισμὸν, ὁπόσοι εἰσὶ κατά τε μέγεθος καὶ σμικρότητα. Καὶ ὅπως ἄρχοντας ἐπὶ τούτοις μεγάλους τὰς ἡλικίας δεῖ ποιεῖσθαι, καὶ πῶς τὰ περὶ τὴν στάσιν ἔν τε τῷ μήκει καὶ τῷ βάθει γινόμενοι ταχθήσονται, καὶ ἐν ποίοις ἀριθμοῖς ἕκαστα τῶν μερῶν καὶ ποῦ καταταγήσονται πρὸς τὰς ἐν ταῖς χρείαις ἀναγκαίας κινήσεις· καὶ ταῦτα μὲν τῆς λογιστικῆς.

νη'. Τῆς δὲ τακτικῆς ἔργον ἐστὶν, ὥστε τὰ σχήματα τῶν ταγμάτων δεῖξαι. Ἐν οἷς ἡ ἐγχειρεῖσθαι συμβαίνει, καὶ ποῖα χρήσιμα πρὸς τὸ ὑποδέχεσθαι πολεμίων ἐπιφοράς, καὶ ποῖα πρὸς τὸ ἐπέρχεσθαι ἢ ἀμύνασθαι πέφυκεν, καὶ μετὰ ποίου τρόπου γίνον-

NOTÆ.

(72) Ὑφ' ἑτέρων δι' αὐτῶν. Postrema illa, δι' αὐτῶν, male repetita censeo, et delenda.

(73) Λογιστικὴ, ἀρχιτεκτονική. Scribe una voce amplius, λογιστικὴ, τακτικὴ, ἀρχιτεκτονική. Patet ex sequentibus.

Digitized by Google

ται ἕκαστα· καὶ ποίας ὁπλίσεις δεῖ ποιεῖσθαι κατὰ τῶν ἐναντίων, καὶ πῶς μετακινεῖσθαι τὰς τάξεις δυνατὸν, καὶ ἐν τίνι τόπῳ, καὶ πότε χρηστέον. Ταῦτα μὲν καὶ τῆς τακτικῆς.

A mentum habent, quemadmodum singula fiant, qualem armaturam adversus hostem fabricare, quemadmodum acies moveri debeant, quo loco, temporeque utendum. Atque hæc de aciebus instruendis.

νθ'. Τῆς δὲ ἀρχιτεκτονικῆς ἐστιν τὰ τῶν στρατοπέδων καὶ φοσσάτων σχήματα ἤτοι τῶν ἁπλήκτων, πῶς δεῖ ταῦτα περιλαβεῖν διὰ φοσσάτου ἢ χάρακος, καὶ τὸν ἔσωθεν τόπον διαμερίσαι συμμέτρως, καὶ ποιῆσαι διεξόδους τὰς ἁρμοζούσας, καὶ τὸ δεῖξαι διαστήματα μεγίστου στρατοπέδου διὰ τοῦ μήκους καὶ ἐλαχίστης παλιν διὰ συστολῆς, ὅτε καιρὸς τῆς ἑκάστου χρείας ἐστίν· ἐκλέγεσθαι δὲ καὶ τόπους ὅσοι μὴ εὐεπιβούλευτοί εἰσι τοῖς πολεμίοις, καὶ ὅσοι εὐαπάλλακτοι ἐν ταῖς ὑποστροφαῖς καὶ ταῖς ἀναζεύξεσιν.

59. Architecturæ est castrorum formas describere, quemadmodum fossa, aut vallo obsepienda sunt; interiora loca apte, distributeque sejungere, exitus aperire, maximi exercitus intervalla, minimi autem angustias tenere, ubi utrorumvis aliquis usus fuerit, loca eligere, quæ hostium insidiis minime appetantur, quæque in reversionibus, disjunctionibusque idonea esse possunt.

ξ'. Προσέτι δὲ μηχανικῆς ἐστι τειχίσματα πόλεων ἢ ἄλλων φρουρίων πρὸς τὰς τῶν πολεμίων μηχανὰς ἀκαταγώνιστα κατασκευάσαι, καὶ ὑπὸ ὑδάτων ἂν ἐπαγωγῆς ἀνάλωτα. Καὶ περὶ τὰ τείχη δὲ κατασκευὰς ποιῆσαι καὶ παρασκευάσαι ὅπλισιν· οἷον τὰ λεγόμενα μαγγανικὰ, καὶ τοξοβολίστρας, καὶ τὰ ἄλλα ὅλα ὅπλα ὅσα πρὸς τειχομαχίαν ἀντίκειται, καὶ ἑτέρας δὲ (74) πρὸς τειχομαχίας ἐπιτήδεια. Ταῦτα μὲν καὶ τῆς ἀρχιτεκτονικῆς.

B 60. Hujus artis præterea sunt, muros civitatum, aut munitionum ab hostium machinationibus integros servare, aut aquarum inundationes ab illis repellere, arma ad muros defendendos parare, ut manganica, toxobolistras, et reliqua hujus generis, quæcunque vel ad muros defendendos, vel oppugnandos spectare solent, atque hæc de architectura.

ξα'. Τῆς δὲ ἀστρονομίας εἰσὶν, τοὺς καιροὺς τοῦ ἐνιαυτοῦ προλέγειν, ἐν οἷς χειμώνων καὶ καυμάτων μεταβολαὶ γίνονται, ἢ ὑδάτων ὀμβρίων μεταφοραὶ, ἢ πνευμάτων ἐξαισίων κινήσεις, ἐξ ὧν στρατεύματα πολλάκις εἰς μεγίστους κινδύνους ἐνέπεσον. Καὶ περὶ τὰ μέρη δὲ τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἀκριβῶς διαιρεῖν τοὺς καιροὺς πρὸς τὰς ὥρας τῶν ἐπιθέσεων καὶ πρὸς τὰς ἀναπαύσεις, ἐν αἷς ἀστοχοῦνται (75) πολλάκις ἄχρηστον τὴν δύναμίν τινες ἀπεργάζονται. Περί τε σεισμῶν καὶ τῶν ἄλλων σημείων τὰ μέλλοντα δηλοποιεῖν, ἢ καὶ πρὸς τὸ συμφέρον, τὰς ἐπιφανείας ἐντέχνως μεταρυθμίζειν. Πάντα ταῦτα τῆς ἀστρολογίας εἰσίν.

61. Astronomiæ est tempestivitates anni prædicere, in quibus frigorum, et calorum commutationes fiunt, aut imbrium, et aquarum pluviarum proluvies, vel ventorum ingentium flatus, e quibus magni exercitus in summa sæpe discrimina venerunt; diei noctisque partes ita commode dividere, C ut requietis ac incursionis tempora facillime cognoscantur, quibus non observatis, universæ copiarum summæ sæpe in rebus aggrediendis irritæ atque inanes fuerunt; terræ motus, reliquorumque signorum, et portentorum eventus præmonstrare, illaque ad nostros milites animandos transferre. Sed de astrologia satis.

ξβ'. Τῆς δὲ ἱερατικῆς ἐστιν τὸ, καλῶς τὰ θεῖα χρῆσθαι, καὶ ταῦτα ἐπιτελεῖν ἀδιαλείπτως τὰ στρατεύματα εὐσεβῶς τε καὶ θεαρέστως κατὰ τὸν παραδοθέντα θεσμὸν ἄνωθεν τοῖς εὐσεβοῦσι Χριστιανοῖς, διά τε ἱερολογιῶν, καὶ ἱερουργιῶν καὶ τῶν ἄλλων εὐχῶν καὶ δεήσεων πρὸς τὸν Θεὸν ἐκτενῶς γινομένων, καὶ πρὸς τὴν πανάχραντον αὐτοῦ Μητέρα καὶ Θεοτόκον, καὶ τοὺς ἁγίους αὐτοῦ θεράποντας. D Ἐξ ὧν ἱλεοῦται τὸ Θεῖον, καὶ διὰ τὴν πίστιν τῆς σωτηρίας αἱ ψυχαὶ τῶν στρατιωτῶν εὐρωστότεραι πρὸς τοὺς κινδύνους παρασκευάζονται.

62. Sacrarum rerum scientiæ est, bene divinis uti, et his incessanter operari exercitu pie, et ita ut Deo placeant, juxta legem piis Christianis superius traditam, per sacros sermones, et sacrificia, et alias orationes, et preces ad Deum assidue, et ad ejus intemeratam Matrem, et Deiparam, et sanctos ejus famulos, factas, quibus propitiatur Deus, et per fidem salutis animæ militum firmiores ad pericula subeunda parantur.

ξγ'. Τῆς δὲ ἰατρικῆς ἐστι, περὶ τὰ ἕλκη τὰ ἐκ τῶν τραυμάτων γινόμενα, καὶ περὶ τὰς πληγὰς ὅσαι ἀπὸ λίθων ἢ ἀπὸ βελῶν ἢ ἄλλου τινὸς ὅπλου γίνονται, τούτων πάντων φάρμακα ἔχειν θεραπευτικὴν, καὶ ἐπιστήμην ἰατρικήν. Ἀλλ' ὅσα νοσήματα κοινὰ συμβαίνειν εἴωθε διαψύχει (76), καὶ καύματα, καὶ πόνους, καὶ ὑδάτων μεταβολὰς, καὶ τόπων θέσεις,

63. Medicina, ulcera, quæ ex vulneribus orta sunt, vel plagas, quæ lapidibus, aut telis, aut aliis hujusmodi rebus infliguntur, sanat, et pharmaca iis parata habet. Ægritudines, quæ ex calore, aut frigore, labore, aquarum mutatione, locorum situ, aeris temperie, corporis curandi negligentia, alimentorum improbitate, novarum frugum, et fru-

NOTÆ.

(74) *Καὶ ἑτέρας δέ.* Scribe, καὶ ἑτέρα δέ.
(75) *Ἀστοχοῦνται.* Scribe, ἀστοχοῦντες.
(76) *Διαψύχει.* Scribe, διὰ ψύχη.

Digitized by Google

ciuum cæterorumque hujus generis insalubritate oriuntur, arte sua pellit.

64. Ad artem rationis subducendæ præterea pertinent, sumptus militum, summa spoliorum, pecuniarum accumulatio, et quemadmodum iterum in armorum machinationumque apparatum, et in alios militiæ usus consumantur: horum omnium dijudicatio ratioque ad artem hanc spectat.

65. Ad apparatum igitur, salutemque exercitus constituendam hæ artes, atque iis artibus instructi homines pernecessarii sunt. In armorum ratione elaborant, qui armorum conficiendorum periti sunt.

66. In ratione subducenda, litterarum et summarum faciendarum periti homines; in acierum instruendarum ratione tu, imperator, atque alii qui sub te præfecti constituti sunt.

67. In architectonica, qui architecti et mechanici sunt, et longo tempore in usu harum rerum versati sunt. In astrorum ratione, qui cœlestia corpora scrutati sunt, quique in astrorum ortu atque obitu, conversionibus planetarum, operam suam collocant, qui Ptolemæum diligenter cognoscunt, et Chaldaicas quasdam observationes, Arati Φαινόμενα, Joannis Lydi diurnam menstruamque observationem tenent. Genethlialogias autem, quæ iis in libris sparsæ sunt, et ab Ecclesia Dei rejiciuntur, nos nostro quoque regno expellimus. Et hac sunt de astronomia.

68. Juxta sacrorum autem scientiam, sacerdotes puri et graves vita et moribus, et sanctificati sacrificiis, et ipsi proprii muneris finem Deo offerent; sicuti et nos, quæ paulo superius diximus, recapitulantes imperatoriæ hujus nostræ præfecturæ finem, omnium bonorum datori Deo consecramus.

69. Leges igitur imperatoriæ ac militares, a nostro regno tibi, militibusque, qui sub imperio tuo sunt, hæ præscriptæ sint, quæ abs te assidue custodiantur, et ad eas servandas omni studio ac labore enitaris; magna enim et præclara hinc adjumenta reportabis. Quando enim consilia factaque imperatoria ad aciem tuam firmandam excogi-

καὶ ἀέρων κράσεις, καὶ σωμάτων ἀθεραπευσίαν, καὶ τροφῶν ἀταξίαν, οἷον καρπῶν νέων, καὶ τῶν ὁμοίων, τούτων πάντων ἡ ἰατρικὴ ἐστι θεραπευτική.

ξδ'. Προσέτι τῆς λογιστικῆς εἰσι διοικήσεως, καὶ τὰ ἀναλώματα τῶν στρατιωτῶν, καὶ ὅσα ἀπὸ λαφύρων συναθροίζονται, ἢ ἄλλοθεν συνάγματα χρημάτων, καὶ πάλιν οὗ ἀναλίσκεται, εἴς τε ὅπλων καὶ μηχανημάτων κατασκευὰς, καὶ εἰς ἑτέρας χρείας, ὡς εἰκὸς, ἑκάστης ἐκστρατείας, τούτων πάντων μὴ εὐκρίνεια καὶ οἱ λόγοι τῆς λογιστικῆς εἰσι μεθόδου.

ξε'. Τέχναι μὲν οὖν τοσαῦται πρός τε κατασκευὴν καὶ σωτηρίαν στρατεύματος, καὶ τεχνῖται δὲ τούτων οἱ ἐπιστημόνως αὐτὰς μεταχειριζόμενοι.

ξς'. Τὴν μὲν οὖν ὁπλιτικὴν οἱ περὶ τὴν τῶν ὅπλων ἐργασίαν πονοῦσι τεχνῖται, τὴν δὲ λογιστικὴν γραμμάτων καὶ ψήφων ἔμπειροι ἄνδρες, τὴν δὲ τακτικὴν σύ τε αὐτὸς, ὦ στρατηγὲ, καὶ ὅσοι ὑπὸ σὲ τεταγμένοι ἄρχοντες.

ξζ'. Τὴν δὲ ἀρχιτεκτονικὴν οἱ τέκτονες καὶ μηχανικοὶ, καὶ ἐκ πολλοῦ πρὸς τὴν τοιαύτην γυμνασίαν ἔμπειροι. Τὴν δὲ ἀστρονομίαν οἱ περὶ τὰ μετέωρα στοχάζονται, σοφίᾳ τε καὶ ἐπιστήμῃ τῆς τῶν ἀστέρων ψηφοφορίας διαφέροντες, περί τε τὸν Πτολεμαίου κανόνα, καὶ περὶ τὴν αὐτοῦ λεγομένην *Τετράβιβλον*, καὶ περὶ ἕτερά τινα τῶν Χαλδαϊκῶν παρασημειώσεων (77). Προσέτι δὲ καὶ τὴν τοῦ Ἀράτου (78) περὶ τῶν φαινομένων διαγόρευσιν. . . . Ἰωάννου τοῦ Λυδοῦ καθημερινήν τε καὶ μηνιαίαν παρατήρησιν. Τὰ δὲ τῆς γενεθλιαλογίας ὅσα ἐν τοῖς εἰρημένοις παρέσπαρται, ὡς ἀπόβλητα τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἡ ἡμετέρα ἀποτρέπεται βασιλεία· καὶ ταῦτα μὲν τῆς ἀστρονομίας.

ξη'. Τὴν δὲ ἱερατικὴν, ἱερεῖς καθαροὶ, σεμνοὶ τὸν βίον καὶ τρόπον, καὶ καθηγιασμένοι τελεσιουργήσουσιν καὶ αὐτοὶ τὸ τέλος τῆς οἰκείας ἐνεργείας τῷ Θεῷ ἀναστήσουσιν, ὥσπερεὶ καὶ ἡμεῖς τὰ πρώην ἡμῖν εἰρημένα ἀνακεφαλαιωσάμενοι τὸ τέλος τῆς στρατηγικῆς ἡμῶν ταύτης ἀφηγήσεως τῷ πάντων ἀγαθῶν δοτῆρι Θεῷ ἀνατίθεμεν.

ξθ'. Νόμοι μὲν οὖν στρατηγικοὶ καὶ τύποι τοσοῦτοι παρὰ τῆς ἡμετέρας βασιλείας σοί τε αὐτῷ, καὶ τῷ ὑπὸ σὲ στρατεύματί τε καὶ πολιτεύματι διὰ πείρας ἐγγεγυμνασμένοι ἔστωσάν τε καὶ φυλαττέσθωσαν, ὦ στρατηγὲ, καὶ χρή σε τοῖ. ἐνταῦθα ἐγγεγραμμένοις μετὰ προσοχῆς τε καὶ νήψεως πλείστης ἐμμελετᾷν. Μεγάλα γὰρ κερδήσεις ἐκ τοῦ

NOTÆ.

(77) *Παρασημειώσεων*. Scribebatur, παρασημάσεων.

(78) *Τοῦ Ἀράτου*. Scribebatur, τοῦ Ἀορᾶτου. Porro Checi codex hic citat etiam Joannis Lydi *Diurnam menstruamque observationem*. Intelligit vero eo nomine Nigidii Figuli, *De tonitruum per singulos menses, et dies significatione* librum, quem Lydus hic e Latina lingua in Græcam transtulit. Exstat ipsum opus in bibliotheca Palatina, ubi nos ante quinquennium, cum illic ageremus inter peregrinandum, descripsimus, et edendum dedimus Jano Rutgersio, præstantissimi ingenii, et multarum litterarum juveni. Meminit hujus Lydi Suidas: Ἰωάννης Φιλάδελφος Λυδός. Οὗτος ἔγραψε περὶ μηνῶν βιβλίον α', καὶ περὶ διοσημειῶν ἕτερον, καὶ ἄλλων ἀνῶν ὑποθέσεων μαθηματικῶν. Προσομιλεῖ δὲ ταῦτα Γαβρίᾳ τινὶ ὑπάρχῳ. Vixit autem circa Justiniani tempora, uti nos decet Theophylactus Simocatta, lib. VII, cap. 16: Τινὸς δὲ σημαντικὸν ἡ τούτων ἐνδημία καθέστηκεν, εἰπεῖν ἐθάρρησεν ὁ Λυδὸς τῶν ἄλλων λίαν νεώτερος καθεστώς, ὃς κατὰ τοὺς χρόνους ἐγνωρίζετο Ἰουστινιανοῦ τοῦ αὐτοκράτορος.

Digitized by Google

βιβλίου τούτου, καὶ λίαν ὠφέλιμα· ὅταν γὰρ ἐν αὐτῷ ἀκριβῶς στρατηγήματά τε καὶ διατάγματα ὑπὲρ σοῦ κατανοήσεις, τότε ἄρα καὶ εἴποτε τοῖς αὐτοῖς οἱ πολέμιοι χρήσονται, ῥᾳδίως τὰ ἐναντία τούτων κατὰ ἐκείνων ἐπινοήσεις.

A taveris, si illis iisdem hostes utantur, facile horum peritus contraria usurpare potes.

ο'. Ταῦτα γὰρ κατὰ τὸ δυνατὸν ἔκ τε τῆς τῶν πόλεων (79) πείρας, ὡς εἴρηται, καὶ ἐκ τῶν εἰρημένων παρὰ τῶν ἀρχαίων, εἰς κοινὴν ὠφέλειαν προτεθείκαμεν, οὔτε κάλλους λέξεως φροντίσαντες, ὡς ἐν ἀρχῇ που ἡμῖν εἴρηται τοῦ συντάγματος, οὔτε τῆς ἄλλης ἐμπεριέργου συντάξεως, ἀλλ' ἢ μόνον δὲ ἁπλαῖς καὶ κοιναῖς χρησάμενοι ταῖς λέξεσι, καὶ ὁποίαις μᾶλλον ἡ στρατιωτικὴ συνήθεια χρῆσθαι εἴωθεν.

70. Hæc autem pro ratione ingenii nostri partim usu bellico, partim ex scriptoribus antiquis collecta, ad communem utilitatem hunc in librum contulimus, neque curiosam aliquam verborum inanitatem conquirentes, sed verbis tantum communibus planisque usi, militarem dicendi formam potissimum secuti sumus.

οα'. Ὅσα δὲ κεφάλαια ἕτερα τὰ, ὡς εἰκὸς, ἁπάντων τὰ ἐν ἑκάστῳ πολέμου καιρῷ ἢ τινος ἐκείνου παρασκευῆς καὶ μάλιστα ἐν τῷ νῦν ἡμῖν ἐνοχλοῦντι Σαρακηνῶν ἔθνει, δι' ὅπερ, ὡς εἴρηταί που ἡμῖν, καὶ τὸ παρὸν συντέτακται βιβλίον. Εἰ καὶ μὴ πάντα συλλαβεῖν ἐδυνήθημεν, ἀλλ' ἔκ τε τῶν γεγραμμένων, ἔκ τε τῆς προλαβούσης πείρας, καὶ αὐτῆς δὲ τῆς τῶν πραγμάτων φύσεως στοχάζεσθαί σε δέον, καὶ ὡς δυνατὸν ἁρμόζεσθαι τοῖς ἀναφυομένοις· οὐ γὰρ οἶμαι δυνατὸν, οὔτε ἡμᾶς οὔτε τινὰ ἕτερον ἅπαντα γράφειν, ἢ πρὸς ἅπαντα τὰ μέλλοντα ἀναφύεσθαι, ὥστε παραφυλάττεσθαι ἀπάντων ἀπείρων ὄντων τῷ μέτρῳ τῶν ἐμπιπτουσῶν ἑκάστοτε διαφόρων περιστάσεων.

71. Quæcunque autem alia, vel ad tempus belli gerendi, vel alterius alicujus apparatus adversum ullas nationes, et Saracenos potissimum, quorum gratia hic liber a me, ut ante dixi, conscriptus est, suscepti caput pertinent, ea, quanquam hoc libro contenta non sunt, in iis tamen, si quis se exerceat, usu aliquo belli, et naturæ rerum perscrutatione facile ea quæ desiderantur colligere comprehendereque poterit. Neque enim fieri potest, ut ego aut quisquam alius, quantocunque ingenio eruditioneque sit, omnia complectatur, quæcunque industria ac solertia humana excogitantur, aut viam doceas, qua hæc caveantur, quæ infinita atque immensa genere rebusque circumstantibus sunt.

οβ'. Οὔτε γὰρ ὡσαύτως ἀεὶ οὔτε ὁμοίως ὑπὸ τῶν ἐναντίων τὰ ἐκείνων ἐγχειροῦνται στρατηγήματα. Διὸ οὐδὲ δύναταί τις τεκμήρασθαι τὰ μέλλοντα ἀναγκαῖα πρὸς χρῆσιν ἑκάστοτε. Ἀλλ' οὐδὲ μιᾷ γνώμῃ στρατηγοῦνται, ἀλλὰ ποικίλης οὔσης τῆς παρὰ τῶν ἐναντίων ἐγχειρήσεως (80), καὶ διάφοροι οἱ τρόποι τῶν ἀντεγχειρήσεων ὀφείλουσι γίνεσθαι· πανοῦργος γὰρ καὶ ἀκατάληπτος ἡ ἀνθρωπεία φύσις ὑπάρχουσα, πολλὰ καὶ βουλεύσεται καὶ ἐγχειρεῖν παρ' ἐλπίδας δύναται.

72. Neque enim similiter, eodemque modo hostium consilia, factaque imperatoria ab illis suscipiuntur; itaque ne hæc quidem, quæ ad usum semper necessaria sunt, indicare quis potest; sed cum neque una mente omnes imperatores sunt, sed magnæ varietates rerum ab hostibus susceptarum sunt, diversæ etiam rerum aggressiones ad eos moliendæ sunt. Astuta enim et solers humana natura cum sit, multa excogitare, multa moliri nec opinata potest.

ογ'. Ὅθεν καὶ ἁρμοδίως καὶ καταχρέως δέον ἀεί σε, ὦ στρατηγὲ, τῇ πρὸς Θεὸν δεήσει σχολάζειν καὶ τὰς αὐτοῦ ἐντολὰς φυλάττειν· ἵνα δι' αὐτοῦ δύνασαι καὶ κατ' ἐχθρῶν (81) πίζεσθαι, καὶ αὐτὸς ἀβλαβὴς ἅμα τοῖς ὑπὸ σὲ περισώζεσθαι καὶ τὴν ἐν Χριστῷ τῷ ἀληθινῷ Θεῷ καὶ βασιλεῖ τοῦ παντὸς αἰωνίῳ, σωτηρίαν καὶ νίκην ἄνωθεν ὑποδέχεσθαι, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

73. Unde par est te, imperator, supplici mente semper Deo preces adhibere, et in omnibus auctori salutis, pro iis quæ maxime salutaria sunt supplicare.

NOTÆ.

(79) *Τῶν πολεων*. Scribe, τῶν πολέμων.

(80) *Ἐγχειρήσεως*. Scribebatur, ἐγχειρήτως.

(81) *Τῶν ἐχθρῶν*. Scribebatur, τῷ ἐχρῶν.

Digitized by Google

AD LEONIS AUGUSTI TACTICA

APPENDIX.

Sequentia capita præmittuntur Programmati academico Turicensi anni 1854. « Duplicis sunt generis, inquit Editor : aut ad veterum Græcorum Macedonumque, aut ad recentiorem Byzantinorum rem militarem spectant. Et illa quidem (capp. 30, 34, 41 et 42, 53 et 54), quamvis plane novi non multum sane præbeant, haud inutiliter tamen cum Asclepiodoti, Æliani et Byzantini Anonymi relationibus comparentur. Hæc vero (capp. 35, 38, 39, 43, 50) æque breviter ac dilucide prima Byzantinæ militiæ fundamenta comprehendunt, quæ in Mauricii, Constantini et editis Leonis Tacticis sparsim nec sine difficultate leguntur. » Monet præterea Editor, se codicis scripturæ semper adhæsisse et nihil novavisse, sed vel talia reliquisse qualia sunt δαιπότατοι, χρίδαντες, δεφένσωρες ; quis vero et cujas sit codex quo usus est, omnino tacet. Interpretationem Latinam addidimus.

CAP. XXXII. — *Ordinationes peditum apud eosdem [Græcos].*

Peditum unaquæque legio quatuor armatorum et scutatorum millibus et nonaginta sex constabat ; sexdecim in legione ordines ; porro ordo quisque ducentorum et quinquaginta sex virorum. Quem vero perfectum vocabant exercitum, quatuor legionibus constabat : dividebatur autem in dextram et sinistram partem, medium quoque dextrum et medium sinistrum : unde sexdecim millia et trecenti octoginta quatuor viri. Apud antiquos porro utilis erat ille numerus, siquidem in duas æquales partes fuerit divisus, neque ideo alterutra pars unquam in unitatem desierit. Ad dimidium autem scutatorum erant semper in hujusmodi exercitu leviter armati, octo millia scilicet et centum nonaginta duo : qui separatim semper præbebantur, id est, vel parum ante scutatores, ad persequendos hostes in fugam forte conversos, vel ex utroque latere, vel etiam pone, quemadmodum requirebat necessitas. Totus itaque exercitus erat viginti quatuor millium et quingentorum septuaginta sex. Alio quoque modo exercitum disponebant. Sexdecim namque millia et trecentos octoginta quatuor, quos, ut diximus, perfectum exercitum vocabant, in duas partes æqualiter dividebant, utrinque scilicet ponentes octo millia et centum nonaginta duo, et cornu dextrum dicentes et cornu lævum, et dextram frontem partem cornu dextri anteriorem, caudamque dextram partem posteriorem ; cornu quoque lævi partes singulas pari ratione denominabant. Spatium vero illud quo inter se cornua distabant, ubi stabat dux, os et umbilicum exercitus dicebant. Separatim etiam leviter armatos octo millia et centum nonaginta duo in illa ordinatione eodem quo jam diximus modo ponebant. Intervallum in-

ΚΕΦΑΛ. ΛΒ'. — *Παρατάξεις πεζῶν κατ' αὐτούς.*

Τῶν πεζικῶν ταγμάτων ἕκαστον ἐξ ἀνδρῶν ἦν τετρακισχιλίων ἐννενηκονταἑξ συνιστάμενον, ὁπλιτῶν ἁπάντων καὶ ἀσπιδοφόρων· εἶχε δὲ ὀρδίνους τὸ τάγμα δεκαέξ· ὁ δὲ ὄρδινος ἐξ ἀνδρῶν ἦν διακοσίων πεντηκονταέξ. Ἡ τοίνυν τελεία παρ' αὐτῶν καλουμένη παράταξις ἐκ ταγμάτων τεσσάρων ἦν συνεστημένη· διῄρητο δὲ εἰς δεξιὸν καὶ ἀριστερὸν, μέσον δεξιὸν καὶ μέσον ἀριστερὸν, ὡς εἶναι λοιπὸν τὴν παράταξιν ταύτην ἐξ ἀνδρῶν ἑκκαίδεκα χιλιάδων καὶ τριακοσίων ὀγδοήκοντα τεσσάρων. Χρήσιμος δὲ ὁ ἀριθμὸς οὗτος ἐν ταῖς παρατάξεσι παρὰ τοῖς παλαιοῖς ἦν, ἅτε δὴ τούτου εἰς δύο ἴσα διαιρουμένου [1] μηδέποτε εἰς μονάδα καταλῆγον θάτερον ἔχοντος μέρος. Εἶχε δὲ καὶ ψιλοὺς ἡ παράταξις ἴδε τοὺς ἡμίσεις ἀεὶ τῶν ἀσπιδοφόρων ὀκτακισχιλίους ἑκατὸν ἐννενήκοντα δύο δηλαδή· παρέτατον δὲ τούτους καθ' ἑαυτοὺς ἀεὶ καὶ ἰδίᾳ, ἢ μικρὸν τῶν ἀσπιδοφόρων ἔμπροσθεν πρὸς τὸ διώκειν τραπέντας ἴσως τοὺς πολεμίους· ἢ καὶ ἑκατέρωθεν τούτων ἢ ὄπισθεν, ὡς ἀπαιτεῖν εἶχεν ἡ χρεία. Συνεπόσουτο τοίνυν ἡ παράταξις ἅπασα εἰς εἴκοσι τέσσαρας χιλιάδας καὶ ἑξακοσίους ἑβδομηκονταέξ. Παρέτατον δὲ καὶ τρόπον ἕτερον. Τοὺς μὲν εἰρημένους ἑξακισχιλίους πρὸς τοὺς [2] δέκα καὶ τριακοσίους ὀγδοήκοντα τέσσαρας, οὓς δὴ καὶ τελείαν παράταξιν, ὡς ἔφημεν, οἱ παλαιοὶ κατωνόμαζον [3], εἰς δύο ἴσα διῄρουν, ἀνὰ ὀκτακισχιλίων δηλαδὴ καὶ ἑκατὸν ἐννενηκονταδύο ἀνδρῶν, καὶ τὸ μὲν δεξιὸν ἐκάλουν κέρας, τὸ δὲ ἀριστερὸν, δεξιὰν δὲ κεφαλὴν τὸ ἄνω μέρος τοῦ δεξιοῦ κέρατος, οὐρὰν δὲ ὡσαύτως δεξιὰν τὸ κάτω τούτου· τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ τοῦ ἀριστεροῦ ἐκαλοῦντο μέρη. Τὸ δὲ μεταξὺ τῶν δύο τῶνδε κεράτων διάστημα, ἔνθα καὶ ὁ στρατηγὸς ἵστατο, στόμα καὶ ὀμφαλὸν [4] τῆς παρατάξεως ἔλεγον. Τοὺς μέντοι

VARIÆ LECTIONES.

[1] Inserit B καί. [2] τοῖς (sed ita, ut non differat a τοῦ;) B. [3] κατανόμαζον B. [4] ὄμφαλον B.

Digitized by Google

καὶ ριβ' [8] ψιλοὺς ἰδίᾳ κάνταῦθα καὶ καθ' ἑαυτοὺς ἕταττον, ὡς φθάσαντες ἔφημεν. Διάστημα δὲ κατὰ πλάγιον [9] ἐν τοῖσδε τοῖς τάγμασι πρὸς ἄλληλα οὐ πλέον ἦν ὀργυιῶν ὀκτώ. A super quo in transversum separabantur legiones non erat amplius quam ulnis octo.

ΚΕΦΑΛ. ΛΓ'. — *Παρατάξεις ἱππέων κατ' αὐτούς.*

CAP. XXXIII. — *Ordinationes equitum apud eosdem.*

Οἱ δὲ ἱππεῖς σπανίως μὲν καθ' ἑαυτοὺς ἐπολέμουν· ὀλίγον γὰρ ἦν παρ' Ἕλλησι τὸ ἱππικόν· ὅτε δ' οὖν πρὸς ἱππομαχίαν καθίσταντο, τοὺς μὲν καταφράκτους ὁμοῦ σὺν τοῖς δορυφόροις εἰς δύο διῄρουν τάγματα, μέσον δεξιὸν καὶ μέσον ἀριστερὸν, τοὺς δ' ἐλαφροὺς καλουμένους ἀκοντιστὰς δηλαδὴ καὶ τοξότας εἰς δύο ἕτερα [7] δεξιὸν καὶ ἀριστερὸν, προῖεσαν δὲ μικρὸν τῶν καταφράκτων ἔμπροσθεν, ὡς ἀπὸ ὀργυιῶν ὀκτὼ μάλιστα. Τὸ μέντοι πάχος τῶν ταγμάτων οὐ πλέον ἦν ὀρδίνων τεσσάρων, δύο μὲν ἐκ τῶν καταφράκτων B τῶν εἰς προμάχους τελούντων, δύο δ' αὖθις τῶν ἐλαφρῶν καλουμένων· οὗτοι δὲ καὶ οὐραγοῦντες ἦσαν. Διάστημα δὲ κατὰ πλάγιον [8] ἐν τοῖς ἱππικοῖς τοῖσδε τάγμασι πρὸς ἄλληλα ὀργυιῶν ἦν εἴκοσι μάλιστα. Κατὰ μέντοι τὸ τῶν ὀρδίνων μῆκος δύο μὲν ἐν τοῖς καταφράκτοις τὸν τῆς ὀργυιᾶς ἐπεῖχον τόπον, ἐν δὲ τοῖς ἐλαφροῖς λεγομένοις ὀργυιᾶς ἐπεῖχεν ἕκαστος τόπον [9].

Raro equites separatim dimicabant; modicus enim erat apud Græcos equitatus; quoties autem ad equestrem pugnam deveniebant, cataphractos cum doryphoris simul in duas legiones dividebant, in medium scilicet dextrum et medium lævum; quos autem celeres vocabant, id est, jaculatores et sagittarios, in duas pariter legiones, dextram videlicet et lævam, quas ante cataphractos ad ulnas octo sistebant ut maxime. Legionum profunditas quatuor tantum ordinum erat, duorum videlicet ex cataphractis tanquam antesignanis et duorum ex celeribus qui extremum agmen ducebant. Intervallum autem inter illas equestres legiones viginti ulnarum erat. Quod vero ad ordinum longitudinem attinet, unius ulnæ spatium bini cataphractæ, celeres singuli occupabant.

ΚΕΦΑΛ. ΛΔ'. — *Παρατάξεις στρατοῦ συμμίκτου [10] κατ' αὐτούς.*

CAP. XXXIV. — *Mixti exercitus apud eosdem ordinationes.*

Συμμίκτου δὲ στρατοῦ συνεστῶτος ἐκ πεζῶν δηλαδὴ καὶ ἱππέων, τοὺς μὲν πεζοὺς καθ' ἕνα δήπου τῶν εἰρημένων [11] παρέτασσον τρόπον, τοὺς δ' ἱππεῖς ἢ τῆς πεζικῆς παρατάξεως ἔμπροσθεν, ἢ καὶ ταύτης ὄπισθεν, ὡς ὁ καιρὸς ἐκάλει δηλονότι καὶ ἡ χρεία C κατήπειγεν, ἢ καὶ περὶ αὐτὰ τὰ τῆς παρατάξεως ἀκρότατα τούτους ἕταττον, ὡς ἂν ῥᾳδίως [12] μὲν τὰς κατὰ τῶν ἐχθρῶν ἐπελάσεις οὕτω, ῥᾳδίως δὲ [13] καὶ τὰς ὑποχωρήσεις ποιοῖντο, πονήσαντές τε ἤδη καὶ μὴ οἷοί τε ὄντες τὸν πόλεμον διαφέρειν ἀλύπως ἂν καὶ σὺν οὐδενὶ πόνῳ περὶ τὴν οὐραγίαν διασωθεῖεν [14]. Ὥσπερ δὲ ἄρα τὴν εἰρημένην τελείαν πεζικὴν παράταξιν εἰς ἑκκαίδεκα χιλιάδας πρὸς τοῖς τριακοσίοις ὀγδοήκοντά τε καὶ τέσσαρσιν [15] ὁπλίτας ἔφημεν συμπεσοῦσθαι, τοὺς δέ γε ψιλοὺς εἰς τὸ ἥμισυ τούτων, εἰς ,η δηλαδὴ καὶ ρ' [16] ἐννενηκονταδύο, οὕτω δὴ καὶ τοὺς ἱππεῖς εἰς τὸ ἥμισυ τῶν ψιλῶν περίστων, εἰς ,βις' δηλονότι, ὡς συμπεσοῦσθαι λοιπὸν τὴν σύμμικτον ταύτην παράταξιν εἰς χιλιάδας κη' καὶ χοβ' [17]. Καὶ οὕτω μὲν, ὡς ἔφην, οἵ τε Μακεδόνες καὶ τὸ Ἑλληνικὸν ἅπαν ὡπλίζοντό τε καὶ παρετάτοντο· περὶ δὲ τῶν καθ' ἡμᾶς καὶ Ῥωμαϊκῶν ὁπλισμῶν τε καὶ παρατάξεων μετ' ὀλίγα λεκτέον λοιπόν.

Exercitus mixti pedites aliquo ex prædictis modis, equites vero aut ante aut pone peditatum, ut postulabat tempus aut urgebat necessitas, disponebant, vel etiam ad extremum quodque latus, quo facilius in hostes erumperent, faciliusque se reciperent, atque ad caudam incolumes, pressi nec impetum hostium ferentes, reverterentur. Sicut peditum perfectus exercitus constabat, sicuti jam diximus, sexdecim armatorum millibus et trecentis octoginta quatuor cum leviter armatis ad dimidium octo scilicet millibus et centum nonaginta duobus, ita equitibus ad dimidium leviter armatorum, quatuor scilicet millibus et nonaginta sex; unde mixtus exercitus octo et viginti millibus et sexcentis septuaginta duobus. — Tali modo, ut diximus, Macedones et universi Græci armabantur et exercitus instruebant; nunc autem paucis dicendum de armatura et ordinationibus nostris et Romanorum.

ΚΕΦΑΛ. ΛΕ'. — *Πῶς κατὰ Ῥωμαίους οἵ τε τοῦ στρατοῦ ἡγεμόνες καὶ τὰ ὑπ' αὐτοὺς ὀνομάζονται τάγματα.*

CAP. XXXV. — *Ducum et agminum quæ sub ipsis erant apud Romanos denominationes.*

Πρῶτος μὲν δὴ τῶν ἡγεμόνων ἁπάντων ὁ στρατηγός ἐστιν [18]· εἶτα οἱ τουρμάρχαι οἱ καὶ μεράρχαι λεγόμενοι, μεθ' οὓς οἱ δρουγγάριοι, εἶτα οἱ κόμητες, D

Ducum omnium primus est strategus, post turmarchæ, qui etiam merarchæ, post quos drungarii, deinde comites, post autem centarchæ (illi

VARIÆ LECTIONES.

[8] βι (sic) B. [9] καταπλάγιον B. [7] ἕτρλ (sic) B. [8] καταπλάγιον B. [9] ἐπεῖχεν ἕκαστον (sic!) tantum B. [10] συμμικτοῦ B. [11] εἰρημένον (sed o incorr. script.) B. [12] ῥαδίως (α super ω scriptum et ω linea suberecta transfossum) B. [13] ῥαδίας (sed α in ω corr.) δὲ μὲν (sed utrumque linea transfixum) δὲ B. [14] διασοθεῖεν B. [15] In τέσσαρσιν (sic) σὶν linea subducta notatum. [16] β B. [17] χ' ο η' B. [18] στρατηγὸς ἐστιν B.

Digitized by Google

vero centuriones dicebantur), postea quoque lochagi, decarchæ et pentarchæ et prætereа qui tetrarchæ vocabantur. Legioni unicuique deserviunt bandophori, mandatores, dæpotatæ, cribantes et qui ad tuldum dicuntur; prætereа quoque mensores seu mensuratores, medici etiam et buccinatores. Strategus porro exercitui universo præest, qui omne imperium a Nostra Majestate accepit traditum, omnibusque ideo ducibus præstat. Turmarchæ tres sub se drungos habent; drungarius vero drungo uni præest; drungus autem est collectio virorum usque ad tria millia; namque trium millium collectio non est jam drungus, sed neque minus quam mille; ita ut tribus minimum millibus præsit turmarcha et ad summum novem millibus; drungarius vero pariter mille minimum viris et ad summum tribus millibus. Comes unius bandi dux: apud veteres quidem bandus proprie et specialiter dicebatur flammulus, improprie vero agmen ducentorum virorum usque ad quadringentos, quoniam ducentorum et amplius virorum agmen dignum visum est quod proprium haberet ducem et bandum efficeret; comes itaque duobus minimum centarchis præerat. Nunc autem inter pedites bandus est agmen ducentorum et amplius usque ad quadringentos ad summum; inter equites vero, quinquaginta virorum minimum, sed procedere potest usque ad trecentos et quinquaginta aut ad summum quadringentos, quod idem fere est ac quod nunc allagium dicitur: hodie enim allagium dicitur agmen virorum quinquaginta, quod in suo genere ad centum quinquaginta pervenit; quæ vero in nostro imperio allagia dicuntur ad trecentos viginti aut etiam quinquaginta, et ad summum quadringentos, sicut etiamnum apud Thracios sunt virorum trecentorum et viginti, et apud Charsianos trecentorum et quinquaginta; apud Occidentales autem quædam sunt quadringentorum. Centarcha seu centurio dicitur qui centum viris præest, sicut et pentecontarcha qui quinquaginta. Lochagus, iis qui secundum agminis profunditatem seu densitatem stant: quæ profunditas sexdecim ad summum est virorum; proprie enim lochus dicitur series virorum sexdecim, improprie autem usque ad triginta duo dicitur etiam lochus: lochagus autem vocatur protostates et promachus. Decarcha vero dicitur non quidem qui decem præsit, sed qui primus est inter decem; ubi enim sunt decem, unus novem cæteris præest; sicut et pentarcha non quinque præest, sed est primus inter quinque, et pariter tetrarcha: non lochagus autem solum dicitur protostates et promachus, sed et aliquando fit ut decarcha etiam eo nomine vocetur; quando

A μεθ' οὓς [19] οἱ κένταρχοι (καλοῦνται δὲ οὗτοι καὶ [20] ἑκατόνταρχοι)· μετὰ τούτους λοχαγοὶ καὶ δέκαρχοι καὶ πένταρχοι, ἔτι γε μὴν πρὸς τούτοις οἱ τέτραρχοι καλούμενοι. Ὑπηρέται δὲ καθ' ἕκαστον τάγμα εἴ τε βανδοφόροι καὶ οἱ μανδάτορες, δαιπότατοί τε καὶ κρίβαντες καὶ οἱ ἐπὶ τοῦ τούλδου καλούμενοι· καὶ πρὸς τούτοις οἱ λεγόμενοι μίνσωρες ἢ μινσουράτωρες, ἰατροί τε καὶ βυκινάτωρες. Στρατηγὸς μὲν οὖν ἐστιν ὁ τοῦ στρατοῦ παντὸς ἀφηγούμενος καὶ τὴν πᾶσαν ἀρχὴν παρὰ τῆς βασιλείας ἡμῶν ἐπιτετραμμένος καὶ τῶν ἡγεμόνων διὰ τοῦτο πάντων ἐξουσιάζων· τουρμάρχης δὲ ὁ τρεῖς [21] δρούγγους ὑφ' ἑαυτὸν ἔχων· δρουγγάριος δὲ ὁ δρούγγου ἄρχων ἑνός· εἴη δ' ἂν δροῦγγος [22] τὸ μέχρι τῶν τρισχιλίων ἀνδρῶν σύστημα, οὔτε δὲ τῶν τρισχιλίων ἐπέκεινα εἴη ἂν

B δροῦγγος, οὔτε μὴν τῶν χιλίων ἔλαττον, ὥστε εἴη ἂν ὁ μὲν τουρμάρχης τρισχιλίων ἀνδρῶν ἄρχων τὸ ἔλαττον, τὸ δὲ πλεῖστον ἐννακισχιλίων, ὁ δὲ δρουγγάριος ὡσαύτως τὸ μὲν ἔλαττον χιλίων, τρισχιλίων δέ γε καὶ [23] τὸ πλεῖστον· κόμης δὲ ὁ βάνδου ἄρχων ἑνός. Εἴη δ' ἂν κατὰ τοὺς παλαιοὺς βάνδον κυρίως μὲν τὸ ἰδιωτικῶς καλούμενον φλάμουλον, καταχρηστικῶς δὲ τὸ τῶν διακοσίων καὶ μέχρι τῶν τετρακοσίων ἀνδρῶν συνεστὸς [24] πλῆθος ἐλέγετο, ὡς ἀξιολόγου τοῦ τῶν διακοσίων καὶ ἐπέκεινα [25] συστήματος ὄντος λοιπόν, ὥστε καὶ ἀρχήν τινα καθ' ἑαυτοῦ ὑπεμφαίνειν τοῦτο καὶ βάνδον ἀνιστᾷν ἴδιον, ὥστε ἦν ἂν ὁ κόμης δύο κεντάρχων ἀρχῶν τὸ ἔλαττον. Νῦν δὲ βάνδον ἐπὶ μὲν πεζικῶν ταγμάτων τὸ τῶν διακοσίων ἀνδρῶν καὶ ἐπέκεινα [26] σύστημα μέχρι τῶν τε-

C τρακοσίων τὸ πλεῖστον, ἐπὶ μέντοι γε [27] τῶν ἱππικῶν τὸ τῶν πεντήκοντα μὲν τὸ ἐλάχιστον, προκόπτον δὲ μέχρι καὶ τριακοσίων πεντήκοντα ἢ τὸ πλεῖστον τετρακοσίων, ταὐτό [28] πως ὂν τῷ νῦν ἀλλαγίῳ [29] καλουμένῳ· ἀλλάγιον γὰρ λέγεται μὲν ἀρτίως καὶ τὸ τῶν πεντήκοντα σύστημα, πρόεισι δὲ τὸ μὲν ἰδιωτικὸν καὶ μέχρι τῶν ρ' [30] πεντήκοντα, τὰ δέ γε τῆς βασιλείας ἡμῶν καλούμενα ἀλλάγια καὶ μέχρι τῶν τκ' [31] καὶ τν' [32] ἢ τόγε πλεῖστον υ', ὁποῖα νῦν εἰσι τὸ μὲν τῶν Θρᾳκησίων τκ', τὸ δέ γε τῶν Χαρσιανῶν τριακοσίων ν', καὶ τῶν ἑσπερίων ταγμάτων αὖθις ἕνια μέχρι καὶ τεσσαρακοσίων ἀνδρῶν τὴν σύστασιν ἔχουσι. Κένταρχος δὲ καλεῖται καὶ κεντηρίων ὁ ἑκατόνταρχος, ὥσπερ δὴ καὶ πεντήκόνταρχος ὁ πεντήκοντα ἀνδρῶν ἀφηγούμενος· λοχαγὸς

D δὲ ὁ τῶν κατὰ τὸ τοῦ τάγματος βάθος ἢ πάχος παρισταμένων ἡγεμονεύων, ὃ δὴ μάλιστα ἀπὸ ἀνδρῶν συνέστηκε [33] δεκαέξ· λόχος γὰρ τὸ τῶν δεκαὲξ ἀνδρῶν σύστημα λέγεται κυρίως, καταχρηστικῶς δὲ καὶ τὸ μέχρι τῶν τριάκοντα δύο [34] λόχος καλεῖται· ὁδὲ δὴ λοχαγὸς καὶ πρωτοστάτης καὶ πρόμαχος λέγεται. Δέκαρχος δὲ καλεῖται οὐχ ὁ δέκα ἄρχων ἀνδρῶν, ἀλλ' ὁ [35] ἐκ τῶν δέκα πρῶτος· δέκα γὰρ ὄντων ὁ εἷς τῶν λοιπῶν ἄρχει ἐννέα, ὥσπερ δὴ καὶ πένταρχος οὐχ ὁ

VARIÆ LECTIONES.

[19] Verba οἱ δρουγγάριοι — μεθ' οὓς omissa in textu ead. m. ad marg. adscripta. [20] οἱ B. [21] (τῆς, sublocato τρεῖς, linea transfossum). B. [22] Ead. m. ascript. ad marg. ὅρα τὸν δροῦγγον. [23] δέ γε καὶ] λέγεται B. [24] συνεστὼς B. [25] ἐπικεινα (sic) B. [26] ἐπίκεινα B. [27] μέντοι γε] μὲν δέ τοι B. [28] ταυτό B. [29] Ead. m. ascript. ad marg. ὅρα τὰ τῶν ἱππέων ἀλλάγια. [30] ῥ B. [31] τ' χ' B. [32] τ' ν' B. [33] συνέστηκε B. Ead. m. ascript. ad marg. ὅρα τοίνυν τὸν λοχαγόν. [34] τριάκονδύο (sic) B. [35] ὁ om. B.

Digitized by Google

τῶν πέντε ἄρχων, ἀλλ' ὁ ἐκ τῶν πέντε πρῶτος· ὡσαύ- A
τως δὲ καὶ ὁ τέτραρχος· λέγεται δὲ [37] καὶ πρόμαχος
καὶ πρωτοστάτης [38] μὴ μόνον ὁ λοχαγὸς, ἀλλὰ καὶ
ὁ δέκαρχος ἔσθ' ὅτε· τοῦ γὰρ βάθους ἢ πάχους τοῦ
τάγματος ἀπὸ ις' μὴ ὄντος ἀνδρῶν, ἀλλὰ ἀπὸ δέκα,
τότε δὴ ὁ δέκαρχος καὶ πρωτοστάτης καλεῖται καὶ
πρόμαχος, ἐπιστάτης δὲ ὁ δεύτερος [39] ἢ μετὰ τὸν
λοχαγὸν ἢ τὸν δέκαρχον ἱστάμενος· οὐραγὸς δὲ ὁ
τοῦ πάχους τοῦ τάγματος ὕστατος. Δεῖ δὲ πρὸς τού-
τοις εἰδέναι, ὡς τάγμα μὲν καὶ τάξις μέρος τῆς
παρατάξεώς ἐστιν [40], ἐξ οὗ καὶ ταγματάρχης καὶ
ταξίαρχος λέγεται. Τὸ δὲ τάγμα [41] διακοσίων ἀν-
δρῶν τὸ ἐλάχιστον εἶναι δοκεῖ· τὸ γὰρ τούτων ἔτι
ἔλαττον οὐκέτι τάγμα λοιπὸν, ἀλλ' ἀπόμοιρα τάγμα-
τος κληθείη ἄν. Παράταξις δὲ καλεῖται τὸ ἐκ πολ-
λῶν ἤδη συνιστάμενον πλῆθος. Στόμα δὲ καὶ ὀμφα- B
λὸς παρατάξεως ὁ μέσος [42] αὐτῆς τόπος, ἔνθα καὶ ὁ
στρατηγὸς μετὰ τῶν βάνδων ἕστηκε, μέτωπον δὲ ὁ
πρῶτος ὄρδινος τῶν προμάχων λεγομένων, ὥσπερ
δὴ καὶ οὐρὰ ὁ πάντων, ὡς ἔφημεν, ὕστατος ὄρδι-
νος [43] ἐν ἑκάστῳ τάγματι λέγεται. Κοντουβέρνιον δὲ
καλεῖται τὸ ἑκάστου τάγματος βάθος ἢ πάχος. Καὶ
ταῦτα μὲν περὶ ἡγεμόνων. Τῶν δὲ ἀνὰ τάγματα
ὑπηρετούντων βανδοφόροι μὲν οἱ τὰ κοινῶς [44] καλού-
μενα φλάμουλα φέροντες, μανδάτωρες δὲ οἱ τὰς τῶν
ἡγεμόνων ἐπιταγὰς ἐπὶ τοὺς στρατιώτας διακομί-
ζοντες, δαιπότατοι δὲ καὶ κρίβαντες οἱ τῶν ταγμάτων
κατόπιν ἐρχόμενοι καὶ τοὺς τραυματίας εὐθὺς ἀνα-
λαμβανόμενοι καὶ τοῖς ἰατροῖς τούτους ἀποκομίζον-
τες. Ἐπὶ τοῦ τούλδου [45] δὲ καλοῦνται οἱ τὴν ἀπο- C
σκευὴν ἐγκεχειρισμένοι τοῦ στρατοῦ σύμπαντος·
τοῦλδον γὰρ ἡ ἀποσκευὴ λέγεται. Προκουρσάτωρες
δὲ οἱ πρὸ τῆς τοῦ πολέμου συμβολῆς προεκτρέχον-
τες καὶ τοὺς ἐναντίους πρὸς συμπλοκὴν ἐρεθίζοντες·
κουρσάτωρες δὲ οἱ εἰς πραῖδαν ἀπερχόμενοι καὶ τὴν
τῶν πολεμίων ληϊζόμενοι χώραν· δεφένσωρες δὲ οἱ
κατόπιν τῶν προκουρσατώρων ἀεὶ ὄντες καὶ τούτους
ἐκ τῆς τροπῆς ὑποστρέφοντας [46] ὑποδεχόμενοι καὶ
ὑπὲρ αὐτῶν ἀγωνιζόμενοι [47]. Ὑπερκεράσται δὲ κα-
λοῦνται οἱ περὶ τὸ δεξιὸν ἄκρον τῆς παρατάξεως ἱστάμενοι ἐπὶ τῷ [48] κυκλῶσαι τοὺς πολεμίους· πλα-
γιοφύλακες δὲ αὖθις οἱ ἐκ τοῦ ἀριστεροῦ μέρους τῆς παρατάξεως ἱστάμενοι ἐπὶ τῷ τὰς παρὰ τῶν πολε-
μίων γινομένας κυκλώσεις φυλάττεσθαι καὶ κατὰ τὸ δυνατὸν αὐτοῖς ἀντιπολεμεῖν καὶ ἀντικαθίστασθαι·
μίνσωρες [49] δὲ ἢ [50] μινσουράτωρες οἱ τοῦ στρατοῦ προεκτρέχειν ἀποτεταγμένοι καὶ τὰς [51] ὁδοὺς ἐξ-
ομαλίζοντες καὶ τὴν τῶν ἵππων νομὴν ἐρευνῶντες καὶ τὰ ὕδατα καὶ πρὸς τούτοις τὴν τοῦ στρατοπέδου
διάθεσιν καὶ πᾶσαν ἄλλην ὑπηρεσίαν αὐτοῦ.

enim agminis profunditas non est sexdecim virorum, sed decem tantum, tunc decarcha protostates dicitur et promachus; epistates vero dicitur qui stat secundo loco, sive post lochagum, sive post decarcham; caudarius autem qui in agminis profunditate stat extremus. Sciendum præterea tagmata et taxes esse partes parataxeos; unde dicuntur et tagmatarchæ et taxiarchæ. Tagma porro ducentorum minimum virorum esse videtur: si etenim minor esset munerus, non jam tagma, sed tagmatis pars diceretur. Parataxis vero dicitur multitudo plurimis tagmatibus constans. Os seu umbilicus parataxeos est locus medius ubi stat cum bandis strategus; frons vero est primus ordo, corum scilicet qui promachi dicuntur, sicut et cauda in singulis tagmatibus extremus omnium, ut diximus, ordo. Contubernium vocant cujusque tagmatis profunditatem seu densitatem. Illa de ducibus; quod autem ad servientes tagmatibus attinet, bandophori sunt qui flammulas vulgo dictas portant; mandatores qui ducum mandata ad milites deferunt; dæpotatæ et cribantes qui pone tagmata gradientes vulneratos levant et ad medicos portant: ad tuldum dicuntur qui totius exercitus impedimenta curant: tuldum enim dicunt impedimenta; procursatores qui ante initam pugnam currunt ad excitandos ad congressionem adversarios; cursatores vero qui ad prædam dispersi regionem hostium pervastant; defensores autem qui pone procursatores semper incedentes eos redeuntes accipiunt et pro eis dimicant; hypercerastæ qui in dextro exercitus cornu positi hostes circumfundere tentant; plagiophylaces, qui in lævo cornu ad impediendas hostium circumvolutiones et ad repugnandum atque pro sua facultate resistendum sunt parati; mensores seu mensuratores qui exercitui ante euntes vias complanant, equorum escam vestigantur et aquas, et præterea exercitus stationes parant atque omni ministerio deserviunt.

ΚΕΦΑΛ. ΛΗ'.—*Ὁπλισμὸς πεζῶν κατὰ Ῥωμαίους.* D

Πεζικῶν δὲ Ῥωμαϊκῶν παρατάξεων ἔχοι ἂν ὁπλισμὸς ὧδε· τῶν μὲν ὁπλιτῶν καλουμένων ἢ τετράγωνοι ἔστων αἱ ἀσπίδες εἰς στενὸν ἀποτελευτῶσαι κάτωθεν σπιθαμῶν ἓξ ἔγγιστα, ἢ καὶ τρίγωνοι πλὴν ἀνδρομήκεις σχεδὸν κατὰ τὰς τετραγώνους, ἢ καὶ στρογγύλαι σπιθαμῶν τριῶν πρὸς τῇ ἡμισείᾳ·

CAP. XXXVIII. — *Peditum apud Romanos armatura.*

Romanouum exercituum peditibus constantium armatura hac esse debet. Eorum qui hoplitæ dicuntur sint clypei quadranguli in angustum ab imo desinentes sex dodrantium ut proximi, vel etiam trianguli ad hominis fere longitudinem sicut et quadranguli, vel tandem rotundi trium dodrantium

VARIÆ LECTIONES.

[37] δὲ om. B. [38] Ead. m. ascript. ad marg. ὅρα τὸν πρωτοστάτην. [39] β', suprascripto ος B. [40] παρατάξεως ἐστίν B. [41] Ead. m. ascript. ad marg. ὅρα τί δήποτ' ἐστὶ τὸ τάγμα. [42] μεσός B. [43] τῶν προμά correcto errore add. B. [44] τακοινῶς B. [45] Ad marg. ascript. περὶ τοῦ τούλδου. [46] ὑπεστρέφοντας B. [47] ἀγωνιζώμενοι B. [48] τὸ B. [49] μίνσουρες B. [50] οἱ B. [51] τάς τε B.

Digitized by Google

cum dimidio : similis color et signum singulis cujusque partis clypeis, mediæ scilicet, dextræ, sinistræ et cæterarum. Lanceæ decem cubitorum aut minimum octo, cum cuspidibus dodrantis unius cum dimidio. Spicula non ex lignis securi excisis, sed ex quercubus recens acutis, vel craniis vel artizicidiis, ut dicunt, vel quovis alio. Præterea loricia ferant aut etiam clibana sive ferrea, sive cornea, quæ nisi suppetant, suppara habeant cum bambace et cucullio ad genua pendentia, manicasque habentia usque ad cubitum, scissuris patentes circum brachia ad emittendas manus; alligentur autem pone humeros manicæ muliebribus fibulis. Femoralibus vero præcingantur, id est, gladiis altera parte acutis dodrantium cum capulo quatuor. Chiropsella quoque sint, quæ manicillia dicuntur, et podopsella ænea, deinde galeæ eximiæ tufis in apice distinctæ, similes autem tufæ pone humeros in loriciis et clibanis. Eorum tamen qui peltastæ vocantur, leviorem armaturam esse oportet. Scuta etenim orbicularia debent habere trium ad summum dodrantium aut oblonga dodrantium quatuor, lanceas autem cubitorum octo et jacula missilia ulnæ unius cum tertia parte circiter, non amplius videlicet quam duodecim dodrantium cum cuspide; thoraces quoque hamis inter se consertis loricia scilicet et clibana aut ferrea ambo aut cornea, vel si desint, suppara spissiora ex lana vel cuculla, sicut supra diximus, prætereaque femoralia et galeas a fronte apertas. Velitum autem hæc sit armatura : super humeris pharetras portent marsupiis iustructas triginta vel quadraginta tela continentibus, nervos insuper duo tubulos ligneos cum telis parvis et similibus marsupiis : quæ parva tela quidam vocant menas. Perutilia autem hujusmodi tela in bello quoniam longissime arcubus mittuntur et hostibus sunt invisibilia ob brevitatem, et sic celerrime interficiunt, prætereaque hostibus propter imperitiam sunt inutilia. Jacula quoque et scuta orbicularia et femoralia seu secures in coriaceis loculis; aliqui eorum fundas sex dodrantium, nec minores; eorum vestes non sint talares, sed ad genua tantum descendant, et calceamenta laxe ligentur : commoda etenim ea omnia et maxime in itineribus. Sit autem insuper in illis peditum legionibus pro singulis decarchiis plaustrum unum molam ferens manualem, asciamque bipennem et ligones duos atque ventilabra et cilicium et junceum cophinum et cætera, præterea quoque securim ac falcem et tribulos ferreos colligatos clavis ferreis per dicta sphecomata ut facilius mittantur et rursus retrahantur; ferat etiam plaustrum quodque arcus necessitate plures et tela, paxamataque ac tritum milium et quæcunque necessaria a nobis omissa.

A ἐχέτωσαν δὲ μέρους ἑκάστου αἱ ἀσπίδες καὶ χρῶμα καὶ σημεῖον ταυτὸ, τοῦ μέσου δηλαδὴ, τοῦ δεξιοῦ, τοῦ ἀριστεροῦ καὶ τῶν λειπῶν. Δόρατα δὲ αὐτοῖς ἔστωσαν δεκαπήχη ἢ καὶ ὀκταπήχη τὸ ἔλαττον, τὰς αἰχμὰς ἔχοντα σπιθαμῆς μιᾶς πρὸς τῇ ἡμισείᾳ· τὰ μέντοι μεναύλια μὴ ἀπὸ πελεκητῶν ἔστωσαν ξύλων, ἀλλ' ἀπὸ νεακέων δρυῶν ἢ κρανιῶν ἢ τῶν λεγομένων ἀρτζικιδίων ἢ ἑτέρου τοίου τινός [52]. Πρὸς τούτοις λωρίκια φορείτωσαν ἢ καὶ κλιβάνια καὶ ταῦτα ἢ σιδηρᾶ [53] ἢ κεράτινα, τούτων δὲ μὴ ὄντων καβάδια ἐχέτωσαν μετὰ βαμβάκης καὶ κουκουλλίου [54] μέχρι γονάτων φθάνοντα, τὰ μανίκια μέχρι τῶν ἀγκώνων [55] ἔχοντα σχίσματά τε περὶ τὰς ὠλένας πρὸς τὸ ἐκεῖθεν ἐκβάλλειν τὰς χεῖρας· κρατείσθω δὲ τὰ μανίκια διὰ κομποθηλύκων τῶν ὤμων ὄπισθεν.

B Ζωννύσθωσαν δὲ καὶ παραμήρια ξίφη δηλαδὴ ἑτερόστομα σπιθαμῶν μετὰ τῆς κώπης [56] ὄντων τεσσάρων· χειρόψελλά τε αὐτοῖς ἔστωσαν, ἃ δὴ καὶ μανικέλλια λέγονται, ἔτι τε καὶ ποδόψελλα εἶτ' οὖν χαλκότουβα, καὶ κόρυθες τέλειαι [57] τουφία ἔχουσαι κατὰ τὴν κορυφήν· τὰ δὲ αὐτὰ τουφία καὶ ἐν τοῖς λωρικίοις ἔστω καὶ κλιβανίοις τῶν ὤμων ἄνωθεν. Τῶν μέντοι *πελταστῶν* καλουμένων ἐλαφροτέραν τὴν ἐξόπλισιν ποιητέον· ἀσπίδες γὰρ αὐτοῖς περιφερεῖς ἔστωσαν σπιθαμῶν τριῶν μάλιστα, ἢ καὶ ἐπιμήκεις τετρασπίθαμοι, δόρατά τε ὀκταπήχη καὶ ἀκόντια εἶτ' οὖν ῥιπτάρια ὀργυιᾶς μιᾶς πρὸς τῷ τρίτῳ ἔγγιστα, μὴ πλέον δηλαδὴ σπιθαμῶν δώδεκα ἕκαστον σὺν τῇ αἰχμῇ· θώρακες δὲ ἁλυσιδωτοὶ [58], λωρίκια

C δηλαδὴ καὶ κλιβάνια, ἢ σιδηρᾶ [59] ἄμφω ἢ καὶ κεράτινα, ἢ τούτων μὴ ὄντων καβάδια παχύτατα ἐκ βαμβάκης καὶ κουκουλλίου, ὡς ἄνωθεν ἔφημεν, πρὸς τούτοις παραμήρια καὶ κόρυθες ἀσκεπὰς ἔχουσαι τὸ πρόσωπον. Τῶν δὲ ψιλῶν λεγομένων ὧδέ πως ἔστω ὁπλισμός· περὶ μὲν τοὺς ὤμους τοξοφάρετρα βαστάζέτωσαν κούκουρα ἔχοντες ἀνὰ τριάκοντα ἢ καὶ τεσσαράκοντα ὀϊστοὺς χωροῦντα, ἐχέτωσαν δὲ καὶ νευρὰς ἀνὰ δύο καὶ σωληνάρια ξύλινα μετὰ μικρῶν ἕκαστον [60.61] ὀϊστῶν καὶ κουκούρων τοιούτων· τοὺς δὲ μικροὺς τοιούτους ὀϊστοὺς καὶ μένας καλοῦσί τινες [62].

Χρήσιμα δὲ τὰ βέλη ταῦτα κατὰ τὸν πόλεμον, ὅτι τε [63] πορρωτάτω διὰ τῶν τόξων πέμπονται, καὶ ὅτι ἀθέατα τοῖς πολεμίοις εἰσὶ διὰ τὴν βραχύτητα καὶ διὰ τοῦτο τάχιστα ἀναιροῦσιν, ἄλλως τε καὶ ὅτι

D τοῖς πολεμίοις οὐ χρησιμεύουσι ταῦτα τὰ βέλη δι' ἀπειρίαν. Οἱ δ' αὐτοὶ ψιλοὶ καὶ ἀκόντια φερέτωσαν καὶ ἀσπιδίσκια στρογγύλα καὶ παραμήρια ἢ τζικούρια διὰ θηκαρίων βασταζόμενα δερματίνων· τούτων δὲ ἔνιοι καὶ σφενδόνας ἐχέτωσαν οὐκ ἐλάττους σπιθαμῶν ἓξ. Ἱμάτια δὲ αὐτοῖς μὴ ποδήρη, ἀλλὰ μέχρι γονάτων ἔστω φθάνοντα καὶ ὑποδήματα μετρίως καθηλωμένα· ταῦτα γὰρ χρήσιμα καὶ μάλιστα ἐν ταῖς ὁδοιπορίαις. Ἔστω δὲ πρὸς τούτοις ἐν τοῖς πεζικοῖς τοῖσδε τάγμασι καὶ κατὰ δεκαρχίαν ἅμαξα [64] μία χειρόμυλον φέρουσα καὶ ἀξίνην καὶ πελέκιον καὶ ὀρύττας δύο καὶ πτύα καὶ κιλίκιον καὶ κόφινον σκέ-

VARIÆ LECTIONES.

[52] τοιούτινος B. [53] σιδηρᾶ B. [54] κουκουλίου B. [55] ἀγκόνων B. [56] κόπης B. [57] τελεῖαι B. [58] ἁλυσειδωτοι B. [59] σιδηρᾶ καὶ B. [60 61] ἕκαστος B. [62] καλοῦσί τινές B. [63] τὲ B. [64] ἅμαξ B.

Digitized by Google

παρνόν τε καὶ τὰ λοιπὰ, πρὸς τούτοις τζικούριον καὶ φαλκίον [66] τριβόλιά τε σιδηρᾶ διὰ τῶν λεγομένων σφηκωμάτων ἀποδεδεμένα ἥλοις σιδηροῖς πρὸς τὸ ῥᾳδίως αὐτὰ ῥίπτεσθαι καὶ αὖθις συνάγεσθαι· φερέτω δὲ τῶν ἀμαξῶν ἑκάστη καὶ τόξα τῆς χρείας πλείω καὶ ὁἴστοὺς παξαμάτας τε καὶ κέγχρον ἀληλεσμένην [66] καὶ ὅσα τῶν χρειῶν δ' ἕτερα ἡμῖν παραλέλειπται.

ΚΕΦΑΛ. ΛΘ'. — *Ὁπλισμὸς ἱππέων κατ' αὐτούς.* A CAP. XXXIX. — *Equitum armatura apud eosdem.*

Τοὺς δ' ἱππεῖς τοῦτον ὁπλιστέον τὸν τρόπον ἀσπίδες μὲν τοῖς καταφράκτοις ἑστωσαν ἐπιμήκεις σπιθαμῶν μάλιστα τεσσάρων καὶ ἡμισείας, δόρατά τε ὀκταπήχη φλαμουλίσκια ἔχοντα καὶ αἰχμὰς σπιθαμιαίους, καὶ πρὸς θώρακές τε ἀλυσιδωτοὶ [67] τέλειοι μέχρι μὲν ἀστραγάλων διήκοντες, ἀνασειρόμενοι δὲ διὰ λωρίων καὶ κρικέλων ἢ κλιβάνια σιδηρᾶ ἢ καὶ κεράτινα ἢ καὶ ἐπιλωρίκια μακρὰ μετὰ βαμβάκης καὶ κουκουλλίου [68], σχίσματα ἔχοντα περὶ τὰς ὠλένας, ὡς ἄνω που ἔφημεν, ἐπανωκλίβανά τε πρὸς τούτοις τουφία εἶτ' οὖν λιβέλους περὶ τοὺς ὤμους ἔχοντα· ἀπεωρείσθω [69] δὲ τῶν αὐτῶν ὤμων καὶ ξίφη δίστομα σπιθαμῶν ὄντα [70] μάλιστα τεσσάρων τῆς κώπης χωρὶς, τὰ δ' ἐλάχιστα τέσσαρας μετὰ B τῆς κώπης· καὶ ἕτερα δὲ μονόστομα ξίφη τοῖς διστόμοις ἰσομήκη παραζωννύσθωσαν οἱ αὐτοὶ, ἃ δὴ καὶ παραμήρια λέγονται. Καὶ τὰς μὲν χεῖρας ὁπλιζέτωσαν τοῖς χειροψέλλοις, τοὺς δ' αὖ πόδας τοῖς ποδοψέλλοις ὀνομαζομένοις, καὶ τούτοις ἢ σιδηροῖς ἢ ξυλίνοις ἢ καὶ ἐκ βύρσης εἰργασμένοις βοείας. Περὶ δὲ τὰς ἐφεστρίδας βαρδούκια πανοῦς ἐχέτωσαν, εἶτ' οὖν [71] σιδηροραύδια, καὶ σελοπούγγια πρὸς τούτοις ἀνὰ δύο ἢ καὶ τριῶν ἔχοντα παξαμάτων ἢ κέγχρου ἀληλεσμένης, ὡς ἐν τῷ εἰκοστῷ κεφαλαίῳ πλατυκώτερον περὶ τούτου εἰρήκαμεν· περὶ δὲ τὰς κεφαλὰς κόρυθας ὡσαύτως σιδηρᾶς τελείας σεσαμιωμένας τουφία καὶ ταύτας ἐχούσας ἄνωθεν· φερέτωσαν δὲ καὶ κούκουρα ἀνὰ λ' ἢ μ' ὁἴστοὺς χωροῦντα ἕκαστον· οἱ μέντοι ὁἴστοὶ ἀνὰ θ' παλαιστῶν ἑστωσαν καὶ μὴ ἔλαττον· τόξα τε πολὺ τῆς δυνάμεως ἐλασσούμενα, παλαιστῶν καὶ ταῦτα δεκαὲξ ἢ τὸ ἔλασσον ιε' μετὰ τῶν θηκῶν αὐτῶν· ἐχέτω δὲ ἕκαστος εἰς τὰ τῶν κουκούρων ζωνάρια καὶ ῥίνον καὶ σουβλίον καὶ μαχαίρια καὶ κόλλαν καὶ ἕτερα τοιαῦτα τῶν χρειωδῶν. Οἱ μέντοι αὐτῶν ἵπποι προμετωπιδίοις καὶ περιστηθίοις καὶ κατανωτίοις σκεπάσθωσαν [72] ἢ λωρικίοις ἢ κλιβάνοις, καὶ τούτοις ἢ σιδηροῖς ἢ καὶ διὰ κεράτων συμπεπλεγμένοις. Ὁπλιζέσθωσαν δὲ καὶ οἱ δορυφόροι τοῖς ὁμοίοις σχεδὸν ὅπλοις τῶν καταφράκτων, ἐλαφροτέροις μέντοι τούτων καὶ ἧττον στεγανωτέροις, καὶ οἱ ἵπποι δὲ πρὸς τούτοις αὐτῶν ἄοπλοι ἑστωσαν διά τε [73] τὰς ἐπελάσεις καὶ αὖθις ὑποχωρήσεις. Καὶ ταῦτα μὲν περὶ τούτων· τῶν δὲ ψιλῶν καλουμένων ἱππέων οἱ μὲν ἀκοντισταὶ ἀνὰ δύο ἢ καὶ τριῶν φερέτω ἕκαστος ἀκόντια σπιθαμῶν μάλιστα ιβ', καὶ πρὸς τούτοις δόρυ ὀκτάπηχυ καὶ ἀσπίδα ἐπιμήκη σπιθαμῶν τεττάρων ἔγγιστα ἢ καὶ περιφερῆ τρισπίθαμον καὶ κόρυθας ἐπὶ τούτοις ἀσκεπεῖς τὰ κύκλῳ· οἱ δὲ τοξόται κούκουρά τε ἐχέτωσαν καὶ τόξα τῆς δυνάμεως ἐλασσούμενα, ὡς ἄνω που ἔφημεν, διὰ τὸ εὐάγωγόν τε καὶ εὔστοχον μά-

Equites hoc modo armari oportet: Cataphractis sint scuta dodrantium ad summum quatuor cum dimidio, lanceæ autem cubitorum octo flammula habentes et cuspides dodrantis unius, et thoraces hamis inter se consertis ad spondylos devenientes lorisque et annulis ligati, vel clibana ferrea aut cornea, vel etiam epiloricia longa cum bambace et cucullio, fissuras habentia circum brachia, sicuti supra diximus, atque epanoclibana tufas circum humeros et libelos habentia. Suspendantur simul ab humeris gladii ancipites dodrantium ut maxime quatuor absque capulo, minimum autem quatuor cum capulo, et simul aliis gladiis altera parte B acutis, ancipitibus longitudine æqualibus præcingantur, qui femoralia dicuntur, manus suas chiropselliis muniant, pedesque podopselliis, vel ferreis, vel ligneis aut ex bovinis pellibus. Circum sellas clavos cuncti habeant et sideroraudia et sellæ sacculos in quibus duo aut tria paxamata, vel milium tritum, sicut vigesimo capite fusius diximus. In capitibus galeas pariter ferreas integras signo insignitas et tufis desuper. Ferant quoque tela triginta aut quadraginta in marsupiis: tela autem novem palmorum sint, nec minus; arcus vero robore multo minores, sexdecim aut minimum quindecim palmorum, cum thecis suis; habeatque unusquisque in marsupiorum cingula, pellem et subulam et novaculas et gluten et cætera necessaria. Equi vero C eorum frontalibus, pectoralibusque et dorsualibus muniantur, aut loriciis aut clibanis sive ferreis sive corneis. Armandi doryphori eisdem fere quam cataphractæ, sed levioribus armis, et minus solidis; inermes quoque eorum equi, propter impetus et subductiones. Hæc de his. Inter eos autem qui leves vocantur equites, jaculatorum quisque ferat duo vel tria jacula dodrantium duodecim ut maxime et insuper lanceam cubitorum octo et oblongum scutum dodrantium fere quatuor aut orbiculare trium dodrantium, galeas præterea in circuitu nudas. Sagittarii vero marsupia et arcus robore minores; ut supra diximus, ad tractandi facilitatem et imprimis jaculandi; femoralia quoque et galeas non D integras, sellæ marsupia simul a zonariis marsupiorum aliqua necessariorum suspensa, ut de cataphractis disserentes diximus.

VARIÆ LECTIONES.

[66] ο corr. ex ω in B. [66] ἀληθεσμένον B. [67] ἀλυσειδωτοὶ B. [68] κουκουλίου B. [69] ἀπεωρεῖσθω B. [70] ὄντων B. [71] εἴτουν hic quidem B. [72] σκεπέσθωσαν B. [73] πρός τε, superscr. διά τε eadem manu B.

Digitized by Google

λιστα, παραμήριά τε καὶ κόρυθας μὴ τελείας, σελλοπούγγιά τε ὡσαύτως, καὶ περὶ τὰ τῶν κουκούρων ζωνάρια τῶν χρειωδῶν ἀπηωρημένα τινά, ὡς ἐν τῷ περὶ τῶν καταφράκτων ἔφημεν λόγῳ.

CAP. XLI. — *Exercitus motuum denominationes.*

ΚΕΦΑΛ. ΜΑ'. — *Ὀνομασίαι κινήσεων στρατοῦ.*

Flexio ad lanceam, flexio ad scutum, in frontem procedere, ad cornu procedere, epagoge, paragoge, metabole, epistrophe, anastrophe, antiperispasis, exallagmus, hyperphalangisis, hypercerosis, in ordine procedere, jungere, diplasiasmus, entaxis, hypotaxis, protaxis, parabole, systole. Flexio ad lanceam dicitur, uniuscujusque ad dextram motus; flexio ad scutum, ad sinistram; in frontem procedere, cum parataxis procedit habens convenientem longitudinem: ad cornu autem, quum propter locorum angustias præcedit dextrum, sequitur medium, pone incedit lævum: cornu etenim vocatur, ut dictum est universæ parataxeos pars extrema; epagoge, cum lochagos promachosque et caudarios in suo ordine habet phalanx. Metabole, cum retrorsum miles se vertit; epistrophe, cum omne agmen tanquam unus homo se vertit; anastrophe, cum ad præcedentem figuram revertitur; antiperispasis, cum inopinato fit motus ad decipiendos hostes in aliqua parte superantes; exallagmus, cum promachi caudam capiunt et vice versa caudarii fiunt promachi; hyperphalangisis, cum phalangis frons ex utraque parte ultra hostes extenditur; hypercerosis autem, cum ex altera tantum parte; in ordine procedere, cum directo invicem sunt milites secundum agminis profunditatem, seu densitatem, id est, lochagi cum mediis et caudariis; jungere cum directo sunt qui secundum ordinis longitudinem stant: jugum enim vocatur agminum secundum longitudinem ordo; diplasiasmus, cum duo lochi unus fiunt: quod vel secundum longitudinem vel secundum profunditatem fit; entaxis cum velites inter hoplitas sistuntur permixti vir ad virum; hypotaxis vero, cum seorsim velites pone hoplitas ponuntur; protaxis autem, cum ante; parabole, cum in latius extenditur frons phalangis; systole autem cum in prius contrahitur.

Κλίσις ἐπὶ δόρυ, κλίσις ἐπ' ἀσπίδα, ἐπὶ μέτωπον πορεύεσθαι, ἐπὶ κέρας πορεύεσθαι, ἐπαγωγή, παραγωγή, μεταβολή [76], ἐπιστροφή, ἀναστροφή, ἀντιπερίσπασις, ἐξαλλαγμός, ὑπερφαλάγγισις, ὑπερκέρωσις, στοιχεῖν [78], ζυγοῦν, διπλασιασμός, ἔνταξις, ὑπόταξις, πρόταξις, παρεκβολή, συστολή. Κλίσις μὲν οὖν ἐπὶ δόρυ ἡ [76] ἐπὶ δεξιὰ ἑκάστου ἀνδρὸς κίνησις λέγεται, κλίσις δ' ἐπ' ἀσπίδα ἡ ἐπ' ἀριστερά [77]· ἐπὶ μέτωπον πορεύεσθαι, ὅτι τὸ προσῆκον ἔχουσα μῆκος ἡ παράταξις πρόεισιν, ἐπὶ κέρας δέ, ὅτε διὰ στενοτάτων τόπων προηγούμενον μὲν ἔχει [78] τὸ δεξιὸν ἡ παράταξις, ἑπόμενον δὲ τὸ μέσον, ὕστατον δὲ τὸ ἀριστερὸν (κέρας γάρ, ὡς ἔφημεν, τὸ ἀκρότατον πάσης παρατάξεως λέγεται). Ἐπαγωγή, ὅτε κατὰ τὴν οἰκείαν τάξιν ἡ φάλαγξ τούς τε λοχαγοὺς εἶτ' οὖν προμάχους καὶ τοὺς οὐραγοὺς ἔχει . . . . . [79]. Μεταβολὴ τὸ μεταστραφῆναι τὸν στρατιώτην ἐπὶ τὸ ὄπισθεν· ἐπιστροφὴ τὸ ἐπιστραφῆναι ἅπαν τὸ τάγμα ὡς ἕνα ἄνθρωπον· ἀναστροφὴ δὲ τὸ ἀποκαταστῆναι τοῦτο αὖθις εἰς τὸ πρότερον σχῆμα. Ἀντιπερίσπασις, ὅτε παρὰ προσδοκίαν γίνεται [80] κίνησις ἐπὶ τῷ ἀπατηθέντας ἐντεῦθεν τοὺς πολεμίους ἐνδοῦναι, καθ' ὃ ἀγωνιζόμενοι μέρος ἰσχύουσιν· ἐξαλλαγμός, ὅτε οἱ μὲν πρόμαχοι οὐραγοῦσιν, οἱ δὲ οὐραγοῦντες πρόμαχοι γίνονται. Ὑπερφαλάγγισις, ὅτε τῆς φάλαγγος μέτωπον ἐξ ἑκατέρου μέρους ὑπερεκτείνεται τῶν πολεμίων· ὑπερκέρωσις δέ, ὅτε μόνον ἐξ ἑνὸς ὑπερτείνεται μέρους. Στοιχεῖν δὲ τὸ ἐπ' εὐθείας ἀλλήλοις εἶναι τοὺς κατὰ βάθος εἶτ' οὖν [81] πάχος ἱσταμένους τοῦ τάγματος, τοὺς λοχαγοὺς δηλαδὴ μετὰ τῶν μέσων καὶ τῶν οὐραγῶν· ζυγοῦν τὸ ἐπ' εὐθείας εἶναι τοὺς κατὰ τὸ τοῦ ὀρδίνου μῆκος ἑστῶτας (ζυγὸς γὰρ ὁ τῶν ταγμάτων κατὰ μῆκος ὀρδινὸς λέγεται). Διπλασιασμὸς δέ, ὅτε οἱ δύο λόχοι γίνονται εἷς· τοῦτο δὲ ἢ κατὰ μῆκος ἢ κατὰ βάθος ἐστὶ γινόμενον· ἔνταξις δέ, ὅτε [82] οἱ ψιλοὶ μετὰ τῶν ὁπλιτῶν ἀναμὶξ τάττονται ἀνὴρ παρ' ἄνδρα· ὑπόταξις δέ, ὅτε μονομερῶς οἱ ψιλοὶ τῶν ὁπλιτῶν ὄπισθεν ἵστανται· πρόταξις δέ, ὅτε τῶν ὁπλιτῶν ἔμπροσθεν οὗτοι τάττονται [83]· παρεκβολή, ὅτε τὸ τῆς φάλαγγος μέτωπον εἰς πλέον μῆκος ἐκτείνεται, συστολὴ δὲ τὸ ἔμπαλιν.

CAP. XLII. — *Phalangis figuræ.*

Quadrangularis phalanx, æquilateralis phalanx, transversa phalanx, recta phalanx, obliqua phalanx, bifrons phalanx, adversa phalanx. Quadrangularis dicitur phalanx quæ quatuor lateribus terminatur, non autem æqualibus, sed oblonga figura; æquilateralis, quæ in quatuor lateribus æqualia habet agmina, et quadratum agmen vocatur; transversa phalanx, quæ frontem multo longiorem profunditate habet et secundum longitudinem quadrangularem se efficit: quod perutile, in parataxibus

ΚΕΦΑΛ. ΜΒ'. — *Σχηματισμοὶ φάλαγγος.*

Πλαισία φάλαγξ, ἰσόπλευρος φάλαγξ, πλαγία φάλαγξ, ὀρθία φάλαγξ, λοξὴ φάλαγξ, ἀμφίστομος φάλαγξ, ἀντίστομος φάλαγξ. Καὶ πλαισία λέγεται φάλαγξ ἡ ἐκ τεσσάρων μὲν πλευρῶν συγκειμένη πλὴν οὐκ ἐν ἰσοπλεύρῳ, ἀλλ' ἐν ἐπιμήκει σχήματι· ἰσόπλευρος δὲ ἡ ἐκ τεσσάρων μερῶν ἴσα τὰ τάγματα ἔχουσα, τοῦτο δὲ καὶ πλινθίον καλεῖται· πλαγία φάλαγξ ἡ τὸ μέτωπον πολὺ μεῖζον τοῦ βάθους ἐκτεινόμενον ἔχουσα καὶ ἐπὶ μήκει ταύτην ποιοῦσα τετράγωνον, ὃ δὴ χρήσιμον ἐν ταῖς παρατάξεσι μάλιστα·

VARIÆ LECTIONES.

[76] καταβολὴ B. [78] στοιχεῖον B. [76] ἢ B. [77] ἀριστερὰ B. [78] ἔχη B. [79] Apertæ lacunæ qua explicatio hausta est, nullum in B. vestigium. [80] γένηται B. [81] εἴτουν hic quidem B. [82] ὅταν B. [83] τάττωνται B.

Digitized by Google

ὀρθία φάλαγξ ἡ τὸ πάχος πολὺ μεῖζον τοῦ μήκους [84] ἔχουσα, ὃ δὴ καὶ ἐν μόναις ταῖς δυσχωρίαις χρήσιμον· λοξὴ φάλαγξ ἡ καθ' ἓν ἀγωνιζομένη κέρας, τὸ δὲ λοιπὸν ἡρέμα [85] ὑποστέλλουσα. Ἀμφίστομος φάλαγξ διαφέρει τῆς ἀντιστόμου· ἡ μὲν γὰρ ἀμφίστομος ἐν ἐπιμήκει ὀρθίῳ θεωρουμένη σχήματι ἐκ τῶν δύο πλαγίων τὸν πόλεμον ἔχουσα ἀγωνίζεται, ἡ δὲ ἀντίστομος ἐν ἐπιμήκει πλαγίῳ ἑκατέρωθεν μὲν καὶ αὕτη τὸν πόλεμον ἔχει, πλὴν οὐκ ἐκ πλαγίων, ἀλλ' ἐκ τῶν ἔμπροσθέν τε καὶ ὄπισθεν.

A præsertim; recta phalanx, quæ profunditatem multo majorem habet longitudine: quod in angustiis tantum locorum perutile; obliqua phalanx, quæ uno tantum cornu dimicat, reliquis otium agentibus; bifrons phalanx cum adversa differt: bifrons etenim oblonga et recta figura dimicat utroque latere; adversa vero oblongam utroque latere ipsa quoque figuram habet, non autem e transverso, sed adversum et retrorsum dimicat.

ΚΕΦΑΛ. ΜΓ'. — *Περὶ βάθους εἴτ' οὖν πάχους τῶν τε πεζικῶν καὶ ἱππικῶν τάξεων, ἔτι δὲ καὶ μήκους αὐτῶν, καὶ πόσον ἐν τῇ παρατάξει τόπον ὅ τε πεζὸς ἐπέχων, ὅ τε ἱππεὺς πρὸς τούτοις, καὶ περὶ τῶν ἐν ταῖς τάξεσι πρὸς ἀλλήλας διαλειμμάτων [86] ἐπ' εὐθείας τε ὡσαύτως καὶ ἐκ πλαγίου, ἐν ᾧ καὶ περὶ τόξου βολῆς.*

CAP. XLIII. — *De profunditate seu densitate peditum et equitum taxeon et de earum longitudine, atque quantum in parataxi loci obtinet pedes et eques, de intervallis quoque taxeon inter se sive directo sive e transverso, ubi necnon et de teli jactu.*

B

Τῶν μὲν οὖν πεζικῶν ταγμάτων βάθος τὸ μέγιστον οὐ πλέον ὀρδίνων ἐστὶ δεκαὲξ, τὸ μέντοι ἔλαττον ἑπτά· τό τε [87] γὰρ ἐπέκεινα τῶν δεκαὲξ πάχος ἀνωφελὲς διὰ τὸ [88] καὶ τοὺς ἀκοντιστὰς τούς τε τοξότας καὶ τοὺς σφενδονήτας ὑπὸ τῶν ἔμπροσθεν ἱσταμένων πολλῶν ὄντων ἐμποδίζεσθαι, καὶ τὸ ἔλαττον δὲ τῶν ἑπτὰ καθ' ἕτερον τρόπον ἄχρηστον· τῶν γὰρ πολεμίων ἐκ τῶν ἔμπροσθεν ἐσθ' ὅτε καὶ ὄπισθεν ἐπιθεμένων ὁμοῦ καὶ ἀντιστόμου διὰ τοῦτο τῆς φάλαγγος γινομένης ῥᾳδίως ταύτην ληφθῆναι παρὰ τῶν πολεμίων συμβήσεται βάθος μὴ ἔχουσαν ἀξιόλογον [89]. Εἰς δώδεκα μὲν οὖν χιλιάδας καὶ ἐπέκεινα τοῦ πεζικοῦ ποσουμένου στρατοῦ τότε δεῖ καὶ τὰ τάγματα ἀνὰ δεκαὲξ ὀρδίνων ποιεῖν, ἐλάττονος δ' οὔσης τῆς στρατιᾶς· καὶ μέχρι τῶν ἑπτὰ συστέλλειν αὐτὰ ἔξεστι. Καὶ οὕτω μὲν τὸ βάθος ἡ πάχος ἕξει τῆς πεζικῆς τάξεως, τὸ δὲ μῆκος ταύτης ἀόριστον· ἔξεστι γὰρ καὶ ἐκτείνειν ταύτην καὶ συστέλλειν ἐσθ' ὅτε κατὰ τὸ τῆς στρατιᾶς δηλονότι πλῆθος [90]. Τὸ δ' οὖν μάλιστα σύμμετρον δοκοῦν ἐν παρατάξει μῆκος ἀνδρῶν ἐστι τριακοσίων, τὸ δὲ ἐλάχιστον διακοσίων. Ἱππικῶν δὲ ταγμάτων τὸ μὲν μέγιστον βάθος ὀρδίνων ἐστὶ δέκα, τὸ δὲ ἔλαττον ποτὲ καὶ μέχρι τεσσάρων· ἡ γὰρ μὴ ἔχουσα πάχος ἱππικὴ παράταξις εἰς μὲν πολέμους ἄχρηστος, ἐπεὶ διακοπτομένη παρὰ τῶν πολεμίων κύκλωσιν ὑπομένει καὶ ῥᾷστα φθορᾷ παραδίδοται, αἰχμαλωτίσαι [91] δὲ καὶ χώραν τάχιστα ἐρημῶσαι καὶ λίαν χρήσιμος [92]. Εἰς δέκα μὲν οὖν χιλιάδας τοῦ ἱππικοῦ ποσουμένου στρατοῦ τότε δεῖ καὶ τὰ τάγματα ἀνὰ δέκα ποιεῖν ὀρδίνων, ἐλάττονος δ' οὔσης τῆς στρατιᾶς ἀνὰ πέντε ἢ τεσσάρων τοὐλάχιστον, ὃ δὴ μάλιστα καὶ ἐνεργὸν καὶ χρήσιμόν ἐστιν ἐν ταῖς παρατάξεσιν [93], ἐπεὶ ὁ ὄπισθεν τῶν πέντε ἱππέων ἱστάμενος τοξότης διὰ τοὺς ἐπιπροσθοῦντας [94] αὐτῷ τοξεύειν εἰς ὕψος ἀναγκασθήσεται, κἀντεῦθεν ἀνενεργὲς συμβαίνει τοὺς

C

D

Peditum agmina maximam profunditatem sexdecim ordinum habeant, nec amplius, minimam vero septem: ultra namque sexdecim ordines noxia esset profunditas propter jaculatores sagittariosque et fundatores qui a pluribus ante se stantibus impedirentur; minor autem ordinibus septem alio quoque modo noxia: accidere enim potest ut phalanx, hostibus ante et post insistentibus, unde adversa fieri cogitur, facile tollatur sufficienti carens profunditate. Cum igitur duodecim millia habet exercitus pedestris aut ultra, tunc oportet agmina sexdecim ordinum facere; quod si minor sit numerus, usque ad septem ordines descendere licet. Ea esse debet pedestris aciei profunditas, seu densitas, longitudo autem illimitata: potest enim aut extendi aut contrahi pro exercitus scilicet numerositate. Aptior porro videtur in parataxi longitudo ad summum trecentorum virorum et minimum ducentorum. Equestrium agminum profunditas maxima ordinum decem, minima vero adusque quatuor: parataxis namque equestris, nisi profunda, nullam in hostes utilitatem præbet, siquidem perrupta circumducetur et facillime conficietur; utilis autem quam maxime est ad abducendos captivos et regionem celerrime depopulandam. Cum igitur equestris exercitus decem millium est, tunc oportet agmina decem esse ordinum; si vero minor est ad quinque et minimum quatuor est descendendum: quod in parataxibus potens et utile est, quoniam qui post quinque equites sistitur sagittarius, sursum tela mittere cogetur, unde inutilia fiunt, et præserti m quoniam potest quidem pedes eos qui ante se stant, in pugnam impellere, nullo autem modo eques. Sed fusius de singulis capite quadragesimo sexto dicetur. Ea esse debet equestris parataxeos profunditas seu densitas, longitudo autem hic etiam illimitata:

VARIÆ LECTIONES.

[84] βάθους superscr. μήκους (ead. m.) B. [85] ἠρέμα B. [86] διαστημάτων (sed στημάτων et punctis superne positis et linea subducta notatum) et in marg. λειμμάτων B. [87] τό γε B. [88] τοῦτο B. [89] Ead. m. ascript. ad marg. βάθος πεζικῶν ταγμάτων τὸ μέγιστον. [90] Ead. m. ascript. ad marg. deinceps: βάθος πεζικῶν ταγμά[των τὸ ἐλάχιστον] μῆκον (sic) σύμμετρον [βάθος ἱππικῶν ταγμά]των τὸ μέγιστον. [91] αἰχμαλιώτισαι B. [92] χρήσημος B. [93] Ead. m. ascript. ad marg. βάθος ἱππικῶν ταγμάτων τὸ ἐλάχιστον. [94] ἐπιπροσθοοῦντας B.

Digitized by Google

pro numerositate enim exercitus varia erit; conveniens tamen videtur et hic ducentorum virorum longitudo, minimaque centum et viginti. Hæc de longitudine et profunditate taxeon tam peditum quam equitum. Spatium autem in transversum tenere debet pedes quisque et eques in itineribus ulnæ unius, id est quatuor cubitorum; pugna vero imminente semiulnæ, id est trium pedum, in articulo autem congressionis tertiæ partis ulnæ, id est pedum duorum: quod synaspismus dicitur. In sola testudinis dicta parataxi, quæ vulgo syscutum vocatur, quartam ulnæ partem seu cubitum unum occupat pedes quisque; conveniens vero peditis et equitis est semiulna. Directo autem unam ulnam occupat pedes propter fundarum demissionem et jaculorum intorsionem. Intervalla quibus inter se distant taxes peditum, sex ulnarum est nec amplius in transversum: sufficiens enim hic videtur intervallum quod decem et octo equites transmissos contineat; equitum vero illimitatum; conveniens vero videtur et hic tredecim ulnarum intervallum. In sola tamen parataxi dicta auxiliatrice ad dimidium teli jactum licet intervalla in transversum ponere, ut capite quadragesimo sexto dicetur. Directo autem intervalla inter taxes in itineribus duorum sint teli jactuum, aliquandoque unius aut plus aut minus: pugnæ tamen tempore unius teli jactu ad summum; raro equitibus minus erit, sed peditibus multo minus: si de mixto exercitu agitur, quam minimum cum juxta figuram descriptam pedites inter se medium habent equitatum, sicut fusius capite quadragesimo septimo dicetur de mixto exercitu atque de peditum in illo taxibus; tunc enim non plus viginti et octo ulnis peditum taxes inter se distant. Qui procursatores vocantur eorumque defensores (hi sunt qui ante pugnam commissam ante taxes currunt ad excitandos ad pugnam hostes), duobus aut ad summum tribus milliaribus a cæteris hominibus distabunt, ultra jam non esset securum. Similiter opisthophylaces duobus teli jactibus a tuldo, ne hostibus a tergo tela in opisthophylaces jacientibus, ii qui in tuldo sunt feriantur. Teli porro jactus quam convenientissime centum et quinquaginta ulnarum deputatur, ulnarum autem simplicium dictarum centum et septuaginta aut ut maxime centum et octoginta.

A ὀϊστοὺς πέμπεσθαι· ἄλλως τε ὁ μὲν πεζὸς ῥᾳδίως τὸν ἔμπροσθεν ἱστάμενον αὐτοῦ [95] ὠθεῖν ὡς πρὸς τὸν πόλεμον δύναται, οὐκέτι δὲ καὶ ὁ ἱππεύς. Πλατυκώτερον δὲ περὶ τούτων ἑκάστων [96] ἐν τῷ τεσσαρακοστῷ ἕκτῳ κεφαλαίῳ εἰρήσεται. Τὸ μὲν οὖν βάθος ἢ πάχος οὕτως ἕξει τῆς ἱππικῆς παρατάξεως, τὸ δὲ μῆκος κἀνταῦθά ἐστιν [97] ἀόριστον· πρὸς γὰρ τὸ πλῆθος ἔσται τῆς στρατιᾶς· σύμμετρον [98] δ' οὖν κἀνταῦθα δοκεῖ μῆκος μάλιστα τὸ τῶν διακοσίων ἀνδρῶν, ἐλάχιστον δὲ τὸ τῶν ἑκατὸν εἴκοσι. Καὶ ταῦτα μὲν περὶ μήκους καὶ βάθους τῶν τε πεζικῶν ὁμοῦ καὶ ἱππικῶν τάξεων· τόπον [99] δὲ κατὰ πλάγιον ὅ τε πεζὸς καὶ ἱππεὺς ἐν παρατάξει ἐπέχειν λέγεται ἐν μὲν ὁδοιπορίᾳ ὀργυιᾶς μιᾶς πήχεων δηλαδὴ τεσσάρων, πολέμου δὲ προσδοκίας οὔσης ὀργυιᾶς ἡμίσεως
B ποδῶν δηλαδὴ τριῶν, ἐν αὐτῷ δὲ τῷ τῆς συμπλοκῆς καιρῷ τρίτον ὀργυιᾶς ἤτοι ποδῶν δύο· τοῦτο δὲ καὶ συνασπισμὸς λέγεται [1]. Ἐν μόνῃ δὲ ἄρα τῇ τῆς χελώνης καλουμένῃ παρατάξει, ὃ δὴ καὶ σύσκουτον ἡ δημώδης ὀνομάζει φωνή, τέταρτον ὀργυιᾶς εἴτ' οὖν [2] πῆχυν ἕνα τῶν πεζῶν ἕκαστος ἐπέχει· σύμμετρος δὲ τόπος ἱππέως τε καὶ πεζοῦ τὸ τῆς ὀργυιᾶς ἐστιν ἥμισυ. Ἐπ' εὐθείας δὲ τόπον ὁ πεζὸς ἐπέχει μιᾶς ὀργυιᾶς διά τε τὰς τῶν σφενδονῶν ἀφέσεις καὶ τὰς τῶν ἀκοντίων ἀνατάσεις. Διαλείμματα [3] δὲ τάξεων πρὸς ἀλλήλας ἐν ταῖς πεζικαῖς κατὰ μὲν πλάγιον οὐ πλέον ὀργυιῶν ἐστιν ἕξ (ἱκανὸν γὰρ ἐνταῦθα δοκεῖ διάλειμμα τὸ δεκαοκτὼ ἱππεῖς διιόντας δεχόμενον), ἐν δὲ ταῖς ἱππικαῖς μάλιστα μὲν ἀόριστον,
C σύμμετρον δ' οὖν κἀνταῦθα [4] δοκεῖ τὸ τῶν δεκατριῶν ὀργυιῶν διάλειμμα. Ἐν μόνῃ δὲ ἄρα τῇ βοηθῷ καλουμένῃ παρατάξει καὶ μέχρι ἡμίσεως [5] τόξου βολῆς ποιεῖν τὰ ἐκ πλαγίου διαλείμματα ἔξεστιν, ὡς ἐν τῷ τεσσαρακοστῷ [6] ἕκτῳ κεφαλαίῳ λέξεται. Ἐπ' εὐθείας δὲ διαλείμματα ἐν ταῖς τάξεσιν ἐν μὲν ὁδοιπορίαις δυσὶ τόξου βολαῖς [7] ἑτέρα τάξις θατέρας ἀφέξεται, καὶ μιᾷ ἔσθ' ὅτε καὶ πλέον καὶ ἔλαττον· ἐν μέντοι πολέμου καιρῷ [8] τὸ μὲν πλεῖστον [9] ἄχρι τόξου βολῆς [10], σπανίως γε μὴν ἐν ταῖς ἱππικαῖς ἔτι ἔλαττον [11] ἔσται, πολὺ δὲ ἔλαττον ἐν ταῖς πεζικαῖς· ἐπὶ συμμίκτου μέντοι στρατοῦ καὶ ἔτι ἐλάχιστον, ὅταν ἐν παραταττομένῳ [12] σχήματι μέσον οἱ πεζοὶ τὸ ἱππικὸν συνέχωσιν, ὡς ἐν τῷ τεσσαρακοστῷ ἑβδόμῳ κεφαλαίῳ εἰρήσεται πλατυκώτερον περί τε
D συμμίκτου στρατοῦ καὶ τῶν ἐν αὐτῷ πεζικῶν τάξεων. τότε γὰρ οὐ πλέον ὀργυιῶν κη' τὰ ἐπ' εὐθείας εἰσὶ τῶν πεζικῶν τάξεων διαλείμματα. Οἱ μέντοι προκουρσάτωρες λεγόμενοι καὶ οἱ τούτων δεφένσωρες (εἶεν δ' ἂν οὗτοι οἱ κατὰ τὸν τοῦ πολέμου καιρὸν τῶν τάξεων προερχόμενοι καὶ τοὺς πολεμίους πρὸς συμπλοκὴν ἐρεθίζοντες [13]) καὶ μέχρι δύο μιλίων ἢ τριῶν τὸ πλεῖστον τῶν λοιπῶν ταγμάτων ἀφέξονται, τὸ δὲ τούτων ἐπέκεινα οὐκ ἀσφαλές. Ὡσαύτως δὲ καὶ οἱ ὀπισθοφύλακες [14] δυσὶ τόξου βολαῖς ἀφέ-

VARIÆ LECTIONES.

[95] αὐτὸν (sic) B. [96] ἕκαστον B. [97] κανταῦθα, ἔστιν B. [98] Ead. m. ascript. ad marg. μῆκος σύμμετρον. [99] Ead. m. ascript. ad marg. τόπος ἱππέων καὶ πεζῶν. [1] Ead. m. ascript. ad marg. τόπος ἕτερος. [2] εἴτουν hic quidem B. [3] Ead. m. ascript. ad marg. Διαλείμματα πεζικῶν ταγμάτων. [4] κανταῦθα B. Ead. m. ascript. ad marg. Διάλειμμα σύμμετρον ἱππικῶν ταγμάτων. [5] ἡμήσεως corr. ex ἡμίσεος B. [6] τεσσαρακοντοστῷ (sed ντο et linea transfossum et punctis subditis notatum) B. [7] βουλαῖς B. [8] καιροῦ B. [9] πλέον; et tum καὶ ἔλασσον ἄχρι (hoc corr. ex ἄρρι et tria verba punctis subditis notata) add. in fine paginæ B. [10] βουλῆς B. [11] ἐπέλαττον pro ἔτι ἔλαττον B. Haud scio an subsit lacuna: τὸ μὲν πλέον ἄχρι... καὶ ἔλαττον ἄχρι τόξου βολῆς, etc. [12] παραταττόμενον B. [13] ἐρρεθίζοντες B. [14] Ead. m ascript. ad marg. Διάλειμμα ἐπ' εὐθείας ὀπισθοφυλάκων.

Digitized by Google

ξοντα: [15] τοῦ τούλδου, ἵνα μὴ τῶν πολεμίων ἐκ τῶν ὄπισθεν τοῖς ὀπισθοφυλακοῦσι προσβαλόντων οἱ ἐν τῷ τούλδῳ κατατοξεύοιντο. Ἡ δὲ σύμμετρος τόξου βολὴ [16] ὀργυιῶν ἂν εἴη μάλιστα ἑκατὸν πεντηκονταὲξ, τῶν δὲ ἁπλῶν ὀργυιῶν καλουμένων ἑκατὸν ἑβδομήκοντα ἔγγιστα ἢ τὸ πλεῖστον ἑκατὸν ὀγδοήκοντα.

ΚΕΦΑΛ. ΝΓ'. — *Τί χρὴ ποιῆσαι πολιορκούμενον* [17] *τὸν στρατηγόν.*

CAP. LIII. — *Quid sit duci obsesso agendum.*

